B.T.

DIO CASSIUS.

I

227

ΔΙΩΝΟΣ ΚΑΣΣΙΟΥ ΚΟΚΚΗΙΑΝΟΥ

# ΡΩΜΑΙΚΗ ΙΣΤΟΡΙΑ.

# DIONIS CASSII COCCEIANI

# HISTORIA ROMANA.

EDITIONEM PRIMAM CURAVIT **LUDOVICUS DINDORF,**

RECOGNOVIT

**IOANNES MELBER.**

VOL. I.

K. K. STAATSGYMNASIUM IN RIED

LIPSIAE,

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCXC.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

RUDOLPHO SCHOELL

S.

# PRAEFATIO.

Quod vulgo conquerebantur novissimam quoque Dionis Cassii editionem a Ludovico Dindorfio curatam niti fundamentis criticis admodum futilibus atque incertis, id mihi quidem optime refutatum esse videtur accuratissima illa Boissevaini commentatione: De Cassii Dionis libris manu scriptis, quae prodiit in Mnemosynes vol. XIII (1885), p. 311—345 (addenda p. 456 sq.). Vir doctissimus Batavus omnes qui ei innotuerant codices diligentissime pervestigavit nec tamen in tantis studiis cum taedio fastidioque saepe coniunctis, quae ne cui numerorum computatore quam philologo homine digniora videantur, ipse veretur, quidquam potuit reperire, cur Dindorfi sententiam universam, quae quidem pertineat ad textum Dionis constituendum, corrigeret. Neglexerit sane Dindorfius in codicibus conferendis res quasdam leviores, at hoc certe primus vidit, qui potissimum libri manu scripti adhibendi essent. Legitur enim in praefatione vol. I, p. 3 editionis Dindorfianae: „Cassio Dioni contigit, ut . . . duo optimi codices sint servati librorum trigesimi sexti, quatenus superest, usque ad quinquagesimi capitis 6 initium Laurentianus plutei 70, n. 8 membranaceus et quadragesimi quarti inde a cap. 34 usque ad sexagesimi c. 17 partem maiorem Venetus Marcianus n. 395 item membranaceus.“ A qua sententia quid differt Boissevaini p. 345 l. l. sic iudicantis: „Ad textum quem vocant Dionis constituendum adhibendos esse solos apparet Mediceum A (i. e. plut. 70, n. 8) et Venetum A (i. e. n. 395), reliquos codices omnes prorsus nihil valere“? Ac Dindorfius quidem, quae ei de opera sua dicenda erant, singulari adnotationum volumine comprehensurus certe de illis codicibus copiosius disseru-

isset, nisi praematura morte defunctus esset[1]). Quod autem pergit in praefatione: „scripti ambo (sc. Mediceus A et Venetus A), antequam existeret, qui partim lacunas illorum utcunque explere, partim vitia pro captu suo emendare studeret“ et paulo post: „nam adeo sui similis est per omnes viginti quinque, qui codicibus Mediceo et Veneto servati sunt, libros, ut unum eundemque fuisse putem hominem, qui codicem Laurentiano Marcianoque nactus similem eum ut posset corrigeret eiusque minores lacunas ex ingenio, maiores e Xiphilino sarciret,“ hoc unum correxit Boissevain, cum dicat p. 335: „imo vero ipsum Mediceum codicem et Venetum descripsit homo ille doctus lacunasque alterius ope sarsit, donec deficiente iam Mediceo Xiphilini auxilium invocavit.“ Sic enim ortus est archetypus codicum alterius classis.

Sed quod Dindorfius hanc optimorum codicum et librorum secundae classis rationem non plane perspexit, nihil valet ad textum constituendum. Quae cum ita essent, causa non erat, cur post egregias Dindorfi et Boissevaini curas ego denuo inquirerem in codices; itaque, quae de optimis libris manu scriptis disserere e re esse videtur, infra afferam ex Boissevaini descriptione accuratissima, pauca quaedam praefatus de codicibus, quibus Dionis fragmenta nobis servantur, deque ratione, qua usus sum in fragmentis retractandis.

## EXCERPTA DE VIRTUTIBUS ET VITIIS
(περὶ ἀρετῆς καὶ κακίας).

Collectanea huius tituli exstant in unico codice Turonensi Graeco, quem olim Nicolaus Claudius Fabricius Peirescius, regis consiliarius in senatu Aquisextiensi (Nicolas Claude Fabre de Peiresc, 1580—1637), ex Cypro insula a mercatoribus advectum emit anno 1627 ducentis libris Turonicis, ut tantam pecuniam solveret adductus ea

1) Cf. quae in Iahni annal. vol. 101 (1870) pp. 749 et 753 de hac re Dindorfius adnotavit.



re, quod „coniectatus est ipsissimum esse exemplum, quod Imperator sibi habuerat“ ob characterum formam nitoremque, ob compactionis elegantiam, ob praeclara carmina in illius laudem praefixa“[1]). Eandem sententiam amplexus est L. Dindorfius in praefatione ad Diodori editionem Parisinam 1844, vol. 2, p. III. Post mortem Peirescii codex cum aliis libris eius Aquis Sextiis Tolosam in urbem finitimam translatus est, cuius senatoribus amplissimis ille vivus familiarissime usus erat[2]). Ibi servabatur usque ad annum 1716, quo anno patres ordinis sancti Benedicti monasterii, quod vocatur Marmoutiers, librum emerunt; legitur enim in antiquo huius monasterii catalogo: De Vitiis et Virtutibus Ms. Graecum emptum Tolosae anno 1716, in fol.. Inde Turones nescio quo modo translatus hodie in bibliotheca publica Turonensi servatur.

A Peirescio Parisios missus iacuit liber in hac urbe nimium fortasse diu, neglectus a quibusdam, transscriptus a paucis iisque doctissimis viris, donec in lucem prodiit anno 1634 opera Henrici Valesii (Henri de Valois, 1603—1676)[3]) ordine excerptorum ita mutato, ut Polybius agmen duceret, cum Constantinus primum Iosephum, deinde Chronicorum scriptores Christianos posuisset. Pauca quaedam codicis menda Valesius sic correxit, ut veram lectionem in textum statim reciperet interdum silentio, saepius codicis lectione in margine adscripta.

In fine libri praeter indicem rerum memorabilium subiunxit notas criticas et historicas ad singulos rerum scriptores, quas notas ad Dionem spectantes Reimarus suis ipsius in editione Dionis inseruit. Neque Sturzius neque

1) Petrus Gassentus in vita Peirescii, Hagae 1655, lib. IV, p. 133.

2) cf. Gros in praefatione editionis Dionis, vol. I, p. LXXXIV et not. 1.

3) Polybii, Diodori Siculi, Nicolai Damasceni, Dionysii Halicarn., Appiani Alexand., Dionis et Ioannis Antiocheni Excerpta ex Collectaneis Constantini Augusti Porphyrogenetae Henricus Valesius nunc primum Graece edidit, Latine vertit notisque illustravit. Parisiis 1634. — cf. praef. p. 1.

Bekkerus denuo contulerunt codicem, sed transscripserunt, quae Valesius publici iuris fecerat. Grosius denique Francogallus Dionem editurus codicem inspexit et descripsit in editionis praefatione vol. I, p. 53—84. Grosii collationem in usum suum se convertisse dicit Dindorfius in editione Dionis (cf. vol. I, p. 1, not. a); cum autem Dindorfius paulo post[1]) Grosii incuriam et neglegentiam accusavisset, in animum induxeram, denuo codicem conferre, sed recusaverunt decuriones municipii Turonensium, ne librum pretiosissimum Monachium transmitterent; itaque monente Rudolpho Schoell per litteras adii virum doctissimum Carolum de Boor, quem abhinc aliquot annos, cum de excerptis Constantinianis institueret quaestionem, cum alios libros manu scriptos tum Turonensem retractasse non ignorarem. Qui mihi, qua est humanitate et liberalitate, ultro misit schedas, quibus codicis ab editione Valesiana discrepantiam enotaverat; quamobrem me viro humanissimo magnam gratiam debere non possum non profiteri. Ac bonae quidem frugis esse novam collationem nemo negaverit, qui fragmenta illa huius editionis cum Dindorfiana comparaverit.

Codex Turonensis excerptorum de virtutibus et vitiis est unicus cod. Graecus bibliothecae publicae Turonensis, membranaceus, formae maximae, saeculo X extremo, ut videtur, exaratus. Accuratius eum descripsit M. C. Wescher in Dorange, Catalogue des manuscrits de la bibliothèque de Tours, 1875, p. 428—429. (cf. etiam Omont, Catalogue des manuscrits Grecs des départements, 1886, p. 63, cui libro adiecta est tabula photolithographica paginae 288, quae continet initium excerptorum Dionis.) Hodie codex mutilus est: desunt duo folia a fronte, in quibus scriptum erat prooemium totius collectionis a Valesio

1) in Iahni annalibus vol. 101, p. 753. Ceterum, quae Valesius perperam legerat aut prorsus omiserat, accurate adnotavit Gros, id quod ipse expertus sum; quamobrem Dindorfius Grosi collationem leviter inspexisse videtur, cum in eius editione saepe eadem menda atque apud Valesium occurrant.



editum; in fine quoque olim compluribus foliis amplior erat. Verisimile est Libri cum alia tum haec ex bibliotheca Turonensi surripuisse, quamquam nihil potui invenire de hac re in libris, quibus rationes redduntur de furtis Libri[1]). Ceterum Carolus de Boor dissentit ab eis, qui codicem in usum imperatoris ipsius scriptum esse putant.

## EXCERPTA DE SENTENTIIS
(περὶ γνωμῶν).

Haec collectanea servantur codice Vaticano rescripto (cod. Vaticanus Graecus n. 73), nunc Aristidis et Gorgiae Platonici, olim vero Constantiniani de sententiis tituli. Inde primus ediderat excerpta Angelus Maius in Scriptorum veterum novae collectionis vol. II, Romae 1826; quos commiserat errores, codice denue excusso correxit Henricus van Herwerden in Spicilegio Vaticano, Lugd. Batav. 1860[2]). Qui cum multis locis codicis verba accuratius legisset et satis opimam messem in spicilegio fecisset, U. Ph. Boissevain, cum hieme anni 1881/82 Romae degeret, denuo conferendas sibi sumpsit eas codicis partes, quae ad Dionis historias pertinent, se quoque pauca emendatiora lecturum esse sperans. Neque haec spes eum fefellit; nam perscrutatus est tam accurate „carbonem Vaticanum"[3]) tamque diligenter collegit et enotavit varias

1) Delisle, Notices sur les manuscrits disparus de la bibliothèque de Tours pendant la première moitié du XIX siècle, Paris 1883.

Delisle, Notices sur les manuscrits du fonds Libri, Paris 1886.

2) Herwerden, Spicilegium Vaticanum continens novas lectiones in historicorum Graecorum excerpta, quae primus ed. A. Mai, prolatas e cod. Vat. palimpsesto denuo excusso additis commentariis criticis cum in reliquorum tum in Diodori etiam quae alibi exstant excerpta, Lugd. Batav. 1860.

3) Ob fuscum colorem, quem ex chemicis adiumentis Maii sensim duxerat, ioci causa il carbonaccio sive carbonem hunc librum Vaticanae bibliothecae praefecti vocare solebant et solent. Herwerden, p. XII; Boissevain, p. 25, not. 1.

lectiones, ut vix quemquam plus addere posse mihi quidem persuasum sit. Quae invenerat publici iuris fecit in programmate gymnasii Erasmiani Rotterodami 1884/85: De excerptis Planudeis et Constantinianis ab Angelo Maio editis, quae vulgo Cassio Dioni attribuuntur. III. Collatio codicis Vaticani LXXIII (p. 25—40). Quas novas lectiones me quoque diligentissime respexisse et in usum meum convertisse consentaneum est.

Sed aliud interea quaesiverunt viri docti, utrum omnia de sententiis excerpta ad Dionem ipsum referenda essent necne. Duplex enim est horum fragmentorum ratio. Altera pars usque ad fragm. 77 Mai (fr. 57, 26 Dind.), quod est de pugna Cannensi, fluxit e Dione, altera vero ex ea ipsa causa e Dione descripta esse non potest, quod non desinit in historia Severi Alexandri, sed aetatem imperatoriam usque ad Constantinum Magnum amplectitur[1]. Sed ea quoque fragmenta, quae quis ad Dionem rettulerit, et argumento et elocutione minime congruunt cum genuina rerum scriptoris narratione. Ante Carolum Muellerum viri docti ita rem expedire sibi visi sunt, ut statuerent priorem alterius partis seriem usque ad Valerianum imperatorem e Dione ipso fluxisse, alteram usque ad Constantinum Magnum aliunde petitam postea agglutinatam esse. Quare finxerunt Anonymum, qui historias Dionis continuavisset. At Muellerus primus vidit, omnia posterioris partis fragmenta ad unum eundemque scriptorem referenda esse (Fragm. Hist. Gr. IV, p. 192). Qui quis fuerit, adhuc ambigitur. Joannem Antiochenum fuisse putat Th. Mommsenus[2], recte dissentit Boissevain, qui Petrum Patricium eclogarium illum cum Niebuhrio

1) Inter utramque partem (fr. 77 et fr. 78 Mai, Dind. vol. V, p. 181, quod Labienum a Bruto et Cassio auxilii petendi causa ad Persas missum apud eos remansisse narrat) lacunam sex paginarum statuit Maius, aliquanto maiorem eam fuisse arbitratur Boissevain, p. 21.

2) Über die dem Cassius Dio beigelegten Teile der Planudischen und der Constantinischen Excerpte, Hermes VI, p. 89—91.



detexisse sibi videtur. Sed ne huius quidem sententiam stare posse causis satis gravibus nuper demonstravit Georgios Sotiriadis[1], qui cum C. Muellero haec fragmenta ex eodem auctore descripta esse censet, ex quo fragmenta Salmasiana, quae adhuc circumferebantur in fragmentis Ioannis Antiocheni. Sed missam faciamus quaestionem de auctore huc minus pertinentem; hic enim agitur, utrum fragmenta illa aliquid valeant ad Dionis historias augendas necne. Et hac quidem in re facere non possum, quin adstipuler Boissevaini sententiae p. 24 sic iudicantis: „insignis est usus horum fragmentorum ad Dionis historiam supplendam; nam etsi eius verba saepissime immutata sunt, res ipsae plerumque recte enarrantur. Sic historia Tiberii, mutilo codice Veneto inter librum 57, 17 et 58, 7 lacunosa, duobus locis (Dind. V, 182, 21 sqq. et 183, 11 sqq.) augetur; Xiphilinum autem passim ex his excerptis explere licet; itaque ei, qui novum Xiphilini editionem parabit, harum quoque eclogarum ratio erit habenda". Quamobrem, quae aetatem imperatoriam usque ad Elagabali mortem comprehendunt, suo loco retractabo, quae ultra historiam Dionis procedunt ut minime huc pertinentia omittam.

## EXCERPTA DE LEGATIONIBUS
(*περὶ πρεσβειῶν*).

Fragmenta tituli Constantiniani *περὶ πρεσβειῶν* primus edidit Fulvius Ursinus Antverpiae 1582[2], sed ita, ut de libro manu scripto, unde duxisset, parum perspicue

1) Zur Kritik des Johannes von Antiochia, Leipzig 1887, p. 35.

2) *Ἐκ τῶν Πολυβίου τοῦ Μεγαλοπολίτου ἐκλογαι περὶ πρεσβειῶν*. Ex libris Polybii Megalopolitani selecta de legationibus et alia quae sequenti pagina indicantur, nunc primum in lucem edita ex bibliotheca Fulvii Ursini, Antverpiae 1582. — Legitur in sequenti pagina: Fragmenta ex historiis quae non exstant: Dionysii Halicarnassei — Diodori Siculi — Appiani Alexandrini — Dionis Cassii Nicaei de legationibus — Dionis ll. 79 et 80 imperfectus. Emendationes in Polybium.

loqueretur. Accuratius de codicibus disseruit Ernestus Schulze in dissertatione Bonnensi 1866[1]), quem nuper in nonnullis rebus correxit Carolus Graux[2]). Omnium enim, qui hodie exstant, codicum huius tituli archetypus fuit olim in bibliotheca Ioannis Paezii, viri docti Hispani (Iuan Paez de Castro), qui mortuus est anno 1570. Unde librum pretiosissimum emerit vel acceperit, non traditur. Post mortem Paezii cum ceteri eius libri iussu Philippi II, regis Hispaniae in bibliothecam Escorialensem translati sunt, tum codex ille de legationibus. Exstant duae epistolae Antonii Augustini, archiepiscopi Tarraconensis ad Hieronymum Zuritam datae, quarum altera non multo ante Paezii mortem (fortasse a. 1566) concepta scribit se per litteras adisse Paezium, ut sibi mitteret apographum orationum Graecarum auctorum nondum editorum, altera post mortem viri docti (a. 1570 vel 1571) scripta quaerit, utrum libri eius in bibliothecam S. Laurentii translati sint necne. Deinde cum Andream Darmarium, quem episcopus optimarum litterarum amantissimus illo tempore apud se habebat librarium Graecum, Matritum, ubi Philippo regi libros suos erat oblaturus, mitteret, ut inde et ipse libros nonnullos descriptos acciperet, eum Zuritae vehementer commendabat. Darmarium vero, qui mense Septembri anni 1573 ad Zuritam pervenerat, ab hoc bene acceptum gaudens se suspenso animo exspectare, quid tandem e bibliotheca Escorialensi protracturus sit, dicit in litteris ad Zuritam datis additque Darmarium, si librorum illic repositorum typis tradendorum consilium ceperit rex, optimum fore adiutorem. Eiusdem anni mense Octobri, cum audisset Augustinus regem non intercedere, quominus ei libri, quos cupiebat, transscriberentur, Zuritam amicum, ut illos libros quam celerrime describendos curet, exhortatur, nominat vero in libris, quos maxime

1) E. Schulze, de excerptis Constantinianis quaestiones criticae, Bonnae 1866.
2) Essai sur les origines du fonds grec de l'escurial, Paris 1880 (p. 93—97).



expetit, ipsum illum codicem de legationibus. Apographum accepit a Darmario anno 1574; a. d. VI Kal. Octobr. eiusdem anni Antonius Augustinus Fulvium Ursinum per litteras certiorem fecit, certo quodam Hispaniae loco inventa esse fragmenta historicorum Graecorum, quorum antiquissimus esset Polybius (cf. Antoni Augustini archiepiscopi Tarraconensis opera omnia. Lucae 1772, vol. VII, p. 256). Sed et archetypus ille et hoc apographum Augustini, cuius libri item in bibliothecam regiam translati sunt, incendio, quo anno 1671 magna pars bibliothecae Escorialensis absumebatur, interierunt[1]). Iam apparet ad hunc librum Escorialensem referendos esse omnes qui hodie exstant codices item Darmari opera transscripti. Quot mihi innotuerunt, sunt hi:

Duo Monacenses: cod. Monacensis Graecus 185, chartaceus, saec. XVI, in quarto, constans foliis 435, ab Andrea Darmario exaratus, continet legationes a Romanis ad gentes missas; cod. Monacensis Graecus 267, chartaceus, saec. XVI in octavo, constans foliis 444, item ab Andrea Darmario confectus, continet legationes a Romanis ad gentes missas. Quos codices ego denuo contuli.

Duo Bruxellenses (sunt libri Schottani[2]), qui diu interisse putabantur): cod. Bruxellensis 11301—16 (Excerpta de legationibus Romanorum ad gentes) et cod. Bruxellensis 11317—21 (Excerpta de legationibus gentium ad Romanos), chartacei, saec. XVI, hic certe ab Andrea Darmario scriptus, de illo ambigitur. Contulit vir doctissimus Carolus de Boor, qui, quae de excerptis Dionis enotaverat, liberalissime mecum communicavit.

1) Cf. Bibliotheca manuscripta Graeca Antonii Augustini (Tarracone 1586) Nr. 142. 143. 144: Ioannis Constantinopolitani de legationibus gentium ad Romanos selecta ex historiis Petri Patricii et Magistri etc. Volumina tria descripta, ut dicitur in extremo libro, ex bibliotheca regia sancti Laurentii, in charta forma quadrati.
2) Legitur in prima pagina utriusque codicis: Andreae Schotti Antverpiani περὶ πρέσβεων, de legationibus Romanorum ad exteras gentes et exterarum gentium ad Romanos vol. III.

Tres Escorialenses: codex Escorialensis R—III—13, (*περὶ πρέσβεων Ῥωμαίων πρὸς ἐθνικούς*) et R—III—14 (*περὶ πρέσβεων ἐθνῶν πρὸς Ῥωμαίους*) chartacei, in quarto, saec. XVI, a Darmario scripti. Deinde cod. Escorialensis R—III—21, item chartaceus, in quarto, a Darmario exaratus saec. XVI (*περὶ πρέσβεων Ῥωμαίων πρὸς ἐθνικοὺς τόμος β΄*); volumen prius huius partis periit.

cod. Neapolitanus III—C—42, chartaceus, saec. XVI, in quo insunt notae marginales ab Ursino adscriptae, legationes a gentibus Romam missas e Polybio, Diodoro, Dione, Arriano, Appiano excerptas complectitur. — cod. Vaticanus 1418 ex libris Ursini, chart., saec. XVI, qui legationes Romanorum continet. In his duobus libris omnia insunt excerpta, quae Ursinus publici iuris fecit.

cod. Ambrosianus, N, 135 sup. chartaceus, forma quadrata min., foliorum scriptorum 710, saec. XVI; in titulo haec leguntur: „De legationibus gentium ad Romanos. Codex ab Andrea Darmario Epidaurio descriptus ex vetusto, qui in bibliotheca regia Sancti Laurentii Scurialii asservatur.“ Subscriptio[1]): *ὑπὸ ἀνδρέου δαρμαρίου τοῦ ἐπιδαυρίου υἱοῦ γεωργίου· εἴληφε σὺν θεῷ τέλος. ἐν τῷ ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ σω̄ ἡμῶν ιο̄υ χο̄υ ͵αφοδ αὐγο̄υ. κᾱ. ἐν τῇ μονῇ τοῦ ἁγίου λαυρεντίου τοῦ σκυριαλίου ὑπὸ τῆς βασιλικῆς βιβλιοθήκης βασιλέως Ἱσπανῶν αὐτοκράτορος κυρίου Φιλίππου.* (Cf. Mendelssohn, Appian., praef. p. XVII, not.)

## DE EXCERPTIS PLANUDEIS.

Maximus Planudes, monachus Constantinopolitanus, qui florebat initio saeculi XV, ex variis scriptoribus Graecis florilegium composuit, quod quattuor codicibus nobis servatum est: Vaticano Palatino 141, Vaticano Graeco 951 (quos adhibuerunt Maius, Boissevain), Parisino 1409 (quem ego contuli), Laurentiano 30, plut. 59 (quem invenit Aeneas Piccolomini, cf. Rivista di filologia, II,

1) Cf. Nissen, Mus. Rhenan. (1867), n. s. vol. 22, p. 627.



p. 150 sqq.). Inscribitur autem hoc florilegium: *συναγωγὴ συλλεγεῖσα ἀπὸ διαφόρων βιβλίων παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ τιμιωτάτου ἐν μοναχοῖς κυρίου Μαξίμου τοῦ Πλανούδη πάνυ ὠφέλιμος.* Inde Angelus Maius, quae ei Cassii Dionis fragmenta esse videbantur, huius auctoris nomine inscripta edidit in Scriptorum Veterum nova collectione II, p. 527—555. Ad tempora liberae reipublicae usque ad Luculli in Armeniam expeditionem pertinent fragmenta 43 priora; quae sequuntur fragmenta 286 comprehendunt ultimum tempus liberae reipublicae et aetatem imperatoriam usque ad Gratianum. Priora illa fragmenta 43 editores (Sturzius, Bekkerus, Dindorfius) Mai sententiam amplexi ceteris Dionis fragmentis inseruerunt. Ac primus quidem Mommsenus[1]) ea prorsus Dioni abiudicavit; eum secuti sunt H. Hauptius[2]) et U. Ph. Boissevain[3]). Utrum Ioanni Antiocheno attribuenda et fragmentis eius inserenda sint (quod quidem Mommsenus existimaverat) necne, huc minus pertinet[4]); certe non sunt Dionis; itaque in hac editione Dionis omittentur. Sunt autem haec:

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Mai | fr. | 1 = | Dind. | fr. | 5, 2 |
| „ | „ | 2 = | „ | „ | 11, 8 |
| „ | „ | 3 = | „ | „ | 11, 9 |
| „ | „ | 4 = | „ | „ | 13, 1 |
| „ | „ | 5 = | „ | „ | 17, 13 |
| „ | „ | 6 = | „ | „ | 18, 1 |
| „ | „ | 7 = | „ | „ | 20, 2 |
| „ | „ | 8 = | „ | „ | 25, 8 |
| „ | „ | 10 = | „ | „ | 25, 9 |

1) Über die dem Cassius Dio beigelegten Teile der Planudischen und Constantinischen Excerpte, Hermes VI, p. 82—89.

2) Über die Herkunft der dem Dio Cassius beigelegten Planudischen Excerpte (Hermes XIV, p. 36—64, pauca quaedam addidit in Hermae vol. XV, p. 160).

3) De excerptis Planudeis et Constantinianis ab Angelo Maio editis, quae vulgo Cassio Dioni attribuuntur. Progr. gymn. Erasmiani, Rotterodam. 1884.

4) Cf. Georgios Sotiriadis, Zur Kritik des Johannes von Antiochia, Leipzig 1887.

| | | | | |
|---|---|---|---|---|
| Mai fr. | 11 | = | Dind. fr. | 27 |
| „ „ | 12 | = | „ „ | 31 |
| „ „ | 14 | cf. | „ „ | 30 |
| „ „ | 18 | = | „ „ | 34 |
| „ „ | 20 | = | „ „ | 35, 6 |
| „ „ | 21 | = | „ „ | 35, 3 |
| „ „ | 22 | = | „ „ | 36, 9 |
| „ „ | 26 | = | „ „ | 39, 2a |
| „ „ | 27 | = | „ „ | 39, 2b |
| „ „ | 33 | = | „ „ | 40, 17 |
| „ „ | 34 | = | „ „ | 40, 20 |
| „ „ | 35 | = | „ „ | 40, 41 |
| „ „ | 37 | = | „ „ | 40, 44 |
| „ „ | 40 | = | „ „ | 43, 24 |
| „ „ | 42 | = | „ „ | 71 |
| „ „ | 43 | = | „ „ | 43, 28 sq. |
| „ „ | 44 | = | „ „ | 44 |
| „ „ | 54 | = | „ „ | 57, 27 |
| „ „ | 55 | | iam a Dindorfio omissum | |
| „ „ | 56 | = | Dind. fr. | 57, 37 |
| „ „ | 57 | = | „ „ | 57, 41 |
| „ „ | 58 | = | „ „ | 57, 44 |
| „ „ | 59 | = | „ „ | 66, 5 |
| „ „ | 60 | = | „ „ | 66, 6 |
| „ „ | 61 | = | „ „ | 70, 1 |
| „ „ | 64 | = | „ „ | 80 |
| „ „ | 66 | = | „ „ | 86. |

Quae apud Maium sequuntur septem excerpta ad Sullae aetatem pertinentia, ad verbum saepe cum Plutarcho in vita Sullae convenire iam Dindorf. in praef. vol. V, p. VII recte adnotavit, etsi Planudem ea ex Plutarcho ipso descripsisse verisimile non est (cf. H. Haupt, Hermes XIV, p. 40 sqq., qui ex Ioanne Antiocheno ea fluxisse putat). Sunt haec:

| | | | | |
|---|---|---|---|---|
| Mai fr. | 67 | = | Dind. I, p. 143 in adnotatione | |
| „ „ | 68 | = | „ | fr. 103, 1 |



| | | | | |
|---|---|---|---|---|
| Mai fr. | 69 | = | Dind. I, p. 146 in adnotatione | |
| „ „ | 70 | = | „ „ „ „ | |
| „ „ | 71 | = | „ „ „ „ | |
| „ „ | 72 | = | „ „ „ „ | |
| „ „ | 73 | = | „ | fr. 106, 2. |

Itaque haec quoque excerpta e Dionis fragmentis eiecta sunt. Reliqua 279, septendecim tantum fragmentis exceptis, quae aliunde fluxerunt (cf. Boissevain, l. l. p. 15, Sotiriadis l. l., p. 52), ex Xiphilino ad verbum fere descripta et ipsa prorsus abicienda sunt; nam ne ad Xiphilini quidem textum emendandum, id quod Hauptius putaverat (cf. Hermes, XIV, p. 46. 54), ea quidquam valere et Boissevain ex codice Planudeo Vatican. Pal. 141 intellexit et ego vidi codice Parisino 1409 collato[1]). Ceterum ne Maius quidem ea excerpta imprimenda curaverat, quae e Xiphilini epitoma sumpta esse apparebat; septendecim autem illa, quae aliunde fluxisse supra diximus, quippe quibus Dionis reliquiae augerentur, edidit p. 553 sqq.; huc accedunt pauca (fr. 82. 89. 90), quae iam apud Xiphilinum occurrere fugerat Maium

| | | | | |
|---|---|---|---|---|
| Mai fr. | 79 | = | Dind. vol. V, | p. 234, 1 |
| „ „ | 80 | = | „ „ | p. 234, 16 |
| „ „ | 81 | = | „ „ | p. 236, 1 |
| „ „ | 82 | = | „ „ | p. 236, 4 (e Xiphil. 58, 2, 4) |
| „ „ | 83 | = | „ „ | p. 236, 8 |
| „ „ | 84—88 | = | „ „ | p. 236, 14—26 |
| „ „ | 89 | = | „ „ | p. 236, 27 (= Dio 71, 3, 3) |
| „ „ | 90 | = | „ „ | p. 236, 29 (e Xiphil. 77, 10, 3). |

Mai fr. 265—268, 275 iam Dindorfius omiserat; recepit autem in editionem suam tria ultima excerpta Planudea,

1) J. Melber, Zu den angeblich aus Dio Cassius stammenden planudischen Excerpten. Blätter f. d. bayr. Gymn. XXIII, p. 99 sqq.

ad Maximianum, Constantinum Chlorum, Gratianum pertinentia (vol. V, p. 233: Post Dionem excerpta tria ex anonymo historico = Mai fr. 327. 328. 329). Haec omnia abicienda sunt. Unde fluxerint, parum liquet, cf. Sotiriadis l. l. p. 52.

---

Fragmenta Dionis magis etiam quam libros integros interpolata esse iam conquestus erat Dindorfius[1]). Deinde cum Mommsenus et Hauptius excerpta Planudea Dioni abiudicassent, Hauptius[2]) et nova quaedam fragmenta attulit et spuria nonnulla eiecit. Nuper Aug. Nauck (analecta critica, Hermes, 24 (1889), p. 460) fragmenta 110, 4; 12; 13; 15; 17; 19 non Dionis esse demonstravit[3]).

Cum priores editores fragmenta ex singulis titulis excerptorum sumpta ita conseruissent, ut primum locum tenerent fragmenta Dionis ex variis auctoribus collecta ab Henrico Valesio (post excerpta Peiresc. p. 770—775), sequerentur deinceps fragmenta Peiresciana de virtutibus et vitiis et fragmenta Ursiniana de legationibus[4]), Grosius, editor Francogallus, primus omnia fragmenta temporum ordine disponere conatus est, quem secuti sunt Bekkerus et Dindorfius. Ut autem omnia suo loco legerentur, multum aberat, id quod cum alii tum Hauptius et Boissevain saepius monuerunt. Itaque cum ad hanc partem Dionis historiarum recognoscendam accederem, id inprimis egi, ut certum ordinem restituerem, quod mihi nonnullis locis contigisse spero. De causis, quibus adductus priorem ordinem mutavi, alio loco copiosius disserui[5]). Quo in studio

1) Über einige Interpolationen im Dio Cassius, Iahni annal. vol. 101 (1870) p. 750 sqq.

2) H. Haupt, Neue Beiträge zu den Fragmenten des Dio Cassius, Hermes XIV, p. 431—446.

3) de fr. 110, 12 et 19 hoc iam viderat Dindorfius (vol. I, p. 110, a), de fr. 110, 13 et 15 Boissevain Mnemosyne 13, p. 316, n. 1.

4) Excerpta de sententiis et exc. Planudea 1826 demum ab A. Maio edita vol. IX editionis Sturzii continentur.

5) J. Melber, Beiträge zur Neuordnung der Fragmente des



cum optime adiutus essem Zonarae epitoma historiarum, quem in rebus liberae reipublicae Romanae non minus quam aetatis imperatoriae tradendis Dionis historias interdum ad verbum descripsisse iam pridem constat[1]), mihi venit in mentem, nonne eodem iure, quo Xiphilini epitome plerumque minus accurata in Dionis editionibus circumfertur, Zonarae quoque excerpta digna essent, quae una cum fragmentis ederentur. Ac profecto ex Dindorfi praefatione ad Zonar. vol. I, p. 3 apparet, eum ipsum postea doluisse, quod pauca tantum ex hoc epitomatore Dionis inseruisset aut superstitibus libris aut perditorum fragmentis. Quod equidem omittere nolui. Ita autem rem instituì, ut infra fragmenta ipsa singulae partes epitomae huc pertinentes minoribus litteris impressae legantur; quae verbo tenus cum fragmentis congruunt, diductis litteris imprimenda curavi id potissimum agens, ut luculenter appareat, quam presse Zonaras Dionis vestigia secutus sit. Itaque et numeros fragmentorum in margine epitomae adposui et in fine fragmentorum Zonarae locos (secundum editionem Dindorfianam) adnotavi. Ut autem haec excerpta Zonarae quam maxime potui correcta redderem, optimum codicem Zonarae[2]) Parisiis mihi Monachium trans-

---

Dio Cassius, Sitzungsberichte d. bayr. Akad. d. Wissenschaften 1889, p. 93—118. Pauca addidi in Blätter f. d. bayr. Gymn. XXVI, p. 317 sq.

1) W. A. Schmidt, Über die Quellen des Zonaras (in Dindorfi editione Zonarae, vol. VI, p. XXV—XLIX). — Diversam sententiam nuper protulit Th. Hultsch, Zu Cassius Dion, in Iahni annal. vol. 141 (1890), p. 290 sqq., qui Zonarae temporibus prioris partis historiae Dioneae (ab Aeneae in Italiam adventu usque ad Carthaginem Corinthumque deletas) pristinam et genuinam formam non iam exstitisse, sed illa aetate hanc partem ab historia rerum aetatis imperatoriae avulsam iam in brevius contractam fuisse arbitratur. Quo ex breviario praeter Zonarae epitomam et excerptorum et locorum, qui apud grammaticos rerumque scriptores Byzantinos laudantur, partem fluxisse putat Hultsch. Quam sententiam stare non posse alio loco probabo.

2) Est codex Parisinus, n. 1715, bombycinus, foliorum

missum post Dindorfium denuo contuli, quo factum est, ut pauca quaedam a Dindorfi editione differant.

Restat, ut comparando numeros fragmentorum omnibus proponam, quomodo haec editio a Dindorfiana discrepet.

| ed. Dind. | huius ed. | ed. Dind. | huius ed. |
|---|---|---|---|
| fr. 1, 1—3 | fr. 1, 1—3 | fr. 6, 1a—3 | fr. 5, 1—4 |
| 2, 1. 2 | 2, 1. 2 | † | 5, 5 |
| 2, 3 | 56, 22 | 6, 4—7b | 5, 6—10 |
| 2, 4 | 2, 3 | † | 5, 11 |
| 2, 5 | 44, 1 | 7, 1—5 | 6, 1—5 |
| 3 | *[1] | 8, 1. 2 | 7, 1. 2 |
| 4, 1 | * | 9, 1—4 | 8, 1—4 |
| 4, 2—15 | 3, 2—14 | 10 | 9 |
| †[2] | 3, 15 | 11, 1—7 | 10, 1—7 |
| † | 3, 16 | † | 10, 8 |
| † | 3, 17 | 11, 8 | * |
| 5, 1 | 4, 1 | 11, 9 | * |
| 5, 2 | * | 11, 10—20 | 10, 9—19 |
| 5, 3 | 4, 2 | 12, 1—11 | 11, 1—12 |
| † | 4, 3 | 13, 1 | * |
| † | 4, 4 | 13, 2 | 12, 1 |
| 5, 4 | 4, 5 | † | 12, 2 |
| 5, 5—7 | 4, 6—8 | 13, 3. 4 | 13, 1. 2 |
| 5, 8. 9 | 4, 9. 10 | 14 | 14, 4 |
| † | 4, 11 | † | 14, 1 |
| † | 4, 12 | 15, 1 | 14, 2 |
| 5, 10 | 4, 13 | † | 14, 3 |
| 5, 11—13 | 4, 14—16 | † | 14, 5 |

formae maximae 474, secundum subscriptionem anno 1289 exaratus; optimum eum omnium esse et antiquissimum cum Dindorfius iam pridem intellexit, tum Buettner-Wobst se etiam accuratius demonstraturum esse nuper professus est in Iahni annal. 1889, p. 145.

1) fragmenta asterisco notata desunt in hac editione ut spuria.

2) fragmenta, quibus crux adponitur, desunt in ed. Dindorfiana.



| ed. Dind. | huius ed. | ed. Dind. | huius ed. |
|---|---|---|---|
| fr. † | fr. 14, 6 | fr. 33 | fr. 30 |
| 15, 2 | 14, 7 | † | 31 |
| 15, 3 | 14, 3 in fine | 34 | * |
| 16 | 15 | 35, 1. 2 | 32, 1. 2 |
| 17, 1—12 | 16, 1—12 | 35, 3 | * |
| 17, 13 | * | 35, 4 | 32, 6 |
| 17, 14. 15 | 16, 13. 14 | 35, 5 | 32, 3 |
| 18, 1 | * | 35, 6 | * |
| 18, 2—12 | 17, 1—11 | 35, 7. 8 | 32, 4. 5 |
| † | 17, 12 | 35, 9—11 | 32, 7—9 |
| † | 17, 13 | 36, 1—8 | 33, 1—8 |
| 19 | 18 | 36, 9 | * |
| 20, 1 | 19, 1 | 36, 10—31 | 33, 9—31 |
| 20, 2 | * | 36, 32 pars prior | 33, 32 |
| 20, 3. 4 | 19, 2. 3 | 36, 32 pars posterior | 35 |
| 21, 1—3 | 20, 1—3 | 37, 1 pars prior | 36 |
| 22, 1—3 | 21, 1—3 | 37, 1 pars posterior | 37, 1. 2 |
| 23, 1—5 | 22, 1—5 | 38, 1. 2 | 38, 1. 2 |
| 24, 1—6 | 23, 3—8 | 39, 1 | 39, 1 |
| 24, 7 | 23, 1 | 39, 2 | * |
| † | 23, 2 | 39, 3—10 | 39, 2—9 |
| 25, 1—4 | 24, 1—4 | 40, 1. 2 | 34, 1. 2 |
| † | 24, 5 | 40, 3—16 | 40, 1—14 |
| 25, 5—7 | 24, 6—8 | 40, 17 | * |
| 25, 8 | * | 40, 18. 19 | 40, 15. 16 |
| † | 24, 9 | 40, 20 | * |
| 25, 9 | * | 40, 21—40 | 40, 17—36 |
| 26, 1—3 | 25, 1—3 | 40, 41 | * |
| † | 25, 4 | 40, 42. 43 | 40, 37. 38 |
| 27 | * | 40, 44 | * |
| 28, 1—3 | 26, 1—3 | 40, 45. 46 | 40, 39. 40 |
| 29, 1—5 | 27, 1—5 | 40, 47 | 40, 42 |
| 30, 1—4 | 28, 1—4 | | |
| 31 | * | | |
| 32 | 29 | | |

| ed. Dind. | huius ed. | ed. Dind. | huius ed. |
|---|---|---|---|
| fr. 40, 48 | fr. 40, 41 | fr. 56, 2 | fr. 53 |
| 41 | 41 | 57, 1—7 | 56, 1—8 |
| 42 | 42 | 57, 8—10 | 56, 9—11 |
| 43, 1—18 | 43, 1—18 | 57, 11. 12 | 56, 13. 14 |
| 43, 19. 20 | 43, 20. 21 | 57, 13 | * |
| 43, 20b | 43, 23 | 57, 14 | 56, 12 |
| 43, 21 | 43, 22 | 57, 15—21 | 56, 15—21 |
| 43, 22. 23 | 43, 24. 25 | † | 56, 23 |
| 43, 24 | * | 57, 22—26 | 56, 24—28 |
| 43, 25 | 43, 33 | † | 56, 29 |
| 43, 26. 27 | 43, 27. 28 | 57, 27 | * |
| 43, 28. 29 | * | 57, 28—35 | 56, 30—37 |
| 43, 29b | 43, 26 | † | 56, 39 |
| 43, 29c | 43, 34 | † | 56, 40 |
| 43, 30 | 43, 29 | 57, 36 | 56, 42 |
| 43, 31 | 43, 30 | 57, 37 | * |
| 43, 32 | 43, 31 | 57, 38—40 | 56, 43—45 |
| 43, 32a | 43, 19 | 57, 41 | * |
| 43, 32b, c, d | 43, 35—37 | 57, 42. 43 | 56, 46. 47 |
| 43, 33 | 43, 32 | 57, 44 | 56, 49[1]) |
| 44 | * | 57, 45 | 56, 38 pars prior |
| 45 | 44, 2 | † | 56, 38 pars posterior |
| 46, 1. 2 | 45, 1. 2 | 57, 46 | 56, 41 |
| 47 | 48 | 57, 47 | 56, 50 |
| 48 | 46 | 57, 48 | 56, 48 |
| 49, 1—7 | 47, 1—7 | 57, 49—51 | 56, 52—54 |
| 50, 1—4 | 49, 1—4 | 57, 52 | 56, 63 |
| 51 | 50 | 57, 53—60 | 56, 55—62 |
| 52, 1. 2 | 52, 1. 2 | 57, 61—75 | 56, 64—78 |
| 53 | 51 | 57, 76 | 57, 1 |
| 54, 1—11 | 52, 3—13 | 57, 77—80c | 56, 79—84 |
| 55, 1—10 | 54, 1—10 | | |
| 56, 1 | 55 | | |

1) Serius vidi me hoc fragmentum perperam fragmentis Dionis iterum inseruisse (= Eutrop. 3, 17); ergo delendum est.



| ed. Dind. | huius ed. | ed. Dind. | huius ed. |
|---|---|---|---|
| fr. 57, 81 | fr. 57, 9 | fr. 79, 1—3 | 79, 1—3 |
| 57, 82 | 56, 85 | 80 | * |
| 57, 83—86 | 56, 87—90 | 81—85 | 80—84 |
| † | 57, 2 | 86 | * |
| 58, 1—6 | 57, 3—8 | 87—102 | 85—100 |
| 59 | 56, 86 | 103, 1. 2 | * |
| 60 | 58 | 104, 1—7 | 101, 1—7 |
| 61 | 63 | 105, 1—4 | * |
| 62, 1. 2 | 59, 1. 2 | 106—109 | 102—105 |
| 63—65 | 60—62 | † | 106 |
| † | 64 | 110, 1—3 | 107, 1—3 |
| 66, 1—4 | 65, 1—4 | 110, 4. 5 | * * |
| 66, 5. 6 | * * | 110, 6—9 | 107, 4—7 |
| 67, 1. 2 | 66, 1. 2 | 110, 10 | * |
| 68, 1—3 | 67, 1—3 | 110, 11 | 107, 8 |
| 69 | 68 | 110, 12. 13 | * |
| 70, 1 | * | 110, 14 | 107, 9 |
| 70, 2. 3 | 71, 2. 3 | 110, 15 | * |
| 70, 4—9 | 69, 1—6 | 110, 16 | 107, 10 |
| 71, 1 | * | 110, 17 | * |
| 71, 2 | 70 | 110, 18 | 107, 11 |
| 72, 1. 2 | 72, 1. 2 | 110, 19 | * |
| 73. 74 | 73. 74 | 110, 20, 21 | 107, 12. 13 |
| 75 | 78 | 111, 1—3 | 108, 1—3 |
| 76—78 | 75—77 | | |

## DE CODICIBUS, QUIBUS INTEGRI DIONIS LIBRI NOBIS SERVANTUR.

Ut hic omittam vetustissimum codicem Dionis, Vaticanum 1288, libros 78 et 79 continentem, de quo melius in praefatione vol. IV huius editionis disseretur, secundum inter Dionis codices locum obtinet cod. Mediceus n.º 8,

plutei 70 (Ma)[1]), membranaceus, formae quadratae, foliorum 244, saeculi fere undecimi, litteris minusculis clare et perspicue perscriptus; compendiis scripturae raro usus est librarius. Ab initio et in fine mutilus hodie incipit a verbis *φείδεται. δυναστείας τε ἐρῶν* (l. 36, 1, 1 priorum editionum), desinit medio in vocabulo *ἥ τε οὖν ἡλικία παρ' ἀμφο* (l. 50, 6, 2). Fol. 1 haec continet: *φείδεται. δυναστείας τε ἐρῶν — προαφείλετο αὐτούς* c. 2, 3; fol. 1′: *ὡς καὶ ἑαυτῷ κατὰ τὴν ὁμολογίαν ἀλλ' οὐκ ἐκείνῳ | προσχωρήσαντας· λέξω δὲ ἤδη καὶ τὸ κατὰ τοῦτον | κ. τ. λ.* Statim igitur ne novo quidem versu distincta ultimum vocabulum capitis 2 *προσχωρήσαντας* sequuntur verba cap. 20 *λέξω δὲ ἤδη κ. τ. λ.* Capitibus 3—19 (= 35, 1—17 in editionibus vetustioribus) caret. Quae tamen olim codici non defuisse demonstratur littera *γ*, qua notatus est qui nunc primus est quaternio. Duobus igitur quaternionibus olim auctior fuit. Sed praeterea quoque damnum foliorum aliquot et quaternionum passus est. Abscissum est ex hoc primo, olim tertio quaternione folium inter f. 6 et 7 (lacuna est inter c. 36 et 37); quod ei coniunctum fuit fol. 2, tertio foliorum pari 3 + 6 conglutinatum est:

1 + 8 (hodie 7)
2 + 7 (periit)
3 + 6
4 + 5.

Quaternioni tertio (*ε′*) duo folia desunt, primum et ultimum, illud inter folia codicis, ut hodie numerantur, 15′ et 16 (l. 37 inter c. 7 *καίτοι παιδὸς αὐτῆς παρὰ* et c. 8 *τοῦτο μόνον κ. τ. λ.*), hoc inter fol. 21′ et 22 (ibidem c. 29 inter §. 3 *τὸν Κατιλίναν* et §. 4 *καὶ οὐκ ἐτόλμησε κ. τ. λ.*). Quae postquam perierunt, quaternio factus est ternio:

1 + 8 perierunt
2 + 7
3 + 6
4 + 5.

1) Boissevain, de Cassii Dionis libris manu scriptis, p. 321 sq., quem in describendo codice secutus sum.



Quaternioni 29 (*λά*) primum folium abscissum est inter f. 222′ et 223. Continebat ea, quae l. 48, c. 41, 7—44, 3 a verbis *ἐγένετο μὲν καὶ* usque ad *μετὰ τοῦ Καίσαρος* leguntur in Veneto. Ultimo denique quaternioni (*λγ′*) quintum folium deest inter f. 241′ et 242. Desideratur igitur *ἢ ἵνα τοὺς Ἀρμενίους* usque ad *φιλοτιμούμενοι* 49, 39, 5—42, 3.

Quanto auctior olim fuerit in fine Mediceus codex, apparebit ex descriptione codicis Vaticani A.

Singulis libris hic titulus praefixus est: *τάδε ἔνεστιν ἐν τῷ λ̅ξ̅ (λ̅η̅ sqq.) τῶν Δίωνος ῥωμαικῶν*, qui in solo libro 47 (ut in Veneto A quoque) hunc in modum mutatus est: *τάδε ἔνεστιν ἐν τῇ Δίωνος ῥωμαικῶν μ̅ξ̅.*

E Mediceo codice descriptus est, id quod Boissevain p. 323 sq. probavit,

codex Vaticanus 144 (A), chartaceus, formae quadratae, foliorum 282, anno 1439 perscriptus, ut ex subscriptione apparet; integer servatus est, ut ex quaternionum numeris efficitur: in fronte legitur (manu recentiore additum): *πίναξ δίωνος ῥωμαικῶν ἱστοριῶν βιβλία ἐννεακαίδεκα ἀπὸ τοῦ λϛου*[λε] *μέχρι τοῦ νδ, ὧν ὁ λϛ′ καὶ ὁ λζ′ καὶ ὁ νδ′ ἐν μέσῳ ἐλλειπεῖς.*

*βιβλίον λ̅ϛ̅ον ἄναρχον.*

*βιβλίον λ̅ζ̅ον ἡ ἀρ. τῷ δ' ἐπιγιγνομένῳ ἔτει κ. τ. λ.*

Libros igitur Dionis continet 36—54. Incipit ita: f. 1 vs. 1 — f. 4 vs. 11: *καὶ ὅτι ἰσχυρᾷ τῇ τύχῃ — ὀλίγου διεφθάρη* l. 36, 3—19 (= 35, 1—17 in editionibus vetustioribus). Sequitur f. 4 vs. 12 (novo versu) *δυναστείας τε ἐρῶν* et reliqua prorsus eodem modo, quo in Mediceo A (Ma) leguntur, l. 36, 1. 2; 20 sqq.

Hunc codicem e Mediceo (Ma) descriptum esse ex eo apparet, quod primum, quaecunque folio abscisso perierunt in illo, eadem et ipse omittit vel spatio vacuo relicto additaque nota *λείπει* vel ne indicata quidem lacuna (interdum non vidit librarius singula folia Mediceo defuisse,

quamobrem verba perperam coniunxit); deinde quod versus integri Medicei ab librario codicis Vaticani omissi sunt; accedunt absurda quaedam vitia, nata e lectione Medicei aut depravata aut male intellecta (exempla affert Boissevain p. 323). Ubi autem Vaticanum codicem Medicei esse apographum concessimus, statim sequitur ea parte, qua Vaticanus Mediceo auctior est (libri 36 capita 3—19 et libros 50, 6—54 dico), nondum caruisse Mediceum anno 1439 et in his libris Vaticanum nobis Medicei loco esse.

Qua sententia nisus Boissevain hanc quaestionem instituit de codicis Vaticani initio (p. 324 sq.): „Notum est his capitibus, quibus Luculli expeditio in Armeniam narratur, tamquam libri 35 fragmento ab editoribus prioribus ante verba . . . φείδεται· δυναστείας τε ἐρῶν, quae librum 36 exordiebantur, locum datum fuisse, Penzelium primum coniecisse haec inter verba προσχωρήσαντας (c. 1. extr.), et λέξω δὲ ἤδη (cap. 20 in.) esse interponenda. Quam opinionem a Xiphilino ut videbatur confirmatam secutus Bekkerus totum locum in hunc modum disposuit:

1. Xiphilini prima verba (p. 1, 6—20 Dind.) = libri 35 finis.

2. . . . . φείδεται. δυναστείας τε ἐρῶν — προσχωρήσαντας l. 36, 1. 2.

3. Xiphil. 1, 20—2, 15.

4. . . . καὶ ὅτι ἰσχυρᾷ τῇ τύχῃ — διεφθάρη 36, 3—19.

5. λέξω δὲ ἤδη sqq. c. 20 sqq.

Hanc tamen dispositionem, quamquam a Dindorfio receptam, genuinam non esse meo quidem iudicio codice Vaticano clare demonstratur.

Primum enim in Mediceo codice, qui incipit hodie a verbis φείδεται. δυναστείας τε ἐρῶν post verbum προσχωρήσαντας statim eodem versu sequitur λέξω κ. τ. λ., quae cum aptissime inter se cohaereant, causa nulla est, cur disiungantur. Tum capita 3—19 ($9\frac{1}{2}$ paginae ed. Dind., quae efficiunt quattuor folia codicis Medicei) ante verba



φείδεταί κ. τ. λ. in Mediceo ipso scripta fuisse ex Vaticano apparet. Cuius librarius cum post verbum διεφθάρη novum versum inceperit, hoc loco Medicei lacunam indicasse iudicandus est. Unde sequitur anno 1439 hunc statum Medicei fuisse:

Initium deerat.
c. 3—19.
Lacuna.
c. 1. 2. 20 sqq.

Itaque in posterum hoc modo legamus necesse erit:

1. Xiph. 1, 6—15: Initium belli Cretici a Metello gesti.

2. Xiph. 1, 20—2, 12; Dio c. 3—19: Luculli expeditio in Armeniam.

3. Dio 1, 2 (Ex capitis 2 paragraphis 2 et 3 pauca quaedam apud Xiphilinum inveniuntur, 1, 12—20): Finis belli Cretici.

4. Dio c. 20 sqq.: Bellum piraticum.

Ex quaternione igitur secundo (ut videtur), qui nunc cum primo periit totus, quattuor folia eo tempore supererant, quae cum in c. 3—19 nulla lacuna sit, media fuisse verisimile est:

$$\left.\begin{array}{l}1+8\\2+7\end{array}\right\}\text{ perierant}$$

$$\left.\begin{array}{l}3+6\\4+5\end{array}\right\}\text{ supererant.}$$

Qua in dispositione hoc solum offendit, quod statuendum erit Xiphilinum bellum Creticum a Dione duobus locis enarratum uno tenore absolvisse. Quod quamquam raro fecit, at fecit tamen etiam alibi. Cf. e. gr. p. 67, 2 (Dind.), ubi lib. 49 c. 11 et 12 excerpens Sex. Pompei necem ex c. 17 interposuit."

Quam dispositionem Boissevaini ego quoque secutus sum in editione. Idem et ipse vidit et publici iuris fecit I. Maisel, observationes in Cassium Dionem, Berlin 1888, p. 14—17.

De extrema parte codicis Vaticani, qua olim auctior fuit Mediceus, haec addit Boissevain p. 325 sq.: „Libro 51 verba *ἐπιδιώκων τήν τε Σεγετικὴν — μετεπέμψατο καὶ ὃς* (c. 23, 5—26, 1) sine ullo lacunae indicio omissa sunt. Folium scilicet deerat in Mediceo. Sed eodem libro inter c. 26, 5 *πρὸς γὰρ τῷ ὕδατι ἐπεπο* et 27, 1 *καὶ νεωτερισμὸν ἐμποιοῦντας* quaedam desiderari spatio versuum 12 vacuo indicatur, unde patet Mediceum quoque haec lacuna indicata omisisse (ut 48, 4, 3 aliam lacunam significavit) aut habuisse quidem, sed madore vel quavis alia causa ita corrosa vel oblitterata, ut legi amplius non possent. Iterum folium in Mediceo periit lib. 52 inter c. 13 et 14, quod Vaticani librarius non vidit. Libro deinde 54, ubi in Vaticano desiderantur c. 7, 6—19, 4 *γενόμενος — τὸν τοῦ Κυρι* . . . ., quinque folia pura lacunam ostendunt. Verum paulo post librarius aliud agens, cum in Mediceo unum folium perisse non animadvertisset, cum verbis *πάντα τἆλλα ἐκπώματα* c. 23, 3 coniunxit *ἔτ' ἐπέστελλον*, quae c. 24, 7 leguntur. Litteris denique in ultima pagina, ut fit, evanidis vel parte folii abscissa in libri 54 fine nihil dispicere potuit nisi haec:

*τῶν τε ἄλλων καὶ τῶν Χάττων πρὸς γὰρ τοὺς*
*μετέστησαν καὶ τῆς τε χώρας αὐτῶν*
*τῶν Ῥωμαίων εἰλήφεσαν ἔξα*
*ἐκάκωσε τὰ δὲ ἐχειρώ*
*τὴν Ῥώμην σὺν τῷ*
*ἐν γὰρ τῇ Λουγδω*
*Κέλτοις ἐφεδρ*
*καις ἐψήφιστο ἢ*
*ἐπετέλεσαν*
*νίου καὶ ἐπὶ Φαβίου.*

Ex cod. Vaticano descriptus est Codex Parisinus 1690 (A), chartaceus, olim Mediceus, qui continet libros 36—54.

Codicem Mediceum (Ma) et vetustate et auctoritate aequat Codex Venetus sive Marcianus 395 (Va),



quem Boissevain accuratissime descripsit p. 326—335 his verbis. „Codex est membranaceus, formae maximae, foliorum 251, saeculi fere XI. Singula folia versus tricenos quaternos continent. Litteris minusculis magnis et pulcherrimis perscriptus est ab una manu, quae siglis fere non usa est. Lineae stilo membranae impressae summas litteras attingunt. Orationes et colloquia appicto ante singulos versus signo > distinguuntur; ubi duo colloquuntur vel duorum adversariorum conciones se invicem excipiunt, posterioris verbis duplex signum >> additur. Tenuioribus litteris uncialibus corrector antiquus et in marginibus et inter lineas multa vitiosa correxit, quae male abundarent, induxit, explevit, quae deessent, plerumque recte. Ex eo autem, quod saepe lectioni depravatae alteram substituat vitiosam quidem, sed ex qua genuina scriptoris verba erui possint, addatque vocabula, quae de suo supplere non potuerit, apparet, eum vel alium codicem vel fortasse eum ipsum, qui descriptus erat, in corrigendo adhibuisse. (Sequuntur exempla.) Mutilus est codex et a capite et in fine. Incipit in medio libro 44, 34 inde a verbis *ἀνοήτατα κομίσας*, desinit 60, 28 in medio vocabulo *ὁπότε γε λόγος τις ἐν τῷ δή*. . . Sed haec quoque pars, quaternionibus aut foliis hic illic deficientibus admodum lacunosa est. Cum librarius primum folium singulorum quaternionum in summo margine tribus asteriscis et numero notasset in hunc modum:

* * * *κη'*

interierunt quidem numeri omnes uno excepto, sed asterisci aut integri aut ex parte certe remanserunt, unde quaternionum singulorum initium certo cognoscitur. Cum praeterea unus numerus (est *κη'*) supersit, nullo negotio unicuique quaternioni suus numerus restitui potest, quo facto iam patebit, quot initio perierint.

| fol. | quat. |
|---|---|
| 1—8 | = *ϑ* |
| 9—16 | = *ι* |

17—24 = *ια*
25—32 = *ιβ*
deest = *ιγ* | 46, 23, 2 *εἴπερ τινα ἀλήθειαν* — c. 43, 2 *οὐχ ὅτι καὶ ἐβούλοντο.* Servata haec in Mediceo (Ma) paginis 18 editionis Dindorfianae continentur.
33—40 = *ιδ*
41—48 = *ιε*
49—56 = *ις*
57—64 = *ιζ*
65—72 = *ιη*
73—80 = *ιθ*
81—88 = *κ*
89—96 = *κα*
97—104 = *κβ*
105—112 = *κγ*
113—120 = *κδ*
121—128 = *κε*
deest = *κϛ* | 52, 5, 2 *αὐτοὺς μόνον* — c. 20, 4 *ματι γενόμενοι* = $15^{1}/_{4}$ pag. ed. Dind. Numerum $17^{3}/_{4}$ vel 18 paginarum huius editionis non expleri lacuna, qua haec pars laborat, explicatur. Periit enim post c. 13, 7 finis orationis Agrippae et Maecenatis responsionis exordium folio in Medic. Ma abscisso, folium autem Med. = $2^{1}/_{2}$ pag. ed. Dind.
129—136 = *κζ*
137—144 = *κη* (hic numerus totus superest)
145—152 = *κθ*
153—159 = *λ* | Tricesimi quaternionis duo folia media inter f. 155 et 157 perierant (54, 1, 5 —6, 2 *δικτάτωρα ἔχων* — *Σιλανὸς ἐσπουδαρ* = $4^{1}/_{2}$ pag. ed. Dind.). Haec a manu recentiore, eadem quae passim correxit textum, litteris parvis ex alio codice (Med. Ma conicit Boissevain) suppleta sunt in folio chartaceo, qui hoc loco insertus numero 156 notatur.



160—167 = *λα*
168—175 = *λβ*
176, 177 *λγ* | Tricesimi tertii quaternionis haec duo folia (quae cohaerent) remanserunt. Leguntur in ed. Dind. l. 55, 10, 2—15 *ρει ἑαυτὸν δὲ καὶ τοὺς ἐγγόνους* — *Ἴουλος ὁ Ἀντώνιος ὡς καὶ* fol. 176 et ibid. c. 10a, 1—11, 2 *ἑτέρους ἐκ τῆς Αἰγύπτου* — *καὶ τὴν μέλλησιν τῆς ἐπιβουλῆς.* Sex folia exciderunt, quae ubi exciderint quaerendum. Folium autem primum et ei coniunctum octavum, itidem quartum quintumque perisse apparet. Incertum tantum est, supersitne secundum et septimum an tertium sextumque:

| | |
|---|---|
| 1—8 periit | 1—8 periit |
| 2—7 = f. 176, 177 | aut 2—7 periit |
| 3—6 periit | aut 3—6 = f. 176, 177 |
| 4—5 periit | 4—5 periit. |

Posteriorem ordinem verum esse, itaque inter fol. 175 et 176, itidemque inter fol. 176 et 177, denique inter fol. 177 et 178 bina folia excidisse (nec vero inter f. 175 et 176 et 177 et 178 singula, inter 176 et 177 quattuor) eo demonstratur, quod ea parte, quae inter fol. 175 et 176 periit, res narrantur per annos quattuor (a. 748—752 a. u.) gestae, quae certe spatio unius folii absolvi non potuerunt, praesertim cum quae fragmenta huius partis a Xiphilino (p. 100, vs 19—101, 1 Dind.) et in excerptis Valesianis p. 662 et

apud Zonaram (ed. Dind. II, 447, 6—16) nobis servata sunt, iam spatium dimidii folii excedant, neque tamen in his fragmentis quidquam inveniatur de fori Augusti inauguratione, quam hic narrasse Dionem ex indice huius libri cognovimus.

178—185 = λδ
186—189 = λε | Perierunt quattuor folia media inter f. 187′ et 188, l. 55 inter c. 33 et 34.
190—197 = λϛ
198—201 = λξ | Interiit primum folium eique coniunctum octavum et tertium sextumque. Desunt igitur singula folia l. 56, 22, 2 inter *καὶ τά τε* et *τὸ μὲν πρῶτον*, c. 24, 5 inter *καὶ ὅτι καὶ* et *μετὰ τὴν*, c. 28, 6 inter *ἰδιωτῶν καὶ* et *τό τε συνέδριον*, c. 32, 1 denique inter *καίτοι τὰς* et *χόντων*.
202—209 = λη
210—217 = λϑ

Hic lacuna est quaternionum minimum duorum (quae enim ex hac parte excerpserunt Xiphilinus et Eclogarii Constantiniani Zonarasque iam quaternione uno comprehendi nequeunt). Desinit codex in verbis *καὶ τὴν ἄλλην ἀρετὴν ἐπετήδευσε· ἅπε* 57, 17, 8, rursus incipit 58, 7, 2 *ἄλλα καὶ ἑαυτῷ ἔθυε*. Periit igitur et titulus et index libri 58. Sequuntur tres quaterniones integri, qui continent folia:

218—225
226—233
234—241

Iterum inter folia 241 et 242 unus duove quaterniones deficiunt, nam plures excidisse probabile non est. Ultima verba fol. 241′ sunt l. 29, 25, 1 *ἀπέκτεινε καί*, prima fol. 242 *ἀλλὰ ἀεὶ καὶ ἐν παιδείᾳ* 60, 2, 1. Itaque intercidit libri 60 et titulus et index. Ex foliis 242—251

242—249 integro quaternione continentur et
250, 251 duo folia sequentis quaternionis sunt, quae non cohaerent. Inter f. 249 et 250 unum tantum folium periit, primum huius quaternionis. Quae continebat, integra supersunt in codicibus alterius classis (l. 60, 17, 7—20, 4 *ἑκατέρων — ὡς δ' ἐπὶ ποταμῷ*). Inter f. 250 et 251 duo folia exciderunt, quibus legebantur c. 22, 3—26, 2 *ἐκείνους μὲν δὴ — εἶτ' οὖν ἐφεξῆς*, itidem nobis in illis codicibus servata. Fuit igitur f. 250 secundum, f. 251 quintum huius quaternionis.



Itaque apparet ex numero ϑ, quo notatus erat, qui nunc primus est quaternio, codicem Venetum olim octo quaternionibus in initio auctiorem fuisse. Quo quaternionum numero cum contineantur paginae ed. Dind. non plus 144 neque tamen multo minus (quaterniones 18—25 cod. Veneti ex. gr. comprehendunt pag. 143 ed. Dind.), codicem nostrum incepisse fere in c. 10—12 libri 41 statuendum est, unde consequi videtur archetypum codicis Veneti, olim quidem exorsum ab ipso libro 41, quo tempore descriptus est, iam damnum aliquot foliorum passum esse. De codicis nostri fine certi nihil affirmaverim nec tamen reticeam veri mihi simillimum videri ultra librum 60 eum non esse progressum, et Veneti archetypum duas decadas comprehendisse, quocum conferenda sunt Suidae verba: „*διαιροῦνται δὲ* (sc. libri) *κατὰ δεκάδας*". Haec Boissevain de codice Veneto.

Codices alterius classis paucis absolvere licet. De iis Boissevain p. 335 sqq.: „Omnes post renatas litteras scripti ita inter se conveniunt, ut eiusdem stirpis esse eos quivis facile agnoscat. Hoc habent omnes (solo Mediceo B excepto, qui libros 42—60 continet), ut incipiant a

libro 36, finem faciant in libro 60, i. e. ut eos libros complectantur, qui ex parte in Mediceo (Ma), ex parte in Veneto (Va), ex parte denique in utroque inveniuntur. Nec minus in hoc consentiunt, quod in prima parte lacunas Medicei (Ma), Veneti (Va) in tertia exhibent, in media vero habent nullas. Ex quo statim sua sponte apparet hos codices ex ipsis illis vetustissimis esse descriptos."

Omnium codicum inferioris notae archetypum esse intellexit Boissevain codicem Mediceum B (plut. 70, nr. 10); est membranaceus, formae quadratae, foliorum 361, saeculi XV, litteris minusculis nitidissime perscriptus. Sed excepta illa tantula parte, quam in archetypo pessundatam ille nobis servavit (60, 17, 8—20, 2 et 22, 2—26, 2; his enim tribus foliis Venetus, quo tempore Mediceus B ex eo descriptus est, nondum caruit), plane abiciendus est, nisi quod etiam 52, 5—20, quae deficiente Veneto ex Mediceo (Ma) hausit, ad corrigendas vitiosas lectiones in altero Medicei apographo, Vaticano A (nam Mediceus ipse hodie ultra librum 50, 8 non progreditur) non sine fructu adhibitus est.

Ex hoc codice Mediceo B descriptus est codex Parisinus B, nr. 1689, nisi quod priorem partem (lib. 36—41) qua caret Med. B, cuius librarius data opera a pugna Pharsalica (lib. 42, 1 ἡ μὲν οὖν μάχη κ. τ. λ.) initium facere instituit, ex Mediceo (Ma) sumpsit, id quod apparet lacunis, quae folio abscisso in Mediceo ortae in Parisino B repetuntur. Adhiberi igitur potest Parisinus B ad Vaticani A fidem exigendam in capitibus 3—19 libri 36 (olim 35, 1—17), quibus Mediceus A (Ma) hodie caret. Ex hoc codice Robertus Stephanus Dionem primus edidit.

Ex codice Parisino fluxerunt:
cod. Taurinensis, Nr. 76, chartaceus, saec. XVI,
cod. Venetus B, Nr. 396, saec. XV,
cod. Vaticanus B, Nr. 993, chartaceus, saec. XV,
cod. Escorialensis.



His sex codicibus alterius classis accedit codex Vesontinus (Z. n. 68, 80), chartaceus, formae maximae, saec. XV, qui partim (lib. 45—56, 13, 2) ex Veneto A (Va), partim ex codice quodam secundae classis descriptus est.

En stemma codicum a Boissevainio p. 345 propositum:




Quo stemmate demonstratur ad textum Dionis constituendum adhibendos esse solos Mediceum A (Ma) (cuius partes agunt Vaticanus A et Parisinus B libro 36, 3—19, Vaticanus A unus in libris 50—54) et Venetum A (Va) (qui libro 60, 17, 7—20, 4 et 22, 3—26, 2 a Mediceo B suppletur), reliquos codices omnes prorsus nihil valere.

---

## DE EDITIONIBUS.

Quas curas viri docti adhuc in Dionem contulerunt, hic temporum ordine enumerabo.

Priusquam qui supererant Dionis libri Graece prelo subiecti sunt, primus libros XXV in Italicam linguam translatos edidit Leonicenus: Dione historico delle guerre et fatti de Romani, tradotto di Greco in lingua vulgare

per M. Nicolo Leoniceno[1]). Opera nuovamente venuta in luce, ne piu in lingua alcuna stampata. Impresso in Vinegia per Nicolo d'Aristotile di Ferrara, detto Zopino, nell' anno di nostra salute MDXXXIII del mese di Marzo. (Iterum prodiit haec versio Italica: nuovamente stampata Vinegia MDXLII). — Nuper I. Maisel[2]) probare studuit Leonicenum in vertendo Dione usum esse codice Veneto B nr. 396, fortasse etiam codice Veneto A (395). Sed utcunque res se habet, Leonicenus multo liberius atque incuratius verba Dionis reddidit, quam ut ad textum constituendum haec versio magni momenti esse possit.

Quindecim annis post in lucem prodiit editio princeps Roberti Stephani: *τῶν Δίωνος Ῥωμαικῶν ἱστοριῶν εἰκοσιτρία βιβλία* — Dionis Roman. hist. l. XXIII, Lutetiae 1548. Incipit a fragmento, ut Roberto visum est, libri 35 *καὶ ὅτι ἰσχυρᾷ τῇ τύχῃ κ. τ. λ.*, sequuntur libri integri usque ad librum LX, quamquam editor ultimum librum LVIII numeravit; nam libros LVII et LVIII ex binis in singulos conflaverat codex Parisinus n. 1689, quo usus est R. Stephanus. Quem codicem dixit ipse in praefatione esse „valde mendosum et accuratam et diligentem castigationem desiderare". Nicolai Leoniceni versionem Italicam contulerat in usum suum; praeterea adnotationibus suis extrema pagina subiunxit: *τῶν ἄλλων γραφικῶν σφαλμάτων ἐπανόρθωσις* i. e. emendationes ad aliquot locos Dionis (iterantur in Sturzi ed. vol. VII, p. 28—29).

Nono post editionem Graecam anno 1557 Dionem in linguam Latinam translatum edidit Guilielmus Xylander: „Dionis hist. Roman. l. XXV (i. e. XXXV—LX) interprete G. Xylandro, Basileae 1557. Addidit adnotationes, quibus plurimi loci depravati emendantur vel obscuri explanantur" (Leguntur emendationes Xylandri in Sturzi ed. vol. VII, p. 50—119). Versio Latina confecta est ex editione Roberti Stephani. In calce additus est brevis index Latinus, postea ab Henrico Stephano et Leunclavio auctus.

1) Ex versione Italica Leoniceni Dionem in linguam Gallicam transtulit Claude Deroziers, Paris 1542.

2) Observationes in Cassium Dionem scripsit I. Maisel, Berolin. 1888, p. 1 sqq.



Anno 1562 prodiit altera versio Italica: Epitoma della historia Romana di Dione, tradotta par M. Franc. Baldelli, Vinegia 1562.

Henricus Stephanus, Roberti filius anno 1591 Lutetiae iterum Graece edidit Dionis Cassii Romanarum historiarum libros XXV (i. e. XXXV—LX) cum G. Xylandri interpretatione Latina eiusque indice Latino paululo auctiore; novum codicem non adhibuit, sed patris editionem secutus est. Nonnullos locos in praefatione correxit, plures tacite in textu ipso.

Anno proximo, 1592, Francofurti vulgavit Dionem Latine ex Guil. Xylandri interpretatione a se in margine emendata Ioannes Leunclavius. Additi sunt libri XX posteriores, LXI—LXXX (itaque liber inscribitur: Dionis hist. Roman. l. XLVI, aucti studio G. Leunclavi), ex Rerum Rom. epitome I. Xiphilino auctore et G. Blanco interprete, Lutetiae 1551, sequuntur fragmenta de legationibus a Fulvio Ursino 1582 edita Graece et Latine, deinde Leunclavi notae ad omnes libros, quibus plurimi loci emendantur, denique index Latinus paulo auctior quam apud Xylandrum et Henricum Stephanum. (Emendationes Leunclavi recudit Sturz, vol. VII, p. 233—326.)

Aliquanto post mortem Leunclavi (obiit a. 1593) prodiit editio Graecolatina Dionis, quae Leunclavi nomen prae se fert, Hanoviae 1606. Quomodo haec confecta sit, sic explicare posse sibi videtur Reimarus praef. p. XII: „heredes Andreae Wechelii (bibliopolae) cum privilegium haberent Caesareum in omnia Leunclavii scripta eaque non sine lucro divendi experirentur, seu suo motu, seu docti cuiusdam viri hortatu, consilium hoc ceperunt, ut Graeca Latinis et aliorum pariter Dionis interpretum annotationes iterata editione vellent adiungere. Habebant procul dubio exemplum Dionis et Xiphilini ex editione Henrici Stephani, quo usus erat Leunclavius, et ad cuius

marginem praeter correctiones versionis Latinae etiam Graeci textus nonnullas emendationes notaverat, quales nunc in Graeco-latina editione Leunclavi ad marginem comparent." Accesserunt in hac editione praeter textum Graecum Dionis et Xiphilini (a Nerone usque ad Alexandrum Severum) in fine voluminis Roberti Stephani castigationes in Dionem, Guil. Xylandri in Dionem et Xiphilinum, Friderici Sylburgi in Xiphilinum notae (vide Sturz, vol. VII, p. 134—198), Henrici Stephani in Dionem praefatio, et spicilegium in Xiphilinum, Leunclavi ipsius adnotationes, denique Fulvi Ursini notae in excerpta de legationibus. Sequitur index Latinus ex priore editione repetitus.

Cum omnes adhuc editiones ex unico codice eoque admodum mendoso fluxissent, primus nova codicum subsidia conquisivit Reimarus, cuius editio prodiit Hamburgi 1750: Cassii Dionis Cocoeiani historiae Romanae quae supersunt. Graeca ex codicibus manuscriptis et fragmentis supplevit, emendavit, Latinam versionem Xylandro-Leunclavianam limavit, varias lectiones notas doctorum et suas cum apparatu et indicibus adiecit Hermannus Samuel Reimarus. — Ac primum quidem in usum suum convertit, quae e codice Mediceo Ma publici iuris fecerat Iacobus Gronovius: Supplementa lacunarum in Aenea Tactico, Dione Cassio et Arriano de expeditione Alexandri, Lugduni Bat. 1675. Cum autem Gronovius pater supplementa tantum nonnulla e cod. Med. edidisset, Abrahamus Gronovius filius, quem Reimarus adierat, omnes varias lectiones ex illo codice a patre collectas editori Hamburgensi concessit. Deinde Cardinalis Angelus Marius Quirinus, Brixiae episcopus et bibliothecarius Vaticanus, duos codices Vaticanos Reimaro contulit eorumque varias lectiones cum eo communicavit: codicem Vaticanum 144 (Vat. A) et codicem Vaticanum 993 (Vat. B). His igitur tribus codicibus Reimarus usus est ad textum Dionis constituendum. Accedunt fragmenta περὶ ἀρετῆς καὶ κακίας, quae Valesius anno 1634 Parisiis ediderat et



fragmenta Dionis, quae Valesius ex variis auctoribus, glossariis, Cedreno, Tzetze, Suida, Zonara collegerat. Praeterea usus est exemplo Dionis ex Roberti editione, quod olim Turnebi fuerat, cum notis eiusdem aliorum quevirorum doctorum, deinde exemplo altero ex editione Henrici Stephani, in quo Obadia Oddey Britannus et ipse Dionem editurus emendationes suas adnotaverat; aliud exemplum ex editione Leunclaviana postuma inter Fabricii libros invenit, cui doctas emendationes adscripsit quidam, quem Reimarus N appellavit. Denique „ex virorum doctorum scriptis omnes emendationes congessit, quae ad Dionem pertinebant, plures quidem Iacobi Palmerii in exercitationibus ad optimos auctores Graecos p. 242—267, item Iusti Lipsii, Isaaci Casauboni, Claudii Salmasii; pauciores Iac. Cuiacii, Francisci Fabricii Marcodurani, Henr. Norisii, Ezechielis Spanhemii, Thomae Reinesii, Petri Fabri, Lamberti Bos, Tib. Hemsterhuisii, Petri Wesselingii, Io. Alb. Fabricii aliorumque plurimorum, quos suo loco laudavit." Petri Wesselingii epistola critica ad Reimarum missa repetitur a Sturzio, vol. VII, p. 860—863; ibidem Ioh. Iac. Reiskii animadversiones in Dionem Cassium (p. 870—431), quas hic cum Reimaro communicaverat[1]).

Anno 1783 prodiit: Dio Cassius Römische Geschichte aus dem Griechischen übersetzt von Joh. Augustin Wagner, Frankfurt a. Main. 5 Bände.

Quam versionem Germanicam tribus annis post secuta est altera: Des Titus Dio Cassius Kokkeianus Jahrbücher römischer Geschichte. Aus dem Griechischen übersetzt und mit Anmerkungen versehen von Abraham Jacob Penzel, Leipzig 1786—1818. 4 Bände.

Maximi momenti fuerunt, quae Morellius a. 1793 edidit: Dionis Cassii historiarum Romanarum fragmenta cum novis earundem lectionibus a Jacobo Morellio bibliothecae

1) Haec Reimarus notis suis inserere non iam potuit, quia serius acceperat.

Venetae praefecto nunc primum edita. Bassani 1793. Is enim primus animadverterat, quantum valeret cod. Venetus (A) nr. 395 eiusque supplementa et varias lectiones publici iuris fecit. In fine disputationis pauca quaedam affert de codice Veneto (B) nr. 395, quem proxime accedere ad codicem Parisinum Roberti Stephani recte intellexit.

Novam post Reimarum editionem paravit Fridericus Guilielmus Sturz, quae prodiit Lipsiae 1824—1825 VIII volum.; accessit anno 1843 vol. IX, quod complectitur excerpta Vaticana ab Angelo Maio edita[1]). Sturzius non solum omnem Reimari apparatum cum praefatione, notis criticis et historicis, indicibus recudit, sed etiam operam dedit, ut et ipse quid afferret ad textum emendandum. Codices Mediceos denuo conferendos curavit per Franciscum de Furia, bibliothecae Mediceae Laurentianae praefectum, et utriusque codicis lectiones omnes, non tantum potiores enotavit. Deinde codicem Taurinensem ei contulit Victorius Amadeus Peyronius, seminarii Taurinensis praefectus. Praeterquam quod Wagneri et Penzeli versiones Germanicas ubique respexit, „nonnulla petiit ex epistolis Reimari et Reiskii mutuis, quae in huius vita edita sunt, ex Reimari de vita et scriptis Ioannis Alberti Fabricii commentario, ex Ioannis Toupii emendationibus in Suidam et Hesychium et alios lexicographos Graecos, ex Gilberti Wakefield Silva critica, denique ex Schaeferi et Lobecki scriptis“.

Editio stereotyp. C. Tauchnitiana, Lipsiae 1829, IV vol. (nova impressio Lipsiae 1870—1877).

Des Dio Cassius Geschichte der Römer übersetzt von Fr. Lorenz. Teil 1. Jena 1826.

Des Dio Cassius römische Geschichte übersetzt von Tafel, 3 Bände, Stuttgart 1831—1844.

---

1) Antecedunt quinque „Prolusiones de nonnullis Dionis Cassii locis“, quas Sturzius Grimae 1814—1816 emisit.



I. R. C. Krebs, lectiones Diodoreae, Hadamarae 1832. (Insunt nonnullae ad Dionem emendationes.)

Iul. Pflugk, schedae criticae, Gedani 1835.

Iuli Pflugki emendationes ad Dionem Cassium, ex schedis eius edidit I. Marquardt. Zeitschrift für die Alterthumswissenschaft IV, Nr. 39 u. 40. 1846.

Sequuntur duae editiones eodem fere tempore emissae, Bekkeri et Grosi.

Cassii Dionis Cocceiani rerum Romanarum libri octoginta ab Immanuele Bekkero recogniti, II vol. Lipsiae 1849. In praefatione confessus est se opes criticas praeter eas, quas aut Reiskii Sturzique industria collegisset aut Reiskii ingenium peperisset, frustra requisivisse, unum tantum codicem, Vaticanum 1288, quo libri septuagesimi octavus et nonus continentur non integri, sua gratia longe accuratius quam olim exploratum esse. Eo magis suo ipsius ingenio critico indulsit Bekkerus et multis locis Dionem certis coniecturis emendavit.

Histoire Romaine de Dion Cassius, traduite en francais avec des notes critiques, historiques et le texte en regard, collationé sur les meilleures éditions et sur les manuscrits de Rome, Florence, Venise, Turin, Munich, Heidelberg, Paris, Tours, Besançon par E. Gros. Paris 1845—1870. 10 vol. Ouvrage continué par V. Boissée. Grosius denuo contulit codices Vaticanos, Mediceos, Venetos; primus adhibuit codicem Parisinum (A) 1690 et codicem Vesontinum, item codices excerptorum inprimis Turonensem inspexit eorumque varias lectiones omnes enotavit. Grosio mortuo inde a vol. VII. V. Boissée opus continuavit et ad finem perduxit.

Observationes criticae in Cassium Dionem scripsit Arnoldus Hug, Bonnae 1855.

Dindorfi editio prodiit Lipsiae 1863—1865 quinque voluminibus. Dindorfium primum rationem codicum perspexisse et qui uni adhibendi essent ad textum constituendum intellexisse iam supra adnotavimus. Eo magis dolendum est, quod praematura morte impeditus est, quo-

minus adnotationes quoque a se promissas editioni adderet, quibus complexurus erat optimorum codicum varias lectiones. — Praeter novam Herwerdeni codicis Vaticani rescripti *περὶ γνωμῶν* collationem D. in usum suum convertit eiusdem auctoris Supplementum emendationum in excerpta Vaticana e Cassio Dione (Spicilegium Vaticanum 1860, p. 172—182).

Adnotationes ad Dionem Cassium scripsit H. I. Heller, Philologus 1864, p. 149—153.

S. A. Naber, *Εἰς Κάσσιον Δίωνα. Μέρος πρῶτον. Λόγιος Ἑρμῆς*, 1867, p. 403—424.

S. A. Naber, Over de grondslagen der critiek van Dio Cassius. In Verslagen en mededeelingen der k. academie van wetenschappen. Afdeeling Letterkunde, erste reeks, Deel X, p. 288—314, 1867. — Quibus dissertationibus cum admodum multas emendationes in Dionem praebuit Naber tum altera probare studuit, Dionem voces Atticas, quibus sermonem exornavit, non ex auctoribus ipsis (e Thucydide, Demosthene, aliis) sumpsisse, sed ex Atticistarum, Phrynichi inprimis, compendiis. Quam sententiam minime probabilem reiecit

L. Dindorf, Dio Cassius und Phrynichos; Iahni annales, vol. 99, 1869, p. 1 sqq.

F. K. Hertlein, Conjekturen zu griechischen Prosaikern, Progr. v. Wertheim 1873.

Nonnulla e Dione excerpta insunt in: Excerpta Anonymi Byzantini ex codice Parisino suppl. Gr. 607 A edidit M. Treu (Progr. d. Gymnasiums zu Ohlau 1880).

H. van Herwerden, Lectiones Rheno-Traiectinae, Lugduni-Batav. 1882, p. 78—95 ad Cassium Dionem.

S. A. Naber ad Dionem Cassium, Mnemosyne, nova ser. vol. IV, p. 331, 340, 343, 349; ibid. vol. V, p. 216, 389, 395; ibid. vol. VII, p. 74; ibid. vol. VIII, p. 251; ibid. XIV, p. 75 sqq.; p. 130 sqq.; ibid. XVI, p. 109 sq.

C. G. Cobet, ad Dionem Cassium: Mnemosyne nov. ser. vol. VI, p. 446—448; imitationes, ibid. vol. VII, p. 40—48; ad Dionem Cassium, ibid. vol. X, p. 193—210.



Madvig, adversaria critica III, p. 79 sqq.

Observationes in Cassium Dionem scripsit Ioannes Maisel, Berolin. 1888.

Qui unum alterumve locum Dionis occasione data tractaverunt viri docti, melius ad singulos locos ipsos laudabuntur. Multa enim, quae pertinent ad Dionem emendandum, non iis tantum in libris reperias, qui nomen Dionis prae se ferunt, sed ubi minime requiras, velut in libris de rebus Romanorum, de antiquitatibus Romanorum et publicis et privatis, de rebus illarum gentium, quibuscum Romani bella gesserunt, aliisque. Quare mirum non est me multa fugisse quamquam omnes libros evolvi qui aliquem fructum praebere posse mihi videbantur; qua in re me virorum prudentium veniam impetraturum esse spero.

Scribebam Monachii, mense Iunio 1890.

**Dr. I. Melber.**

# INDEX NOTARUM.

L. Hac littera in editione fragmentorum eum codicem vel eos codices notavi, quibus excerpta singulorum titulorum servantur; significat igitur in excerptis Peirescianis de virtutibus et vitiis codicem Turonensem, in excerptis de sententiis codicem Vaticanum rescriptum Graecum n. 73, in excerptis de legationibus omnes huius tituli codices a Darmario scriptos.
V = Valesius (in notis criticis).
= Valesii editio excerptorum de virtutibus et vitiis, Parisiis a. 1634 (in fine singulorum fragmentorum).
U = Ursinus (in notis criticis).
= Ursini editio excerptorum de legationibus, Antverpiae a. 1582 (in fine singulorum fragmentorum).
M = Angeli Mai editio excerptorum de sententiis in veterum scriptorum nova collectione, Romae a. 1827 (in fine singulorum fragmentorum).
Ma = codex Mediceus (A) plutei 70, nr. 8.
Va = codex Venetus (A) sive Marcianus nr. 395.
R = Reimarus in editione.
N = vir doctus in notis marginalibus apud Reimarum; cf. praef. p. XXXIX.
St = Sturzius in editione.
B = Bekkerus.
D = L. Dindorfius.
Uncis ⟨ ⟩ inclusa desunt in codicibus, sed a viris doctis suppleta sunt.
Uncis [ ] inclusa exstant in codicibus, sed delenda videntur.
Unci ( ) sunt signum parentheseon.

---

# ΕΚ ΤΩΝ ΠΡΟ ΤΟΥ ΑϚ.

ὁ δὲ Δίων φησὶν ὅτι σπουδὴν ἔχω συγγράψαι 1
πάνθ᾽ ὅσα τοῖς Ῥωμαίοις καὶ εἰρηνοῦσι καὶ πολεμοῦσιν ἀξίως μνήμης ἐπράχθη, ὥστε μηδὲν τῶν ἀναγκαίων μήτε ἐκείνων τινὰ μήτε τῶν ἄλλων ποθῆσαι. V p. 569.
. . . πάντα ὡς εἰπεῖν τὰ περὶ αὐτῶν τισι γεγραμ- 2
μένα, συνέγραψα δὲ οὐ πάντα, ἀλλ᾽ ὅσα ἐξέκρινα. μὴ μέντοι μηδ᾽ ὅτι κεκαλλιεπημένοις, ἐς ὅσον γε καὶ τὰ πράγματα ἐπέτρεψε, λόγοις κέχρημαι, ἐς τὴν ἀλήθειαν αὐτῶν διὰ τοῦτό τις ὑποπτεύσῃ, ὅπερ ἐπ᾽ ἄλλων τινῶν συμβέβηκεν· ἐγὼ γὰρ ἀμφότερα, ὡς οἷόν τε ἦν,
ὁμοίως ἀκριβῶσαι ἐσπούδασα. ἄρξομαι δὲ ὅθενπερ τὰ 3
σαφέστατα τῶν περὶ τήνδε τὴν γῆν, ἣν κατοικοῦμεν, συμβῆναι λεγομένων παρελάβομεν.

τὴν χώραν ταύτην, ἐν ᾗ τὸ τῶν Ῥωμαίων ἄστυ πεπόλισται . . . M p. 135.

Αὐσονία δὲ κυρίως, ὡς Δίων γράφει ὁ Κοκκεια- 2
νός, ἡ τῶν Αὐρούγκων γῆ μόνη λέγεται, μέσον Καμπανῶν καὶ Οὐόλσκων παρὰ θάλασσαν κειμένη. συχνοὶ δὲ καὶ μέχρι τοῦ Λατίου Αὐσονίαν εἶναι ἐνόμισαν, ὥστε καὶ πᾶσαν τὴν Ἰταλίαν ἀπ᾽ αὐτῆς Αὐσονίαν κληθῆναι. Is. Tzetz. ad Lycophr. 44 et 615, 702.

---

1, 2, 1 ⟨ἀνέγνωκα⟩ suppl. Mai, ⟨ἀνέγνων μὲν⟩ B ‖ 4 ἐπέτρεψε B, ἐξεπέτρεψε L

2 ἔνθα νῦν ἡ Χώνη ἐστί, χωρίον ἣν πρότερον λεγό-
μενον Οἰνωτρία, ὅπου ὁ Φιλοκτήτης κατῴκησε μετὰ
τὴν τῆς Ἰλίου πόρθησιν, καθὰ Διονύσιος καὶ Δίων
ὁ Κοκκειανὸς καὶ πάντες οἱ τὰ Ῥωμαϊκὰ γράφοντες
ἱστοροῦσιν. idem v. 912.
3 ὅτι περὶ Τυρσηνῶν φησιν ὁ Δίων "ταῦτα γὰρ καὶ
προσῆκεν ἐνταῦθα τοῦ λόγου περὶ αὐτῶν γεγράφθαι,
ἑτέρωθι καὶ ἄλλο τι καὶ αὖθις αὖ ἕτερον, ὅτῳ ποτ'
ἂν ἡ διέξοδος τῆς συγγραφῆς τὸ ἀεὶ παρὸν εὐτρεπί-
ζουσα προστύχῃ, κατὰ καιρὸν εἰρήσεται. τὸ δ' αὐτὸ
τοῦτο καὶ περὶ τῶν ἄλλων τῶν ἀναγκαίων ἀρκούντως
ἔχοντες· τὰ μὲν γὰρ τῶν Ῥωμαίων πάντα κατὰ δύνα-
μιν ἐπέξειμι, τῶν δὲ δὴ λοιπῶν τὰ πρόσφορα αὐτοῖς
μόνα γεγράψεται." M p. 136.

3 Δίων καὶ Διονύσιος γράφουσι τὰ τοῦ Κάκου.
Tzetz. Hist. 5, 21.
2 οὕτως οὖν Ἰταλία ἡ χώρα ἐκλήθη, ἧς πρῶτος Πῖ-
κος ἐβασίλευσεν, εἶτα υἱὸς αὐτοῦ Φαῦνος, ὅτε καὶ ὁ
Ἡρακλῆς ἐκεῖσε μετὰ τῶν λοιπῶν τοῦ Γηρυόνου βοῶν
παρεγένετο. καὶ γεννᾷ Λατῖνον ἐκ τῆς Φαύνου γυναι-
κός, ὃς ἐβασίλευσε τῶν ἐκεῖσε, καὶ ἀπ' αὐτοῦ Λατῖνοι
3 πάντες ἐκλήθησαν. πεντηκοστῷ δὲ πέμπτῳ ἔτει ἀφ'
Ἡρακλέους οὗτος ὁ Αἰνείας μετὰ τὴν τῆς Τροίας
ἅλωσιν εἰς Ἰταλίαν, ὡς ἔφημεν, καὶ Λατίνους παρεγέ-
νετο. περὶ Λαύρεντον δὲ προσώκειλε τὸ καὶ Τροίαν
καλούμενον, περὶ Νουμίκιον ποταμόν, ἔχων καὶ τὸν
4 ἐκ Κρεούσης υἱὸν αὐτοῦ Ἀσκάνιον ἢ Ἶλον· ὅπου φα-

2, 2, 1 Χώνη R, Ῥώμη L ‖ 3, 4 τὸ ἀεὶ παρὸν B, τὸ λι-
παρὸν L; cf. fr. 18, 6 ‖ 7 ἔχοντες] ἐχέτω? an ἕξει cum Thucyd.
1, 22 extr. Gros, B | 3, 3, 5 Νουμίκιον V e Zonar. II p. 85, 10,
κίον L ‖ 6 Ἶλον Potter ex codd., Ἴουλον V



γόντων τῶν μετ' αὐτοῦ τὰς τραπέζας σελινίνας οὔσας ἢ
ἐκ τῶν σκληροτέρων μερῶν τῶν ἄρτων (οὐ γὰρ εἶχον
τραπέζας), ἔτι δὲ καὶ χοίρου λευκῆς ἀπὸ τοῦ πλοίου
αὐτοῦ ἀποσκιρτησάσης ἐπὶ τὸ ἀπ' αὐτῆς ⟨ὠνομασμένον⟩
Ἀλβανὸν ὄρος καὶ τριάκοντα τετοκυίας, ἥπερ ἐδήλου, 5
ὅτι τριακοστῷ ἔτει οἱ παῖδες αὐτοῦ καὶ γῆν καὶ κρά-
τος ἄμεινον ἕξουσιν, ἐπαύθη τῆς ἀλητείας ἐκ χρησμοῦ
τοῦτο προακηκοώς, θύσας δὲ καὶ τὴν χοῖρον παρεσκευ-
άζετο κτίσαι πόλιν. ὁ δὲ Λατῖνος τοῦτον οὐκ εἴα· 6
ἡττηθεὶς δὲ πολέμῳ δίδωσιν Αἰνείᾳ πρὸς γάμον Λα-
ουινίαν τὴν αὐτοῦ θυγατέρα. Αἰνείας δὲ κτίσας πόλιν
Λαουίνιον ὠνόμασε. Λατίνου δὲ καὶ Τούρνου τοῦ
Ῥουτούλων βασιλέως πολέμῳ ὑπ' ἀλλήλων ἀποθανόν-
των Αἰνείας ἐβασίλευσεν. ἀνῃρημένου δὲ καὶ Αἰνείου 7
πολέμῳ ἐν Λαυρέντῳ ὑπὸ τῶν αὐτῶν Ῥουτούλων καὶ
Μεζεντίου τοῦ Τυρρηνοῦ, ἐγκύου οὔσης τῆς Αἰνείου
γυναικὸς Λαουινίας τὸν Σιλούιον, Ἀσκάνιος ὁ ἐκ
Κρεούσης παῖς βασιλεύει, ὃς καὶ τὸν Μεζέντιον πο-
λέμῳ συμβαλόντα νικᾷ τελέως μὴ δεχόμενον τὰς
πρεσβείας, ἀλλὰ τὰ τοῦ Λατίνου πάντα εἰς ἐτήσιον
δασμὸν ζητοῦντα. αὐξηθέντες δὲ οἱ Λατῖνοι, ἐπεὶ καὶ 8
τὸ τριακοστὸν ἔτος ἐνέστη, Λαουινίου μὲν ὑπερεφρό-
νησαν, Ἄλβαν δὲ Λόγγαν ἑτέραν πόλιν ἔκτισαν ἀπὸ
τῆς χοίρου, τοῦτ' ἔστι λευκὴν μακράν, καὶ τὸ ἐκεῖσε
ὄρος Ἀλβανὸν ἐκάλεσαν ὁμοίως· τὰ δὲ ἐκ Τροίας
ἀγάλματα μόνα πρὸς τὸ Λαουίνιον δεύτερον ὑπεστρά-
φησαν. μετὰ δὲ τὴν Ἀσκανίου τελευτὴν οὐχ ὁ Ἀσκα- 9

4, 5 ἀπ' αὐτῆς R, ἀπ' αὐτοῦ L ‖ ⟨ὠνομασμένον⟩ post
αὐτῆς ins. V ‖ 5, 1 ἥπερ ἐδήλου] ἅπερ ἐδήλουν L ‖ 3 ἐπαύθη
τῆς ἀλητείας Potter, ἐπ' αὐτῆς (αὐτοῦ V) τῆς ἀληθείας cod. ‖
7, 4 τὸν Σιλούιον vel glossema esse vel mutila putat R ‖ 8, 2
ἐνέστη τὸ τῆς χοίρου αἴνιγμα V et R

νίου παῖς Ἴουλος ἐβασίλευσεν, ἀλλ' ὁ ἐκ Λαουινίας
Αἰνείου υἱὸς Σιλούιος ἢ κατά τινας Ἀσκανίου υἱὸς
Σιλούιος. Σιλουίου πάλιν ἄλλος Αἰνείας, οὗ Λατῖνος,
οὗ Κάπυς. Κάπυος δὲ παῖς Τιβερῖνος, οὗ Ἀμούλιος,
οὗ Ἀουεντῖνος.
10 μέχρι τούτου τὰ περὶ Ἄλβης καὶ Ἀλβανῶν. τὰ δὲ
περὶ Ῥώμης ἐντεῦθεν. Ἀουεντῖνος γεννᾷ Νομήτορα
καὶ Ἀμούλιον. βασιλεύοντα δὲ τὸν Νομήτορα ὁ Ἀμού-
λιος ἐξήλασε καὶ Αἰγέστην τὸν Νομήτορος υἱὸν ἐν
11 κυνηγεσίῳ ἀναιρεῖ, τὴν δὲ ἀδελφὴν Αἰγέστου, θυγα-
τέρα δὲ τοῦ προρρηθέντος Νομήτορος, Σιλουίαν ἢ
Ῥέαν Ἰλίαν ἱέρειαν τῆς Ἑστίας ποιεῖ, ὡς ἂν παρθένος
διαμείνῃ· ἐδεδίει γάρ τινα χρησμὸν λέγοντα ὑπὸ τῶν
Νομήτορος παίδων αὐτὸν ἀναιρεθῆναι. διά τοι τοῦτο
τὸν μὲν Αἰγέστην ἀνεῖλε, τὴν δὲ ἱέρειαν τῆς Ἑστίας
12 ἐποίησεν, ὅπως παρθένος καὶ ἄπαις διαμείνῃ. ἡ δὲ
ἐν Ἄρεος ἄλσει ὑβρευομένη ἔγκυος γίνεται καὶ γεννᾷ
Ῥωμύλον καὶ Ῥῶμον. καὶ τήνδε μὲν ἐξαιτεῖται μὴ
ἀποθανεῖν ἡ τοῦ Ἀμουλίου θυγάτηρ, τὰ δὲ βρέφη
Φαυστύλῳ ποιμένι, Λαυρεντίας ἀνδρί, ἔδωκε ῥῖψαι
περὶ τὸν Τίβεριν ποταμόν. ἃ ἡ τούτου γυνὴ λαβοῦσα
ἀνέτρεφεν· ἔτυχε γὰρ αὐτὴ τότε νεκρὸν βρέφος τεκεῖν.
13 αὐξηθέντες δὲ ὁ Ῥωμύλος καὶ ὁ Ῥῶμος ἐποίμαινον
κατὰ τοὺς τοῦ Ἀμουλίου ἀγρούς, ἀνελόντες δέ τινας
τῶν τοῦ πάππου Νομήτορος ποιμένων ἐπετηροῦντο.
κατασχεθέντος δὲ τοῦ Ῥώμου δραμὼν ὁ Ῥωμύλος τῷ
Φαυστύλῳ λέγει, καὶ ὃς δραμὼν τῷ Νομήτορι πάντα
διηγεῖται. τέλος ἔγνω Νομήτωρ τῆς θυγατρὸς αὐτοῦ

10, 4 Αἰγέστην] Αἴγεστος audit apud Dionys. Hal. 1, 76 ‖ 11, 5 ἀναιρεθήσεσθαι B ‖ 6 θεᾶς Ἑστίας V et R ‖ 12, 6 περὶ] πρὸς V et R



παῖδας ὄντας αὐτούς. οἱ δὲ συναραμένων πολλῶν 14
ἀναιροῦσι τὸν Ἀμούλιον, τῷ δὲ Νομήτορι πάππῳ
αὐτῶν τὴν βασιλείαν τῆς Ἄλβης παρασχόντες αὐτοὶ
τὴν Ῥώμην κτίζειν ἀπήρξαντο ὀκτωκαιδεκάτῳ ἔτει τῆς
Ῥωμύλου ἡλικίας. πρὸ δὲ τῆς μεγάλης ταύτης Ῥώμης,
ἣν ἔκτισε Ῥωμύλος περὶ τὴν Φαυστύλου οἰκίαν ἐν ὄρει
Παλατίῳ, ἑτέρα τετράγωνος ἐκτίσθη Ῥώμη παρὰ Ῥώ-
μου καὶ Ῥωμύλου παλαιοτέρων τούτων. Is. Tzetz. ad
Lycophr. 1232. ergo Dionis sunt, quae leguntur apud
Zonaram 7, 3 (vol. II, p. 91, 7—10): ὀκτωκαίδεκα δ'
εἶναι Ῥωμύλος ἐνιαυτῶν ἀναγέγραπται, ὅτε τὴν Ῥώ-
μην συνῴκισεν. ἔκτισε δὲ αὐτὴν περὶ τὴν τοῦ Φαυ-
στούλου οἴκησιν· ὠνόμαστο δ' ὁ χῶρος Παλάτιον.
εἶπον τὴν ἱστορίαν ὄπισθεν πλατέως, ὅπως ἔκτισεν 15
Αἰνείας τὸ Λαουίνιον, κἂν οὗτοι μὴ εἰδότες τὴν Ῥώ-
μην φασίν. Ὅρα γάρ, ὅπως φασὶ τὴν ἱστορίαν. χρη-
σμὸν ἔλαβεν ὁ Αἰνείας, ἔνθα ἂν οἱ ἑταῖροι αὐτοῦ
καταφάγωσι τὰς ἑαυτῶν τραπέζας, ἐκεῖ κτίσαι πόλιν.
ἐλθόντες οὖν ἐν Ἰταλίᾳ καὶ ἀπορήσαντες τραπεζῶν
ἄρτοις ἀντὶ τραπεζῶν ἐχρήσαντο. τέλος δὲ ἔφαγον καὶ
τὰς τραπέζας ἤτοι τοὺς ἄρτους. συνεὶς οὖν ὁ Αἰνείας
τὸν χρησμὸν ἔκτισε τὴν Λαουινίαν πόλιν ἐκεῖσε, κἂν
οἱ μὴ εἰδότες τὴν Ῥώμην φασίν. Is. Tzetz. ad Lycophr.
1250. cf. supra fr. 3, 4.
ὅτι δὲ ἡ Ῥώμη τῆς Λατίνης χώρας ἐστίν, καὶ ὅτι 16
Λατίνου ὁμώνυμοί εἰσιν οἱ Λατῖνοι, ὃς Ὀδυσσέως καὶ
Κίρκης λέγεται, καὶ ὅτι ὁ Τίβερις, Ἀλβουλός ποτε κα-
λούμενος, οὕτω μετεκλήθη ὡς βασιλέως Τιβερίου ἐν
αὐτῷ θανόντος, ἄλλαι τε ἱστορίαι βοῶσι καὶ ἡ τοῦ
Δίωνος. Τιβέριον δὲ ἐνταῦθα ἡ ἱστορία φησὶν οὐ τὸν
μετὰ τὸν Αὔγουστον, ἀλλ' ἕτερον ἀρχαιότερον. ὅς,

φασίν, ἐν μάχῃ τελευτήσας καὶ ὑπὸ τοῦ ῥεύματος παρενεχθεὶς ἐπώνυμον ἑαυτῷ τὸν ποταμὸν ἀφῆκε. Eustathius in Dionysium 350.

17 Ἀρκείσιος δὲ Λαέρτης ὡς υἱὸς Ἀρκεισίου, ὃς ἢ παρὰ τὸ ἀρκέω ἀρκέσω ἐρρήθη, ὡς οἷα ἐπαρκεῖν ἁπλῶς δυνάμενος, ὅθεν καὶ ὁ ποδάρκης, ἢ διότι ἄρκος αὐτὸν ἤτοι ἄρκτος θηλάσοι, καθὰ καὶ ἕτερόν τινα ἵππος ἢ αἴξ ἢ ἄλλους τινὰς λύκαινα, ἐν οἷς καὶ οἱ τῶν Ῥωμαίων ἔξαρχοι κατὰ Δίωνα, Ῥῶμος δηλαδὴ καὶ Ῥωμύλος, οὓς ἐθήλασε λύκαινα, ἡ παρὰ Ἰταλιώταις λοῦπα· ὃ δὴ ὄνομα μετῆκται ἀστείως εἰς ἑταιρίδων προσηγορίαν. Eustathius in Odyss. p. 1961, 13—16.

4 ... (οὐ γὰρ ἔστιν οὔτε προϊδέσθαι πάντα ἀνθρώπῳ ὄντι οὔτ᾽ ἀποτροπὴν τῶν ἀναγκαίως ἐσομένων εὑρεῖν) τιμωρούς τινας τῆς ἀδικίας αὐτοῦ ἐκ τῆς κόρης ἐκείνης γεννηθῆναι. M p. 136.

2 ὅτι στασιάσαντες πρὸς ἀλλήλους Ῥέμος καὶ Ῥωμύλος ἔκδηλον ἐποίησαν, ὅτι τινὲς καὶ πάνυ ἀσφαλέστερον τοὺς κινδύνους τῶν εὐτυχιῶν συνδιαφέρουσιν. M p. 136. Περὶ Ῥωμύλου καὶ Ῥέμου Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἱστορεῖ, Δίων τε καὶ Διόδωρος. Io. Tzetz. schol. in Exeg. Hom. Il. p. 141, 20.

3 ὡρμημένοις δὲ πρὸς τὴν τῆς πόλεως δόμησιν διαφορὰ συνέβη τοῖς ἀδελφοῖς περί τε τῆς ἀρχῆς καὶ περὶ τῆς πόλεως καὶ διὰ μάχης ἐχώρησαν, ἐν ᾗ ὁ Ῥῶμος ἀπέθανεν. Zonar. 7, 3 (vol. II, p. 90, 7 sqq.). Cf. Haupt, Hermes XIV, p. 441.

4 ὅθεν καὶ ἐνομίσθη τὸν στρατοπέδου τάφρον τολ-

4, 1, 1 ⟨ὅτι ἐχρῆν⟩ vel ⟨ὅτι ἔδει⟩ vel tale quid suppl. Boissevain in fragmenti initio, idem rectius distinxit, ⟨ἔδει δὲ⟩ B ‖ 2, 2 ἔκδηλον B, cf. fr. 18, 10, ἔκδημον L



μήσαντα διελθεῖν παρὰ τὰς συνήθεις ὁδοὺς θανατοῦσθαι. Zonar. ib. p. 90, 16—18.

καὶ αὐτοί τε ἐξέμαθον καὶ τοὺς ἄλλους ἐξεδίδαξαν, 5
ὅτι οὔθ᾽ οἱ τιμωρούμενοί τινας κατορθοῦσι πάντως,
ὅτι προηδίκηνται, οὔθ᾽ οἱ παρὰ τῶν κρειττόνων ἀπαι-
τοῦντές τινα ἀπολαμβάνουσιν αὐτά, ἀλλὰ πολλάκις καὶ
τὰ λοιπὰ προσαπολλύουσιν. M p. 136.

ὅτι ἡ Ἑρσιλία καὶ αἱ ἄλλαι ⟨αἱ⟩ ὁμόφυλοι γυναῖκες 6
τηρήσασαί ποτε ἀντιπαρατεταγμένους σφᾶς κατέδραμον
ἀπὸ τοῦ Παλατίου μετὰ τῶν παιδίων (ἤδη γάρ τινα
ἐγεγένητο) καὶ ἐς τὸ μεσαίχμιον ἐξαπίνης ἐσπεσοῦσαι
πολλὰ καὶ οἰκτρὰ καὶ εἶπαν καὶ ἐποίησαν· τοτὲ μὲν γὰρ
πρὸς τούτους, τοτὲ δὲ πρὸς ἐκείνους βλέπουσαι "τί
ταῦτα" ἔφασαν "ποιεῖτε, πατέρες; τί ταῦτα, ἄνδρες;
μέχρι ποῦ μαχεῖσθε; μέχρι ποῦ μισήσετε ἀλλήλους; 7
καταλλάγητε τοῖς γαμβροῖς, καταλλάγητε τοῖς πενθε-
ροῖς. φείσασθε πρὸς τοῦ Πανὸς τῶν τέκνων, φείσασθε
πρὸς τοῦ Κυρίνου τῶν ἐγγόνων. ἐλεήσατε τὰς θυγα-
τέρας, ἐλεήσατε τὰς γυναῖκας· ὡς εἴγε ἀκαταλλάκτως
ἔχετε, καί τις ὑμᾶς σκηπτὸς μανίας εἰσπεσὼν οἰστρεῖ,
ἡμᾶς τε, δι᾽ ἃς μάχεσθε, προαποκτείνατε καὶ τὰ
παιδία ταῦτα, ἃ μισεῖτε, προαποσφάξατε, ἵνα μηδὲν
ἔτι μήτ᾽ ὄνομα μήτε σύνδεσμον συγγενείας πρὸς ἀλλή-
λους ἔχοντες κερδάνητε τὸ μέγιστον τῶν κακῶν, τὸ
τούς τε πάππους τῶν παίδων καὶ τοὺς πατέρας τῶν
ἐγγόνων φονεύειν." ταῦτά τε ἔλεγον καὶ τὰ ἱμάτια 8
καταρρηξάμεναι τούς τε μαστοὺς καὶ τὰς γαστέρας

5, 1 αὐτοὶ] Caeninensesne Crustuminique et Antemnates? B ‖ 6, 1 ⟨αἱ⟩ inseruit D coll. fr. 17, 2, 4; 6, 8 ‖ 5 et 6 τότε — τότε L, accentum mutavit Boissevain ‖ 7, 4 (et 8, 1) ἐγγόνων B, ἐκγόνων L ‖ 6 σκηπτὸς Krebs, μασκηπὸς L ‖ 7 προαποκτείνατε B, προαποκτείνετε L ‖ 11 τε del. Krebs ‖ παίδων] παιδίων Krebs

γυμνώσασαι, αἱ μὲν αὐταὶ τοῖς ξίφεσι σφῶν ἐνεχρίμπτοντο, αἱ δὲ καὶ τὰ παιδία αὐτοῖς προσερρίπτουν, ὥστε ἐκείνους καὶ ἐξ ὧν ἤκουον καὶ ἐξ ὧν ἑώρων κλαῦσαι καὶ τῆς τε μάχης ἐπισχεῖν καὶ ἐς λόγους αὐτοῦ, ὥσπερ εἶχον, ἐν τῷ κομιτίῳ δι' αὐτὸ τοῦτο κληθέντι συνελθεῖν. M p. 137.

9 τρίβους τριττὺς ἢ τρίτον μέρος. τρισχίλιοι γὰρ ὄντες ὁπλῖται Ῥωμύλου, ὥς φησι Δίων ἐν τῷ πρώτῳ λόγῳ τῆς ἱστορίας, εἰς τρεῖς ἐνεμήθησαν μοίρας κληθείσας τρίβους, τοῦτ' ἔστι τριττύας, ἃς καὶ φυλὰς ὠνόμασαν Ἕλληνες. ἑκάστη δὲ τριττὺς εἰς δέκα διῃρέθη κουρίας ἤτοι φροντιστήρια· κοῦρα μὲν γὰρ ἡ φροντὶς λέγεται, καθ' ἑκάστην δὲ κουρίαν συνιόντες οἱ εἰς αὐτὴν τεταγμένοι τινὰ τῶν καθηκόντων ἐξ-
10 εφρόντιζον. λέγονται δὲ καθ' Ἕλληνας αἱ κουρίαι φρατρίαι καὶ φατρίαι, οἱονεὶ ἑταιρεῖαι, ἀδελφότητες, συναλλάγματα, συστήματα, παρὰ τὸ τοὺς φρατριάζοντας φράζειν ἢ φαίνειν ἀτρέστως καὶ ἀφόβως ἀλλήλοις τὰ ἴδια βουλήματα· ὅθεν καὶ φράτορες οἱ πατέρες ἢ συγγενεῖς ἢ διδάσκαλοι, οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες. τάχα δὲ καὶ ἀπὸ τῆς Ῥωμαϊκῆς μετηνέχθη λέξεως τοῦ φρᾶτερ, ὃ δηλοῖ τὸν ἀδελφόν. Glossar. Nom. Labbaei.

11 (καὶ τὸν δῆμον ποπούλους ὠνόμασεν)· ὅθεν καὶ παρὰ ταῖς βίβλοις ταῖς νομικαῖς ποπουλαρία κέκληται ἡ δημοτικὴ ἀγωγή. Zonar. 7, 3 (vol. II, p. 91, 17 et 18. Cf. Haupt, Hermes XIV, p. 441.

12 ἐκείνη (sc. ἡ Ταρπηία) γὰρ ἐφ' ὕδωρ κατελθοῦσα συν-

8, 3 αὐταὶ τοῖς B, αὐτοῖς L ‖ 4 αἱ δὲ καὶ B, αὐτάς τε καὶ L ‖ 6 ἐς λόγους Krebs, ἔληγον L ‖ 10, 2 verba οἱονεὶ — συστήματα, 4 ἀλλήλοις, 5 ὅθεν — μετέχοντες ut glossatoris additamenta seclusit R



ελήφθη καὶ ἤχθη πρὸς Τάτιον καὶ ἀνεπείσθη προδοῦναι τὸ ἔρυμα. Zonar. ib. p. 93, 15—17.

πολὺ γὰρ διαφέρει ἐκ καινῆς τινας κατασταθῆναι ἢ καὶ πρότερον οὔσας ἐπικληθῆναι. M p. 137. 13

ὅτι ὁ Ῥωμύλος πρὸς τὴν γερουσίαν τραχύτερον διέκειτο καὶ τυραννικώτερον αὐτῇ προσεφέρετο καὶ τοὺς ὁμήρους τοῖς Οὐηιένταις . . . καθ' ἑαυτὸν καὶ οὐκ ἀπὸ κοινῆς γνώμης, ὥσπερ τὰ πολλὰ ἐγίγνετο. ἀγανακτοῦντάς τε ἐπὶ τούτῳ αἰσθόμενος ἄλλα τε ἐπαχθῆ καὶ τέλος εἶπεν ὅτι ἐγὼ ὑμᾶς, ὦ πατέρες, ἐξελεξάμην οὐχ ἵνα ὑμεῖς ἐμοῦ ἄρχοιτε, ἀλλ' ἵνα ἐγὼ ὑμῖν ἐπιτάττοιμι. M p. 138. — Quae leguntur de Romulo apud Ioannem Antiochenum fr. 32 (Mueller, fr. hist. gr. IV, p. 552) ex integris Dionis libris hausta esse videntur. Cf. H. Haupt, Hermes XIV, p. 44, not. 1. 14

Δίων α' "οὕτω που φύσει πᾶν τὸ ἀνθρώπινον οὐ φέρει πρός τε τοῦ ὁμοίου καὶ τοῦ συνήθους, τὰ μὲν φθόνῳ, τὰ δὲ καταφρονήσει αὐτοῦ, ἀρχόμενον." Bekkeri Anecd. p. 164, 15. 15

Δίων ἐν α' "ἐν ᾧ καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν παραβαλλόμενος ὑπὲρ ὑμῶν ἐκινδύνευσεν." ib. p. 165, 27. 16

τῷ Ῥωμύλῳ καὶ στέφανος ἦν καὶ σκῆπτρον ἀετὸν ἔχον ἐπ' ἄκρου καὶ φαινόλης λευκὸς ποδήρης, ἀπὸ τῶν ὤμων ἔμπροσθεν μέχρι ποδῶν πορφυροῖς ὑφάσμασιν ῥεραβδωμένος, ὄνομα δὲ τῷ φαινόλῃ τόγα, οἱονεὶ σκέπασμα, ἀπὸ τοῦ τέγερε, κατ' ἀντίστοιχον· οὕτω 5

14, 3 Οὐηιένταις, formam Dioneam restituit Boissevain coll. fr. 24, 1, 4 et Zonar. VII 21, Βιένταις L ‖ ⟨ἀπέδωκε⟩ καθ' ἑαυτὸν Mai ‖ 7 ἄρχοιτε Krebs, Herw., ἄρχητε L ‖ 16 hoc fragmentum orationis P. Horati patris filium defendentis esse censet Baumgarten, die Quellen des Dio in der aelteren roem. Geschichte p. 2, coll. Liv. 1, 26, 11 ‖ 5, 1, 4 ἐρραβδωμένος Herwerden

γὰρ τὸ σκέπειν Ῥωμαῖοι καλοῦσι, καὶ ὑπόδημα φοινικοῦν, κόθορνος ὄνομα αὐτῷ, κατὰ τὸν Κοκκήιον. Ioannes Laurentius Lydus De magistratibus Reip. Rom. 1, p. 20—22. ergo Dionis sunt verba Zonarae vol. II, p. 96, 5 (Ῥωμύλος) καὶ πεδίλοις ἐκέχρητο ἐρυθροῖς.

2 κατὰ τῆς γῆς γὰρ χέοντες τέφραν ἐκ τῆς ἑστίας τῇ ῥάβδῳ ταύτῃ τεχνικῶς ἔγραφον τὰς μαντείας βλέποντες πρὸς τὸν ἥλιον καὶ λέγοντες τὸ μέλλον. ταύτην τὴν ῥάβδον Πλούταρχος λίτυον ὀνομάζει, λίτουους δὲ Κοκκειανὸς Κάσσιος Δίων λέγει. Io. Tzetz. Alleg. Iliadis 1,28. Cf. Exeg. in Iliad. p. 76, 25.

3 ὅτι ὁ Νουμᾶς ᾤκει ἐν κολωνῷ τῷ Κυριναλίῳ ὠνομασμένῳ ἅτε καὶ Σαβῖνος ὤν, τὰ δὲ δὴ ἀρχεῖα ἐν τῇ ἱερᾷ ὁδῷ εἶχε καὶ τάς τε διατριβὰς πλησίον τοῦ Ἑστιαίου ἐποιεῖτο καὶ ἔστιν ὅτε καὶ κατὰ χώραν ἔμενεν. V p. 569.

4 ἐπειδὴ γὰρ εὖ ἠπίστατο τούς γε πολλοὺς τῶν ἀνθρώπων τὸ μὲν ὁμοφυές σφισι καὶ σύννομον ἐν ὀλιγωρίᾳ ὡς μηδὲν βέλτιον ἑαυτῶν ὂν ποιουμένους, τὸ δὲ ἀφανὲς καὶ ἀλλοῖον ὡς καὶ κρεῖσσον πίστει τοῦ θείου θεραπεύοντας, χωρίον τέ τι ταῖς Μούσαις ἱέρωσεν... M p. 138.

5 δεῖν γὰρ τοὺς θεοὺς εἰρήνης καὶ δικαιοσύνης φύλακας ὄντας φόνου καθαροὺς εἶναι· μήτε δὲ ἀκούειν τι τῶν θείων μήτε ὁρᾶν ἐν παρέργῳ καὶ ἀμελῶς, ἀλλὰ σχολὴν ἄγοντας ἀπὸ τῶν ἄλλων καὶ προσέχοντας τὴν διάνοιαν ὡς πράξει μεγίστῃ τῇ περὶ τὴν εὐσέβειαν. Zonar. 7, 5 (vol. II, p. 100, 21—26).

---

4, 1 γε B, τε L ‖ 4 κρεῖσσον πίστει τοῦ θείου legere sibi videbatur Mai, κρεῖσσον ἐξ ἴσου τῷ θείῳ? B



Δίων α' βιβλίῳ "ταῦτά τε οὖν ὁ Νουμᾶς ἐνόμισεν." Bekk. Anecd. p. 158, 23. 6

[ἔπειτα καὶ] ὅτι δι' ἑαυτῶν τότε κατέστησαν πίστιν τοῦ θείου λαβόντες, κἀκ τούτου αὐτοί τε ἐν εἰρήνῃ καὶ πρὸς ἀλλήλους καὶ πρὸς τοὺς ἀλλοφύλους παρὰ πᾶσαν τὴν τοῦ Νουμᾶ ἀρχὴν διεγένοντο, καὶ ἐκεῖνος οὐκ ἀθεεί σφισιν ἐξ ἴσου τῷ Ῥωμύλῳ ὑπάρξαι ἔδοξεν. φασὶ δὲ αὐτὸν οἱ σαφέστατα τὰ Σαβίνων εἰδότες ἐν τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ ἡ Ῥώμη ἐκτίσθη, γεγεννῆσθαι. 7
οὕτω μὲν δὴ δι' ἀμφοτέρους αὐτοὺς καὶ ἰσχυρὰ ταχὺ καὶ εὔκοσμος ἡ πόλις ἐγένετο, τοῦ μὲν τὰ πολεμικὰ αὐτὴν ἀναγκαίως ἅτε καὶ νεόκτιστον οὖσαν ἀσκήσαντος, τοῦ δὲ τὰ εἰρηνικὰ προσεκδιδάξαντος, ὥστ' αὐτὴν ἐν ἑκατέρῳ ὁμοίως διαπρέψαι. V p. 569. 8

Δίων ὁ Ῥωμαῖος ἀρχαῖόν τινα ἥρωα Ἰανὸν λέγει διὰ τὴν τοῦ Κρόνου ξένισιν λαβόντα τὴν γνῶσιν τῶν μελλόντων καὶ τῶν προϋπαρχόντων καὶ διὰ τοῦτο διπρόσωπον ὑπὸ Ῥωμαίων πλάττεσθαι· ἐξ οὗ τόν τε μῆνα κληθῆναι Ἰανουάριον, καὶ τὴν τοῦ ἔτους ἀρχὴν ἀπὸ τοῦ αὐτοῦ μηνὸς γίνεσθαι. Cedrenus vol. I, p. 295, 10 Bekk. 9

α' βιβλίῳ Δίων "καὶ γὰρ ἐν ἀρχαῖς τισι τελευταίων ὀριγνώμενοι καὶ τὰς δαπάνας οὐκ ἀκουσίους ὑπομένομεν." Bekk. Anecd. p. 161, 3. 10

(Νομᾶς) χρόνον τριετῆ τοῖς ὀγδοήκοντα προσβιώσας, βασιλεύσας ἔτη ἐπὶ τρισὶ τεσσαράκοντα. Zonar. 7, 5 (vol. II, p. 102, 2). Cf. Haupt, Hermes XIV, p. 441. 11

---

7, 1 ἔπειτα καὶ (sc. Δίων φησί) excerpentis, non Dionis verba esse putat R, quamobrem D iure seclusit ‖ πίστιν] πύστιν R ‖ 6 σαφέστατα τὰ D, τὰ σαφέστατα L

6 *Δίωνος β΄ βιβλίῳ* "*δόξαν τὴν ἐκείνων ἐπίπροσθέν*
*σφισι τῆς αὐξήσεως ἔσεσθαι.*" Bekk. Anecd. p. 139, 12.
2 ὅτι [ὁ Τοῦλλος καὶ ὁ Μέττιος] οὐδέτεροι συνεχώ-
ρουν τὴν μετανάστασιν, ἀμφότεροι δὲ τὰ σφέτερα
περιέστελλον· ὅ τε γὰρ Τοῦλλος πρός τε τὴν φήμην
τὴν περὶ Ῥωμύλου καὶ πρὸς τὴν δύναμιν τὴν παροῦ-
σαν καὶ ὁ Φουφήτιος πρός τε τὴν ἀρχαιότητα τῆς
Ἄλβης καὶ ὅτι καὶ μητρόπολις ἄλλων τε πολλῶν καὶ
αὐτῶν τῶν Ῥωμαίων ἦν, ἐπαιρόμενοι μικρὸν οὐδὲν
3 ἐφρόνουν. δι' οὖν ταῦτα τῆς ἀμφισβητήσεως ἐκείνης
ἀπέστησαν, περὶ δὲ τῆς ἡγεμονίας διηνέχθησαν· ἀστα-
σια.... γὰρ ἐπὶ τοῖς ἴσοις ἀσφαλῶς συμβῆναι σφᾶς
...ρωνιον ἐκ τῆς ἐμφύτου τοῖς ἀνθρώποις πρός τε
τὸ ὅμοιον φιλονεικίας καὶ πρὸς τὸ ἄρχειν ἑτέρων ἐπι-
θυμίας. πολλὰς δὲ καὶ περὶ τούτου δικαιώσεις ἀλλή-
λοις προσήνεγκον, εἴ πως ἐκείνης γε οἱ ἕτεροι ὁποτε-
ροιοῦν ἐθελούσιοι τοῖς ἑτέροις παραχωρήσειαν. οὐδὲν
δ' ἐπέραναν, ἀλλ' ὑπὲρ αὐτῆς ἀγωνίσασθαι συνέθεντο.
M p. 139. Cf. Zonar. 7, 6 (vol. II, p. 102, 12—17).

---

Zonar. 7, 6 (vol. II, p. 102, 9 sqq.) *ἁρπαγῆς γοῦν γε-
νομένης παρὰ Ῥωμαίων ἐξ Ἀλβανῶν ὥρμησαν πρὸς μάχην
ἑκάτεροι· πρὸ δὲ τοῦ συμβαλεῖν κατηλλάγησαν καὶ ἐς μίαν*
fr. 6, 2 *πόλιν ἀμφοῖν ἐδόκει συνοικῆσαι τοῖς γένεσιν. ἑκάστου δὲ
τῆς οἰκείας ἐχομένου καὶ τὸ ἕτερον εἰς ταύτην
ἀξιοῦντος μετανας τεῦσαι ἀπέστησαν τοῦ σκοποῦ.*

---

6, 2, 1 [*ὁ Τοῦλλος καὶ ὁ Μέττιος*] del. D ‖ 3, 2 *ἀστασια.... γὰρ ἐπὶ τοῖς ἴσοις ἀσφαλῶς συμβῆναι σφας... ρωνιον ἐκ τῆς ἐμφύτου κ. τ. λ.* legere potuit Boissevain; *ἀστασιάστοις — συμβιοῦν* (hanc cod. lectionem enotaverat Mai) *σφισιν ἑώρων ἀδύνατον ἐκ τῆς κ. τ. λ.* Herwerden; fortasse *ἀστασιάστους — συμβιοῦν σφᾶς ἑώρων οὐ δυνατον ἐκ τῆς κ. τ. λ.* Schenkl ‖ 3 *σφας... ρωνιον*] *οὐδ' ἐπειρῶντο* coniecerat B ‖ 5 *φιλονεικίας*] *φιλανιας* i. e. *φιλανθρωπίας* L, corr. B ‖ 6 *δὲ* B, *τε* L ‖ 9 *ἐπέραναν* B, *ἐπέρανον* L



*Δίωνος βιβλίον β΄* "*καὶ μηδὲν ἕτερον δεινὸν προσ-* 4
*δεχομένοις ἐπιθέμενος.*" Bekk. Anecd. p. 139, 15. Cf.
Zonar. 7, 6 (vol. II, p. 103, 4).
ὅτι ὁ Τοῦλλος πρὸς τοὺς πολεμίους κράτιστος 5

[Zonar. 7, 6 — vol. II, p. 102, 14 sqq.]

*εἶτα περὶ τῆς ἡγεμονίας διηνέχθησαν· ὡς δὲ οὐδεὶς
τῷ ἑτέρῳ παρεχώρει αὐτῆς, ἀγωνίσασθαι συνέθεντο περὶ* fr. 6, 3
*τῆς ἀρχῆς. οὔτε δὲ τοῖς στρατοπέδοις ὅλοις ἐδόκει μαχέ-
σασθαι οὔτε μὴν μονομαχίᾳ κριθήσεσθαι. ἦσαν δὲ παρ'
ἀμφοῖν τρίδυμοι ἀδελφοί, ἐκ μητέρων γεγονότες διδύμων,
ἰσήλικές τε καὶ ἰσοπαλεῖς τὴν ἰσχύν· ἐκαλοῦντο δὲ οἱ μὲν
τῶν Ῥωμαίων Πουπλιοράτιοι, οἱ δὲ τῶν Ἀλβανῶν Κουριάται.
τούτους εἰς μάχην προεβάλοντο παρ' οὐδὲν τὴν πρὸς ἀλ-
λήλους αὐτῶν συγγένειαν θέμενοι. οἱ δὲ ὁπλισάμενοι καὶ
ἐν τῷ μεταιχμίῳ τῶν στρατοπέδων ἀντιπαραταξάμενοι θεούς
τε ὁμογνίους ἀνεκαλοῦντο καὶ συνεχῶς ἀνέβλεπον πρὸς τὸν
ἥλιον. συμβαλόντες δὲ ποτὲ μὲν ἀθρόοι, ποτὲ δὲ καὶ καθ'
ἕνα ἐμάχοντο. τέλος δὲ τῶν μὲν Ῥωμαίων τῶν δύο πεσόν-
των, τῶν δὲ Ἀλβανῶν ἁπάντων τρωθέντων ὁ Ὁράτιος ὁ
κατάλοιπος, ὅτι τοῖς τρισὶν ἅμα, εἰ καὶ ἄτρωτος ἦν, οὐκ
ἠδύνατο ἀντιτάξασθαι, ἐνέκλινεν, ὡς ἂν διώκοντες αὐτὸν
σκεδασθῶσι· κἀπειδὴ πρὸς τὴν δίωξιν διεσπάρησαν, ἑκάστῳ* fr. 6, 4
*ἐπιτιθέμενος ἅπαντας διεχρήσατο. κἀντεῦθεν τετίμητο·
ὅτι δὲ καὶ τὴν ἀδελφὴν προσαπέκτεινεν ὀλοφυρομένην, ἐπεὶ
τὰ τῶν ἀνεψιῶν σκῦλα ἑώρα φέροντα τὸν Ὁράτιον, φόνου
ἐκρίθη· ἐς δὲ τὸν δῆμον ἔκκλητον αἰτήσας ἀφείθη.
οἱ δὲ Ἀλβανοὶ τότε μὲν ὑπήκοοι τῶν Ῥωμαίων ἐγένοντο,
ὕστερον δὲ τὰς συνθήκας ἀθετήσαντες καὶ ὡς ὑπήκοοι πρὸς
συμμαχίαν κληθέντες, μεταθέσθαι δὲ πρὸς τοὺς πολεμίους
ἐν τῷ καιρῷ τῆς μάχης ἐπιχειρήσαντες καὶ συνεπιθέσθαι
Ῥωμαίοις, γνωσθέντες ἐκολάσθησαν· καὶ πολλοὶ μὲν ἐκτάν-
θησαν καὶ ὁ αὐτῶν ἐξηγούμενος Μέττιος, οἱ ἄλλοι δὲ μετ-
ανάστασιν ἔπαθον, καὶ ἡ πόλις αὐτῶν Ἄλβα κατεσκάφη,
πεντακόσιά που ἔτη Ῥωμαίοις νομισθεῖσα μητρόπολις.
πρὸς μὲν οὖν τοὺς πολεμίους ὁ Τοῦλλος κρά-* fr. 6, 5
*τιστος ἔδοξε, τοῦ θείου δὲ παρημέλει. νόσου δ' ἐν-*

*ἐνομίζετο, τοῦ δὲ δὴ θείου πάνυ καταφρονήσας παρημέλει, μέχρις οὗ νόσου λοιμώδους γενομένης καὶ αὐτὸς ἠρρώστησε· τότε γὰρ τῶν τε ἄλλων θεῶν δι' ἀκριβείας ἐπεμελήθη καὶ τοὺς Σαλίους τοὺς Κολλίνους προσκατέστησε.* V p. 569. Cf. Zonar. 7, 6 (vol. II, p. 103, 19—22).

7 *ὅτι συνεὶς ὁ Μάρκιος, ὡς τοῖς βουλομένοις εἰρηνεῖν οὐκ ἐξαρκεῖ τὸ μηδὲν ἀδικεῖν, οὐδέ ἐστι τὸ ἄπραγμον ἄνευ τοῦ δραστηρίου σωτήριον, ἀλλ' ὅσῳ τις αὐτοῦ ὀριγνᾶται, εὐεπιθετώτερος τοῖς πολλοῖς γίγνεται, μετεβάλετο· οὔτε γὰρ τὸ ἐπιθυμοῦν ἡσυχίας ἰσχυρὸν πρὸς*

[Zonar. 7, 6 — vol. II, p. 103, 21 sqq.]

σκηψάσης λοιμώδους καὶ αὐτὸς νοσήσας εἰς δεισιδαιμονίαν ἀπέκλινεν. ἐσχηκέναι μέντοι τοῦ βίου λέγεται τέλος (καταφλεχθεὶς ὑπὸ κεραυνῶν ἤ, hic sequitur Plutarchum, Num. cap. 22 extr.) ἐπιβουλευθεὶς ὑπὸ Μαρκίου Ἄγκου, ὃς θυγατριδοῦς ἐτύγχανεν, ὡς εἴρηται, τοῦ Νομᾶ. ἐβασίλευσε δὲ Ῥωμαίων ἔτη δύο ἐπὶ τριάκοντα.

7. ἐπεὶ δ' Ὀστίλλιος ἐτελεύτησε, διεδέξατο τὴν βασιλείαν ὁ Μάρκιος παρ' ἑκόντων τῶν Ῥωμαίων ταύτην λαβών. ἦν δὲ τὴν χεῖρα οὐκ ἄρτιος· τὴν γὰρ ἀγκύλην πεπήρωτο, ὅθεν καὶ Ἄγκος ἐπώνυμον ἔσχηκεν. ἐπιεικὴς δὲ ὢν ἠναγκάσθη
fr. 7, 1 μεταβαλέσθαι καὶ πρὸς στρατείας ἐτράπετο. οἱ γὰρ λοιποὶ Λατῖνοι διά τε τὸν τῆς Ἄλβης ὄλεθρον καὶ περὶ ἑαυτῶν δεδοικότες, μή τι πάθωσιν ὅμοιον, δι' ὀργῆς μὲν εἶχον Ῥωμαίους, ἕως δὲ περιῆν ὁ Τοῦλλος, δεδιότες ἐκεῖνον ὡς μάχιμον συνεστέλλοντο. τὸν δὲ Μάρκιον εὐεπίθετον ἡγησάμενοι διὰ τὸ εἰρηναῖον τῆς γνώμης τῇ τε χώρᾳ ἐπῆλθον καὶ
fr. 7, 1 αὐτὴν ἐληίσαντο. συνεὶς δ' ἐκεῖνος εἰρήνης εἶναι τὸν πόλεμον αἴτιον ἐπιτίθεται τοῖς ἐπιθεμένοις καὶ ἀντημύ-

5,5 ἐπεμελήθη] ἐπεμελήθησαν L ‖ 7, 1, 3 δραστηρίου σωτήριον Egger, σωτηρίου δραστήριον L, cf. Thucyd. 2, 63, 3 ‖ 5 πρὸς φυλακὴν B, προφυλακῆς L



*φυλακὴν ἄνευ τῶν πρὸς τὸν πόλεμον παρασκευῶν ἑώρα ὂν καὶ τὸ τερπνὸν τῆς ἀπραγμοσύνης τάχιστα καὶ ῥᾷστα τοῖς πέρα τοῦ καιροῦ σπουδάζουσιν αὐτὴν ἀπολλύμενον ἠσθάνετο. καὶ διὰ ταῦτα καὶ καλλίω καὶ* 2
*ἀσφαλεστέραν καὶ παρασκευὴν καὶ φροντίδα τῆς εἰρήνης τὸν πόλεμον νομίσας εἶναι πάνθ' ὅσα παρ' ἑκόντων τῶν Λατίνων μηδὲν σφᾶς ἀδικῶν οὐκ ἠδυνήθη κομίσασθαι, παρὰ ἀκόντων στρατεύσας ἀπέλαβεν.* M p. 139. Cf. Zonar. 7, 7 (vol. II, p. 104, 3 sqq.).

[Zonar. 7, 7 — vol. II, p. 104, 12 sqq.]

νατο καὶ πόλεις εἷλεν αὐτῶν, ὧν μίαν κατέσκαψε, καὶ πολλοῖς τῶν ἁλόντων ὡς αἰχμαλώτοις ἐχρήσατο καὶ ἐς τὴν Ῥώμην δὲ συχνοὺς ἑτέρους μετῴκισεν. αὐξανομένων δὲ τῶν Ῥωμαίων καὶ τῆς χώρας σφίσι προστιθεμένης οἱ πλησιόχωροι ἤχθοντο καὶ ἑαυτοὺς Ῥωμαίοις ἐξεπολέμωσαν· ὅθεν αὐτῶν Φιδηνάτας μὲν πολιορκίᾳ ἐκράτησαν, Σαβίνους δ' ἐκάκωσαν αὐτοῖς τε προσπεσόντες ἐσκεδασμένοις καὶ τὸ σφῶν ἑλόντες στρατόπεδον, ἑτέρους δ' ἐκφοβήσαντες εἰρηνεῖν καὶ ἄκοντας παρεσκεύασαν. καὶ ἐπὶ τούτοις Μαρκίῳ ἐπέλιπε τὸ βιώσιμον εἴκοσιν ἐνιαυτοὺς καὶ τέσσαρας ἄρξαντι καὶ πολλὴν τοῦ θείου κατὰ τὸν πάππον Νομᾶν ποιουμένῳ τὴν ἐπιμέλειαν.

8. Λούκιος δὲ Ταρκύνιος τὴν ἀρχὴν ᾠκειώσατο, ὃς Δημαράτου μὲν ἦν παῖς Κορινθίου, φυγόντος δὲ καὶ εἰς πόλιν Τυρσηνίδα Ταρκυνίαν ἐγκατοικήσαντος ἐξ αὐθιγενοῦς γυναικὸς ἐκείνῳ ἐτέχθη, Λουκούμων ὀνομασθείς. πολλὰ μέντοι πατρόθεν διαδεξάμενος, ὅτι μὴ τῶν πρωτείων παρὰ τῶν Ταρκυνησίων ὡς ἔπηλυς κατηξίωτο, πρὸς τὴν Ῥώμην μετανάστεύει τῇ πόλει καὶ τὴν κλῆσιν συμμεταθέμενος καὶ μετωνομάσθη Λούκιος Ταρκύνιος ἐκ τῆς πόλεως, ἐν ᾗ παρῴκει. λέγεται δὲ μετοικιζομένου ἀετὸς καταπτὰς ἁρπάσαι τὸν πῖλον, ὃν εἶχεν ἐπὶ τῆς κεφαλῆς, καὶ μετεωρισθεὶς καὶ κλάγξας ἐπὶ πολὺ αὖθις αὐτὸν ἐφαρμόσαι τῇ αὐτοῦ κεφαλῇ, ὡς ἐντεῦθεν μηδὲν ἐλπίσαι μικρὸν καὶ προθύμως τῇ Ῥώμῃ ἐγκατοικῆσαι·

1, 8 ῥᾷστα B, ῥᾷον L ‖ τοῖς Mai, τοὺς L

8 ὅτι Ταρκύνιος πλούτῳ καὶ συνέσει καὶ εὐτραπελίᾳ
πολλῇ πανταχοῦ κατὰ καιρὸν χρώμενος οὕτω τὸν
Μάρκιον διέθηκεν, ὥστε καὶ ἐς τοὺς εὐπατρίδας καὶ
ἐς τὴν βουλὴν ὑπ᾽ αὐτοῦ καταλεχθῆναι, στρατηγός
τε πολλάκις ἀποδειχθῆναι καὶ τὴν ἐπιτροπείαν τῶν
παίδων αὐτοῦ καὶ τῆς βασιλείας πιστευθῆναι· καὶ γὰρ
τοῖς ἄλλοις προσφιλὴς οὐδὲν ἧττον ἦν καὶ διὰ τοῦτο
2 καὶ ἑκόντων αὐτῶν ἐπρώτευσεν. αἴτιον δὲ ὅτι πάντα
ἀφ᾽ ὧν ἰσχύειν ἔμελλε πράττων οὐκ ἐξεφρόνει, ἀλλ᾽ ἐν
τοῖς πρῶτος ὢν συνεστέλλετο. καὶ τὰ μὲν ἐπίπονα
καὶ ἀνθ᾽ ἑτέρων καὶ ἐν τῷ φανερῷ ὑπέμενε, τῶν δὲ
δὴ ἡδέων τοῖς τε ἄλλοις ἐθελοντὴς παρεχώρει καὶ [γὰρ]
αὐτὸς ἢ οὐδὲν ἢ ὀλίγα καὶ ταῦτα λανθάνων ἐκαρ-
ποῦτο. καὶ τῶν μὲν ἀμεινόνων τήν τε αἰτίαν ἐς πάν-
τας μᾶλλον ἢ ἐς αὐτὸν ἀνῆγε καὶ τὴν ἀπόλαυσιν ἐς
τὸ μέσον τῷ δεομένῳ κατετίθει, τὰ δὲ ἀτοπώτερα
3 οὔτ᾽ ἀνέφερεν ἔς τινα οὔτε ἐκοινοῦτό τινι. πρὸς δὲ

[Zonar. 7, 8 — vol. II, p. 105, 10 sqq.]

fr. 8, 1 ὅθεν τοῖς πρώτοις οὐ μετὰ πολὺ συνηρίθμητο. τῷ τε γὰρ πλούτῳ χρώμενος ἀφειδέστερον, συνέσει τε καὶ εὐτραπελίᾳ τοὺς δυνατοὺς οἰκειούμενος ἐς τοὺς εὐπατρίδας καὶ τὴν βουλὴν κατελέχθη παρὰ Μαρκίου καὶ στρατηγὸς ἀπεδείχθη καὶ τὴν τῶν παίδων ἐκείνου ἐπιτροπείαν καὶ τῆς βασιλείας πεπίστευτο. ἐδείκνυε γὰρ ἑαυτὸν ἀγαθὸν ἄνδρα, χρημάτων τε τοῖς δεομένοις μεταδιδοὺς καὶ ἑαυτὸν ἕτοιμον παρέχων, εἴ τις δέοιτο αὐτοῦ εἰς βοήθειαν· φαῦλον δέ τι οὔτ᾽ ἔπραττεν οὔτ᾽ ἔλεγεν οὐδενί. καὶ εἴ τι πρός τινων εὖ ἔπασχεν, ἐξῇρε τὸ γινόμενον, εἰ δέ τι καὶ ἐπαχθέστερον αὐτῷ γένοιτο, ἢ οὐδ᾽ ἐλογίζετο τὸ λυποῦν ἢ καὶ φαυλίσας παρελογίζετο, οὐ

8, 2, 3 πρῶτος B, πρώτοις L ‖ 5 [γὰρ] inclusit B



τούτοις ἐχαρίζετο μὲν πᾶσι τοῖς ἀμφὶ τὸν Μάρκιον ὡς ἑκάστοις καὶ τῷ ἔργῳ καὶ τοῖς λόγοις· τῶν τε γὰρ χρημάτων ἀφειδῶς ἀνήλισκε καὶ ταῖς σπουδαῖς, εἴ τίς τι αὐτοῦ δεηθείη, ἑτοίμως ἐχρῆτο· φαῦλον δέ ⟨τι⟩ ἐς οὐδένα οὔτε ἔλεγεν οὔτε ἔπραττεν οὐδὲ ἐς ἀπέχθειαν ἑκὼν οὐδενὶ καθίστατο. καὶ προσέτι, ἃ μὲν εὖ ὑπό τινων ἔπασχεν, ἐπὶ τὸ μεῖζον ἀεὶ ἐλάμβανε, τὰ δὲ δυσχερέστερα ἤτοι τὴν ἀρχὴν οὐδὲ προσεποιεῖτο ἢ καὶ φαυλίσας παρ᾽ ἐλάχιστον ἦγε καὶ οὐχ ὅσον οὐκ ἠμύνετό τινα ἐπ᾽ αὐτοῖς, ἀλλὰ καὶ εὐηργέτει, μέχριπερ

[Zonar. 7, 7 — vol. II, p. 105, 22 sqq.]

μόνον τε οὐκ ἠμύνετο τὸν λελυπηκότα, ἀλλὰ καὶ
εὐηργέτει. τούτοις αὐτόν τε τὸν Μάρκιον καὶ τοὺς fr. 8,4
περὶ αὐτὸν ἐχειρώσατο καὶ δόξαν ἀνδρὸς ἐκτήσατο σοφοῦ τε καὶ ἀγαθοῦ.

ἀλλ᾽ οὐ προσέμεινε μέχρι τέλους αὐτῷ ἡ ὑπόληψις. τοῦ Μαρκίου γὰρ τελευτήσαντος κακῶς περὶ τοὺς ἐκείνου διετέθη δύο υἱεῖς καὶ τὴν βασιλείαν ἐσφετερίσατο. τῆς τε γὰρ βουλῆς καὶ τοῦ δήμου τοὺς τοῦ Μαρκίου παῖδας χειροτονεῖν μελλόντων ἐκεῖνος τῶν βουλευτῶν τε τοὺς δυνατωτάτους μετῆλθε καὶ τοὺς ὀρφανοὺς πόρρω ποι προπέμψας εἰς θήραν, οἷς τε εἶπε καὶ οἷς ἔπραξεν αὐτῷ τὴν βασιλείαν ψηφίσασθαι παρεσκεύασεν ὡς ἀνδρωθεῖσιν αὐτὴν δῆθεν τοῖς παισὶν ἀποδώσοντι. ἐγκρατὴς δὲ καταστὰς τῶν πραγμάτων οὕτω τοὺς Ῥωμαίους διέθετο, ὥστε μηδέποτε ἐθελήσειν ἀνθελέσθαι τοὺς παῖδας ἐκείνου· καὶ τὰ μειράκια δὲ πρὸς ῥᾳστώνην ἐθίζων τάς τε ψυχὰς αὐτῶν καὶ τὰ σώματα σὺν χάριτι δή τινι ἔφθειρε. δεδιὼς δὲ καὶ οὕτως ἔχων ἰσχὺν ἑαυτῷ ἐν τῷ συνεδρίῳ περιεποιήσατο. τοὺς γὰρ φιλίως αὐτῷ ἐκ τοῦ δήμου διακειμένους περὶ διακοσίους ἐς τοὺς εὐπα-

3, 5 ⟨τι⟩ insertum e Zonara, om. L ‖ 8 ἐπὶ Salmasius, ὑπὸ L ‖ ἀεὶ ἐλάμβανε B, διελάμβανε L ‖ 10 φαυλίσας] ἐκφαυλίσας Reiske ‖ ἠμύνετο L, ἠμύνατο V

4 καὶ ἐκεῖνον ἐξενίκησεν. ἐκ μὲν οὖν τούτων σοφίας τινὰ δόξαν ἅτε καὶ τὸν Μάρκιον καὶ τοὺς περὶ αὐτὸν πάντας χειρωσάμενος ἐκτήσατο, ἐκ δὲ δὴ τῶν ἔπειτα ἀπιστεῖσθαι τοὺς πολλοὺς τῶν ἀνθρώπων ἐποίησεν ὡς ἤτοι δολεροὺς φύσει ὄντας ἢ καὶ πρὸς τὰς δυνάμεις τάς τε τύχας καὶ τὴν γνώμην ἀλλοιουμένους. V p. 570. Cf. Zonar. 7, 8 (vol. II, p. 105, 10—26).

[Zonar. 7, 8 — vol. II, p. 106, 12 sqq.]

τρίδας ἐνέγραψε καὶ τοὺς βουλευτὰς καὶ οὕτω τήν τε γερουσίαν ὑφ' ἑαυτὸν καὶ τοὺς πολλοὺς ἐποιήσατο. καὶ τὴν στολὴν πρὸς τὸ μεγαλοπρεπέστερον ἤμειψεν. ἡ δὲ ἦν ἱμάτιον καὶ χιτὼν ὁλοπόρφυρα καὶ χρυσόπαστα, στέφανός τε λίθων χρυσοδέτων καὶ σκῆπτρον δίφρος τε ἐλεφάντινα, οἷς καὶ μετὰ ταῦτα οἵ τε ἄλλοι καὶ οἱ τὴν αὐτοκράτορα ἔχοντες ἡγεμονίαν ἐχρήσαντο. καὶ τεθρίππῳ ἐν τοῖς ἐπινικίοις ἐπόμπευσε καὶ ῥαβδούχους διὰ βίου δώδεκα ἔσχε.

πάντως δὲ καὶ ἄλλα πλείω ἐκαινοτόμησεν ἄν, εἰ μή τις Ἄττος Ναούιος τὰς φυλὰς αὐτὸν βουληθέντα μετακοσμῆσαι κεκώλυκεν, ὃς οἰωνιστὴς ἦν οἷος οὐχ ἕτερος γέγονε. τοῦτον ὑβρίσαι διὰ τὴν ἐναντίωσιν ὀργισθεὶς καὶ τὴν τέχνην ἐξουθενῆσαι διεμελέτησεν ὁ Ταρκύνιος. λαβὼν οὖν ἐν τῷ κόλπῳ ἀκόνην τε καὶ ξυρὸν ἐς τὸν δῆμον παρῆλθεν ἔχων ἐν νῷ τμηθῆναι τῷ ξυρῷ τὴν ἀκόνην, πρᾶγμα τῶν ἀδυνάτων· εἰπών τε ὅσα ἐβούλετο, ἐπεὶ Ἄττος ἀντέλεγεν ἐντονώτατα, μηδὲν ὑφιέμενος "εἰ μὴ φιλονείκως ἀντιλέγεις" ἔφη "ἀλλ' ἀληθῆ λέγεις, ἐπὶ πάντων τούτων ἀπόκριναί μοι, εἰ ὃ κατὰ νοῦν ἔχω ποιῆσαι γενήσεται." ὁ δὲ Ἄττος αὐτοῦ που οἰωνισάμενος παραυτίκα "καὶ πάνυ γε" εἶπεν "ὦ βασιλεῦ, ὃ διανοῇ ἔσται ἐπιτελές." "οὐκοῦν" ἔφη "τὴν ἀκόνην ταύτην λαβὼν τῷ ξυρῷ τούτῳ διάτεμε· τοῦτο γὰρ γενέσθαι διανενόημαι." ὁ δὲ ἔλαβέ τε αὐτὴν εὐθὺς καὶ διέκοψε. θαυμάσας δὲ ὁ Ταρκύνιος ἄλλας τε τιμὰς ἐκείνῳ παρέσχε καὶ χαλκῆς εἰκόνος ἠξίωσε καὶ οὐδὲν ἔτι τῆς πολιτείας ἠλλοίωσε πρὸς πάντα τε συμβούλῳ τῷ Ἄττῳ ἐκέχρητο.

4, 2 τινὰ B, τινὸς L ‖ 4 ἀπιστεῖσθαι] ἀπιστῆσαί οἱ Reiske



[Zonar. 7, 8 — vol. II, p. 107, 11 sqq.]

μαχεσάμενος δὲ Λατίνοις ἀποστατήσασιν, ἔπειτα καὶ Σαβίνοις εἰς τὴν Ῥωμαΐδα ἐμβαλοῦσι συμμαχουμένοις ὑπὸ Τυρσηνῶν ἁπάντων ἐκράτησε. τῶν δὲ τῆς Ἑστίας ἱερειῶν, ἃς παρθενεύειν διὰ βίου νενόμισται, φωράσας τινὰ συμφθαρεῖσαν ἀνδρὶ ὑπόγεών τινα κατασκευάσας ὑποδρομὴν προμήκη, κλίνην τε θεὶς ἐν αὐτῇ καὶ λύχνον καὶ τράπεζαν σιτίων ὑπόπλεων, ἐκεῖ τὴν φθαρεῖσαν προπεμπομένην ἐκόμισε καὶ ζῶσαν εἰσαγαγὼν ἐγκατῳκοδόμησε. καὶ οὕτω τὰς τὴν παρθενίαν μὴ τηρούσας τῶν ἱερειῶν ἐξ ἐκείνου τιμωρεῖσθαι κεκράτηκεν· οἱ δὲ ταύτας αἰσχύνοντες εἰς ξύλον τὸν αὐχένα δίκρουν ἐμβάλλονται ἐν τῇ ἀγορᾷ καὶ μετὰ τοῦτο γυμνοὶ αἰκιζόμενοι ἀποψύχουσιν.

ἐπέθεντο μέντοι τῷ Ταρκυνίῳ οἱ τοῦ Μαρκίου παῖδες, ἐπεὶ μὴ τῆς ἀρχῆς αὐτοῖς παρεχώρει, ἀλλά τινα Τούλλιον τεχθέντα οἱ ἐξ αἰχμαλωτίδος προῆγε πάντων· ὃ δὴ μάλιστα τοὺς εὐπατρίδας ἐλύπει. ὧν τινας προσεταιρισάμενοι αὐτῷ ἐπεβούλευσαν δύο τινὰς χωριτικῶς ἐσταλμένους, ἀξίναις καὶ δρεπάνοις ὡπλισμένους αὐτῷ ἐπιθέσθαι παρασκευάσαντες. οἳ ἐπεὶ μὴ ἀγοράζοντι τῷ Ταρκυνίῳ ἐνέτυχον, ἐπὶ τὰς θύρας τῶν βασιλείων ἧκον ἀλλήλοις δῆθεν διαμαχόμενοι καὶ οἱ ἐλθεῖν εἰς ὄψιν ἐδέοντο. καὶ τυχόντες τούτου εἰς λόγους ἀλλήλοις ἀντικατέστησαν καὶ δικαιολογουμένῳ τῷ ἑνὶ προσέχοντα τὸν Ταρκύνιον ὁ ἕτερος κατειργάσατο.

9. ὁ μὲν οὖν Ταρκύνιος τοιοῦτον ἔσχε τέλος τριάκοντα καὶ ὀκτὼ βασιλεύσας ἐνιαυτούς, τὴν δὲ τῆς Ῥώμης βασιλείαν ὁ Τούλλιος διεδέξατο συνεργίᾳ τῆς τοῦ Ταρκυνίου γυναικὸς Τανακυλλίδος. τοῦτον δὲ γυνή τις Ὀκρισία καλουμένη, Σερουίου Τουλλίου ἀνδρὸς Λατίνου εὐνέτειρα ἐν τῷ πολέμῳ ἁλοῦσα καὶ τῷ Ταρκυνίῳ ἐξαιρεθεῖσα τέτοκεν ἢ ἐγκύμων οἴκοθεν οὖσα ἢ συλλαβοῦσα μετὰ τὴν ἅλωσιν· λέγεται γὰρ ἀμφότερα. οὗτος ἐς παῖδας ἤδη τελῶν ἐπὶ δίφρου μεθ' ἡμέραν κατέδαρθε καὶ πῦρ ἀπὸ τῆς αὐτοῦ κεφαλῆς πολὺ ἐδόκει ἐξάλλεσθαι. ὅπερ ἰδὼν ὁ Ταρκύνιος διὰ σπουδῆς ἦγε τὸν παῖδα καὶ εἰς ἡλικίαν ἀφιγμένον τοῖς εὐπατρίδαις καὶ τῇ γερουσίᾳ συνέταξε.

συλληφθέντων οὖν τῶν τοῦ Ταρκυνίου φονέων μαθοῦσα

9 *β' βιβλίῳ Δίων "ὡς δὲ οὐδὲν ὅ,τι οὐκ ἐπειθάρχουν αὐτῷ."* Bekk. Anecd. p. 164, 19. Cf. Zonar. 7, 9 (vol. II, p. 109, 8).

[Zonar. 7, 9 — vol. II, p. 108, 20 sqq.]

*ἡ ἐκείνου γυνὴ καὶ ὁ Τούλλιος τὴν παρασκευὴν τῆς ἐπιβουλῆς οὐ φανερὸν αὐτίκα τὸν τοῦ Ταρκυνίου θάνατον ἔθεντο, ἀλλ' ἀνελόμενοι αὐτὸν ὡς ἔτι ἐμπνέοντα ἐθεράπευον δῆθεν κἀν τούτῳ πίστεις ἀλλήλοις ἔδοσαν, ὥστε τὸν Τούλλιον τὴν ἀρχὴν εἰληφότα τοῖς παισὶν αὐτῆς ἀνδρωθεῖσιν ἐκστῆναι ταύτης. ἐπεὶ δὲ τὸ πλῆθος συνδραμὸν ἐθορύβει, προκύψασα ἐκ τῶν ὑπερῴων ἡ Τανακυλλὶς "μὴ φοβεῖσθε" ἔφη· "ὁ γὰρ ἀνήρ μου καὶ ζῇ καὶ ὑμῖν μετ' ὀλίγον ὀφθήσεται. ἵνα δὲ αὐτός τε σχολάζων ὑγιασθῇ καὶ μή τι τοῖς πράγμασιν ἐκ τῆς αὐτοῦ ἀσθενείας εἴη ἐμπόδιον, Τουλλίῳ κατά γε τὸ παρὸν τὴν τῶν κοινῶν ἐπιτρέπει διοίκησιν." εἶπεν ἐκείνη ταῦτα· οἱ δὲ τὸν Τούλλιον οὐκ ἀκουσίως ἐδέξαντο· ἀγαθὸς γὰρ ἀνὴρ ἐδόκει.*

*ἐγχειρισθεὶς οὖν ἐκεῖνος τὴν τῶν κοινῶν οἰκονομίαν τὰ*
fr. 9 *πλείω κατ' ἐντολὰς δῆθεν διῴκει τοῦ Ταρκυνίου. ὡς δ' ἐν πᾶσιν ἑώρα* πειθαρχοῦντας αὐτῷ, *τοὺς αὐτόχειρας τοῦ Ταρκυνίου πρὸς τὴν γερουσίαν παρήγαγε διὰ τὴν ἐπιβουλὴν τάχα· ἔτι γὰρ ζῆν ἐκεῖνον προσεποιεῖτο. καὶ οἱ μὲν καταψηφισθέντες ἀπέθανον, οἱ δὲ τοῦ Μαρκίου υἱοὶ φοβηθέντες εἰς Οὐολούσκους κατέφυγον. κἀκεῖνος τότε τόν τε θάνατον τοῦ Ταρκυνίου ἐξέφηνε καὶ φανερῶς τῆς βασιλείας ἐπείληπτο. καὶ πρῶτον μὲν τοὺς τοῦ Ταρκυνίου παῖδας προὐβάλλετο ὡς αὐτὸς τὴν ἡγεμονίαν ἐπιτροπεύων, εἶτα πρὸς θεραπείαν τοῦ δήμου ἐτράπετο ὡς ῥᾷστα μᾶλλον τὸν ὅμιλον ἢ τοὺς εὐπατρίδας ὑποποιησόμενος, χρήματά τε αὐτοῖς ἐδίδου καὶ γῆν ἑκάστῳ προσένειμε καὶ τοὺς δούλους ἐλευθεροῦσθαι καὶ φυλετεύεσθαι παρεσκεύασεν. ἀχθομένων δ' ἐπὶ τούτοις τῶν δυνατῶν ἔταξέ τινα τοὺς ἐλευθερωθέντας τοῖς ἐλευθερώσασι σφᾶς ἀνθυπουργεῖν. ὡς δὲ χαλεπῶς εἶχον οἱ εὐπατρίδαι αὐτῷ καὶ διεθρόουν ἄλλα τε καὶ ὅτι μηδενὸς αὐτὸν ἑλομένου τὴν ἀρχὴν ἔχει, συναγαγὼν τὸν δῆμον ἐδημηγόρησε· καὶ πολλὰ ἐπαγωγὰ διαλεχθεὶς αὐτῷ οὕτω διέθετο, ὡς αὐτίκα*



[Zonar. 7, 9 — vol. II, p. 109, 28 sqq.]

*πᾶσαν αὐτῷ τὴν βασιλείαν ἐπιψηφίσασθαι. ὁ δὲ αὐτοὺς ἀμειβόμενος ἄλλα τε ἐφιλοτιμήσατο καὶ ἐς τὸ συνέδριόν τινας αὐτῶν ἐνέγραψεν. οἳ πάλαι μὲν ἐν πλείστοις ἧττον ἔφερον τῶν εὐπατριδῶν, τοῦ χρόνου δὲ προϊόντος πλὴν τῆς μεσοβασιλείας καὶ τῶν ἱερωσυνῶν τῶν ἴσων μετεῖχον τοῖς εὐπατρίδαις καὶ διέφερον ἄνευ τῶν ὑποδημάτων οὐδέν. τοῖς γὰρ εὐπατρίδαις τὰ ὑποδήματα ἀστικὰ τῇ τε ἐπαλλαγῇ τῶν ἱμάντων καὶ τῷ τύπῳ τοῦ γράμματος ἐκεκόσμηντο, ἵν' ἐκ τούτων δοκοῖεν ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν τῶν κατ' ἀρχὰς βουλευσάντων κατιέναι. τὸ γράμμα δὲ ῥῶ φασιν εἶναι ἢ τοῦ ἀριθμοῦ τῶν ἑκατὸν ἐκείνων ἀνδρῶν δηλωτικὸν ὂν ἢ ὡς τοῦ τῶν Ῥωμαίων κατάρχον ὀνόματος.*

*τὸν μὲν οὖν ὅμιλον οὕτως ὁ Τούλλιος ᾠκειώσατο, δείσας δέ, μή τις στάσις συμβῇ, τὰ πλεῖστα καὶ ἰσχυρότατα τῶν κοινῶν τοῖς δυνατωτέροις ἐπέτρεψε· καὶ οὕτω σφίσιν αὐτοῖς συνεφρόνησαν καὶ τὸ δημόσιον διήγαγον ἄριστα. καὶ πολέμους δέ τινας πρός τε τοὺς Οὐιέντας καὶ πρὸς ἅπαντας τοὺς Τυρσηνοὺς ἐπολέμησεν, ἐν οἷς οὐδὲν ἐπράχθη συγγράμματος ἄξιον. τοὺς Λατίνους δ' ἐπὶ μᾶλλον Ῥωμαίοις βουληθεὶς οἰκειώσασθαι νεών τινα ἐκ χρημάτων κοινῶν ἐν τῇ Ῥώμῃ κατασκευάσαι πέπεικε. καὶ τοῦτον ἀνέθεσαν τῇ Ἀρτέμιδι. περὶ δὲ τῆς νεωκορίας αὐτοῦ διεφέροντο. κἀν τούτῳ Σαβῖνος ἀνὴρ βοῦν ἦγε περικαλλῆ πρὸς τὴν Ῥώμην ὡς ἔκ τινος χρησμοῦ θύσων αὐτὴν τῇ Ἀρτέμιδι. ὁ δὲ χρησμὸς τὸν ἐκείνην θύσαντα ἔλεγε τὴν πατρίδα ἐπαυξήσειν. τοῦτο δέ τις τῶν Ῥωμαίων μαθὼν προσῆλθεν αὐτῷ καὶ πρότερον εἶπε δεῖν ἐν τῷ ποταμῷ ἁγνισθῆναι καὶ εἰπὼν ἔπεισε καὶ πείσας ἔλαβε τὴν βοῦν ὡς φυλάξων καὶ λαβὼν ἔθυσεν. ἐκφήναντος δὲ τοῦ Σαβίνου τὸ λόγιον οἱ Λατῖνοι καὶ τῆς τοῦ ἱεροῦ προστασίας τοῖς Ῥωμαίοις ἐξέστησαν καὶ ἐς τἆλλα ὡς κρείττονας σφῶν ἐτίμων αὐτούς.*

*καὶ ταῦτα μὲν οὕτως· ὁ Τούλλιος δὲ τοῖς Ταρκυνίοις τὰς θυγατέρας συνῴκισε καὶ τὴν βασιλείαν αὐτοῖς ἀποδώσειν ἐπαγγειλάμενος ἄλλοτε ἄλλο τι προφασιζόμενος ἀνεβάλλετο. οἱ δὲ οὐδὲν ὑγιὲς ἐφρόνουν, ἀλλὰ ἤχθοντο. ὁ δ' ἐν οὐδενὶ λόγῳ τούτους πεποίητο καὶ τοὺς Ῥωμαίους πρὸς τὸ*

10 *Δίωνος βιβλίον β'* "καὶ τὸν ἀδελφόν, ὅτι μὴ συνήρετο, λάθρα διὰ τῆς γυναικὸς αὐτοῦ φαρμάκοις ἐξειργάσατο." Bekk. Anecd. p. 139, 17. Cf. Zonar. 7, 9 (vol. II, p. 111, 11 sq.).

2 ὅτι ὁ Ταρκύνιος ἐπεὶ ἱκανῶς ὡς καὶ ἀκόντων τυ-

[Zonar. 7, 9 — vol. II, p. 111, 5 sqq.]

δημοκρατικὸν ἐνῆγε καὶ τὸ ἐλεύθερον. ἔτι δὲ μᾶλλον ἐπὶ τούτοις ἤσχαλλον οἱ Ταρκύνιοι. ἀλλ' ὁ μὲν νεώτερος, κἂν ἐχαλέπαινεν, ἔφερε, τῷ δὲ τῷ χρόνῳ προήκοντι οὐκέτι τοῦ Τουλλίου ἐδόκει ἀνέχεσθαι. ἐπεὶ δὲ μὴ συνευδοκοῦσαν εὕρισκε
fr. 10, 1 τὴν γυναῖκα καὶ τὸν ὅμαιμονα, αὐτὸς μὲν τὴν γυναῖκα, τὸν δ' ἀδελφὸν διὰ τῆς γυναικὸς ἐκείνου φαρμάκοις διέφθειρε καὶ συναφθεὶς τῇ συνεύνῳ τοῦ ἀδελφοῦ τῷ Τουλλίῳ σὺν αὐτῇ ἐπεβούλευε. καὶ πολλοὺς τῶν τε βουλευτῶν καὶ τῶν εὐπατριδῶν αἰτίας ἔχοντας κατὰ τοῦ Τουλλίου πείσας συνάρασθαί οἱ ἐξαπιναίως μετ' αὐτῶν εἰς τὸ συνέδριον παραγέγονεν ἑπομένης αὐτῷ καὶ τῆς γυναικὸς Τουλλίας· καὶ πολλὰ μὲν εἶπε τῆς τοῦ πατρὸς ἀξίας τοὺς παρόντας ἀναμιμνήσκων, πολλὰ δ' ἀπέσκωψε πρὸς τὸν Τούλλιον. ἐπεὶ δ' ἐκεῖνος ταῦτα μαθὼν ἐπέστη σπουδῇ καί τι δὴ καὶ ἐφθέγξατο, συνήρπασεν αὐτὸν καὶ ἐξάρας ὦσε κατὰ τῶν πρὸ τοῦ βουλευτηρίου ἀναβαθμῶν. καὶ ὁ μὲν ταραχθεὶς πρὸς τὴν τοῦ Ταρκυνίου τόλμαν καὶ ὅτι οὐδέ τις αὐτῷ ἐπεκούρησεν, οὔτ' εἶπεν ἔτι οὐδὲν οὔτ' ἐποίησε· Ταρκύνιος δὲ τήν τε βασιλείαν εὐθὺς παρὰ τῆς βουλῆς ἔλαβε καὶ πέμψας τινὰς τὸν Τούλλιον κομιζόμενον οἴκαδε διεχρήσατο. ἡ δὲ θυγάτηρ ἐκείνου ἐν τῷ βουλευτηρίῳ τὸν ἄνδρα καταφιλήσασα καὶ βασιλέα προσαγορεύσασα καὶ ἀπιοῦσα πρὸς τὰ βασίλεια τὸ ὄχημα κατὰ τοῦ νεκροῦ τοῦ πατρὸς ὡς εἶχεν ἐπήλασεν.

10. οὕτω μὲν οὖν ὁ Τούλλιος ἦρξε καὶ οὕτως ἀπέθανε βασιλεύσας τέσσαρας ἐνιαυτοὺς ἐπὶ τεσσαράκοντα, ὁ Ταρκύνιος δὲ τὴν βασιλείαν παρειληφὼς δορυφόρους κατὰ Ῥωμύλον ἑαυτῷ περιέστησε καὶ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτοῖς καὶ οἰκουρῶν καὶ ἀγοράζων ἐκέχρητο. ἐξ ὧν γὰρ αὐτὸς εἰς τὸν κηδεστὴν καὶ ἡ γυνὴ πρὸς τὸν πατέρα ἐποίησαν, καὶ τοὺς



ραννήσων παρεσκευάσατο, τοὺς δυνατωτάτους πρῶτον μὲν τῶν βουλευτῶν, ἔπειτα καὶ τῶν ἄλλων συλλαμβάνων πολλοὺς μὲν φανερῶς, οἷς γε αἰτίαν τινὰ εὐπρεπῆ ἐπενεγκεῖν ἐδύνατο, πολλοὺς δὲ καὶ λάθρα ἀπεκτίννυε
καί τινας ὑπερώριζεν. οὐ γὰρ ὅτι τὸν Τούλλιόν τινες 3
αὐτῶν μᾶλλον ἢ ἐκεῖνον ἠγάπησαν, οὐδ' ὅτι γένη καὶ πλούτους ἢ καὶ φρόνημα εἶχον, ἀνδρείᾳ τε ἐπιφανεῖ ἢ καὶ σοφίᾳ διαπρεπεῖ ἐχρῶντο, τοὺς μὲν ἀμυνόμενος, τοὺς δὲ προκαταλαμβάνων, φθόνῳ τε καὶ ὑποψίᾳ ἅμα μίσους ἐκ τοῦ μὴ ὁμοήθους ἔφθειρεν, ἀλλὰ καὶ τοὺς πάνυ φίλους πρός τε τὴν μοναρχίαν οἱ συσπουδάσαντας οὐδὲν ἧττον τῶν ἑτέρων ἀπώλλυεν νομίζων σφᾶς ὑπό τε τῆς θρασύτητος καὶ ὑπὸ τῆς νεωτεροποιίας, ὑφ' ἧς ἑαυτῷ τὴν ἀρχὴν συγκατέπραξαν, κἂν ἄλλῳ
τινὶ αὐτὴν δοῦναι. κἀκ τούτου τὸ κράτιστον τῆς βου- 4
λῆς καὶ τῆς ἱππάδος ἀπανάλωσεν οὐδ' ἀντικαθίστη τὸ

[Zonar. 7, 10 — vol. II, p. 112, 8 sqq.]

λοιποὺς ἐδεδίεσαν. ἐπεὶ δὲ ὡς τυραννήσων παρεσκευ- fr. 10, 2
άσατο, τοὺς δυνατωτάτους τῶν βουλευτῶν καὶ τῶν ἄλλων συλλαμβάνων ἐκτίννυεν, οἷς μὲν αἰτίαν εἶχεν ἐπενεγκεῖν, φανερῶς ἀναιρῶν, οὓς δὲ λάθρα· ἐνίους δέ γε καὶ ὑπερώριζεν. οὐ γὰρ τοὺς τῷ Τουλλίῳ προσκειμένους μόνους, ἀλλὰ καὶ τοὺς πρὸς τὴν μοναρχίαν συναραμένους αὐτῷ προσαπώλλυε καὶ οὕτω τὸ κράτιστον τῆς βουλῆς καὶ τῆς ἱππάδος ἀνάλωσε. μισεῖσθαί τε ὑπὸ παντὸς τοῦ δήμου ἐπίστευε· διὸ οὐδὲ ἀντικαθίστη τὸ παράπαν ἀντὶ τῶν ἀπολλυμένων τινάς, ἀλλὰ καὶ τὴν γερουσίαν καταλῦσαι παντελῶς ἐπιχειρήσας οὔτε ἀντεισῆγεν ἐς αὐτὴν

10, 3, 1 οὐ γὰρ ⟨μόνον⟩ B ‖ 6 μίσους] μίσει? R ‖ 7 φίλους πρός τε τὴν L, φ. τοὺς πρὸς τὴν D, φ. πρὸς τὴν B ‖ συσπουδάσαντας D coll. 40, 55, 1; 53, 11, 7; 32, 4; 59, 5, 4; 26, 1; σπουδάσαντας L

παράπαν ἐς αὐτοὺς ἀντὶ τῶν ἀπολλυμένων οὐδένα·
μισεῖσθαί τε γὰρ ὑπὸ παντὸς τοῦ δήμου ἐπίστευε καὶ
τὰ τέλη ἐκεῖνα ἀσθενέστατα ἐκ τῆς ὀλιγανθρωπίας
ποιῆσαι ἐπεθύμει. καὶ τήν γε γερουσίαν καὶ καταλῦσαι
παντελῶς ἐπεχείρησεν πᾶν ἄθροισμα ἀνθρώπων, ἄλλως
τε καὶ ἐπιλέκτων καὶ πρόσχημα προστατείας τινὸς ἀπὸ
παλαιοῦ ἐχόντων, πολεμιώτατον τυράννῳ νομίζων εἶναι.
5 δείσας δέ, μή πώς οἱ τὸ πλῆθος ἢ καὶ αὐτοὶ οἱ δορυ-
φόροι οἷά που πολῖται ὄντες ἀγανακτήσει τοῦ τὴν
πολιτείαν σφῶν μεθίστασθαι ἐπαναστῶσιν, ἐκ μὲν τοῦ
προφανοῦς οὐκ ἐποίησε τοῦτο, ἐν τρόπῳ δέ τινι ἐπι-
τηδείῳ καὶ πανούργῳ κατέπραξεν. οὔτε γὰρ ἀντεσῆγεν
ἐς αὐτὴν οὐδένα οὔτε τοῖς καταλοίποις λόγου τι ἄξιον
ἐπεκοίνου. συνεκάλει μὲν γὰρ αὐτούς, οὐ μὴν ὥστε
καὶ συνδιοικεῖν τι τῶν ἀναγκαίων, ἀλλὰ καὶ αὐτὸ
τοῦτο πρός τε τὸν ἔλεγχον τῆς ὀλιγότητος σφῶν καὶ
διὰ τοῦτο καὶ ταπεινότητα καὶ καταφρόνησιν ἐξεπίτη-
6 δες ἐποίει. τὰ δὲ δὴ πλεῖστα καθ᾽ ἑαυτὸν ἢ καὶ μετὰ
τῶν υἱέων, τοῦτο μὲν ὅπως μηδεὶς τῶν ἄλλων μηδὲν
δύναιτο, τοῦτο δὲ καὶ κατοκνῶν δημοσιεύειν ἐν οἷς

[Zonar. 7, 10 — vol. II, p. 112, 19 sqq.]

οὐδένα οὔτε τοῖς οὖσιν ἐπεκοίνου τι λόγου ἄξιον. συνεκάλει μὲν γὰρ αὐτούς, οὐ μὴν ὥστε τι τῶν ἀναγκαίων συνδιοικεῖν, ἀλλ᾽ ἵνα δήλη αὐτῶν ἡ βραχύτης γίνοιτο ἅπασι, κἀντεῦθεν καταφρονοῖντο· τὰ δὲ πλεῖστα καθ᾽ ἑαυτὸν ἢ καὶ μετὰ τῶν υἱέων ἔπραττε. δυσπρόσιτός τε καὶ δυσπροσήγορος ἦν καὶ τῇ ὑπεροψίᾳ καὶ τῇ ὠμότητι ὁμοίως ἐχρῆτο πρὸς ἅπαντας, καὶ τυραννικώτερον αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ προσεφέροντο ἅπασι. διὰ ταῦτα δὲ καὶ τοὺς δορυφόρους

4,9 τυράννῳ V, τύραννον L ‖ 5,5 πανούργῳ Wagner, πάνυ αὐτῷ L, πάνυ αὐτὸ V, πάνυ ἀσυνόπτῳ vel ἀντικῷ Reiske



ἐκακούργει, ἔπραττεν, δυσπρόσοδός τε καὶ δυσπροσήγορος ἦν καὶ τῇ ὑπεροψίᾳ τῇ τε ὠμότητι τοσαύτῃ πρὸς πάντας ὁμοίως ἐχρῆτο, ὥστε καὶ ὑπερήφανος ἀπ᾽ αὐτῶν ἐπικληθῆναι. τά τε γὰρ ἄλλα καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ τυραννικώτερον ἔπραττον, καί ποτε πολιτῶν τινας ἔν τε τῇ ἀγορᾷ καὶ ἐν τοῖς τοῦ δήμου ὄμμασι σταυροῖς τε γυμνοὺς προσέδησεν καὶ ῥάβδοις αἰκισάμενος ἀπέκτεινεν. καὶ τοῦθ᾽ ὑπ᾽ ἐκείνου τότε ἐξευρεθὲν καὶ πολλάκις ἐγένετο. V p. 573. Cf. Zonar. 7, 10 (vol. II, p. 112, 9—28).

*Δίων ἐν β´ βιβλίῳ* "τὸν γὰρ πατέρα πολλὰ καὶ 7
ἄτοπα ὡς καὶ τυραννοῦντα καὶ παρασπονδοῦντα φα-
νερῶς ἐκ συνθήκης λοιδορήσας." Bekk. Anecd. p. 155, 1.
Cf. Zonar. 7, 10 (vol. II, p. 113, 5 sqq.).

[Zonar. 7, 10 — vol. II, p. 112, 29 sqq.]

ὑπόπτους ἔχων ἐκ τῶν Λατίνων προσηταιρίσατο δορυφορικὸν καὶ ἐς τὰς τῶν Ῥωμαίων τάξεις Λατίνους ἐνέμιξεν, ἵνα οἱ μὲν Λατῖνοι ἰσομοιρίας τοῖς Ῥωμαίοις τυχόντες εὔνοιαν αὐτῷ ἐντεῦθεν ὀφείλωσι, καὶ οἱ Ῥωμαῖοι ἧττον ἐκφοβῶσιν αὐτὸν μηκέτι κατὰ σφᾶς ὄντες, ἀλλὰ τοῖς Λατίνοις συνοπλιτεύοντες.

Γαουίνοις δὲ μάχην συνῆψε καὶ κακῶς μὲν ἠγωνίσατο,
δόλῳ δὲ αὐτοὺς ἐχειρώσατο. αὐτομολῆσαι γὰρ αὐτοῖς Σέξστῳ
ὑπέθετο τῷ υἱῷ· ἵνα δ᾽ εὐπρόσωπος αὐτῷ τῆς αὐτομολίας fr.
πρόφασις γένηται, ἐκεῖνος μὲν τὸν πατέρα φανερῶς 10, 7
ὡς τύραννον καὶ παράσπονδον ἐλοιδόρησεν, ὁ δὲ
τὸν υἱὸν ἐμαστίγωσέ τε καὶ ἀντημύνατο. εἶτα κατὰ συνθήκας πρὸς Γαουίνους ἐψευδαυτομόλησε χρήματά τε καὶ ἑταίρους παρειληφώς. οἱ δὲ πιστεύσαντες τῇ σκηνῇ διά τε τὴν τοῦ Ταρκυνίου ὠμότητα καὶ ὅτι καὶ τότε πολλὰ καὶ ἀληθῆ τὸν πατέρα ἐκακηγόρει κἀντεῦθεν ἐκπεπολεμῶσθαι αὐτῷ ἐδόκει,

6, 8 πολιτῶν] πολίτας an τῶν πολιτῶν B ‖ 10 σταυροῖς V, σταυρούς L ‖ 12 ἐξευρεθὲν] ἐξυβρισθὲν Naber

8 περὶ ἧς δὲ Σιβύλλης νῦν ὁ Λυκόφρων λέγει, Κυ-
μαία ἦν, ἥτις τέθνηκεν ἐν χρόνοις Ταρκυνίου τοῦ
Ὑπερηφάνου βίβλους προφητικὰς αὐτῆς τρεῖς ἢ ἐννέα
καταλιποῦσα. ὧν ἢ μίαν ἢ τρεῖς ἐξωνήσαντο οἱ Ῥω-
μαῖοι, τὰς δὲ λοιπὰς τῆς ἐκείνης θεραπαίνης ἀναλω-

[Zonar. 7, 10 — vol. II, p. 113, 16 sqq.]

ἐδέξαντό τε αὐτὸν ἀσμενέστατα καί τινας ἐπελεύσεις κατὰ τῆς
Ῥωμαϊκῆς χώρας σὺν αὐτῷ ἐποιήσαντο καὶ οὐ μετρίως αὐτῇ
ἐλυμήναντο. διὰ ταῦτα γοῦν καὶ ὅτι χρήματα ἰδίᾳ τέ τισι
παρεῖχε καὶ ἐς τὸ κοινὸν ἀνήλισκε δαψιλῶς, ᾑρέθη παρ'
αὐτῶν στρατηγὸς καὶ τὴν τῶν πολιτικῶν ἐν αὐτοῖς πραγμά-
των ἐπετράπη διοίκησιν. ἐπὶ τούτοις λάθρᾳ πέμψας τινὰ
τὰ συμβάντα τε ἐγνώρισε τῷ πατρὶ καὶ πρὸς τὸ μέλλον γνώ-
μην ᾔτησεν ἐξ αὐτοῦ. ὁ δὲ εἶπε μὲν τῷ πεμφθέντι οὐδέν,
ἵνα μὴ ἴσως γνωσθεὶς ἑκὼν τι ἢ ἄκων ἐξείποι, εἰς δὲ κῆ-
πον εἰσαγαγὼν αὐτόν, ἐν ᾧ μήκωνες ἦσαν, τὰς κωδύας
αὐτῶν τὰς ὑπερεχούσας ῥάβδῳ κατέκλασε καὶ εἰς γῆν κατε-
στόρεσε καὶ οὕτω τὸν ἀγγελιαφόρον ἀπέπεμψε. καὶ ὁ μὲν
τὸ πραχθὲν τῷ Σέξστῳ ἀπήγγειλεν ἀσυνέτως ἔχων τῆς πρά-
ξεως, ὁ δὲ τὸν νοῦν συνῆκε τῆς ὑποθήκης καὶ τοὺς ἀξιο-
λογωτέρους τῶν Γαουίνων τοὺς μὲν λάθρᾳ φαρμάκοις δι-
έφθειρε, τοὺς δὲ διά τινων δῆθεν λῃστῶν, ἄλλους δὲ καὶ
ἐκ δικαστηρίων ἀπέκτεινε συκοφαντίας κατ' αὐτῶν πρὸς τὸν
πατέρα προδοσίας πλαττόμενος.

καὶ ὁ Σέξστος οὖν οὕτω τοὺς Γαουίνους μετῆλθε καὶ
τοὺς μὲν κρείττους ἀπώλλυε, τῷ πλήθει δὲ τὰ σφῶν διέ-
νειμε χρήματα. καὶ μετὰ τοῦτο τῶν μὲν διαφθαρέντων ἤδη,
τῶν δὲ λοιπῶν ἠπατημένων καὶ πάντα πιστευόντων αὐτῷ
μετὰ τῶν αἰχμαλώτων Ῥωμαίων καὶ τῶν αὐτομόλων, οὓς
πολλοὺς διὰ τοῦτο συνήθροισε, κατέσχε τὴν πόλιν καὶ τῷ
πατρὶ παραδέδωκε. καὶ ὃς ἐκείνης τῷ υἱῷ παρεχώρησεν,
αὐτὸς δὲ πρὸς ἄλλα ἐπολέμησεν ἔθνη.

11. τοὺς δὲ τῆς Σιβύλλης χρησμοὺς Ῥωμαίοις καὶ ἄκων
προσεποιήσατο. γυνὴ γάρ τις θεόμαντις, ἣν Σίβυλλαν ὠνόμαζον,
fr. 10,8 ἐς τὴν Ῥώμην ἐλήλυθε βιβλία τρία ἢ ἐννέα φέρουσα καὶ



σάσης πυρί, ὅτι μὴ ἐδίδουν ἐκείνῃ ὅσον ἐζήτει χρυσίον.
ὃ ὕστερον ποιήσαντες ἐξωνήσαντο ἢ μίαν τὴν κατα-
λειφθεῖσαν ἢ τρεῖς καὶ ἔδοντο Μάρκῳ Ἀκιλίῳ φυλάσ-
σειν. ζῶντα δὲ τοῦτον εἰς δέρμα βοὸς ἐμβαλόντες
ἀνεῖλον, ὅτι πρὸς μεταγραφὴν ἔδοτο, τὴν δὲ βίβλον ἢ
τὰς βίβλους ὀρύξαντες ἐν μέσῃ τῇ ἀγορᾷ μετὰ λάρνα-
κος κατέχωσαν. Io. Tzetz. schol. in Lycophr. 1279.
Cf. Zonar. 7, 11 (vol. II, p. 114, 29 sqq.).

[Zonar. 7, 11 — vol. II, p. 115, 2 sqq.]

ταῦτα πρίασθαι τῷ Ταρκυνίῳ ἐδίδου καὶ τὴν τιμὴν τῶν βι-
βλίων ὡρίσατο. ἐκείνου δὲ μὴ προσεσχηκότος αὐτῇ τὸ ἓν ἢ τὰ
τρία τῶν βιβλίων κατέκαυσεν. ὡς δ' αὖθις ὠλιγώρει αὐτῆς
ὁ Ταρκύνιος, κἀκ τῶν λοιπῶν ὁμοίως διέφθειρε. μελλούσης
δὲ καὶ τὰ ἔτι λοιπὰ καταφλέξειν ἠνάγκασαν αὐτὸν οἱ οἰω-
νισταὶ τὰ γοῦν σωζόμενα πρίασθαι. καὶ ὠνήσατο ταῦτα ὅσου
τὰ πάντα κτήσασθαι ἔμελλε, καὶ δύο βουλευταῖς ἀνδράσι
φυλάσσειν παρέδωκεν. ὡς δ' οὐ πάνυ τῶν γεγραμμένων
συνίεσαν, εἰς τὴν Ἑλλάδα στείλαντες δύο ἄνδρας ἐκεῖθεν
μισθοῦ ἤγαγον τοὺς ἀναγνωσομένους ταῦτα καὶ ἑρμηνεύ-
σοντας. οἱ δὲ περίοικοι μαθεῖν ἐθελήσαντες ὅ,τι ποτὲ τὸ
διὰ τῶν βιβλίων εἴη δηλούμενον, τὸν ἕτερον τῶν φυλασ- fr. 10,8
σόντων αὐτὰ Μᾶρκον Ἀκίλλιον χρήμασιν ἀναπεί-
σαντες μετεγράψαντό τινα. γνωσθέντος δὲ τοῦ ἔρ-
γου ὁ Μᾶρκος βύρσαις δύο συρραφείσαις ἐμβληθεὶς
κατεποντώθη, ὃ ἐξ ἐκείνου μετέπειτα κατὰ τῶν πατροκτόνων
ἐπεκράτησε γίνεσθαι, ἵνα μήτε ἡ γῆ μήτε τὸ ὕδωρ μήτε ὁ
ἥλιος μιανθῇ αὐτοῦ θνήσκοντος.

τὸν δὲ νεὼν τὸν ἐν τῷ Ταρπηίῳ ὄρει κατὰ τὴν τοῦ
πατρὸς εὐχὴν ᾠκοδόμει. τῆς δὲ γῆς εἰς τὴν τῶν θεμελίων
καταβολὴν ἀναρρηγνυμένης ἀνδρὸς νεοθνῆτος κεφαλὴ ἀν-
εφάνη ἔναιμος ἔτι. ἔπεμψαν οὖν Ῥωμαῖοι πρὸς ἄνδρα Τυρ-
σηνὸν τερατοσκόπον ἐρωτῶντες τὸ διὰ τοῦ φανέντος δηλού-
μενον. ὁ δὲ τὸ σημεῖον εἰς τὴν Τυρσηνίδα μεταθεῖναι μη-
χανησάμενος διάγραμμα ἐπὶ τῆς γῆς ἐποιήσατο καὶ εἰς αὐτὸ
τήν τε τῆς Ῥώμης θέσιν ἐντείνας καὶ τὸ Ταρπήιον ὄρος

9 ὅτι *Λεύκιος Ἰούνιος*, ἀδελφῆς *Ταρκυνίου* παῖς, φοβηθεὶς, ἐπειδὴ τόν τε πατέρα αὐτοῦ ἀπεκτόνει καὶ προσέτι καὶ τῆς οὐσίας αὐτὸν ἀφῄρητο, μωρίαν προσεποιήσατο, εἴ πως αὐτός γε περιγένοιτο· καὶ γὰρ εὖ

[Zonar. 7, 11 — vol. II, p. 116, 1 sqq.]

ἔμελλε τοὺς πρέσβεις ἀνερέσθαι "ἡ Ῥώμη αὕτη ἐστί; τὸ ὄρος τοῦτό ἐστιν; ἡ κεφαλὴ ἐνταῦθα εὑρέθη;" ἵν' ἐκείνων μηδὲν ὑποτοπησάντων καὶ συμφωνησάντων ἡ δύναμις τοῦ σημείου εἰς τὸ χωρίον, ἐν ᾧ διεγέγραπτο, μετασταίη. καὶ ὁ μὲν ταῦτα ἐτεχνάσατο, οἱ δὲ πρέσβεις παρὰ τοῦ υἱέος ἐκείνου μαθόντες τὸ τέχνασμα ἐρωτώμενοι "οὐκ ἐνταῦθα" εἶπον "οἰκεῖται ἡ Ῥώμη, ἀλλ' ἐν τῷ *Λατίῳ*, καὶ τὸ ὄρος ἐν τῇ Ῥωμαίων ἐστί, καὶ ἡ κεφαλὴ ἐν τῷ ὄρει ἐκείνῳ εὑρέθη." οὕτω δὲ τῷ τερατοσκόπῳ διακρουσθέντος τοῦ μηχανήματος πᾶσαν ἐκεῖνοι τὴν ἀλήθειαν ἔμαθον καὶ τοῖς πολίταις ἀνήγγειλαν, ὅτι κράτιστοι ἔσονται καὶ πλείστων ἄρξουσιν. ἐλπὶς οὖν κἀκ τούτου αὐτοῖς προσεγένετο. κἀντεῦθεν τὸ ὄρος μετωνομάσθη παρ' αὐτῶν Καπιτώλιον· καπίτα γὰρ τῇ Ῥωμαίων διαλέκτῳ ἡ κεφαλὴ ὀνομάζεται.

δεηθεὶς δὲ χρημάτων εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ ὁ *Ταρκύνιος Ἀρδεάταις* ἐπήνεγκε πόλεμον· ὅθεν οὔτε χρήματα προσεκτήσατο καὶ τῆς βασιλείας ἐξέπεσε. γεγόνασι δ' αὐτῷ καὶ σημεῖά τινα δηλωτικὰ τῆς ἐκπτώσεως. ἔκ τε γὰρ τοῦ κήπου αὐτοῦ γῦπες νεοσσοὺς ἐξήλασαν ἀετῶν, καὶ ἐξ ἀνδρῶνος, ἐν ᾧ συνειστιᾶτο φίλοις, ὄφις μέγας ἐπιφανεὶς αὐτόν τε καὶ τοὺς συσσίτους ἐξέβαλε. διά τοι ταῦτα ἐς *Δελφοὺς Τίτον* τε καὶ *Ἀρροῦντα* τοὺς υἱοὺς ἔπεμψε. τοῦ δὲ *Ἀπόλλωνος* χρήσαντος τότε τῆς ἀρχῆς ἐκπεσεῖσθαι αὐτόν, ὅτε κύων φωνῇ ἀνθρωπίνῃ χρήσαιτο, ἀγαθαῖς ἐλπίσιν ἠώρητο μὴ οἰηθεὶς ποτε γενέσθαι τὸ μάντευμα.

fr. 10,9 ἦν δὲ *Λούκιος Ἰούνιος* ἀδελφῆς τοῦ *Ταρκυνίου* υἱός, οὗ τὸν πατέρα καὶ τὸν ἀδελφὸν ὁ *Ταρκύνιος* ἔκτεινεν. οὗτος οὖν καὶ περὶ ἑαυτῷ δεδοικὼς μωρίαν προσεποιήσατο, ταύτην ἑαυτοῦ προστησάμε-

9, 3 αὐτὸν Herwerden, αὐτῶν L ‖ 4 ⟨οὕτω⟩ αὐτὸς Naber



ἠπίστατο, ὅτι πᾶν τὸ ἔμφρον, ἄλλως τε καὶ ὅταν ἐν λαμπρότητι γένους ᾖ, δι' ὑποψίας τοῖς τυραννοῦσι γίγνεται. καὶ ἐπειδή γε ἅπαξ ἐπὶ τοῦτο ὥρμησεν, ἀκριβέστατα αὐτὴν ὑπεκρίνετο καὶ διὰ τοῦτο καὶ *Βροῦτος* ἐκλήθη· τοὺς γὰρ εὐήθεις οὕτω πως οἱ *Λατῖνοι* προσηγόρευον. τῷ τε *Τίτῳ* καὶ *Ἀρροῦντι* ὥσπερ ἄθυρμα συμπεμφθεὶς βακτηρίαν τινὰ ἀνάθημα τῷ θεῷ φέρειν ἔλεγεν μηδὲν μέγα ὅσα γε ἰδεῖν ἔχουσαν. M p. 139. Cf. Zonar. 7, 11 (vol. II, p. 116, 30—117, 9).

*ἐν β' βιβλίῳ Δίων "ἔπειτα ἐν τοῦ Πυθίου εὑρέθη"*· 10
Bekk. Anecd. p. 139, 21.

ὅτι τοῦ *Βρούτου* τό τε δῶρον [τοῦτ' ἔστι τὴν 11
βακτηρίαν] ἔσκωπτον, καὶ ὅτι τοῦ θεοῦ τοῖς θεωροῖς περὶ τῆς τοῦ πατρὸς βασιλείας, ὅστις αὐτὴν διαδέξεται ἐπερωτήσασι, θεσπίσαντος τὸν πρῶτον τὴν μητέρα φιλήσαντα τὸ κράτος τὸ τῶν Ῥωμαίων ἕξειν, τὴν γῆν

[Zonar. 7, 11 — vol. II, p. 117, 3 sqq.]

νος σώτειραν· διὸ καὶ *Βροῦτος* ἐπεκλήθη· τοὺς γὰρ εὐήθεις οὕτω τοῖς *Λατίνοις* ἔθος καλεῖν. πλαττόμενος οὖν τὸν μωραίνοντα τοῖς τοῦ *Ταρκυνίου* παισὶν εἰς *Δελφοὺς* ἀπιοῦσι συμπαρελήφθη ὡς ἄθυρμα. ὁ δὲ καὶ ἀνάθημα φέρειν ἔλεγε τῷ θεῷ· τὸ δ' ἦν βάκτρον τι μηδὲν ἐκ τοῦ φαινομένου ἔχον χρηστόν, ὅθεν καὶ ἐπὶ τούτῳ ὠφλίσκανε γέλωτα. τὸ δ' ἦν οἷον εἰκών τις τῆς κατ' αὐτὸν προσποιήσεως· κοιλάνας γὰρ αὐτὸ λάθρᾳ χρυσίον ἐνέχεεν ἐνδεικνύμενος δι' αὐτοῦ, ὡς καὶ τὸ φρόνημα αὐτῷ τῷ τῆς μωρίας ἀτίμῳ σῷον καὶ ἔντιμον
καταχρύπτεται. ἐρομένων δὲ τῶν τοῦ *Ταρκυνίου* υἱῶν, fr. 10,11
τίς τὴν βασιλείαν τοῦ πατρὸς διαδέξεται, ἔχρησεν ὁ θεὸς τὸν πρῶτον τὴν μητέρα φιλήσαντα τὸ κράτος ἕξειν. καὶ συνεὶς ὁ *Βροῦτος* ὡς τυχαίως καταπεσὼν τὴν γῆν κατεφίλησεν αὐτὴν μητέρα πάντων ὑπάρχειν κρίνας ὀρθῶς.

11, 1 [τοῦτ' — βακτηρίαν] del. Herwerden

ὡς καὶ καταπεσὼν ἄλλως κατεφίλησε νομίσας αὐτὴν
μητέρα ἁπάντων τῶν ἀνθρώπων εἶναι. M p. 140. Cf.
Zonar. 7, 11 (vol. II, p. 117, 14—19).
12 ὅτι ὁ Βροῦτος τοὺς Ταρκυνίους ἐκ τοιᾶσδε αἰτίας
κατέλυσε. συνδειπνοῦντές ποτε ἐν τῇ τῶν Ἀρδεατῶν
πολιορκίᾳ οἵ τε τοῦ Ταρκυνίου παῖδες καὶ Κολλατῖνος
καὶ Βροῦτος ἅτε καὶ ἡλικιῶται καὶ συγγενεῖς αὐτῶν
ὄντες ἐς λόγον τινὰ περὶ τῆς σωφροσύνης τῶν γυναι-
κῶν σφῶν κἀκ τούτου καὶ ἐς ἔριν, τὴν ἑαυτοῦ γαμε-
13 τὴν ἑκάστου προκρίνοντος, ἦλθον. καὶ (ἐτύγχανον
⟨γὰρ⟩ πᾶσαι ἀπὸ τοῦ στρατοπέδου ἀποῦσαι) ἔδοξεν
αὐτοῖς αὐτίκα τῆς νυκτός, πρὶν καταγγέλτους σφᾶς
γενέσθαι, πρὸς πάσας ἅμα αὐτὰς ἀφιππεῦσαι. ποιή-
σαντες δὲ τοῦτο τὰς μὲν ἄλλας ἐν πότῳ τινὶ εὗρον,
Λουκρητίαν δὲ τὴν τοῦ Κολλατίνου γυναῖκα ἐριουρ-
14 γοῦσαν κατέλαβον. περιβόητον οὖν ἐπὶ τούτῳ γενο-
μένην ὁ Σέξτος αἰσχῦναι ἐπεθύμησε· τάχα μὲν γὰρ καὶ

[Zonar. 7, 11 — vol. II, p. 117, 20 sqq.]

fr. 10,12 οὗτος ὁ Βροῦτος τοὺς Ταρκυνίους κατέλυσεν
αἰτίαν τό ποτε περὶ τὴν Λουκρητίαν συμβεβηκὸς προστησά-
μενος καὶ ἄλλως μισουμένους παρὰ πάντων διὰ τὸ τυραν-
νικόν τε καὶ βίαιον. ἡ δὲ Λουκρητία θυγάτηρ μὲν ἦν Λου-
κρητίου Σπουρίου, ἀνδρὸς τῶν τῆς συγκλήτου ἑνός, γαμετὴ
δὲ Κολλατίνου Ταρκυνίου τῶν ἐπιφανῶν, ἐπί τε κάλλει καὶ
fr. 10,14 σωφροσύνῃ τυγχάνουσα περιβόητος. ταύτην Σέξστος ὁ
τοῦ Ταρκυνίου υἱὸς αἰσχῦναι σπούδασμα ἔθετο
οὐχ οὕτω τοῦ κάλλους αὐτῆς ἐρασθείς, ὅσον τῇ ἐπὶ
τῷ σώφρονι δόξῃ ἐπιβουλεύων αὐτῆς. τηρήσας οὖν
τὸν Κολλατῖνον τῆς οἰκίας ἀποδημοῦντα νυκτὸς ἐλ-
θὼν πρὸς αὐτὴν ὡς πρὸς γαμετὴν συγγενοῦς κατ-

13, 2 ⟨γὰρ⟩ ins. V, om. L ‖ 5 πότῳ R Herwerden, quod probat Schenkl (*in convivio luxuque* Liv. 1, 52, 9), λόγῳ L



ἔρωτα αὐτῆς ἔσχεν ὑπερκαλλοῦς οὔσης, ἐπὶ πλέον δὲ
ὅμως τὴν δόξαν μᾶλλον ἢ τὸ σῶμα διαφθεῖραι ἠθέ-
λησε. καί ποτε τηρήσας τὸν Κολλατῖνον πρὸς τοῖς
Ρουτούλοις ὄντα ἠπείχθη μὲν ἐς τὴν Κολλατίαν καὶ
νυκτὸς πρὸς αὐτὴν ὡς καὶ πρὸς οἰκείαν γυναῖκα ἐλ-
θὼν καὶ σίτου καὶ καταλύσεως ἔτυχε. καὶ τὰ μὲν 15
πρῶτα ἀναπείθειν αὐτὴν ἐπειρᾶτο συγγενέσθαι οἱ, ὡς
δὲ οὐδὲν ἐπέραινεν, ἐβιάζετο. ἐπειδὴ δὲ οὐδὲν οὐδὲ
οὕτως αὐτῷ προεχώρει, καινὸν δή τινα τρόπον ἐξεῦρεν,
ὑφ᾽ οὗ τὸ παραδοξότατον ἠνάγκασεν αὐτὴν ἑκοῦσαν
ὑβρισθῆναι. ὅτι μὲν γὰρ ἀποσφάξειν αὐτὴν εἶπε, παρ᾽
οὐδὲν ἔθετο, καὶ ὅτι καὶ τῶν οἰκετῶν τινα προσκατα-
χρήσεσθαι ἔφη, καὶ τοῦτο ὀλιγώρως ἤκουσεν· ἐπεὶ 16
μέντοι παρακατακλινεῖν τε αὐτῇ τὸ τοῦ δούλου σῶμα
καὶ λόγον, ὡς καὶ συγκαθεύδοντας σφᾶς εὑρὼν ἀπο-
κτείνειε, διαδώσειν ἐπηπείλησεν, οὐκέτ᾽ ἀνεκτὸν ἐποιή-
σατο, ἀλλὰ φοβηθεῖσα, μὴ καὶ πιστευθῇ ⟨τοῦθ᾽⟩ οὕτω
γεγονέναι, εἵλετο μιχθεῖσα αὐτῷ καὶ τὸ πραχθὲν ἐξει-
ποῦσα ἀποθανεῖν μᾶλλον ἢ παραχρῆμα τελευτήσασα

[Zonar. ~~7, 11~~ — vol. II, p. 118, 2 sqq.]

έλυσε παρ᾽ αὐτῇ. καὶ πρῶτον μὲν λόγοις ἐπεῖρα
συγγενέσθαι αὐτῇ, εἶτα καὶ βίαν προσῆγεν· ὡς δ᾽
οὐδὲν ἐπέραινεν, ἀποσφάξειν ἠπείλησεν· ὡς δὲ καὶ
τοῦ θανάτου κατωλιγώρει, δοῦλον παρακατακλι-
νεῖν αὐτῇ ἐπηπείλησε καὶ ἄμφω κτανεῖν καὶ λό-
γον διαδώσειν, ὡς εὑρὼν αὐτοὺς συγκαθεύδοντας
ἔκτεινε. τοῦτο τὴν Λουκρητίαν ἐτάραξε, καὶ φοβη-
θεῖσα, μὴ πιστευθείη ταῦθ᾽ οὕτω γενέσθαι, ἐνέδωκε.

14, 3 ὑπερκαλλοῦς St, ὑπερκάλλου L ‖ 7 πρὸς οἰκείαν γυναῖκα] πρὸς γαμετὴν συγγενοῦς Zonaras, unde πρὸς οἰκείου γυναῖκα? St ‖ 15, 7 προσκαταχρήσεσθαι Reiske, προσκαταστήσασθαι L ‖ 16, 5 καὶ πιστευθῇ ⟨τοῦθ᾽⟩ Reiske, καταπιστευθῇ L

17 ἀδοξῆσαι. διὰ μὲν οὖν ταῦτ' οὐκ ἄκουσα δὴ ἐμοιχεύθη,
παρασκευάσασα δὲ ἐκ τούτου ξιφίδιον ὑπὸ τὸ προσ-
κεφάλαιον μετεπέμψατο τόν τε ἄνδρα καὶ τὸν πατέρα,
καὶ ἐπειδὴ τάχιστα ἦλθον, κατεδάκρυε καὶ μετὰ τοῦτ'
ἀναστενάξασα "πάτερ" εἶπε, "τὸν γὰρ ἄνδρα μᾶλλον
ἢ σὲ αἰσχύνομαι, οὐδέν μοι χρηστὸν ἐν τῇ νυκτὶ
ταύτῃ πέπρακται, ἀλλά με Σέξτος ἐβιάσατο ἀπειλήσας
δούλῳ τινὶ συναποκτενεῖν ὡς καὶ μετ' αὐτοῦ καθεύ-
δουσαν λαβών. αὕτη γάρ με ἡ ἀπειλὴ ἁμαρτεῖν ἠνάγ-
κασεν, ἵνα μὴ καὶ πιστεύσητε τοῦθ' οὕτω γεγονέναι.
18 καὶ ἐγὼ μέν, γυνὴ γάρ εἰμι, τὰ πρέποντα ἐμαυτῇ
ποιήσω· ὑμεῖς δ' εἴπερ ἄνδρες ἐστὲ καὶ τῶν γαμετῶν
τῶν τε παίδων ὑμῶν προορᾶσθε, τιμωρήσατε μὲν ἐμοί,
ἐλευθερώθητε δὲ αὐτοὶ καὶ δείξατε τοῖς τυράννοις οἵων
ἄρα ὑμῶν ὄντων οἵαν γυναῖκα ὕβρισαν." τοιαῦτα ἄττα
εἰποῦσα οὐκ ἀνέμεινεν ἀντακοῦσαί τι, ἀλλ' εὐθέως τὸ
ξιφίδιον ὑφελκύσασα αὐτὴ ἑαυτὴν ἐφόνευσεν. V p. 574.
Cf. Zonar. 7, 11 (vol. II, p. 117, 20—118, 20).
19 *Δίων β' βιβλίῳ* "καὶ ἐκχωρήσας ἐκ τῆς τῶν Ῥω-

[Zonaras 7, 11 — vol. II, p. 118, 10 sqq.]

καὶ μοιχευθεῖσα ξιφίδιον ὑπὸ τὸ προσκεφάλαιον ἔθετο καὶ μεταπεμψαμένη τόν τε ἄνδρα καὶ τὸν πατέρα, συνεπομένων αὐτοῖς τοῦ τε Βρούτου καὶ Ποπλίου Οὐαλερίου, κατεδάκρυσε καὶ στενάξασα τὸ δρᾶμα πᾶν διηγήσατο· εἶτα ἐπήγαγε "καὶ ἐγὼ μὲν τὰ πρέποντα ἐμαυτῇ ποιήσω, ὑμεῖς δὲ εἴπερ ἄνδρες ἐστέ, τιμωρήσατε μὲν ἐμοί, ἐλευθερώθητε δὲ αὐτοὶ καὶ δείξατε τοῖς τυράννοις, οἵων ὑμῶν ὄντων οἵαν γυναῖκα ὕβρισαν." τοιαῦτα εἰποῦσα εὐθὺς τὸ ξιφίδιον ὑφελκύσασα κατέκτεινεν ἑαυτήν.

---

18, 3 προορᾶσθε V, προορᾶσθαι L ‖ 4 ἐλευθερώθητε Zonaras, ἐλευθερώσατε L



μαίων γῆς πολλαχῇ μὲν τῶν προσοίκων ἐπείρασεν."
Bekk. Anecd. p. 164, 25.

ὅτι οἱ ὅμιλοι πάντες τὰ πράγματα πρὸς τοὺς μετα- 11
χειρίζοντας αὐτὰ κρίνουσι καὶ ὁποίους ἂν τούτους
αἰσθάνωνται ὄντας, τοιαῦτα καὶ ἐκεῖνα νομίζουσιν
εἶναι. M p. 140.

πᾶς γάρ τις τὸ ἀπείρατον πρὸ τοῦ κατεγνωσμένου 2
προαιρεῖται μεγάλην ἐς τὸ ἄδηλον ἐλπίδα παρὰ τὸ
μεμισημένον ἤδη ποιούμενος. ib.

πᾶσαι μὲν γὰρ μεταβολαὶ σφαλερώταταί εἰσι, μά- 3
λιστα δὲ αἱ ἐν ταῖς πολιτείαις πλεῖστα δὴ καὶ μέγιστα
καὶ ἰδιώτας καὶ πόλεις βλάπτουσι. διὸ οἱ νοῦν ἔχον-
τες ἐν τοῖς αὐτοῖς ἀεί, κἂν μὴ βέλτιστα ᾖ, ἀξιοῦσιν
ἐμμένειν ἢ μεταλαμβάνοντες ἄλλοτε ἄλλα ἀεὶ πλανᾶ-
σθαι. ib.

*Δίων β' βιβλίῳ* "μαθὼν οὖν τοῦτο ἐκεῖνος ἦλθέ 4
τε τῆς ὑστεραίας πρὸς αὐτούς." Bekk. Anecd. p. 178, 20.

*ἐν γ' βιβλίῳ Δίωνος* "οὗ γε καὶ ὁ πατὴρ ἀμέμ- 5
πτως ὑμῶν ἦρξεν." ib. p. 120, 24.

*Δίωνος γ' βιβλίῳ* "ὅτι μὲν γὰρ ἀγαπᾷ ὑμᾶς, οὐ- 6
δὲν ἂν μεῖζον τεκμήριον λάβοιτε ἢ ὅτι τοῦ τε βίου
τοῦ παρ' ὑμῖν ἐφίεται καὶ πρὸ πολλοῦ κομίσασθαι τὰ
προϋπάρξαντά οἱ ποιεῖται." ib. p. 139, 26 et p. 164, 28.

*Δίων βιβλίῳ γ'* "πῶς δ' ἂν καὶ λυσιτελήσειέ τινι 7
τοῦτο πρᾶξαι;" ib. p. 155, 14.

*Δίωνος γ' βιβλίον* "ὥσπερ που καὶ Ῥωμύλος ἡμῖν 8
ἐπέσκηψεν." ib. p. 139, 29.

ὅτι καὶ τὰ βουλήματα καὶ τὰς ἐπιθυμίας πρὸς τὰς 9
τύχας ἕκαστοι κτῶνται καὶ ὁποῖα ἂν τὰ παρόντα

---

11, 2, 1 ἀπείρατον B, ἀπειρότατον L, cf. fr. 23, 2, 7 ‖ 2 προαιρεῖται B Herwerden, προσαίρει L

αὐτοῖς ᾖ, τοιαῦτα καὶ τὰ οἰήματα λαμβάνουσιν. M p. 141.

10 ὅτι τὸ τῆς βασιλείας πρᾶγμα οὐκ ἀρετῆς μόνον, ἀλλὰ καὶ ἐπιστήμης καὶ συνηθείας, εἴπερ τι ἄλλο, πολλῆς δεῖται, καὶ οὐχ οἷόν τέ ἐστιν ἄνευ ἐκείνων ἁψάμενόν τινα σωφρονῆσαι. πολλοὶ γοῦν ὥσπερ ἐς ὕψος τι μέγα παρὰ λόγον ἀρθέντες οὐκ ἤνεγκαν τὴν μετεώρισιν, ἀλλ' αὐτοί τε καταπεσόντες ὑπ' ἐκπλήξεως ἔπταισαν καὶ τὰ τῶν ἀρχομένων πάντα συνηλόησαν. M ib.

11 καὶ περὶ τῶν μελλόντων ἐξ ὧν ἔπραξαν τεκμήρασθε, ἀλλὰ μὴ ἐξ ὧν πλάττονται ἱκετεύοντες ἀπατηθῆτε· τὰ μὲν γὰρ ἀνόσια ἔργα ἀπὸ γνώμης ἀληθοῦς ἑκάστῳ γίνεται, συλλαβὰς δ' ἄν τις εὐπρεπεῖς συμπλάσειε· καὶ διὰ τοῦτ' ἀφ' ὧν ἐποίησέ τις, ἀλλ' οὐκ ἀφ' ὧν φησι ποιήσειν, κρίνετε. M ib.

12 γ' *Δίωνος βιβλίῳ* "οὐχ ὅπως πρὸς αὐτῶν τῶν βασιλευόντων σφῶν, ἀλλὰ καὶ πρὸς τῶν παραδυναστευόντων αὐτοῖς γίνεται." Bekk. Anecd. p. 130, 23 et p. 164, 32.

12 ὅτι Οὐαλέριον τὸν συνάρχοντα Βρούτου καίπερ δημοτικώτατον ἀνδρῶν γενόμενον ὅμως αὐτοεντίᾳ μικροῦ ὁ ὅμιλος κατεχρήσατο· ἐπιθυμεῖν γὰρ αὐτὸν μοναρχίας ὑπετόπησαν. καὶ ἐφόνευσαν ἄν, εἰ μὴ σφᾶς διὰ ταχέων φθάσας ἐθώπευσεν. ἐσελθὼν γὰρ ἐς τὴν ἐκκλησίαν τάς τε ῥάβδους ἔκλινεν ὀρθαῖς πρότερον ταύταις χρώμενος καὶ τοὺς πελέκεις τοὺς ἐνδεδεμένους σφίσι περιεῖλε· σχηματίσας δὲ ἐπὶ τούτοις ἑαυτὸν ἐς

11, 1 τεκμήρασθε Gros, τεκμήρασθαι L ‖ 6 κρίνετε Herwerden, κρίνεται L ‖ **12**, 1, 1 συνάρχοντα Mai, ἄρχοντα L ‖ 7 ἐνδεδεμένους B συνδεδεμένους L



τὸ ταπεινότατον ἐπὶ πολὺ μὲν ἐσκυθρώπασε καὶ κατεδάκρυσεν, ἐπεὶ δὲ καὶ ἐφθέγξατό ποτε, σμικρᾷ καὶ δεδινίᾳ τῇ φωνῇ ὑποτρέμων εἶπεν. [τέθειται περὶ δημηγοριῶν.] M p. 141.

δι' οὓς καὶ ὠργίζετο (sc. ὁ Κολλατῖνος). ὅθεν ὁ Βροῦ- 2
τος οὕτω κατ' αὐτοῦ τὸν δῆμον παρώξυνεν, ὡς μικροῦ
καὶ αὐτοχειρίᾳ αὐτὸν ἀνελεῖν. ἀλλὰ τοῦτο μὲν οὐκ
ἐποίησαν, τὴν δ' ἀρχὴν ἠνάγκασαν αὐτὸν ἀπειπεῖν·
εἵλοντο δὲ ἀντ' ἐκείνου συνάρχοντα Πόπλιον Οὐαλέ-
ριον, ὃς Ποπλικόλας προσωνομάσθη· δηλοῖ δ' ἡ κλῆσις
ἐξελληνιζομένη δημοκηδῆ ἢ δημοτικώτατον. Zonar. 7,
12 (vol. II, p. 120, 29—121, 4). Cf. Haupt, Hermes
XIV, p. 442.

ὅτι τὸν τοῦ Διὸς νεὼν ἐθείωσεν ἀπὸ κλήρου ὁ 13
Ὁράτιος καίτοι τοῦ Οὐαλερίου τόν τε υἱὸν αὐτοῦ
τεθνηκέναι φήσαντος καὶ τοῦτο παρ' αὐτὴν αὐτῷ τὴν
ἱερουργίαν ἀγγελθῆναι παρασκευάσαντος, ἵν' ὑπό τε
τοῦ πάθους καὶ ὅτι οὐδ' ἄλλως ὅσιον ἦν ἐν πένθει
τινὰ ὄντα ἱεροποιεῖν, παραχωρήσειέν οἱ τῆς τοῦ ἔργου
ἱερώσεως. ἐκεῖνος γὰρ οὐκ ἠπίστησε μὲν τῷ ῥηθέντι 2
(καὶ γὰρ ὑπὸ πολλῶν καὶ ἀξιοπίστων ἐθρυλήθη), οὐ
μέντοι καὶ τῶν ἱερῶν ἐξέστη, ἀλλ' ἄταφον τὸ σῶμα
τοῦ παιδὸς ὡς καὶ ἀλλότριον, ὅπως μηδὲν τῇ περὶ
αὐτοῦ ὁσίᾳ προσήκειν δόξῃ, κελεύσας τισὶν ἐᾶσαι,
πάνθ' οὕτω τὰ καθήκοντα διετέλεσεν. V p. 577.

(Ταρκύνιος ἱκέτευε) Κλάραν Πορσίναν. Zonar. 7, 12 14
(vol. II, p. 121, 27). Cf. Tzetz. Hist. 6, 201 (Λάρας
Πορσίνας Plut. Poplic. 16).

*Δίωνος* δ' *βιβλίῳ* "ἀλλὰ τῆς τε χώρας τῆς Ῥωμαί- 2

**13**, 2, 1 ἱερώσεως V, ἱδρύσεως L ‖ 2 ἐθρυλήθη] ἐθρυλεῖτο V ‖ 5 προσήκειν] προσέχειν V

κῆς κατέδραμον καὶ πάντα τὰ μέχρι τείχους ἐκακούργουν" Bekk. Anecd. p. 152, 3 et 1. Cf. Zonar. 7, 12 (vol. II, p. 122, 2 sq.).

3 *Λάρτας Πορσέννας Τυρρηνὸς ἢ Κλάρας γε Πορσέννας*
*κατὰ τῆς Ῥώμης ἦν χωρῶν στρατεύματι μεγάλῳ.*
*Μώκιος δὲ Ῥωμαῖός τις γενναῖος στρατιώτης*
*ὅπλα καὶ σχῆμα Τυρρηνῶν ἠμφιεσμένος τότε*
*χωρεῖ κατόπτης κατ' αὐτῶν κτεῖναι Πορσένναν θέλων.*
*συγκαθημένου τούτῳ δὲ τότε τοῦ γραμματέως,*
*ὃς ἦν τῇ γλώσσῃ Τυρρηνῶν Κλουσῖνος κεκλημένος,*
*ἀμφιγνοῶν ὁ Μώκιος, τίς βασιλεὺς τυγχάνει,*
*ἀπέκτεινε τὸν Κλουσῖνον ἀντὶ τοῦ βασιλέως.*
*ὡς συσχεθέντα τοῦτον δὲ ἀνέκρινε Πορσέννας·*
*"τί ποτε τοῦτο δέδρακας; τί προπαθὼν ἐκ τούτου;"*
*"οὐ Τυρρηνός, ἐβόησε, Ῥωμαῖος δὲ τυγχάνω,*
*ἄλλοι δὲ τριακόσιοι ὁμοῖοί μοι τὴν γνώμην*
*σε νῦν θηρῶσιν ἀνελεῖν." τοῦτο ψευδῶς δ' εἰρήκει,*
*τῆς δὲ χειρὸς τῆς δεξιᾶς εἰς πῦρ ἐμβεβλημένης*
*αὐτὸς ὡς ἄλλου πάσχοντος ἔβλεπε πρὸς Πορσένναν,*
*τούτου δ' εἰπόντος "πρὸς ἡμᾶς τί ἀτενῶς προσβλέπεις;"*
*ἔφη "τὸ πῶς πεπλάνημαι καὶ σὲ μὲν οὐκ ἀνεῖλον,*
*ἀντὶ δὲ σοῦ ἀπέκτεινα, ὃν ἔδοξα Πορσένναν."*
*εἰπόντος τοῦ Πορσέννα δέ "γενήσῃ νῦν μου φίλος."*
*ὁ Μώκιος ἀντέλεξεν "εἰ γένῃ σὺ Ῥωμαίων."*
*θαυμάσας ὁ Πορσέννας δὲ τῆς ἀρετῆς τὸν ἄνδρα*
*φίλος Ῥωμαίοις γίνεται καὶ παύει τὰ τῆς μάχης.*

Tzetz. Chil. VI, 201—223. Cf. Schol. Io. Tzetzae Epistolarum in Crameri Anecd. Oxon. vol. III, p. 360, 30 *Κλουσῖνος ἐκαλεῖτο ⟨ὁ⟩ τοῦ Πορσέννα γραμματεύς, καθά φησι Δίων* (p. 8 ed. Pressel, ubi *Κλούσινος*).



Zonar. 7,12 (vol. II, p. 122, 13—15): *τὸν γραμματέα αὐτοῦ συγκαθήμενον αὐτῷ καὶ ὁμοίως ἔχοντα τῆς στολῆς σπασάμενος τὸ ξίφος ἀπέκτεινε.*

*Δίωνος δ' βιβλίῳ "καὶ τῇ γε κόρῃ καὶ ὅπλα, ὥς* 4
*φασί τινες, καὶ ἵππον ἐδωρήσατο."* Bekk. Anecd. p. 133, 8.

*καὶ μετὰ ταῦτα δὲ πολλάκις μὲν ἐπεχείρησαν οἱ Ταρ-* 5
*κύνιοι τὴν βασιλείαν ἀναλαβεῖν τοῖς ὁμοροῦσι Ῥωμαίοις ἔθνεσι συμμαχούμενοι, πάντες δὲ ἐν ταῖς μάχαις ἐφθάρησαν πλὴν τοῦ γέροντος, ὃς καὶ Σούπερβος ἐκαλεῖτο· εἴποι ἂν τις Ἕλλην ἀνὴρ ὑπερήφανος. κἀκεῖνος δὲ μετέπειτα εἰς Κύμην τὴν ἐν Ὀπικίᾳ γενόμενος ἐτελεύτησεν. οὕτω μὲν οὖν τοῖς Ταρκυνίοις τὰ πράγματα ἐπεράνθησαν. ἐκείνων δ' ἐξωσθέντων τῆς βασιλείας ὕπατοι, ὡς εἴρηται, παρὰ τῶν Ῥωμαίων ᾑρέθησαν. ὧν εἷς ἦν καὶ Πόπλιος Οὐαλέριος, ὃς τετράκις ὑπάτευσεν, ὁ καὶ Ποπλικόλας ἐπικληθείς.* Zonar. 7, 12 sq. (vol. II, p. 123, 5—16). Cf. Haupt, Hermes XIV, p. 442.

*καὶ τὴν τῶν χρημάτων διοίκησιν ἄλλοις ἀπένειμεν,* 6
*ἵνα μὴ τούτων ἐγκρατεῖς ὄντες οἱ ὑπατεύοντες μέγα δύνωνται. ὅτε πρῶτον οἱ ταμίαι ἤρξαντο γίνεσθαι· κοιαίστωρας δ' ἐκάλουν αὐτούς. οἳ πρῶτον μὲν τὰς θανασίμους δίκας ἐδίκαζον, ὅθεν καὶ τὴν προσηγορίαν ταύτην διὰ τὰς ἀνακρίσεις ἐσχήκασι καὶ διὰ τὴν τῆς ἀληθείας ἐκ τῶν ἀνακρίσεων ζήτησιν· ὕστερον δὲ καὶ τὴν τῶν κοινῶν χρημάτων διοίκησιν ἔλαχον καὶ ταμίαι προσωνομάσθησαν. μετὰ ταῦτα δ' ἑτέροις μὲν ἐπετράπη τὰ δικαστήρια, ἐκεῖνοι δὲ τῶν χρημάτων ἦσαν διοικηταί.* Zonar. 7, 13 (vol. II, p. 123, 30—124, 11). Cf. Haupt, Hermes XIV, p. 442.

7 *Δίωνος δ' βιβλίῳ "καὶ τά τε ἄλλα αὐτοῖς πολὺ διαλλάττοντα ἀλλήλων καὶ τὰς ἐπικλήσεις διαφόρους παρέθεσαν."* Bekk. Anecd. p. 133, 16. p. 140, 10: *Δίων ε' βιβλίῳ "ἐπελπίζοντές τινα αὐτοὺς οἱ δυνατοί."* 175, 19: *Δίων ε' βιβλίῳ "τούτῳ τε οὖν αὐτὸν ἐτίμησεν."*

15 ὅτι τὸ κρύφιον τῶν βουλευμάτων καὶ τὸ καίριον τῶν πράξεων, τό τε ἰδιοβουλεῖν τινα καὶ τὸ μήτ' ἀναχώρησιν ἐς μηδένα ἄλλον μηδεμίαν ἔχειν καὶ τῶν συμβαινόντων αὐτὸν ἐφ' ἑκάτερα τὴν αἰτίαν λαμβάνειν μέγα μέρος ἐς τὸ κατορθωθῆναί τι συμβάλλεται. M p. 142.

[Zonaras 7, 13 — vol. II, p. 125, 15 sqq.]

*οἱ μέντοι Σαβῖνοι δι' ὀργὴν ὧν ἔπαθον οὐδὲ τὸν χειμῶνα ἠρέμησαν, ἀλλὰ τὴν Ῥωμαΐδα χώραν κατέδραμον καὶ τὸν Ποστούμιον ἐκάκωσαν τὸ δεύτερον ὑπατεύοντα· καὶ εἷλον ἂν αὐτὸν πανσυδί, εἰ μὴ Μενήνιος Ἀγρίππας ὁ συνάρχων αὐτῷ ἐπεκούρησε. προσπεσόντες δὲ αὐτοῖς πολλοὺς ἔφθειραν, ὥστε τοὺς λοιποὺς ἀναχωρῆσαι. μετὰ δὲ ταῦτα Σπούριός τε Κάσσιος καὶ Ὀπιτώριος Οὐεργίνιος ὑπατεύοντες τοῖς Σαβίνοις ἐσπείσαντο. Καμέριον δὲ τὸ ἄστυ ἑλόντες τοὺς μὲν πλείους ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ζωγρήσαντες ἀπέδοντο καὶ τὴν πόλιν κατέσκαψαν.*

*Ποστούμιος δὲ Κομίνιος καὶ Τίτος Λάρκιος δούλους τινὰς ἐπὶ καταλήψει τοῦ Καπιτωλίου συνωμοσίαν θεμένους συλλαβόντες ἔφθειραν. Σερούιός τε Σουλπίκιος καὶ Μᾶρκος Τύλλιος ἑτέραν αὖθις συνωμοσίαν δούλων καὶ ἄλλων δή τινων συστάντων αὐτοῖς προκατέλαβον ἀγγελθεῖσαν αὐτοῖς πρός τινων τῆς ἐπιβουλῆς μετεχόντων. οὓς καὶ συσχόντες περισταδὸν κατέκοψαν. τοῖς δὲ μηνυταῖς ἄλλα τε καὶ πολιτεία ἐδόθη.*

*αὖθις δὲ πολέμου παρὰ Λατίνων κατὰ Ῥώμης κεκινημένου οὐκ ἤθελον οἱ πολλοὶ τὰ ὅπλα λαβεῖν ἀποκοπὴν τῶν χρεῶν ἀξιοῦντες γενέσθαι. καὶ διὰ τοῦτο καινήν τινα ἀρχὴν ἐπ' ἀμφοτέροις αὐτοῖς τότε πρῶτον οἱ δυνατοὶ κατεστήσαντο·*

---

15, 2 *μηδ'* St ‖ 4 *ἐφ' ἑκάτερα*] *ἐφ' ἑαυτόν* Krebs



πρὸς στάσεις ἐτράποντο. αἴτιον δ' ὅτι οἵ τε ἰσχύ- 16
οντες τοῖς χρήμασιν ἐν πᾶσι τῶν καταδεεστέρων ὡς
καὶ βασιλεύοντες σφῶν προέχειν ἐβούλοντο, καὶ οἱ
ἀσθενέστεροι οὐδὲν αὐτοῖς οὐδὲ σμικρὸν ὡς καὶ ἰσο-
νομούμενοι πειθαρχεῖν ἤθελον, ἀλλ' οἱ μὲν ἄπληστοι
τῆς ἐλευθερίας ὄντες καὶ ταῖς οὐσίαις ταῖς ἐκείνων,
οἱ δὲ ἀκρατῶς τῆς τιμήσεως ἔχοντες καὶ τοῖς σώμασι
τοῖς τούτων ἐχρῶντο· καὶ οὕτως ἐξ ὧν πρότερον τὰ 2
πρόσφορα ἀνθυπουργοῦντες ἀλλήλοις συνεφρόνουν
καταλύσαντες οὐκέτι τὸ οἰκεῖον ἀπὸ τοῦ ὀθνείου δι-
έκρινον, ἀλλὰ τό τε μέτριον ἀμφότεροι ὑπερορῶντες
καὶ τὸ ἄκρον οἱ μὲν τῆς ἐπιτάξεως, οἱ δὲ τῆς οὐκ ἐθε-

[Zonaras 7, 13 — vol. II, p. 126, 7 sqq.]

*δικτάτωρ ὁ ταύτης ἠξιωμένος ὠνόμαστο, ἠδύνατο δὲ πάντα ἐξ ἴσου τοῖς βασιλεῦσι. τὴν μὲν γὰρ τοῦ βασιλέως ἐπωνυμίαν διὰ τοὺς Ταρκυνίους ἐμίσησαν, τὴν δ' ἐκ τῆς μοναρχίας ὠφέλειαν θέλοντες ὡς πολὺ ἰσχυούσης ἐς τὰς τῶν πολέμων καὶ τῶν στάσεων περιστάσεις ἐν ἄλλῳ ταύτην ὀνόματι εἵλοντο. ἦν οὖν, ὡς εἴρηται, ἡ δικτατωρεία κατά γε τὴν ἐξουσίαν τῇ βασιλείᾳ ἰσόρροπος, πλὴν ὅτι μὴ ἐφ' ἵππον ἀναβῆναι ὁ δικτάτωρ ἠδύνατο, εἰ μὴ ἐκστρατεύεσθαι ἔμελλεν, οὔτε ἐκ τῶν δημοσίων χρημάτων ἀναλῶσαί τι ἐξῆν αὐτῷ, εἰ μὴ ἐψηφίσθη· δικάζειν δὲ καὶ ἀποκτείνειν καὶ οἴκοι καὶ ἐν στρατείαις ἠδύνατο καὶ οὐ τοὺς τοῦ δήμου μόνους, ἀλλὰ καὶ ἐκ τῶν ἱππέων καὶ ἐξ αὐτῆς τῆς βουλῆς. καὶ οὔτ' ἐγκαλέσαι τις αὐτῷ οὔτ' ἐναντίον τι διαπράξασθαι ἴσχυεν, οὐδὲ οἱ δήμαρχοι, οὔτε δίκη ἐφέσιμος ἐγίνετο ἀπ' αὐτοῦ. οὐκ ἐπὶ πλέον δὲ τῶν ἓξ μηνῶν ἡ τῆς δικτατωρείας ἀρχὴ παρετείνετο, ἵνα μή τις αὐτῶν ἐν τοσούτῳ κράτει καὶ ἐξουσίᾳ ἀκράτῳ χρονίσας ὑπερφρονήσῃ καὶ πρὸς ἔρωτα μοναρχίας ἐκκυλισθῇ. ὅπερ ἐς ὕστερον καὶ ὁ Καῖσαρ Ἰούλιος ἔπαθεν, ἐπεὶ παρὰ τὰ νενομισμένα τῆς δικτατωρείας ἠξίωτο.*

**14.** *τότε μὲν οὖν δικτάτωρος γενομένου Λαρκίου οὐδὲν ὁ*

---

16, 1, 6 *ἐκείνου* Krebs, *ἐκείνων* L

λοδουλίας προτιμῶντες οὔτε ἐκεῖνα κατειργάσαντο καὶ
πολλὰ καὶ ἄτοπα τὰ μὲν ἀμυνόμενοι, τὰ δὲ καὶ προ-
3 καταλαμβάνοντες ἀλλήλους ἔδρασαν, ὥστ' αὐτοὺς ἐπὶ
πλεῖστον ἀνθρώπων, πλὴν ἐν τοῖς πάνυ ⟨δεινοῖς⟩
κινδύνοις, οὓς ἐκ τῶν ἀεὶ πολέμων δι' αὐτὰ ταῦτα
μάλιστα ἔσχον, διχοστατῆσαι· ὅθενπερ συχνοὶ τῶν
πρώτων καὶ ἐξεπίτηδες σφᾶς πολλάκις παρεσκεύασαν.
καὶ ἐκεῖθεν ἀρξάμενοι πολλῷ πλείω κακὰ πρὸς ἀλλή-
λων ἢ τῶν ἀλλοφύλων ἔπαθον. καί μοι καὶ καταμαντεύ-
σασθαι ἐξ αὐτῶν ἐπέρχεται, ὅτι οὐκ ἔστιν ὅπως ἄλλως
εἴτ' οὖν τῆς δυνάμεως εἴτ' οὖν τῆς ἀρχῆς στερηθεῖεν,
εἰ μὴ δι' ἀλλήλων σφαλεῖεν. M ib.
4 ἄλλως τε γὰρ ἐδυσχέραινον, ὅτι μὴ τὰ αὐτὰ δεό-
μενοι σφῶν οἱ βουλευταὶ καὶ τυχόντες ἐφρόνουν,
ἀλλ' ἐν μὲν τῷ κινδύνῳ πολλὰ καὶ μεγάλα αὐτοῖς
ὑπέσχοντο, σωθέντες δὲ οὐδὲν οὐδὲ τῶν ἐλαχίστων
ἐποίησαν. M p. 143.

[Zonaras 7, 14 — vol. II, p. 127, 1 sqq.]

δῆμος ἐνεωτέρισεν, ἀλλὰ καὶ ἐν τοῖς ὅπλοις ἐγένοντο. τῶν δὲ Λατίνων ἡσυχίαν ἀγόντων ἐπὶ συνθήκαις οἱ δανεισταὶ τοὺς ὀφειλέτας μετεχειρίζοντο βιαιότερον, καὶ ὁ δῆμος αὖθις ἐστασίαζε διὰ τοῦτο, ὥστε καὶ εἰς τὸ συνέδριον συνδραμεῖν· καὶ πάντες ἂν ὑπὸ τῶν εἰσπεσόντων ἐν αὐτῷ διεφθάρησαν, εἰ μή τινες τοὺς Οὐολούσκους εἰς τὴν χώραν ἐμβαλεῖν ἤδη κατήγγειλαν. πρὸς δὲ τὴν τοιαύτην ἀγγελίαν ὁ δῆμος ἠρέμησεν οὐχὶ φεισάμενος τῆς βουλῆς, ἀλλ' ὡς ὑπὸ τῶν πολεμίων ὅσον οὔπω φθαρησομένης. διὸ οὔτε τοῦ τείχους ἔθεντο φυλακὴν οὔτε τινὰ παρεῖχον βοήθειαν, μέχρις ὁ Σερουίλιος τούς τε ἐξ ὑπερημερίας κρατουμένους ἀφῆκε καὶ ἄδειαν τῶν εἰσπράξεων καθ' ὅσον στρατεύοιντο ἐψηφίσατο καὶ κουφίσαι τὰ χρέα ὑπέσχετο. τότε μὲν οὖν διὰ

16, 3, 2 ⟨δεινοῖς⟩ suppl. Herwerden ‖ 9 εἴτ' οὖν — εἴτ' οὖν D, εἴτ' ἂν — εἴτ' ἂν L ‖ 4, 1 μὴ] οὐ Krebs



ἵνα γὰρ δὴ μὴ καθ' ἓν μαχόμενοι, ἀλλ' ὑπὲρ τῆς 5
οἰκείας χωρὶς ἕκαστοι ἀγωνιζόμενοι εὐχειρωτότεροί
σφισι γένωνται, διεῖλον τὴν στρατιάν. ib.
ὅτι ὁ δῆμος ἰδιωτεύσαντος τοῦ Οὐαλερίου τοῦ 6
δικτάτωρος χαλεπώτατα ἐστασίασεν, ὥστε καὶ τὴν πο-
λιτείαν νεοχμῶσαι· οἱ γὰρ ἐν ταῖς περιουσίαις ὄντες
τοῦ πάνυ ἀκριβοῦς περὶ τὰ συμβόλαια ἀντεχόμενοι καὶ
μηδ' ὁτιοῦν αὐτοῦ παριέντες καὶ ἐκείνου διήμαρτον
καὶ ἄλλων πολλῶν ἐστερήθησαν· οὐ γὰρ ἔγνωσαν, ὅτι
ἥ τε πενία ἡ ἄκρατος βιαιότατον κακόν, ἥ τε ἐξ αὐτῆς

[Zonaras 7, 14 — vol. II, p. 127, 16 sqq.]

ταῦτα τοῖς πολεμίοις ἐπεξελθόντες ἐνίκησαν· μήτε δὲ τῶν χρεῶν κουφισθέντες μήτ' ἄλλου μηδενὸς τυχόντες ἐπιεικοῦς καὶ πάλιν ἐθορύβουν τε καὶ ὠργίζοντο καὶ κατὰ τῆς βουλῆς καὶ τῶν στρατηγῶν ἐστασίαζον.

πολέμου δὲ αὖθις ἐπενεχθέντος οἱ μὲν στρατηγοὶ χρεῶν ἀποκοπὰς ἐψηφίζοντο, ἠναντιώθησαν δ' ἕτεροι· διὸ καὶ δικτάτωρ ἐρρήθη Οὐαλέριος Μᾶρκος, ἐκ τῆς Ποπλικόλα συγγενείας γενόμενος καὶ τῷ πλήθει φιλούμενος· ἔνθεν τοι τοσοῦτοι καὶ οὕτω προθύμως, ἐπεὶ αὐτοῖς καὶ ἆθλα ὑπέσχετο, συνελέγησαν, ὡς καὶ τῶν Σαβίνων κρατῆσαι καὶ τῶν συμμαχούντων αὐτοῖς Οὐολούσκων καὶ Αἰκουῶν. ἐπὶ τούτοις ἄλλας τε τῷ Οὐαλερίῳ ὁ δῆμος τιμὰς ἐψηφίσατο καὶ Μάξιμον ἐπωνόμασεν· ἐξελληνιζόμενον δὲ μέγιστον σημαίνει τὸ ὄνομα. ὁ δὲ θέλων τῷ δήμῳ χαρίσασθαι πολλὰ διειλέχθη τῇ γερουσίᾳ, ἀλλ' οὐκ ἔσχε ταύτην πειθήνιον. διὸ σὺν ὀργῇ ἐκπηδήσας τοῦ συνεδρίου δημηγορήσας τε πρὸς τὸν δῆμον
πολλὰ κατὰ τῆς βουλῆς τὴν ἡγεμονίαν ἀπείπατο. καὶ ὁ fr. 16, 6
δῆμος ἔτι μᾶλλον εἰς στάσιν ἠρέθιστο. οἱ γὰρ δανεισταί, τῆς περὶ τὰ συμβόλαια ἀκριβείας ἐχόμενοι καὶ μή τι τοῖς ὀφλουσιν ἐνδιδόντες τοῦ ἀκριβοῦς τε διήμαρτον καὶ πολλῶν ἑτέρων ἀπέτυχον. ἡ γὰρ πενία καὶ ἡ ἐκ ταύτης ἀπόνοια κακόν ἐστι βίαιον, εἰ δὲ καὶ τὸ πλῆθος προσλάβοι, καὶ δυσμαχώτατον.

ἀπόνοια ἄλλως τε καὶ πλῆθος προσλαβοῦσα δυσμαχώ-
7 τατόν ἐστι. καὶ διὰ τοῦτο οὐκ ὀλίγοι τῶν τὰ πολιτικὰ
πρασσόντων ἐθελονταὶ τὸ ἐπιεικὲς πρὸ τοῦ σφόδρα
δικαίου προαιροῦνται· τοῦτο μὲν γὰρ τῆς τε ἀνθρω-
πείας φύσεως πολλάκις ἡττᾶται καὶ ἔστιν ὅτε καὶ παν-
τελῶς καταλύεται, ἐκεῖνο δὲ σμικρόν τι αὐτοῦ παρα-
θραῦσαν τὸ γοῦν λοιπὸν μεῖζον ὂν σώζει. πλείστων
γοῦν δεινῶν τοῖς Ῥωμαίοις αἰτία ἡ τῶν δυνατωτέρων
8 ἐς τοὺς ὑποδεεστέρους ἀκρίβεια ἐγένετο· ἄλλα τε γὰρ
πολλὰ κατὰ τῶν ὑπερημέρων αὐτοῖς ἐδέδοτο, καὶ εἰ
δή τινι πλείους δεδανεικότες ἔτυχον, κρεουργηδὸν
αὐτοῦ τὸ σῶμα πρὸς τὸ μέρος ὧν ὤφειλεν ἐξουσίαν
εἶχον κατανέμεσθαι. καὶ τοῦτο μὲν εἰ καὶ τὰ μάλιστα
ἐνενόμιστο, ἀλλ' οὔτι γε καὶ ἔργῳ ποτὲ ἐγεγόνει· πῶς
γὰρ ἂν πρὸς τοσαύτην ὠμότητα προεχώρησαν οἱ καὶ
τοῖς ἐπ' ἀδικήματί τινι ⟨ἁλοῦσιν⟩ διάφευξιν ἐπὶ σω-
τηρίᾳ πολλάκις δόντες τοῖς τε ἀπὸ τῶν πετρῶν τοῦ
Καπιτωλίου ὠσθεῖσι ζῆν, εἰ περιγένοιντο, ἐπιτρέπον-
τες; M p. 143. Cf. Zonar. 7, 14 (vol. II, p. 128, 6—13).

[Zonaras 7, 14 — vol. II, p. 128, 11 sqq.]

πλείστων γοῦν δεινῶν τοῖς Ῥωμαίοις αἰτία ἡ τότε τῶν δυνατωτέρων πρὸς τοὺς ὑποδεεστέρους ἀκρίβεια γέγονεν. ὡς γὰρ ταῖς στρατείαις τε τὸ στρατιωτικὸν ἐπιέζετο καὶ πολλὰ πολλάκις ἐλπίσαν σαφῶς ἐξηπάτητο, καὶ παρὰ τῶν δανειστῶν οἱ ὀφειλέται ὑβρίζοντο καὶ ᾐκίζοντο, ἐς τοσοῦτον ὀργῆς ἐξεκαύθησαν, ὡς καὶ τὴν πόλιν τῶν ἀπόρων πολλοὺς ἐκλιπεῖν καὶ ἐκ τοῦ στρατοπέδου ἀναχωρῆσαι

7,7 τῶν δυνατωτέρων Gros e Zonara, τοῦ δυνατωτέρου L ‖ 8,2 εἰ δή τινι πλείους Herwerden, εἰ δή τινες πλείους L, εἰ δή τινες πλείους ⟨ἑνὶ⟩ Krebs ‖ 4 μέρος ὃ ὤφειλεν ⟨ἑκάστῳ⟩ Herw. ‖ 5 κατανέμεσθαι] κατατέμνεσθαι Naber ‖ 8 τινι ⟨ἁλοῦσιν⟩ Herwerden, ⟨κρινομένοις⟩? B, ⟨δικαστεῖσι⟩ Krebs ‖ 9 ἀπό] κατὰ Herwerden



ὅτι οἱ χρεωστοῦντες τὰ δάνεια κολωνόν τινα κατ- 9
έλαβον καὶ Γάιόν τινα προστησάμενοι τὴν τροφὴν ἐκ
τῆς χώρας ὥσπερ ἐκ πολεμίας ἐλάμβανον κἀκ τούτου
τούς τε νόμους τῶν ὅπλων καὶ τὸ δίκαιον τῆς ἀπο-
νοίας σφῶν ἀσθενέστερα ἀπέφηναν. οἱ δὲ βουλευταὶ
⟨τούτους τε⟩ φοβηθέντες, μὴ ἐπὶ πλεῖον πολεμωθῶσι,
καὶ τοὺς περιοίκους, ⟨μὴ⟩ πρὸς τὰ παρόντα συνεπί-
θωνταί σφισι, διεκηρυκεύσαντο αὐτοῖς πάνθ' ὅσα καθ'
ἡδονὴν ἤλπιζον ἔσεσθαι προτείνοντες. οἱ δὲ τὸ ⟨μὲν⟩ 10

[Zonaras 7, 14 — vol. II, p. 128, 19 sqq.]

καὶ ἐκ τῆς χώρας ὡς πολεμίους τὰς τροφὰς ἐρανί- fr. 16, 9
ζεσθαι.

οὕτω δὲ τούτων συνενεχθέντων, ἐπεὶ πολλοὶ πρὸς τοὺς ἀποστάντας συνέρρεον, δείσαντες οἱ βουλευταί, μὴ ἐπὶ πλέον οὗτοί τε ἐκπολεμωθῶσι καὶ τῇ στάσει συνεπίθωνται οἱ περίοικοι, διεκηρυκεύσαντο πρὸς αὐτούς, ὅσα πρὸς βουλῆς ἦσαν αὐτοῖς ποιεῖν ὑπισχνούμενοι. ὡς δὲ μάλιστα ἐθρασύνοντο καὶ οὐδένα λόγον ἐδέχοντο, εἷς τῶν πρέσβεων
Ἀγρίππας Μενήνιος μύθου τινὸς σφᾶς ἀκοῦσαι fr. 16, 10
ἠξίωσε· καὶ τυχὼν εἶπε στασιάσαι πρὸς τὴν γαστέρα τὰ μέλη πάντα τοῦ σώματος καὶ φάναι τοὺς ὀφθαλμούς, ὡς ἡμεῖς τάς τε χεῖρας ἐνεργοὺς εἰς ἔργα καὶ τοὺς πόδας πρὸς πορείαν τιθέαμεν, τὴν γλῶσσαν δὲ καὶ τὰ χείλη, ὅτι δι' ἡμῶν τὰ τῆς καρδίας βουλεύματα διαγγέλλονται, τὰ ὦτα δ' αὖ, ὡς δι' ἡμῶν οἱ ἑτέρων λόγοι τῷ νοΐ παραπέμπονται, τὰς δὲ χεῖρας, ὅτι ἐργάτιδες οὖσαι ἡμεῖς περιποιούμεθα πορισμούς, τοὺς πόδας δ' αὖθις, ὅτι ἅπαν ἡμεῖς τὸ σῶμα φέροντες κοπιῶμεν κἀν ταῖς πορείαις κἀν ταῖς ἐργασίαις καὶ ἐν ταῖς στάσεσιν·

9,6 ⟨τουτους τε⟩ inser. B Herwerden ‖ πολεμωθῶσι D, ἐκπολεμωθῶσι Herwerden, ἐκπολεμηθῶσι B, πολεμηθῶσι L ‖ 7 ⟨μὴ⟩ inser. B ‖ 10, 1 ⟨μὲν⟩ suppl. B

πρῶτον ἐθρασύνοντο, θαυμασίῳ δέ τινι τρόπῳ κατ-
έστησαν· ἐπειδὴ γὰρ ἀτάκτως διεβόων, Ἀγρίππας εἷς
τῶν πρέσβεων μύθου τινὸς ἐπακοῦσαι σφᾶς ἠξίωσε
καὶ τυχὼν εἶπεν, ὅτι πρὸς τὴν γαστέρα ποτὲ τἄλλα
μέλη τοῦ ἀνθρώπου ἐστασίασε λέγοντα αὐτὰ μὲν καὶ
ἄσιτα καὶ ἄποτα πονεῖν καὶ ταλαιπωρεῖν ἅτε καὶ
ἅπαντα αὐτῇ διακονούμενα, ἐκείνην δὲ δὴ οὔτε τινὰ
11 πόνον ἔχειν καὶ τῆς τροφῆς μόνην ἐμπίμπλασθαι. καὶ
τέλος ἐψηφίσαντο μηκέτι μήτε τὰς χεῖρας τῷ στόματι
προσφέρειν μήτε ἐκεῖνο λαμβάνειν, ὅπως ὅτι μάλιστα
ἡ γαστὴρ ἐνδεὴς καὶ σίτου καὶ πότου γενομένη φθα-
ρείη. ὡς δὲ ἔδοξε ταῦτα καὶ ἐγένετο, τὸ μὲν πρῶτον
ἐξισχνάνθη τὸ σῶμα σύμπαν, ἔπειτα ὑπέδωκε καὶ ἐξ-
έκαμε. πονήρως οὖν τὰ μέλη σφῶν ἔχοντα συνέγνω τε
ἐκείνην καὶ τὴν σφετέραν σωτηρίαν εἶναι καὶ ἀπέδωκεν

[Zonaras 7, 14 — vol. II, p. 129, 10 sqq.]

ἡμῶν δ' ἐνεργούντων οὕτω σὺ μόνη ἀσυντελὴς οὖσα
καὶ ἀεργὸς ὑπὸ πάντων ἡμῶν ὡς δέσποινά τις
ὑπηρετῇ καὶ τῶν ἐκ καμάτου πάντων ἡμῶν πορι-
σμῶν ἀπολαύεις αὐτή. ἡ δὲ γαστὴρ συνέθετο καὶ
αὐτὴ οὕτω ταῦτ' ἔχειν, καὶ εἰ δοκεῖ, ἔφησεν, ἀχο-
fr. 16,11 ρήγητόν με ἐάσατε μηδέν μοι προσφέροντες. ἔδοξε
ταῦτα, καὶ μή τι τοῦ λοιποῦ χορηγεῖσθαι τῇ γαστρὶ
κοινῶς ἐψηφίσθη τοῖς μέλεσι. τροφῆς δὲ μὴ προσ-
φερομένης αὐτῇ οὔθ' αἱ χεῖρες πρὸς ἔργον ἦσαν
εὐκίνητοι διὰ τὴν ἔνδειαν τῆς γαστρὸς ἀτονήσασαι,
οὔθ' οἱ πόδες ἔρρωντο, οὔτε τι ἕτερον τῶν μελῶν
τὴν οἰκείαν ἐνέργειαν παρεῖχεν ἀπρόσκοπον, ἀλλ'
ἄπρακτα πάντα δυσκίνητά τε ἦ καὶ τέλεον ἦσαν

---

10, 2 δέ τινι B, δή τινι L ‖ κατέστησαν] μετέστησαν Herwerden ‖ 7 ἄποτα ⟨ὄντα⟩ Herwerden ‖ 8 αὐτῇ διακονούμενα Mai, αὐτῷ διακονουμένοις L ‖ 11,2 μηκέτι] μηδὲν ἔτι? B ‖ 6 ἔπειτα ⟨δ'⟩ Herwerden ‖ 8 ἐκείνην Gros e Zonara, ἐκεῖνοι L



αὐτῇ τὴν τροφήν. ἀκούσαν δὲ τούτων τὸ πλῆθος συν- 12
ῆκεν, ὅτι καὶ τὰ τῶν πενήτων αἱ τῶν εὐπόρων περι-
ουσίαι ἀνέχουσι, καὶ διὰ τοῦτ' ἠπιώτεροι ἐγένοντο καὶ
κατηλλάγησαν ἄφεσιν τῶν τε δανεισμάτων καὶ τῶν
ὑπερημεριῶν εὑρόμενοι. ταῦτα μὲν οὖν καὶ πρὸς τῆς
βουλῆς ἐψηφίσθη. M p. 144. Cf. Zonar. 7,14 (vol. II,
p. 128,19—130,5). Quae leguntur apud Ioannem Antiochenum fr. 46 (Müller, fr. hist. gr. IV, p. 556) de hac secessione plebis, ex integris Dionis libris sumpta esse videntur. Cf. H. Haupt, Hermes XIV, p. 44, not. 1; G. Sotiriadis, Zur Kritik des Iohannes von Antiochia, Supplem. annal. philol. vol. XVI, p. 50.

καὶ ἐδόκει μήτ' ἀπὸ τοῦ ἀνθρωπείου εἶναι, καὶ 13
πολλοῖς καὶ ἄλλοις, τοῖς μὲν ἑκοῦσι, τοῖς δὲ ἄκουσιν...

ὅτι ὅταν πολλοὶ καθ' ἓν γενόμενοι πλεονεκτήσωσι
βιασάμενοι, παραχρῆμα μὲν ὁμολογίᾳ τινὶ ἐπιεικεῖ

[Zonaras 7, 14 — vol. II, p. 129, 22 sqq.]

ἀκίνητα. καὶ τότε συνῆκαν, ὅτι τὰ τῇ γαστρὶ προσ-
φερόμενα οὐ μᾶλλον ἐκείνῃ, ἀλλ' αὐτοῖς κεχορή-
γηνται καὶ αὐτῶν ἕκαστον τῶν ἐκείνῃ προσαγομέ-
νων παραπολαύει.

τούτοις τοῖς λόγοις τὸ πλῆθος συνῆκεν, ὡς αἱ fr. 16,12
τῶν εὐπόρων οὐσίαι καὶ τοῖς πένησίν εἰσιν εἰς
ὠφέλειαν, καὶ εἰ κἀκεῖνοι ὠφελοῖντο ἐκ δανεισμά-
των καὶ τὰς οὐσίας αὔξουσιν, οὐκ εἰς βλάβην τοῦτο
τῶν πολλῶν ἀποβαίνει, ὡς εἴ γε μὴ ἔχοιεν οἱ πλου-
τοῦντες, οὐδ' οἱ πένητες ἂν ἐν καιροῖς ἀναγκαίοις
ἕξουσι τοὺς δανείσοντας καὶ ἀπολοῦνται χρείας
κατεπειγούσης. ἐντεῦθεν ἠπιώτεροι γενόμενοι κατ-
ηλλάγησαν κουφισμὸν τῶν ὀφειλῶν καὶ τῶν ὑπερ-
ημεριῶν ἄφεσιν τῆς βουλῆς ψηφισαμένης αὐτοῖς.

---

12,4 δανεισμάτων Gros e Zonara, δανεισάντων L ‖ 13,2 ἄλλοις Mai, ἄλλως L

*θρασύνονται, διαλυθέντες δὲ ἄλλος κατ' ἄλλην πρόφασιν δικαιοῦνται.* M p. 146. Cf. Zonar. 7, 15 (vol. II, p. 130, 5—8).

[Zonaras 7, 15 — vol. II, p. 130, 5 sqq.]

fr. 16,13 15. φοβηθέντες δέ, μὴ σκεδασθείσης αὐτοῖς τῆς συστάσεως ἢ τὰς συνθήκας οὐκ ἐπιτελεῖς ἕξουσιν ἢ κακωθῶσι διαλυθέντες καὶ ἄλλος κατ' ἄλλην πρόφασιν κολάζοιτο συνεχόμενος, συνέθεντο ἐπαρήγειν ἀλλήλοις, ἄν τίς τι ἀδικοῖτο, καὶ ὅρκους ἐπὶ τούτῳ ὑπέσχον καὶ προστάτας αὐτίκα ἐξ ἑαυτῶν δύο προεχειρίσαντο, εἶτα καὶ πλείους, ἵν' εἶεν αὐτοῖς κατὰ συμμορίαν βοηθοί τε καὶ τιμωροί. καὶ τοῦτο οὐχ ἅπαξ ἐποίησαν, ἀλλ' ἔκτοτε τὸ πρᾶγμα ἀρξάμενον οὕτω προέβαινε, καὶ ἐπ' ἐνιαυτὸν τοὺς προστάτας ὡς ἀρχήν τινα ἀπεδείκνυσαν, τῇ μὲν τῶν Λατίνων γλώσσῃ καλουμένους τριβούνους (οὕτω γὰρ οἱ χιλίαρχοι κέκληνται), δημάρχους δὲ προσαγορευομένους τῇ Ἑλληνίδι φωνῇ. ἵνα δὲ διαστέλληται ἡ τῶν τριβούνων προσηγορία, τοῖς μὲν τὸ τῶν στρατιωτῶν, τοῖς δὲ τὸ τοῦ πλήθους προσέθεντο πρόσρημα. οὗτοι δὴ τοῦ πλήθους οἱ τριβοῦνοι ἢ δήμαρχοι μεγάλων κακῶν αἴτιοι τῇ Ῥώμῃ γεγόνασι. τὸ μὲν γὰρ τῶν ἀρχόντων ὄνομα οὐκ ἔσχον εὐθύς, ἰσχὺν δ' ὑπὲρ πάντας τοὺς ἄλλους ἐκτήσαντο, ἤμυνόν τε δεομένῳ παντὶ καὶ πάντα τὸν ἐπιβοησάμενον σφᾶς ἀφῃροῦντο οὐκ ἐκ μόνων ἰδιωτῶν, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν ἀρχόντων πλὴν τῶν δικτατώρων. εἰ δέ τις καὶ ἀπόντας αὐτοὺς ἐπεκαλέσατο, κἀκεῖνος ἀπὸ τοῦ συνέχοντος αὐτὸν ἀπηλλάττετο καὶ ἢ ἐς τὸ πλῆθος ὑπ' αὐτῶν εἰσήγετο ἢ καὶ ἀπελύετο. ἀλλὰ καὶ εἴ τί που ἔδοξεν αὐτοῖς μὴ γενέσθαι, ἐκώλυον, κἂν ἰδιώτης ἦν ὁ ποιῶν κἂν ἄρχων· κἂν ὁ δῆμος κἂν ἡ βουλὴ πράττειν ἔμελλέ τι κἂν ψηφίζεσθαι, εἷς δέ τις ἠναντίωτο δήμαρχος, ἄπρακτος καὶ ἡ πρᾶξις καὶ ἡ ψῆφος ἐγίνετο. τοῦ χρόνου δὲ προϊόντος καὶ τὴν γερουσίαν ἀθροίζειν καὶ ζημιοῦν τὸν μὴ πειθαρχοῦντα καὶ μαντείᾳ χρῆσθαι καὶ δικάζειν ἐπετράπησαν ἢ ἑαυτοῖς ἐπέτρεψαν. καὶ ὃ γὰρ ποιεῖν αὐτοῖς οὐκ ἐξῆν, κατώρθουν ἐκ τῆς ἀνανταγωνίστου πρὸς πᾶν τὸ πραττόμενον ὑφ' ἑτέρων ἐναντιώσεως. καὶ γὰρ καὶ νόμους εἰσήγαγον, ἵν' ὅστις αὐτοῖς



*κατά τε τὸ φύσει τοῖς πλείστοις πρὸς τοὺς συνάρ-* 14
*χοντας διάφορον (χαλεπὸν γὰρ πολλοὺς ἄλλως τε καὶ ἐν δυνάμει τινὶ συμφρονῆσαι) πᾶσα αὐτῶν ἡ ἰσχὺς διεσπᾶτο καὶ κατετέμνετο· οὐδὲν γὰρ ὄφελος ὧν ἐγίνωσκον ἦν, εἰ καὶ εἷς σφῶν ἀντεῖπεν· τῷ γὰρ τὴν ἀρχὴν αὐτοὺς μὴ ἐπ' ἄλλο τι ἢ ⟨τὸ⟩ τοῖς βιαζομένοις τινὰς ἐναντιοῦσθαι λαμβάνειν ἰσχυρότερος ὁ κωλύων τι πραχθῆναι τῶν σπουδαζόντων αὐτὸ ἐγίγνετο.* M ib. Cf. Zonar. 7, 15 (vol. II, p. 131, 28—132, 4).

[Zonaras 7, 15 — vol. II, p. 131, 11 sqq.]

ἔργῳ ἢ λόγῳ προσκρούσῃ, κἂν ἰδιώτης εἴη κἂν ἄρχων, ἱερός τε ᾖ καὶ τῷ ἄγει ἐνέχηται. τὸ δὲ ἱερὸν εἶναι ἀπολωλέναι ἦν· οὕτω γὰρ πᾶν, ὅπερ ἂν ὥσπερ τι θῦμα εἰς σφαγὴν καθιερώθῃ, ὠνόμαστο. καὶ αὐτοὺς δὲ τοὺς δημάρχους τὸ πλῆθος σακροσάγκτους ὠνόμασαν, οἷον τείχη ἅγια εἰς φρουρὰν τῶν σφᾶς ἐπικαλουμένων τυγχάνοντας. σάκρα γὰρ παρὰ Ῥωμαίοις τὰ τείχη καὶ σάγκτα τὰ ἅγια. ἔδρων οὖν πολλὰ ἄτοπα· καὶ γὰρ καὶ ὑπάτους ἔβαλλον εἰς τὸ δεσμωτήριον καὶ ἐθανάτουν τινὰς μηδὲ λόγου τυγχάνοντας. καὶ οὐδεὶς αὐτοῖς ἐναντιωθῆναι ἐτόλμα· εἰ δὲ μή, καὶ αὐτὸς ἱερὸς ἐγίνετο. εἰ μέντοι τινὲς μὴ παρὰ πάντων τῶν δημάρχων κατεδικάζοντο, τοὺς μὴ ὁμογνωμονοῦντας ἐπεκαλοῦντο εἰς ἀρωγὴν καὶ οὕτως εἰς δίκην καθίσταντο ἢ παρ' αὐτοῖς ἐκείνοις ἢ παρά τισι δικασταῖς ἢ καὶ παρὰ τῷ πλήθει καὶ τῆς νικώσης ἐγίνοντο. εἰς δέκα δὲ προϊόντος τοῦ χρόνου οἱ δή-
μαρχοι κατέστησαν· ὅθεν αὐτοῖς τὸ πολὺ τῆς ἰσχύος fr. 16,14
κατεβέβλητο. φύσει γὰρ ὥσπερ, φθόνῳ δὲ μᾶλλον ἀλλήλοις οἱ συνάρχοντες διαφέρονται· καὶ χαλεπὸν πολλοὺς ἐν δυνάμει μάλιστα ὄντας συμφρονῆσαι. ἅμα δὲ καὶ οἱ ἄλλοι διασπᾶν τὴν αὐτῶν δύναμιν μηχανώμενοι, ὅπως ἀσθενέστεροι διχογνωμονοῦντες ὦσιν, ἐστασίαζον, καὶ οἱ
μὲν τοῖσδε, οἱ δὲ τοῖσδε προσετίθεντο. εἰ δὲ καὶ εἷς σφῶν fr. 16,14
ἀντεῖπε, τὰς τῶν ἄλλων διαγνώσεις ἀπράκτους ἀπέφαινε.

14, 3 συμφρονῆσαι Mai e Zonara, σωφρονῆσαι L ‖ 4 ὧν B, ὡς L ‖ 6 ⟨τὸ⟩ inser. Herwerden

17 οὐ γάρ ἐστι ῥᾴδιον οὔτε ἐν πᾶσί τινα ἰσχύειν οὔτε ἐν ἑκατέροις ἅμα τοῖς τε πολεμικοῖς καὶ τοῖς εἰρηνικοῖς πράγμασιν ἀρετὴν ἔχειν· οἵ τε γὰρ τοῖς σώμασιν ἰσχυριζόμενοι ἀνοηταίνουσιν ὡς πλήθει, καὶ τὰ ἀθρόως εὐτυχήσαντ' οὐκ ἐπὶ πᾶν ὡς ἐπὶ τὸ πολὺ ἀνθεῖ. δι'

[Zonaras 7, 15 — vol. II, p. 132, 5 sqq.]

τὸ μὲν οὖν πρῶτον οὐκ εἰσῄεσαν εἰς τὸ βουλευτήριον, καθήμενοι δὲ ἐπὶ τῆς εἰσόδου τὰ ποιούμενα παρετήρουν καί, εἴ τι μὴ αὐτοῖς ἤρεσκε, παραχρῆμα ἀνθίσταντο· εἶτα καὶ εἰσεκαλοῦντο ἐντός. εἰσέπειτα μέντοι καὶ μετέλαβον τῆς βουλείας οἱ δημαρχήσαντες, καὶ τέλος κἀκ τῶν βουλευτῶν τινες ἠξιώθησαν δημαρχεῖν, εἰ μή τις εὐπατρίδης ἐτύγχανεν. οὐ γὰρ ἐδέχετο τοὺς εὐπατρίδας ὁ ὅμιλος. κατὰ γὰρ τῶν εὐπατριδῶν ἑλόμενοι τοὺς δημάρχους καὶ πρὸς τοσαύτην δύναμιν προσαγαγόντες ἐδεδοίκεσαν, μή τις αὐτῶν τῇ ἰσχύϊ ἐς τοὐναντίον κατ' αὐτῶν χρήσηται. εἰ δέ τις τὸ τοῦ γένους ἀξίωμα ἐξωμόσατο καὶ πρὸς τὴν τοῦ πλήθους μετέστη νόμισιν, ἀσμένως αὐτὸν προσεδέχοντο. καὶ συχνοὶ τῶν σφόδρα εὐπατριδῶν ἀπείπαντο τὴν εὐγένειαν ἔρωτι τοῦ μέγα δυνηθῆναι καὶ ἐδημάρχησαν.

οὕτω μὲν οὖν ἡ τῶν δημάρχων δυναστεία συνέστη. οἷς καὶ ἀγορανόμους δύο προσείλοντο, οἷον ὑπηρέτας σφίσιν ἐσομένους πρὸς γράμματα. πάντα γὰρ τά τε παρὰ τῷ πλήθει καὶ τῷ δήμῳ καὶ τῇ βουλῇ γραφόμενα λαμβάνοντες, ὥστε μηδὲν σφᾶς τῶν πραττομένων λανθάνειν, ἐφύλασσον. τὸ μὲν οὖν ἀρχαῖον ἐπὶ τούτῳ ᾑροῦντο καὶ ἐπὶ τῷ δικάζειν, ὕστερον δὲ καὶ ἄλλ' ἄττα καὶ τὴν τῶν ὠνίων ἀγορὰν ἐπετράπησαν, ὅθεν καὶ ἀγορανόμοι τοῖς ἑλληνίζουσιν ὠνομάσθησαν.

16. ἡ μὲν οὖν στάσις ἡ πρώτη οὕτω τοῖς Ῥωμαίοις κατέπαυσεν· ἐκ δὲ τῶν περιοίκων σφίσι διὰ τὴν στάσιν πολλῶν κατ' αὐτῶν κινηθέντων μετὰ τὴν σύμβασιν ὁμονοήσαντες ἐρρωμένως τοὺς ἐξ ἐκείνων πολέμους διήνεγκαν καὶ πάντας ἐνί-

17, 1, 1 ἰσχύειν B, ἴσχυν ἔχειν L ‖ 4 ἰσχυριζόμενοι B, ἐγχειριζόμενοι L ‖ τὰ ἀθρο . . εὐτυχήσαντ' L, quod suppl. Boissevain, idem iam Bekker coniecerat



οὖν ταῦτ' εἰς τὰ πρῶτά ποθ' ὑπὸ τῶν πολιτῶν ἀρθεὶς εἶτα πρὸς αὐτῶν οὐ πολλῷ ὕστερον ἐξέπεσεν καὶ τὴν πόλιν τὴν τῶν Οὐόλσκων τῇ πατρίδι δουλώσας τὴν οἰκείαν αὖ μετ' ἐκείνων ἐς πᾶν κινδύνου κατέστησεν.

M p. 146. Cf. Zonar. 7, 16 (vol. II, p. 133, 10 sq.).

ὅτι ὁ αὐτὸς στρατηγῆσαι θελήσας καὶ μὴ τελεσθεὶς 2
ἠγανάκτησε τῷ ὁμίλῳ καὶ ἐκ τοῦ τοῖς δημάρχοις a. u.
πολὺ δυναμένοις βαρύνεσθαι παρρησίᾳ πλείονι πρὸς 263 (491)
αὐτὸν παρὰ τοὺς ἄλλους τοὺς ὁμοίους οἱ ἐκ τῶν κατ-
ειργασμένων ἐχρῆτο. καὶ λιμοῦ γενομένου ἰσχυροῦ 3
καὶ Νώρβης πόλεως ἀποικίζεσθαι βουλομένης τὸ πλῆθος ἐπ' ἀμφοτέροις τούτοις τοὺς δυνατοὺς ᾐτιάσατο, ὡς [καὶ] δι' ἐκείνους καὶ τῆς τροφῆς στερισκόμενοι καὶ ἐς τοὺς πολεμίους ἐπίτηδες ἐπ' ὀλέθρῳ προύπτῳ ἐκδιδόμενοι. ὅταν γὰρ ἐς ὑποψίαν τινὲς ἀλλήλων ἔλθωσι, πάντα καὶ τὰ ὑπὲρ σφῶν γιγνόμενα ἀλλοίως

[Zonaras 7, 16 — vol. II, p. 133, 5 sqq.]

κησαν. ὅτε καὶ Κοριόλους πολιορκοῦντες ἐκπεσεῖν καὶ τοῦ
στρατοπέδου μικροῦ ἐκινδύνευον, εἰ μὴ Γναῖος Μάρκιος
εὐπατρίδης ἀνὴρ ἠρίστευσε καὶ τοὺς ἐπιόντας ἀπώσατο· ὃς
διὰ τοῦτο ἄλλως τε ἐδοξάσθη καὶ Κοριολᾶνος ἐκ τοῦ ἔθνους,
οὗ ἐτρέψατο, ἐπεκλήθη. καὶ τότε μὲν οὕτως ἤρθη, οὐ fr. 17, 2
πολλῷ δ' ὕστερον στρατηγῆσαι σπεύδων καὶ μὴ τυχὼν ἠγανάκτησε κατὰ τοῦ ὁμίλου καὶ τοὺς δημάρχους ἐβαρύνετο. οἱ οὖν δήμαρχοι, οὓς καταλῦσαι ἐγλίχετο, αἰτίας τινὰς κατ' αὐτοῦ συμφορήσαντες
τυραννίδος αὐτῷ προσῆψαν αἰτίαμα καὶ τῆς Ῥώμης
ἐξήλασαν. ἐκπεσὼν οὖν τοῖς Οὐολούσκοις εὐθὺς fr. 17, 5

2, 1 στρατηγῆσαι Mai e Zonara, στρατηγὸς L ‖ μὴ τελεσθεὶς] ἡττηθεὶς Naber, μὴ αἱρεθεὶς D ‖ 2 καὶ ἐκ τοῦ τοῖς Krebs, καὶ ἐκ τούτοις L, unde Mai καὶ ἐκ τούτου καὶ τοῖς ‖ 3, 2 βουλομένης] βουλευομένης Herwerden, διδομένης Naber ‖ 3 τούτοις Herwerden, αὐτοῖς L ‖ 4 καὶ ante δι' seclusit Herwerden ‖ 5 πολεμίους B, πολέμους L ‖ 7 τὰ B, τὸ L

4 κατὰ τὸ στασιωτικὸν λαμβάνουσι. καὶ ὁ Κοριολανὸς ἄλλως τε ἐν ὀλιγωρίᾳ αὐτοὺς ἐποιήσατο καὶ σίτου πολλαχόθεν κομισθέντος καὶ τοῦ γε πλείστου προῖκα παρὰ τῶν ἐν Σικελίᾳ βασιλέων πεμφθέντος οὐκ ἐπέτρεψέ σφισι διαλαχεῖν αὐτὸν ὥσπερ ᾔτουν. οἱ οὖν δήμαρχοι, οὖσπερ που καὶ τὰ μάλιστα καταλῦσαι ἐγλίχετο, τυραννίδος αὐτὸν ὑπὸ τὸ πλῆθος ἀγαγόντες ἐξήλασαν καίτοι πάντων βοώντων καὶ δεινὸν ποιουμένων, ὅτι καὶ περὶ σφῶν τὰ τοιαῦτα κρίνειν ἐτόλμων.
5 ἐκπεσὼν οὖν πρὸς τοὺς Οὐόλσκους καίπερ ἐχθίστους ὄντας ὀργῇ τῆς συμφορᾶς ἦλθε καὶ ἑαυτὸν ἔκ τε τῆς ἀνδρείας, ἧς ἐπεπείραντο, καὶ ἐκ τοῦ θυμοῦ τοῦ πρὸς τοὺς πολίτας ἀσμένως δέξεσθαι προσεδόκησεν ἀντίπαλα ἢ καὶ μείζω δι' αὐτὸν τοὺς Ῥωμαίους ὧν ἔπαθον δράσειν ἀντελπίσαντας· ὑφ' ὧν γὰρ ἄν τις σφόδρα κακῶς πάθῃ, πρὸς τῶν αὐτῶν τούτων καὶ εὖ πείσε-

[Zonaras 7, 16 — vol. II, p. 133, 17 sqq.]

προσεχώρησεν. ὧν οἱ μὲν πρῶτοι καὶ οἱ ἐν τοῖς τέλεσιν αὐτῶν ὄντες ἔχαιρόν τε αὐτῷ καὶ αὖθις πρὸς πόλεμον ἡτοιμάζοντο Ἀττίου Τουλλίου πρὸς τοῦτον ἐρεθίζοντος ἅπαντας· ὁ δὲ ὅμιλος ἀπρόθυμος ἦν. ὡς οὖν οὔτε παραινοῦντες οὔτ' ἐκφοβοῦντες αὐτοὺς οἱ δυνατοὶ κινῆσαι πρὸς ὅπλων ἄρσιν ἠδύναντο, τοιόνδε τι ἐμηχανήσαντο. ἱπποδρομίαν τῶν Ῥωμαίων ἀγόντων ἄλλοι τε τῶν προσχώρων αὐτοῖς καὶ Οὐολοῦσκοι πλήθει πολλῷ κατὰ θέαν συνῆλθοσαν. ὁ δὲ Τούλλιος τοὺς τῶν Ῥωμαίων στρατηγοὺς ἔπεισεν ὡς εὐνοῶν δῆθεν αὐτοῖς τοὺς Οὐολούσκους φυλάσσεσθαι παρεσκευασμέ-

4, 6 τὰ B, τὸ L ‖ 7 τὸ πλῆθος Krebs, Herwerden, Boissevain coll. Herod. 6, 104. 136, τοῦ πλήθους L ‖ 8 πάντων ⟨τῶν ὁμοίων⟩? B ‖ 9 ἐτόλμων] ἔμελλον Naber ‖ 5, 2 ἑαυτὸν] ⟨σφας⟩ αὐτὸν? B ‖ 4 δέξεσθαι B, δέχεσθαι L ‖ 5 αὐτὸν Boissevain, αὐτὸ L ‖ 6 ἀντελπίσαντας] ἀντιδράσειν ἐλπίσαντας Herwerden ‖ 7 κακῶς πάθῃ Herwerden, κακοπαθῇ L ‖ τῶν αὐτῶν αὐτῶν L, quod corr. Herwerden



σθαι βουλομένων γε καὶ δυναμένων εὖ ποιῆσαι οὐκ ἐλάχιστα πιστεύει. M p. 147. Cf. Zonar. 7, 16 (vol. II, p. 133, 11—17).

πάνυ γὰρ περιθύμως ἔφερεν, ὅτι καὶ περὶ τῆς 6
οἰκείας κινδυνεύοντες μηδ' ὣς τῶν ἀλλοτρίων ἀφίσταντο. ὡς οὖν καὶ ταῦτα ἀνηγγέλθη σφίσιν, οἱ μὲν ἄνδρες οὐδὲν μᾶλλον ἐκινήθησαν· οὕτω πως κακῶς ἐστασίαζον, ὥστε μηδ' ὑπὸ τῶν κινδύνων καταλλαγῆναι· αἱ δὲ γυναῖκες, ἥ τε γαμετὴ τοῦ Κοριολανοῦ Οὐολουμνία καὶ ἡ μήτηρ Οὐετουρία, παραλαβοῦσαι

[Zonaras 7, 16 — vol. II, p. 133, 28 sqq.]

νους ἐπιθέσθαι σφίσιν ἀνελπίστως ἐν τῇ ἱπποδρομίᾳ. οἱ δὲ στρατηγοὶ καὶ τοῖς ἄλλοις τὸ μήνυμα κοινωσάμενοι τοὺς Οὐολούσκους αὐτίκα πρὸ τοῦ ἀγῶνος ἅπαντας ἐξεκήρυξαν. οἱ δὲ δυσανασχετοῦντες, ὅτι μόνοι ἐκ πάντων ἐξελήλαντο, ἕτοιμοι πρὸς μάχην ἐγένοντο. καὶ προστησάμενοι τὸν Κοριολᾶνόν τε καὶ τὸν Τούλλιον ἐπὶ τὴν Ῥώμην καὶ τοὺς Λατίνους προσειληφότες πλήθει ἐχώρησαν πλείονι. ὃ οἱ Ῥωμαῖοι πυθόμενοι πρὸς τὰ ὅπλα μὲν οὐκ ἐρρώσθησαν, ἐν αἰτίαις δ' ἀλλήλους πεποίηντο, οἱ μὲν τοῦ ὁμίλου τοὺς εὐπατρίδας, ὅτι ἐξ αὐτῶν ὁ Κοριολᾶνος τυγχάνων μετὰ τῶν ἐχθρῶν ἐπὶ τὴν πατρίδα στρατεύοιτο, οἱ δὲ τὸν ὅμιλον, ὅτι μὴ ἐνδίκως αὐτὸν ἐξελάσαντες πολέμιον πεποιήκασιν. οὕτω δὲ στασιάζοντες ἐς μέγα τι κακὸν ἐνέπεσον ἄν, εἰ μὴ αἱ γυναῖκες αὐτοῖς ἐπεκούρησαν. ὡς γὰρ ἡ γερουσία κάθοδον τῷ Κοριολάνῳ ἐψηφίσατο, καὶ ἐπὶ τούτῳ πρέσβεις πρὸς ἐκεῖνον ἐστάλησαν, ἐκεῖνος καὶ τὴν χώραν τοῖς Οὐολούσκοις ἀποδοθῆναι ἀπῄτει, ἧς ἐν τοῖς πρὶν πολέμοις ἐστέρηντο. τὸ δὲ πλῆθος τῆς χώρας οὐ μεθίετο. πάλιν οὖν ἑτέρα πρεσβεία. fr.
ὁ δὲ περιθύμως ἔφερεν, ὅτι καὶ περὶ τῆς ἑαυτῶν 17, 6
κινδυνεύοντες οὐδ' οὕτω τῶν ἀλλοτρίων ἀφισταν-

5, 8 εὖ B, τι L ‖ 6, 2 οὐδ' ὣς Zonaras, quem secutus est Gros ‖ 4 οὐδέν ⟨τι⟩ μᾶλλον Herwerden e Zonarae οὔτ' ἔτι ‖ πως] γὰρ Herwerden ‖ 6 δὲ B, τε L

καὶ τὰς ἄλλας τὰς ἐπιφανεστάτας ἦλθον πρὸς αὐτὸν
ἐς τὸ στρατόπεδον τὰ παιδία αὐτοῦ ἄγουσαι καὶ ἐποί-
ησαν αὐτὸν μὴ ὅτι ἐπὶ τῇ χώρᾳ, ⟨ἀλλὰ⟩ μηδὲ ἐπὶ τῇ
7 καθόδῳ καταλύσασθαι. προσήκατο γὰρ αὐτὰς εὐθύς,
ἐπειδὴ τάχιστα παρούσας ᾔσθετο, καὶ λόγου σφίσι
μετέδωκεν, ἐπράχθη τε ὧδε. αἱ μὲν ἄλλαι σιωπῶσαι
ἔκλαον, ἡ δὲ δὴ Οὐετουρία "τι θαυμάζεις" ἔφη
"τέκνον;" τί δὲ ἐκπέπληξαι; οὐκ ηὐτομολήκαμεν, ἀλλ'
ἡμᾶς ἡ πατρὶς ἔπεμψέ σοι, εἰ μὲν πείθοιο, μητέρα
καὶ γυναῖκα καὶ τέκνα, εἰ δὲ μή, λάφυρα, ὥστ' εἰ καὶ
8 νῦν ἔτι ὀργίζῃ, πρώτας ἡμᾶς ἀπόκτεινον. τί δακρύεις;
τί δ' ἀποστρέφῃ; ἢ ἀγνοεῖς, ὅπως τὰν τῇ πόλει ἡμεῖς
τοι ἄρτι ὀδυρόμεναι ἐπαυσάμεθα, ἵνα σε ἴδωμεν; κατ-
αλλάγηθί τ' οὖν ἡμῖν καὶ μηκέτι ὀργίζου τοῖς πολί-
ταις, τοῖς φίλοις, τοῖς ἱεροῖς, τοῖς τάφοις, μηδ' ἐπ-
εμπέσῃς ἐς τὸ ἄστυ θυμῷ πολεμίῳ μηδὲ ἐκπολιορκή-

[Zonaras 7, 16 — vol. II, p. 134, 21 sqq.]

ται. καὶ τούτων δὲ ἀγγελθέντων αὐτοῖς οὔτ' ἔτι κεκίνηντο οὔθ' ὑπὸ τῶν κινδύνων οἱ ἄνδρες τοῦ στασιάζειν ἐξίσταντο. αἱ δὲ γυναῖκες, ἥ τε γαμετὴ τοῦ Κοριολάνου Οὐολουμνία καὶ ἡ μήτηρ Οὐετουρίνα, καὶ τὰς λοιπὰς τὰς ἐπιφανεστάτας παραλαβοῦσαι ἦλθον εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν καὶ τὰ παιδία αὐτοῦ ἐπαγόμεναι. καὶ αἱ μὲν ἄλλαι σιωπῶσαι ἐδάκρυον, ἡ δὲ Οὐετουρίνα "οὐκ ηὐτομολήκαμεν" ἔφη "τέκνον, ἀλλ' ἡ πατρὶς ἡμᾶς ἔπεμψέ σοι, εἰ μὲν πείθοιο, μητέρα καὶ γυναῖκα καὶ τέκνα, εἰ δὲ μή, λάφυρα. καὶ εἰ καὶ νῦν ἔτι ὀργίζῃ, πρώτας ἡμᾶς ἀπόκτεινον. καταλλάγηθι καὶ μηκέτι ὀργίζου τοῖς πολίταις, τοῖς φίλοις, τοῖς ἱεροῖς, τοῖς

6, 10 ⟨ἀλλὰ⟩ inser. Gros ‖ 8, 2 τὰν τῇ πόλει] ⟨ἔχοντα⟩ τὰν τῇ πόλει? B ‖ 3 τοι ἄρτι ὀδυρόμεναι legit Herwerden, αἱ ἀ. ὀ. Mai, ἄρτι ὀδ. B ‖ 4 τ' οὖν B, γοῦν L ‖ 5 μήδ' ἔτ' ἐμπέσῃς B



σῃς τὴν πατρίδα, ἐν ᾗ καὶ ἐγεννήθης καὶ ἀνετράφης
καὶ τὸ μέγα τοῦτο ὄνομα Κοριολανὸς ἐγένου. πείσθητί
μοι, παιδίον, μηδέ με ἄπρακτον ἀποπέμψῃς, ἵνα μὴ
καὶ νεκράν 'με ὑπ' αὐτοχειρίας ἴδῃς." ταῦτ' εἰποῦσα 9
ἀνέκλαυσε καὶ τήν τε ἐσθῆτα καταρρηξαμένη καὶ τοὺς
μαστοὺς προδείξασα τῆς τε γαστρὸς ἀψαμένη "ἴδε"
ἔφη "τέκνον, αὕτη σε ἔτεκεν, οὗτοί σε ἐξέθρεψαν."
εἰπούσης δὲ αὐτῆς ταῦτα καὶ ἡ γαμετὴ αὐτοῦ τά τε
παιδία καὶ αἱ ἄλλαι γυναῖκες συνεθρήνησαν, ὥστε καὶ
ἐκεῖνον ἐς πένθος ἐμβαλεῖν. μόλις τέ ποτε ἀνενεγκὼν 10
περιέπτυξε τὴν μητέρα καὶ φιλῶν ἅμα αὐτὴν "ἴδε"
ἔφη "μῆτερ, πείθομαί σοι· σὺ γάρ με νικᾷς, καὶ σοὶ
δὴ ταύτην τὴν χάριν καὶ οἱ ἄλλοι πάντες ἐχέτωσαν·
ἐγὼ γὰρ οὐδ' ἰδεῖν αὐτοὺς ὑπομένω, οἵτινες τηλικαῦτα
ὑπ' ἐμοῦ εὐεργετηθέντες τοιαῦτά με ἔδρασαν. οὔκουν

[Zonaras 7, 16 — vol. II, p. 135, 1 sqq.]

τάφοις μηδὲ ἐκπολιορκήσῃς τὴν πατρίδα, ἐν ᾗ ἐγεννήθης καὶ ἐτράφης καὶ τὸ μέγα τοῦτο ὄνομα Κοριολᾶνος ἐγένου. μή με ἄπρακτον ἀποπέμψῃς, ἵνα μὴ καὶ νεκράν με αὐτοχειρίᾳ θεάσῃ." ἐπὶ τούτοις ἀνέκλαυσε καὶ τοὺς μαστοὺς προδείξασα τῆς τε γαστρὸς ἁψαμένη "αὕτη σε ἔτεκεν" ἔφη "τέκνον, οὗτοί σε ἐξέθρεψαν." ἡ μὲν εἶπε ταῦτα, ἡ δὲ γαμετὴ αὐτοῦ καὶ τὰ παιδία καὶ αἱ ἄλλαι γυναῖκες συνεθρήνησαν, ὥστε κἀκεῖνον εἰς πένθος κινῆσαι. μόλις δ' ἀνενεγκὼν περιέπλεξε τὴν μητέρα καὶ φιλῶν ἅμα "ἴδε" ἔφη "μῆτερ, πείθομαί σοι· σὺ γάρ με νικᾷς, καὶ σοὶ πάντες ταύτην τὴν χάριν ἐχέτωσαν· ἐγὼ γὰρ οὐδὲ ἰδεῖν αὐτοὺς ὑπομένω, οἳ τηλικαῦτα παρ' ἐμοῦ εὐεργετηθέντες τοιαῦτά μοι ἀνταπ-

9, 3 ἴδε] ἰδοὺ L ‖ 6 συνεθρήνησαν] ἀνεθρήνησαν Naber coll. 74, 13, 4 ‖ 10, 2 περιεπτύξατο? B ‖ ἴδε L, ἰδοὺ B ‖ 4 δὴ B, δὲ L ‖ 6 με ἔδρασαν L, μ' ἀντέδρασαν B

οὐδ᾽ ἀφίξομαί ποτε ἐς τὴν πόλιν· ἀλλὰ σὺ μὲν καὶ ἀντ᾽ ἐμοῦ τὴν πατρίδα ἔχε, ἐπειδὴ τοῦτο ἠθέλησας,
11 ἐγὼ δὲ ἐκποδὼν ὑμῖν ἀπαλλαγήσομαι.” ταῦτ᾽ εἰπὼν ἀπανέστη· τῷ τε γὰρ δέει τῷ τοῦ ὁμίλου καὶ τῇ αἰσχύνῃ τῶν ὁμοίων, ὅτι καὶ τὴν ἀρχὴν ἐπ᾽ αὐτοὺς ἐπεστράτευσεν, οὐδὲ τὴν κάθοδον διδομένην οἱ ἐδέξατο, ἀλλ᾽ ἐς τοὺς Οὐόλσκους ἀναχωρήσας ἐνταῦθα ἐξ ἐπιβουλῆς ἢ καὶ γηράσας ἀπέθανεν. M p. 148. Zonar. 7, 16 (vol. II, p. 134, 19—135, 19). Cf. Io. Tzetz. Epist. 6, p. 9, 16.

12 *Δίων αὐτὸς Κοκκειανὸς καὶ ἄλλοι δὲ μυρίοι,*
*ὁπόσοι συνετάξαντο τὰς πράξεις τῶν Ῥωμαίων,*
*τὰ κατὰ Κοριόλανον τοῦτόν φασι τὸν Μᾶρκον.*
*ὁ Μᾶρκος οὗτος πρότερον καλούμενος καὶ Γναῖος*
*ὕστερον Κοριόλανος σὺν τούτοις ἐπεκλήθη.*
*Ῥωμαῖοι Κοριόλανον τὴν πόλιν πολεμοῦντες,*
*ὡς πρὸς φυγὴν ἐτράπησαν οἱ πάντες ἀνὰ κράτος,*
*αὐτὸς δ᾽ εἰς τὴν πολέμιον πόλιν στραφεὶς καὶ μόνος*
*ἠνεῳγμένην ἐφευρὼν ἐνέπρησεν ἐκείνην,*
*λαμπρῶς δ᾽ ἀρθείσης τῆς φλογὸς ἐπαναβὰς τὸν ἵππον*
*ῥύμῃ πολλῇ κατόπισθεν ἐμπίπτει τῶν βαρβάρων,*
*οἳ τοῖς Ῥωμαίοις διωγμὸν τὸν ἄστρεπτον ἐποίουν.*
*οἵπερ στραφέντες καὶ τὸ πῦρ φλέγον ἰδόντες πόλιν*

[Zonaras 7, 16 — vol. II, p. 135, 15 sqq.]

ἔδωκαν, οὐδ᾽ ἀφίξομαι εἰς τὴν πόλιν· ἀλλὰ σὺ μὲν ἀντ᾽ ἐμοῦ τὴν πατρίδα ἔχε, ὅτι τοῦτο ἠθέλησας, ἐγὼ δὲ ἀπαλλαγήσομαι.” ταῦτα εἰπὼν ἀπανέστη· καὶ οὐδὲ τὴν κάθοδον κατεδέξατο, ἀναχωρήσας δὲ εἰς τοὺς Οὐολούσκους ἐκεῖ γηράσας ἀπήλλαξεν.

10, 7 καὶ post μὲν expunxit Herwerden ‖ 11, 6 γηράσας] γήρᾳ Herwerden



*καὶ πορθηθῆναι δόξαντες ἔφευγον ἀλλαχόσε.*
*αὐτὸς Ῥωμαίους σώσας δὲ πορθήσας καὶ τὴν πόλιν,*
*τὴν ἥνπερ Κοριόλανον εἰρήκαμεν καλεῖσθαι,*
*πρὸς τῷ καλεῖσθαι πρότερον Μᾶρκος καὶ Γναῖος ἅμα*
*ἔσχε καὶ Κοριόλανος ἐκ τοῦ τροπαίου κλῆσιν.*
*οἷα δ᾽ ὁ φθόνος εἴωθεν ποιεῖν τοῖς εὐεργέταις,*
*μετὰ μικρὸν ἐν λογισμοῖς τὸν ἄνδρα ζημιοῦσιν.*
*ὑπερπαθήσας δ᾽ ὁ ἀνὴρ θυμῷ δικαιοτάτῳ*
*ἀφεὶς γυναῖκα τὴν αὐτοῦ, μητέρα καὶ πατρίδα*
*πρὸς Κοριόλους ἔρχεται, καὶ δέχονται τὸν ἄνδρα*
*καὶ δὴ καὶ παρετάξαντο καὶ κατὰ τῶν Ῥωμαίων.*
*καὶ εἰ μὴ μετὰ συρραγῆς ἐκείνου τοῦ πολέμου*
*δραμοῦσαι κατεσχίσαντο τοὺς ἑαυτῶν χιτῶνας,*
*γυμναί τε περιέστησαν ἡ σύζυγος καὶ μήτηρ,*
*ἡ Οὐετουρνία τε αὐτὴ καὶ Οὐολουμνία κλῆσιν,*
*καὶ τοῦτον μόλις ἔπαυσαν τῆς κατὰ Ῥώμης μάχης,*
*ἡ Ῥώμη ἂν ἐπέγνωκε τιμᾶν τοὺς εὐεργέτας.*
*ἀλλὰ λιταῖς ταῖς τῆς μητρὸς πανσθεὶς καὶ τῆς συζύγου*
*πόλεμον μὲν κατέπαυσε τὸν κατὰ τῶν Ῥωμαίων,*
*αὐτὸς τοὺς Κοριόλους δὲ ἀφεὶς καὶ τοὺς Ῥωμαίους*
*πρὸς ἄλλην γῆν ἀπέδραμε τῇ λύπῃ βεβλημένος.*
Tzetz. Hist. 6, 527—560. Cf. Haupt, Hermes XIV, p. 440.

*ἐῶ τὸν Κοριόλανον Μᾶρκον γενναῖον λέγειν* 13
*καὶ σὺν αὐτῷ τῷ Μάρκῳ δὲ τὸν Μᾶρκον τὸν Κορουῖνον,*
*ὧν ὁ μὲν Κοριόλανος μόνος πορθήσας πόλιν*
*τὴν κλῆσιν Κοριόλανον καὶ ταύτην καταφλέξας*
*καίπερ στρατοῦ τοῦ σύμπαντος τραπέντος τῶν Ῥωμαίων*
*ἐκλήθη Κοριόλανος, Μᾶρκον δὲ τἄλλα λέγειν.*
Tzetz. Hist. 3, 856—861. 18

ὅτι Κάσσιος τοὺς Ῥωμαίους εὐεργετήσας ὑπ᾽ αὐτῶν a. u. 268 (486)
ἐκείνων ἐθανατώθη. ὥστε καὶ ἐκ τούτου διαδειχθῆ-

ναι, ὅτι πιστὸν οὐδὲν ἐν τοῖς πλήθεσιν ἐστιν, ἀλλὰ καὶ τοὺς πάνυ σφίσι προσκειμένους οὐχ ἧττον τῶν τὰ μέγιστα ἀδικούντων ἀπολλύουσι· πρὸς μὲν γὰρ τὸ ἀεὶ παρὸν μεγάλους τοὺς αἰτίους τῶν ὠφελημάτων ἄγουσιν, ἐπειδὰν δὲ σφᾶς ἐκκαρπώσωνται, οὐδὲν ἔτ' αὐτοὺς οἰκειοτέρους τῶν ἐχθίστων νομίζουσι. τὸν γὰρ Κάσσιον καίπερ χαριζόμενόν σφισιν ὅμως ἐπ' αὐτοῖς οἷς ἐσεμνύνετο ἀπέκτειναν, καὶ ἔκδηλόν γε, ὅτι ζηλοτυπηθείς, ἀλλ' οὐκ ἀδικήσας τι ἀπώλετο. M p. 150.

19 οἱ γὰρ ἐν τοῖς πράγμασιν ἀεὶ γιγνόμενοι, ἐπειδὴ μηδένα ἄλλον τρόπον κατέχειν σφᾶς ἐδύναντο, πολέμους ἐκ πολέμων ἐξεπίτηδες ἐκίνουν, ὅπως πρὸς ἐκείνους ἀσχολίαν ἄγοντες μηδὲν περὶ τῆς γῆς πολυπραγμονῶσιν. M ib. Zonar. 7, 17 (vol. II, p. 135, 23—26).

2 οὕτω γοῦν ὑφ' ἑκατέρου παρωξύνθησαν, ὥστε καὶ τὴν νίκην ἔνορκον τοῖς στρατηγοῖς ὑποσχέσθαι· πρὸς γὰρ τὴν αὐτίκα ὁρμὴν κύριοι καὶ τῆς τύχης εἶναι ἐνόμισαν. M p. 150.

[Zonaras 7, 17 — vol. II, p. 135, 20 sqq.]

17. οἱ δὲ δήμαρχοι χώραν ἐκ πολεμίων προσκτηθεῖσαν Ῥωμαίοις ἀπῄτουν διανεμηθῆναι τῷ πλήθει· ὅθεν πρὸς ἀλ-
fr. 19, 1 λήλων τε καὶ πρὸς τῶν πολεμίων πολλὰ ἐκακώθησαν. οἱ γὰρ δυνατοὶ μὴ ἄλλως κατέχειν αὐτοὺς δυνάμενοι πολέμους ἐκ πολέμων ἐξεπίτηδες ἐκίνουν, ἵν' αὐτοῖς ἀσχολούμενοι μηδὲν περὶ τῆς γῆς πολυπραγμονῶσι. χρόνῳ δέ ποτε ὑποτοπήσαντές τινες τὸ πραττόμενον οὐκ εἴων καὶ ἄμφω τοὺς ὑπάτους ἢ στρατηγοὺς ὑπὸ τῶν δυνατῶν ἀποδείκνυσθαι, ἀλλ' ἤθελον καὶ αὐτοὶ τὸν ἕτερον ἐκ τῶν εὐπατριδῶν αἱρεῖσθαι. ὡς δὲ τοῦτο κατειργάσαντο, προείλοντο Σπούριον Φούριον καὶ μετ' ἐκείνου στρατευσάμενοι πάντα ἐφ' ὅσα ὥρμησαν προθύμως κατέπραξαν. οἱ δὲ τῷ

19, 2, 2 ἔνορκον] ἐνόρκους Herwerden



ὅτι ἔοικε τὸ πλεῖστον τοῦ ἀνθρωπίνου πρὸς μὲν 3
τὸ ἀνθιστάμενον καὶ παρὰ τὸ συμφέρον φιλονεικεῖν, τοῖς δὲ ὑπείκουσι καὶ παρὰ δύναμιν ἀνθυπουργεῖν. M p. 151.

ὅτι οἱ Φάβιοι ἐπί τε τῷ γένει καὶ τῷ πλούτῳ 20
ὅμοια τοῖς ἀρίστοις φρονοῦντες ὡς τάχιστα αὐτοὺς a.u. 277
ἀθυμοῦντας εἶδον· ὅταν γάρ τινες ἐς πολλὰς ἅμα καὶ (477)
δυσχερεῖς πράξεις ἐμπέσωσιν, οὔτε τι βούλευμα πρός τε τὸ πλῆθος καὶ πρὸς τὸ ἀθρόον τῶν κινδύνων ἐξευρεῖν δύνανται καὶ τῶν ἔργων καὶ τὰ πάνυ ῥᾴδια ἀπογινώσκουσι κἀκ τούτου ταῖς τε γνώμαις καὶ παρὰ τὸ εἰκὸς ταῖς δόξαις ἀναπίπτουσι καὶ τὰ πράγματα ἑκόντες ὡς καὶ μάτην πονήσοντες προΐενται καὶ τέλος ἐπιτρέψαντες σφᾶς τοῖς ἐκ τοῦ δαιμονίου παραλόγοις ἀναμένουσι πάνθ' ὅσα ἂν ἡ συντυχία ἐνέγκῃ. M p. 151. Zonar. 7, 17 (vol. II, p. 136, 17 sqq.).

ὅτι οἱ Φάβιοι ἓξ καὶ τριακόσιοι ὄντες ὑπὸ Τυρ- 2

[Zonaras 7, 17 — vol. II, p. 136, 3 sqq.]

συνάρχοντι αὐτοῦ Φαβίῳ Καίσωνι συνεξελθόντες οὐ μόνον οὐκ ἐρρώσθησαν, ἀλλὰ καὶ τὸ στρατόπεδον ἐκλιπόντες εἰς τὴν πόλιν ἦλθον καὶ ἐθορύβουν, ἕως οἱ Τυρσηνοὶ τοῦτο μαθόντες ἐπεχείρησαν αὐτοῖς. καὶ τότε μέντοι οὐ πρότερον ἐξῆλθον τῆς πόλεως, πρὶν τῶν δημάρχων τινὰς συμφρονῆσαι τοῖς δυνατοῖς. ἠγωνίσαντο δὲ προθύμως καὶ πολλοὺς μὲν τῶν πολεμίων διέφθειραν, συχνοὶ δὲ καὶ αὐτῶν ἀπέθανον· ἔπεσε δὲ καὶ ὁ εἷς τῶν ὑπάτων ὁ Μάλιος. ὁ δὲ ὅμιλος στρατηγὸν τὸ τρίτον τὸν Μάλιον εἵλετο.

καὶ πόλεμος αὖθις αὐτοῖς ἐπενήνεκτο πρὸς τῶν Τυρσηνῶν· ἀθυμοῦσι δὲ Ῥωμαίοις καὶ ἀποροῦσι, πῶς τοῖς ἐχθροῖς fr.
ἀντικαταστῶσιν, οἱ Φάβιοι ἐπεκούρησαν. ἓξ γὰρ ὄντες καὶ 20, 2
τριακόσιοι, ὡς ἀθυμοῦντας εἶδον αὐτοὺς καὶ μήτε 20, 1

20, 1, 7 γνώμαις παρὰ τὸ εἰκὸς καὶ ταῖς δόξαις? B ‖ 9 πονήσοντες B, πονήσαντες L ‖ 10 ἐπιτρέψαντες Mai, ἐπιθρέψαντες L

ρηνῶν ἀνηρέθησαν· καὶ γάρ πως τὸ δι' ἀνδρείας πίστιν ὀγκούμενον ὑπ' αὐτοῦ τοῦ θράσους πολλάκις φθείρεται, τό τε δι' εὐτυχίαν αὐχοῦν ἐς τοὐναντίον ἐκφρονῆσαν ἐκπίπτει. M ib. Zonar. 7, 17 (vol. II, p. 136, 17 et 29).

3 οὓς οἱ Ῥωμαῖοι μειζόνως ἢ καθ' ἀριθμὸν τῶν ἀπογενομένων καὶ ἰδίᾳ καὶ κοινῇ ἐπένθησαν. ἦν μὲν γὰρ ἐκεῖνος ἄλλως τε καὶ ἐν εὐπατρίδαις οὐ σμικρός, πρὸς δὲ δὴ τὴν ἀξίωσιν τό τε φρόνημα αὐτῶν πᾶσαν σφῶν ἀπολωλέναι τὴν ἰσχὺν ἐνόμιζον. καὶ διὰ τοῦτο τήν τε ἡμέραν, ἐν ᾗ διεφθάρησαν, ἐς τὰς μιαρὰς ἐνέγραψαν καὶ τὰς πύλας, δι' ὧν ἐξεστράτευσαν, ἐν ἀτιμίᾳ ἐποιήσαντο, ὥστε μηδένα δι' αὐτῶν ἄρχοντα διιέναι. καὶ Τίτου Μενηνίου τοῦ στρατηγοῦ (ἐπὶ γὰρ τούτου τὸ

[Zonaras 7, 17 — vol. II, p. 136, 18 sqq.]

τι βουλευομένους λυσιτελὲς καὶ ἀπογινώσκοντας ἅπαντα, τὸν πρὸς τοὺς Τυρσηνοὺς ὑπεδέξαντο πόλεμον αὐτοὶ δι' ἑαυτῶν προθυμηθέντες μαχέσασθαι καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασι. καί τι χωρίον καταλαβόντες ἐπίκαιρον ἐνετειχίσαντο, ὅθεν ὁρμώμενοι πάντα τὰ τῶν πολεμίων ἦγον, τῶν Τυρσηνῶν μηδὲ ἐς χεῖρας αὐτοῖς ἰέναι θαρρούντων, εἰ δὲ καί ποτε συμμίξειαν, ἐλαττουμένων παρὰ πολύ. προσλαβόμενοι δὲ καὶ συμμάχους οἱ Τυρσηνοὶ ἐν ὑλώδει χωρίῳ ἐλόχησαν καὶ ἀφυλάκτους ἐπελθόντας αὐτοῖς τοὺς Φαβίους ὑπὸ τοῦ πάντα νικᾶν περιεστοίχισαν καὶ πάντας ἐφόνευσαν. καὶ παντελῶς τὸ γένος αὐτῶν ἐξέλιπεν ἄν, εἰ μὴ εἷς τις οἴκοι κατελείφθη διὰ νεότητα, ἀφ' οὗπερ αὖθις εἰσέπειτα ἤνθησαν.

τῶν δὲ Φαβίων οὕτω φθαρέντων οἱ Ῥωμαῖοι μάλα παρὰ τῶν Τυρσηνῶν ἐκακώθησαν. εἶτα πρὸς μὲν τοὺς πολεμίους σπονδὰς ἐποιήσαντο, τραπόμενοι δ' ἐπ' ἀλλήλους ἔπραξαν πολλὰ καὶ δεινά, ὡς μηδὲ τῶν στρατηγῶν ἀποσχέσθαι τὸ

2, 2 ἀνδρείας B, ἀνδρείαν L



πάθος ἐγένετο) κατηγορηθέντος ὕστερον ἐν τῷ δήμῳ, ὅτι μήτ' ἐκείνοις ἤμυνε καὶ μάχῃ μετὰ τοῦθ' ἡττήθη, κατεψηφίσαντο. V p. 578.

ὅτι οἱ εὐπατρίδαι φανερῶς μὲν οὐ πάνυ πλὴν βρα- 21
χέων ἐπιθειάζοντές τινα ἀντέπραττον, λάθρᾳ δὲ συ-
χνοὺς τῶν θρασυτάτων ἐφόνευον. ἐννέα γάρ ποτε

[Zonaras 7, 17 — vol. II, p. 137, 5 sqq.]

πλῆθος. τούς τε γὰρ ὑπηρέτας αὐτῶν ἔπαιον καὶ τὰς ῥάβδους κατέκλων, αὐτούς τε τοὺς στρατηγοὺς ὑπ' εὐθύνην ἦγον ἐπὶ πάσῃ προφάσει καὶ μείζονι καὶ ἐλάττονι. Ἄππιον οὖν Κλαύδιον καὶ παρ' αὐτὴν τὴν ἀρχὴν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν ἐβουλεύσαντο, ὅτι τε αὐτοῖς ἠναντιοῦτο εἰς ἅπαντα καὶ ὅτι τοὺς συστρατευομένους αὐτῷ ἐδεκάτευσεν, ἐπειδὴ τοῖς Οὐολούσκοις ἐν μάχῃ ἐνέδοσαν. ἡ δεκάτευσις δὲ τοιόνδε τι ἦν. ὅτε τι οἱ στρατιῶται μέγα ἡμάρτησαν, ὁ στρατηγὸς εἰς δεκάδας αὐτοὺς ἀριθμῶν, ἕνα λαβὼν ἐξ ἑκάστης δεκάδος τὸν κλήρῳ λαχόντα θανάτῳ ἐκόλαζεν. ἀπελθόντα δ' ἐκ τῆς ἀρχῆς τὸν Κλαύδιον εὐθὺς οἱ τοῦ πλήθους εἰς ἀγῶνα κατέστησαν καὶ οὐ κατεψηφίσαντο μέν, τὴν ψῆφον δὲ ὑπερθέμενοι ἐς ἀνάγκην αὐτὸν αὐτοχειρίας κατέστησαν. καί τινες δὲ τῶν δημάρχων ἄλλα τε κατὰ τῶν εὐπατριδῶν συνέγραψαν καὶ τὸ ἐξεῖναι τῷ πλήθει καὶ καθ' ἑαυτὸ συνιέναι καὶ ἄνευ ἐκείνων βουλεύεσθαι καὶ χρηματίζειν πάνθ' ὅσα ἂν ἐθελήσῃ. κἄν τις ἐπ' αἰτίᾳ τινὶ παρὰ τῶν στρατηγῶν προστιμηθῇ, ἔκκλητον ἐπὶ τούτοις τὸν δῆμον δικάζειν ἔταξαν. καὶ τοὺς ἀγορανόμους δὲ καὶ τοὺς δημάρχους ἐπηύξησαν, ἵνα πλείστους τοὺς αὐτῶν προϊσταμένους ἔχωσι. fr.

πραττομένων δὲ τούτων οἱ εὐπατρίδαι φανερῶς 21, 1
μὲν οὐ πάνυ ἀντέπραττον πλὴν βραχέων, λάθρᾳ δὲ
συχνοὺς τῶν θρασυτάτων ἐφόνευον. ἀλλ' οὔτε τοῦτο
τοὺς λοιποὺς ἐπέσχεν οὔθ' ὅτι ποτὲ ἐννέα δήμαρχοι
ὑπὸ τοῦ δήμου πυρὶ ἐδόθησαν. οὐ μόνον γὰρ οἱ

3, 11 μήτ' ἐκείνοις ἤμυνε Reiske, μὴ μετ' ἐκείνοις ἤμυσσε L, μὴ ἐκείνοις ἤμυνε iam emendaverat V

δήμαρχοι πυρὶ ὑπὸ τοῦ δήμου ἐδόθησαν· ἀλλ' οὐδὲ
τοῦτο τοὺς λοιποὺς ἐπέσχεν, ἀλλὰ πλείονα [μὲν] ἐλ-
πίδα οἱ μετὰ ταῦτα ἀεὶ δημαρχοῦντες ἐκ τῆς ἑαυτῶν
φιλονεικίας ἢ δέος ἐκ τῆς ἐκείνων συμφορᾶς λαμβά-
νοντες οὐχ ὅσον οὐκ ἠμβλύνοντο, ἀλλὰ καὶ ἔτι μᾶλλον
2 ὑπ' αὐτῶν τούτων ἐθρασύνοντο· τούς τε γὰρ ἀπολλυ-
μένους ἐς δικαίωμα τῆς ὑπὲρ ἑαυτῶν τιμωρίας προ-
εβάλλοντο καὶ αὐτοὶ μεγάλην ἡδονὴν ἐκ τοῦ καὶ παρὰ
δόξαν ἀκινδύνως περιέσεσθαι νομίζειν προσετίθεντο.
ὥστε καὶ τῶν εὐπατριδῶν τινας, ἐπειδὴ μηδὲν ἄλλως
ἤνυτον, ἐς τὰ τοῦ πλήθους νομίσματα μεταστῆναι·
τὴν γὰρ ταπεινότητα αὐτοῦ πολὺ πρὸς τὰς τῆς δημαρ-
χικῆς ἰσχύος ἐπιθυμίας τῆς τῶν σφετέρων καλλω-
πισμάτων ἀσθενείας ἐνόμιζον εἶναι, καὶ μάλισθ' ὅτι
καὶ δεύτερον καὶ τρίτον ἐπὶ πλεῖόν τε ἔτι καίπερ κω-
λυθὲν τό τινα ⟨δὶς⟩ τὴν ἀρχὴν λαμβάνειν συχνοὶ καὶ
ἐφεξῆς ἐδημάρχουν. M p. 152. Zonar. 7, 17 (vol. II,
p. 137, 29—p. 138, 3).

3 ὅτι ἐς τοῦτο ⟨ὁ⟩ ὅμιλος ὑπ' αὐτῶν τῶν εὐπατρι-
δῶν προήχθη· ὃ γάρ τοι ὑπὲρ ἑαυτῶν ἡγοῦντο ποιεῖν,
τὸ πολέμους τινὰς ἀεὶ παρασκευάζειν σφίσιν, ὅπως
ὑπό γε τῶν ἔξωθεν κινδύνων σωφρονεῖν ἀναγκάζωνται,

[Zonaras 7, 17 — vol. II, p. 138, 2 sqq.]

μετὰ ταῦτα δημαρχοῦντες οὐκ ἠμβλύνοντο, ἀλλὰ
fr. 21, 3 μᾶλλον καὶ ἐθρασύνοντο· εἰς τοῦτο ὑπὸ τῶν εὐπα-
τριδῶν προήχθη ὁ ὅμιλος. οὔτε γὰρ στρατεύειν
ἐπείθοντο πολεμίων ἐπικειμένων, εἰ μὴ ὧν ὠρέγοντο

21, 1, 5 ἀλλὰ B, ἐπ' ἄλλα L ‖ [μὲν] expunxit B ‖ 2, 7 post πολὺ voculam deesse putat Mai, ut ἱκανώτερον vel κρείττω ‖ 11 ⟨δὶς⟩, quod non iam legi potest in cod., suppl. Herwerden, ⟨πλεονάκις⟩? B ‖ 3, 1 ⟨ὁ⟩ inser. Krebs ‖ 4 ἀναγκάζωνται Krebs, ἀναγκαῖον καὶ legit Mai, hodie distingui nequit



τοῦτο θρασυτέρους αὐτοὺς ἀπειργάζετο· οὔτε γὰρ
στρατεύειν, εἰ μὴ λάβοιεν ὧν ἑκάστοτε ἐπωρέγοντο,
βουλόμενοι καὶ ἀπροθύμως, ὁπότε ἐξέλθοιεν, ἀγωνιζό-
μενοι πάνθ' ὅσ' ἤθελον ἔπραττον. κἀν τούτῳ καὶ
ἀληθῶς οὐκ ὀλίγοι τῶν πλησιοχώρων σφίσι τῇ ἐκείνων
διχοστασίᾳ πλεῖον ἢ τῇ ἑαυτῶν δυνάμει θαρσοῦντες
ἐνεωτέριζον. M ib. Zonar. 7, 17 (vol. II, p. 138, 3—9).

ὅτι οἱ Αἴκουοι τό τε Τούσκουλον λαβόντες καὶ 22
Μᾶρκον Μινούκιον νικήσαντες ἐν φρονήματι ἐγένοντο, a. u. 296
ὥστε καὶ τοῖς πρέσβεσι τοῖς τῶν Ῥωμαίων, οὓς ἐπὶ (458)
τῇ τοῦ χωρίου καταλήψει αἰτιώμενοι σφᾶς ἔπεμψαν,
πρὸς μὲν τὸ ἐπίκλημα μηδὲν ἀποκρίνασθαι, δρῦν δέ
τινα διὰ τοῦ στρατηγοῦ σφῶν Κοιλίου Γράκχου δεί-
ξαντες πρὸς ἐκείνην, εἴ τι βούλοιντο, λέγειν αὐτοὺς
κελεῦσαι. U p. 373. Zonar. 7, 17 (vol. II, p. 138, 10 sq.).

ὅτι πυθόμενοι οἱ Ῥωμαῖοι τὸν Μινούκιον ἐν κοίλῳ 2
τινὶ καὶ λοχμώδει τόπῳ μετά τινων ἀπειλῆφθαι, δι-
κτάτωρα ἐπ' αὐτοὺς Λούκιον Κοΐντιον καίπερ πένητα
ὄντα τό τε γήδιον, ὃ μόνον αὐτῷ ὑπῆρχεν, αὐτοχει-
ρίᾳ τότε γεωργοῦντα προεχειρίσαντο· ἔς τε γὰρ τὰ

[Zonaras 7, 17 — vol. II, p. 138, 5 sqq.]

ἔτυχον, καὶ εἴ ποτε δ' ἐξῆλθον, ἀπροθύμως ἐμά-
χοντο, εἰ μὴ πάνθ' ὅσα ἐβούλοντο ἤνυσαν. κἀν-
τεῦθεν πολλοὶ τῶν προσοίκων αὐτοῖς τῇ ἐκεί-
νων διχοστασίᾳ ἢ τῇ ἑαυτῶν θαρροῦντες ἰσχύϊ
ἐνεωτέρισαν. ὧν ἦσαν καὶ Αἰκουοί, οἳ Μᾶρκον fr. 22, 1
Μινούκιον στρατηγοῦντα τότε νικήσαντες ἐφρονη-
ματίσθησαν. μαθόντες δὲ τὸν Μινούκιον ἡττημέ- fr. 22, 2
νον οἱ ἐν τῇ Ῥώμῃ δικτάτωρα Λούκιον Κυΐντιον
εἵλοντο, πένητα μὲν ἄνδρα καὶ γεωργίᾳ συνεξηκότα,
ἐς ἀρετὴν δὲ καὶ σωφροσύνην διαπρεπῆ, καίτοι τὰς

22, 1, 6 δείξαντες B, δείξαντος L ‖ 2, 3 Λούκον Κοιντον L

ἄλλα ὅμοιος τοῖς πρώτοις ἀρετὴν ἦν καὶ σωφροσύνῃ διέπρεπε καίτοι τὰς κόμας ἐς πλοκάμους ἀνιείς, ἀφ' οὗ δὴ καὶ Κιγκινᾶτος ἐπωνομάσθη. V p. 578. Zonar. 7, 17 (vol. II, p. 138, 10—16).

[Zonaras 7, 17 — vol. II, p. 138, 18 sqq.]

κόμας ἐς πλοκάμους ἀνιέντα, ὅθεν καὶ Κικινάτος ὠνόμαστο. οὗτος οὖν δικτάτωρ προχειρισθεὶς καὶ αὐθημερὸν ἐκστρατεύσας καὶ τάχει σὺν ἀσφαλείᾳ χρησάμενος καὶ τοῖς Αἰκουοῖς προσβαλὼν μετὰ τοῦ Μινουκίου πλείστους μὲν διέφθειρε, τοὺς δ' ἄλλους ἐζώγρησεν· οὓς ὑπὸ ζυγὸν διαγαγὼν ἀφῆκεν. ἡ δὲ πρᾶξις ἡ τοῦ ζυγοῦ τοιάδε τις ἦν. σταυροὺς δύο, ὄρθια δηλαδὴ ξύλα διέχοντα ἀλλήλων, εἰς τὴν γῆν κατεπήγνυον καὶ αὐτοῖς ἐπετίθουν ἐγκάρσιον ἕτερον καὶ διὰ μέσου τούτων τοὺς ἁλόντας διῆγον γυμνούς· ὃ τοῖς μὲν δρῶσι λαμπρότητα, πολλὴν δ' ἀτιμίαν τοῖς πάσχουσιν ἔφερεν, ὥστε τινὰς τοῦ τοιοῦτόν τι παθεῖν προαιρεῖσθαι θανεῖν. καὶ πόλιν δὲ αὐτῶν Κορουῖνον καλουμένην ἑλὼν ἐπανῆλθε καὶ τὸν Μινούκιον διὰ τὴν ἧτταν τὴν στρατηγίαν ἀφείλετο καὶ αὐτὸς ἀπέθετο τὴν ἀρχήν.

18. οἱ μέντοι Ῥωμαῖοι οἰκεῖον ἐσχήκασι πόλεμον, ὃς ἐκ δούλων συνέστη καὶ φυγάδων τινῶν, οἳ νυκτὸς ἐπελθόντες ἐξαπιναίως τοῦ Καπιτωλίου ἐκράτησαν. ὁ δ' ὅμιλος καὶ τότε οὐ πρότερον ἐν τοῖς ὅπλοις ἐγένετο, πρίν τι πλέον σχεῖν τῶν εὐπατριδῶν. ἐπελθόντες δέ γε τοῖς στασιάσασιν ἐκράτησαν μὲν αὐτῶν, πολλοὺς δὲ τῶν σφετέρων ἀπέβαλον.

διὰ ταῦτα τοίνυν οἱ Ῥωμαῖοι καὶ διά τινα σημεῖα εὐλαβηθέντος τῶν τε πρὸς ἀλλήλους ἀπηλλάγησαν ἐγκλημάτων καὶ τὴν πολιτείαν ἰσωτέραν ποιήσασθαι ἐψηφίσαντο. καὶ τρεῖς ἄνδρας εἰς τὴν Ἑλλάδα διὰ τοὺς νόμους καὶ τὰ παρ' ἐκείνοις ἔθη πεπόμφασι. καὶ κομισθέντων αὐτῶν τάς τε ἄλλας ἀρχὰς καὶ τὰς τῶν δημάρχων κατέλυσαν καὶ ἄνδρας
a. u. 303 (451) ὀκτὼ ἐκ τῶν πρώτων ἀνθείλοντο καὶ Ἄππιον Κλαύδιον Τίτον τε Γενούκιον ἀπέδειξαν κατὰ τὸν ἐνιαυτὸν ἐκεῖνον στρατηγοὺς αὐτοκράτορας. καὶ νόμους αὐτοῖς συγγράψαι ἐπέτρεψαν, μηδεμίαν τε δίκην ἐφέσιμον ἀπ' αὐτῶν γενέσθαι προσεψηφίσαντο· ὃ πρῴην οὐδενὶ τῶν ἀρχόντων πλὴν τῶν δι-



ὅτι καὶ τὰ ἐν τοῖς στρατοπέδοις καὶ τὰ ἐν τῷ 3
ἄστει ἐταράχθη· οἵ τε γὰρ στρατευόμενοι φιλονεικίᾳ a. u. 305
τοῦ μηδὲν τοῖς τὴν δυναστείαν ἔχουσι προχωρῆσαι (449)

[Zonaras 7, 18 — vol. II, p. 139, 22 sqq.]

κτατώρων ἐδέδοτο. ἦρξάν τε οὗτοι ἐφ' ἡμέραν ἕκαστος, ἐναλλὰξ τὸ πρόσχημα τῆς ἡγεμονίας λαμβάνοντες. καὶ νόμους συγγράψαντες εἰς τὴν ἀγορὰν ἐξέθηκαν· οἳ ἐπεὶ πᾶσιν ἤρεσαν, ἐς τὸν δῆμον εἰσήχθησαν καὶ κυρωθέντες σανίσιν ἐνεγράφησαν δέκα· ὅσα γὰρ φυλακῆς ἐκρίθησαν ἄξια, ἐν σανιδίοις ἐθησαυρίζοντο.

ἐκεῖνοι μὲν οὖν τὸν ἐνιαυτὸν ἀνύσαντες ἀφῆκαν τὴν a. u. 304
ἀρχήν, ἕτεροι δ' αὖθις αἱρεθέντες δέκα ὥσπερ ἐπὶ κατα- (450)
λύσει τῆς πολιτείας χειροτονηθέντες ἐξώκειλαν. πάντες γὰρ ἅμα ἀπὸ τῆς ἴσης ἦρχον καὶ νεανίσκους ἐκ τῶν εὐπατριδῶν θρασυτάτους ἐκλεξάμενοι πολλὰ δι' αὐτῶν ἐποίουν καὶ βίαια· ὀψὲ δέ ποτε ἐπ' ἐξόδῳ τοῦ ἔτους ὀλίγα ἄττα ἐν δύο σανίσι προσέγραψαν ἐς πάντα δὴ αὐτογνωμονήσαντες. ἀφ' ὧν οὐχ ὁμόνοια, ἀλλὰ καὶ διαφοραὶ μείζους Ῥωμαίοις γενήσεσθαι ἔμελλον.

αἱ μὲν οὖν λεγόμεναι δώδεκα δέλτοι οὕτως τότε ἐγένοντο· οἱ δὲ νομοθέται ἐκεῖνοι οὐ μόνον ταῦτ' ἔπραξαν, ἀλλὰ καὶ τοῦ ἐνιαυτοῦ τῆς ἀρχῆς αὐτοῖς διελθόντος ἔτι τοῖς πράγμασιν ἐνέμειναν βίᾳ τὴν πόλιν κατέχοντες καὶ μηδὲ τὴν βουλὴν ἢ τὸν δῆμον ἀθροίζοντες, ἵνα μὴ συνελθόντες παύσωσιν αὐτούς. Αἰκουῶν δὲ καὶ Σαβίνων πόλεμον αἱρομένων κατὰ Ῥωμαίων τότε τοὺς ἐπιτηδείους αὐτοῖς παρασκευάσαντες διεπράξαντο σφίσι τοὺς πολέμους ἐπιτραπῆναι. ἐκ γοῦν τῆς δεκαρχίας αὐτῶν Σερούιος μὲν Ὄππιος καὶ Ἄππιος Κλαύδιος κατὰ χώραν ἔμειναν, οἱ δὲ ὀκτὼ ἐπὶ τοὺς πολεμίους ἐστράτευσαν.

πάντα μέντοι ἁπλῶς καὶ τὰ ἐν τῷ ἄστει καὶ τὰ ἐν τοῖς fr. 22, 3
στρατοπέδοις τετάρακτο, κἀντεῦθεν στάσις αὖθις συνηνέχθη. ἐμβαλόντες γὰρ εἰς τὴν τῶν Σαβίνων γῆν οἱ στρατιάρχαι Λούκιόν τινα Σίκιον, ἄκρον τε τὰ πολέμια καὶ ἐν τοῖς πρώτοις τοῦ ὁμίλου καταριθμούμενον, μεθ' ἑτέρων ὥς τι χωρίον καταληψόμενον ἔπεμψαν καὶ διὰ τῶν συνεκπεμφθέν-

καὶ τὰ κοινὰ καὶ τὰ οἰκεῖα ἐθελονταὶ προΐεντο, καὶ ἐκεῖνοι οὐχ ὅτι τοῖς ὑπὸ τῶν ἐναντίων ἀπολλυμένοις σφῶν ἔχαιρον, ἀλλὰ καὶ αὐτοὶ πολλοὺς τῶν δραστηρίων τῶν τὰ τοῦ πλήθους πραττόντων ἐκ τρόπου δή τινος ἐπιτηδείου ἔφθειρον. κἀκ τούτου στάσις οὐ σμικρὰ σφῶν συνηνέχθη. M p. 153. Zonaras 7, 18 (vol. II, p. 140, 20 sq.).

4 ἐς γὰρ τοῦτο φιλοτιμίας κἀκ τούτου καὶ φιλονεικίας ἀλλήλοις ἀφίκοντο, ὥστε μηκέτι καθ' ἓν πάντας, ὥσπερ εἰώθεσαν, ἀλλ' ἐκ περιτροπῆς ἰδίᾳ ἕκαστον αὐτῶν ἄρχειν, ἀφ' οὗ οὐδὲν χρηστὸν ἐγίγνετο· τό τε γὰρ οἰκεῖον, οὐ τὸ κοινὸν ἑκάστου αὐτῶν σκοποῦντος καὶ βλαβῆναί πῃ τὸ δημόσιον μᾶλλον ἢ τὸν συνάρχοντα εὐδοκιμῆσαι ἐθέλοντος πολλὰ καὶ δυσχερῆ συνέβαινεν. M ib.

5 ὅτι δημοκρατία ἐστὶν οὐ τὸ πάντας τῶν αὐτῶν ἁπλῶς τυγχάνειν, ἀλλὰ τὸ ⟨τὰ⟩ κατ' ἀξίαν ἕκαστον φέρεσθαι. M p. 154.

[Zonaras 7, 18 — vol. II, p. 140, 27 sqq.]

των αὐτῷ τὸν ἄνδρα διέφθειραν. λόγου δ' εἰς τὸ στρατόπεδον γεγονότος, ὡς παρὰ πολεμίων τοῦ ἀνδρὸς σὺν ἄλλοις ἀνῃρημένου, οἱ στρατιῶται ἀνελέσθαι τοὺς νεκροὺς ὁρμήσαντες οὐδὲν σῶμα τῶν ἐναντίων εὑρήκασι, συχνοὺς δὲ τῶν ὁμοφύλων, οὓς ὁ Σίκιος ἐπιθεμένους αὐτῷ ἀπέκτεινεν ἀμυνόμενος. ὡς οὖν κύκλῳ τε αὐτοῦ κειμένους καὶ τετραμμένους πρὸς αὐτὸν εἶδον, ὑπετόπασαν τὸ γενόμενον καὶ μέντοι καὶ ἐθορύβησαν· πρὸς δὲ τοῖς καὶ διά τι τοιοῦτον.

Λούκιός τις Οὐεργίνιος ἐκ τοῦ πλήθους ὢν καὶ θυγατέρα ἔχων περικαλλῆ Λουκίῳ Ἰκιλλίῳ τῶν ὁμοίων αὐτῷ ἐκδώσειν ἔμελλε. ταύτης ὁ Κλαύδιος ἐρασθεὶς καὶ μὴ τυχὼν παρεσκεύασέ τινας δουλαγωγῆσαι αὐτήν· καὶ δικαστὴς ἦν

5, 2 ⟨τὰ⟩ inser. B



[Zonaras 7, 18 — vol. II, p. 141, 9 sqq.]

ἐκεῖνος. ἐλθὼν οὖν ὁ τῆς κόρης πατὴρ ἐκ τοῦ στρατοπέδου ἐδικαιολογεῖτο. ὡς δὲ ὁ Κλαύδιος ταύτης κατεψηφίσατο, καὶ τοῖς δουλαγωγοῦσιν αὐτὴν ἡ κόρη παρεδόθη, καὶ οὐδεὶς ἐπήμυνεν, ὑπεραλγήσεν ὁ ταύτης πατὴρ καὶ τὴν θυγατέρα κοπίδι διαχειρισάμενος πρὸς τοὺς στρατιώτας ὡς εἶχεν ἐξώρμησεν. οὓς οὐδὲ πρὶν εὖ διακειμένους οὕτως ἐτάραξεν, ὥστε εὐθὺς ἐπὶ τὴν πόλιν πρὸς τὸν Κλαύδιον ἐπειχθῆναι. καὶ οἱ ἕτεροι δὲ οἱ ἐπὶ τοὺς Σαβίνους ἐστρατευμένοι, ἐπεὶ τοῦτ' ἔμαθον, τό τε τάφρευμα ἐξέλιπον καὶ συμμίξαντες τοῖς λοιποῖς ἄνδρας εἴκοσιν ἑαυτῶν προεστήσαντο καὶ οὐδὲν μικρὸν ἐλογίζοντο πρᾶξαι. καὶ τὸ ἄλλο δὲ πλῆθος τὸ ἐν τῇ πόλει προσεχώρησεν αὐτοῖς καὶ μετ' αὐτῶν ἐθορύβει.

ἐν τούτοις ὁ μὲν Κλαύδιος φοβηθεὶς ἐκρύβη, Ὄππιος δὲ τήν τε βουλὴν ἤθροισε καὶ πέμψας ἐπύθετο τοῦ πλήθους, τί βούλονται. οἱ δὲ τὸν Οὐαλέριον Λούκιον καὶ τὸν Ὁράτιον Μᾶρκον, ἄνδρας ἐκ τῶν βουλευτῶν αὐτοῖς προσκειμένους, πεμφθῆναι σφίσιν ἐζήτουν ὥς τι δι' ἐκείνων ἀποκρινούμενοι. ἐπεὶ δὲ οὐκ ἐπέμφθησαν φοβηθέντων τῶν δέκα ἀρχόντων (ἤδη γὰρ πάντες παρῆσαν), μὴ στρατηγοῖς αὐτοῖς κατ' αὐτῶν χρήσαιντο, ἔτι μᾶλλον ὠργίζοντο. φόβος οὖν τοῖς βουλευταῖς ἐνέπεσεν ἐντεῦθεν οὐ μέτριος, καὶ διὰ τοῦτο καὶ παρὰ γνώμην τῶν ἀρχόντων τόν τε Οὐαλέριον σφίσι καὶ τὸν Ὁράτιον ἔπεμψαν. κἀκ τούτου συναλλαγῆς γενομένης τοῖς μὲν θορυβήσασιν ἄδεια τῶν πραχθέντων ἐδόθη καὶ ἡ δεκαρχία κατελύθη, αἱ δὲ ἐπέτειοι ἀρχαὶ αἵ τε λοιπαὶ καὶ αἱ τῶν δημάρχων ἐπὶ τοῖς αὐτοῖς προνομίοις ἐπανῆλθον, ἐφ' οἷσπερ ἦσαν καὶ πρότερον. ἀποδειχθέντες δὲ ἄρχοντες ἄλλοι τε καὶ Οὐεργίνιος τὸν μὲν Ὄππιον τόν τε Κλαύδιον εἰς δεσμωτήριον ἐνέβαλον, οἳ πρὶν εὐθυνθῆναι ἑαυτοὺς διεχειρίσαντο, τοὺς δὲ λοιποὺς ἐγράψαντο καὶ ἑλόντες ἐξήλασαν.

19. οἱ δ' ὕπατοι (τότε γὰρ λέγεται πρῶτον ὑπάτους a. u. 305 (449) αὐτοὺς προσαγορευθῆναι, στρατηγοὺς καλουμένους τὸ πρότερον· ἦσαν δὲ Οὐαλέριος καὶ Ὁράτιος) καὶ τότε καὶ μετέπειτα τῷ πλήθει προσέκειντο καὶ μᾶλλον αὐτοὺς ἢ τοὺς εὐπατρίδας ἐκράτυναν. ἐλαττούμενοι οὖν οἱ εὐπατρίδαι οὔτε ῥᾴδιον συνελέγοντο οὔτε τὰ πράγματα ἐπ' αὐτοῖς ἐποίουν

[Zonaras 7, 18 — vol. II, p. 142, 19 sqq.]

παντάπασιν, ἀλλὰ καὶ τοὺς δημάρχους οἰωνοσκοπίᾳ ἐν συλλόγοις χρῆσθαι δεδώκασιν· ὃ λόγῳ μὲν τιμὴν αὐτοῖς ἔφερε καὶ ἀξίωμα (μόνοις γὰρ τοῦτο ἐκ τοῦ πάνυ ἀρχαίου τοῖς εὐπατρίδαις ἐπετέτραπτο), ἔργῳ δὲ κώλυμα ἦν, ἵνα μὴ ῥᾳδίως οἱ δήμαρχοι καὶ τὸ πλῆθος ὅσα βούλοιντο πράττοιεν, ἀλλὰ προφάσει τῆς οἰωνοσκοπίας ἔστιν οὗ ἐμποδίζοιντο. ἀχθόμενοι δὲ τοῖς ὑπάτοις οἵ τε εὐπατρίδαι καὶ ἡ βουλὴ ὡς τὰ τοῦ πλήθους φρονοῦσιν οὐκ ἐψηφίσαντο σφίσι τὰ ἐπινίκια πόλεμον ἑκατέρου νικήσαντος οὐδ' ἡμέραν ἑκάστῳ ἀπένειμαν, ὥσπερ εἴθιστο. τὸ μέντοι πλῆθος ἐπὶ δύο τε ἡμέρας ἑώρτασε καὶ τοῖς ὑπάτοις τὰ νικητήρια ἐψηφίσαντο.

a. u. 306 (448) οὕτως οὖν ἐς διαφορὰς τῶν Ῥωμαίων ἐλθόντων οἱ ἐναντίοι σφίσιν ἀναθαρσήσαντες ἐπῄεσαν αὐτοῖς. τῷ δ' ἑξῆς ἔτει Μάρκου Γενουκίου καὶ Γαΐου Κουρτίου ὑπατευόντων ἐπ' ἀλλήλους ἐτράποντο. οἵ τε γὰρ τοῦ πλήθους καὶ ὑπατεύειν ἤθελον, ἐπείπερ ἐδημάρχουν οἱ εὐπατρίδαι πρὸς αὐτοὺς μεθιστάμενοι, καὶ οἱ εὐπατρίδαι λίαν τῆς ὑπάτου ἀρχῆς περιείχοντο. καὶ πολλὰ κατ' ἀλλήλων καὶ βίαια ἔλεγόν τε καὶ ἔπραττον. ἵνα δὲ μὴ πρός τι χεῖρον χωρήσωσι, τοῦ μὲν ἔργου τῆς ἡγεμονίας οἱ δυνατοὶ αὐτοῖς παρεχώρησαν, τοῦ δὲ ὀνόματος οὐ μετέδωκαν, ἀλλ' ἀνθ' ὑπάτων χιλιάρχους ὠνόμασαν, ἵνα μὴ τὸ τῆς κλήσεως ἔντιμον τῷ σύρφακι ὁμίλῳ καταρρυπαίνοιτο. καὶ τρεῖς ἀφ' ἑκατέρων χιλιάρχους ἀντὶ τῶν δύο ὑπάτων αἱρεῖσθαι συνέδοξεν. οὐ μέντοι τὸ τῶν ὑπάτων ἐξέλιπε τέλεον ὄνομα, ἀλλὰ ποτὲ μὲν ὕπατοι καθίσταντο, ποτὲ δέ γε χιλίαρχοι. οὕτω μὲν οὖν ταῦτα παραδέδοται γίνεσθαι καίτοι οὐ μόνον τῶν ὑπάτων δικτάτωρας ἀνειπόντων καὶ ταῦτα πολὺ τῆς ἀρχῆς ἐκείνης ἐλαττουμένων, ἀλλὰ καὶ χιλιάρχων τοῦτο πεποιηκότων ἐνίοτε· λέγεται δέ, ὅτι οὐδεὶς τῶν χιλιάρχων καίτοι πολλῶν πολλάκις νικησάντων ἐπινίκια ἔπεμψεν.

a. u. 307 (447) οἱ μὲν οὖν χιλίαρχοι οὕτω τότε ᾑρέθησαν, οἱ δὲ τιμηταὶ τῷ ἐχομένῳ ἔτει Βαρβάτου καὶ Μάρκου Μακρίνου ὑπατευόντων κατεδείχθησαν· καὶ ᾑρέθησαν Λούκιός τε Παπείριος καὶ Λούκιος Σεμπρώνιος. κεχειροτόνηντο δέ, ὅτι οἱ ὕπατοι ἀδύνατοι ἐπὶ πάντας διὰ τὸ πλῆθος ἐξαρκεῖν ἦσαν· τὰ γὰρ



[Zonaras 7, 19 — vol. II, p. 143, 31 sqq.]

τοῖς τιμηταῖς ἀπονεμηθέντα προνόμια ἐκεῖνοι μέχρι τότε ἐποίουν.* δύο τε ἦσαν οἱ τιμηταὶ ἐξ ἀρχῆς καὶ ἐκ τῶν εὐπατριδῶν. ἦρχον δὲ τὰ μὲν πρῶτα καὶ τὰ τελευταῖα ἐπὶ πενταετίαν, ἐν δὲ τῷ μέσῳ χρόνῳ ἐπὶ τρεῖς ἑξαμήνους· καὶ ἐγένοντο τῶν ὑπάτων μείζους καίτοι μέρος τῆς ἐκείνων λαβόντες ἀρχῆς. ἐξῆν δὲ αὐτοῖς τάς τε προσόδους τὰς κοινὰς ἐκμισθοῦν καὶ τῶν ὁδῶν καὶ τῶν δημοσίων οἰκοδομημάτων ἐπιμελεῖσθαι καὶ τὰς ἀπογραφὰς τῆς ἑκάστου εὐπορίας διατελεῖν καὶ τὸν βίον τῶν πολιτῶν ἐπισκοπεῖν τε καὶ ἐξετάζειν καὶ τοὺς μὲν ἀξίους ἐπαίνου εἰς τὰς φυλὰς καὶ εἰς τὴν ἱππάδα καὶ τὴν γερουσίαν ἐγγράφειν, καθὼς ἑκάστοις προσήκειν ἐνομίζετο, τοὺς δ' οὐκ εὖ βιοῦντας ἁπανταχόθεν ὁμοίως ἀπαλείφειν· ὃ μεῖζον ἁπάντων ἦν τῶν τοῖς ὑπάτοις καταλειφθέντων. πίστεις δ' ἐνόρκους ἐφ' ἑκάστῳ πεποίηντο, ὡς οὔτε πρὸς χάριν οὔτε πρὸς ἔχθραν τι ποιοῦσιν, ἀλλ' ἐξ ὀρθῆς γνώμης τὰ συμφέροντα τῷ κοινῷ καὶ σκοποῦσι καὶ πράττουσι. καὶ τὸν δῆμον ἐπί τε νόμων εἰσφοραῖς καὶ τοῖς ἄλλοις συνήθροιζον καὶ τῷ τῶν μειζόνων ἀρχῶν κόσμῳ πλὴν ῥαβδούχων ἐχρῶντο. τοιαύτη ἡ τῶν τιμητῶν ὑπῆρχεν ἀρχή. τῶν μέντοι μὴ ἀπογραψαμένων τὰς οὐσίας ἐν ταῖς ἀπογραφαῖς καὶ ἑαυτοὺς τὰς μὲν οὐσίας οἱ τιμηταί, αὐτοὺς δ' ἐκείνους οἱ ὕπατοι ἐπίπρασκον. χρόνῳ μὲν οὖν τινι ταῦθ' οὕτως ἐπράχθη, ὕστερον δὲ τὸν ἅπαξ τῇ βουλῇ καταλεχθέντα διὰ βίου βουλεύειν ἔδοξε μηδ' ἀπαλείφεσθαι, εἰ μή τις ἀδικήσας καὶ κριθεὶς ἠτίμωτο ἢ κακῶς ζῶν ἠλέγχθη· τοὺς γὰρ τοιούτους ἀπήλειφον καὶ ἀντ' αὐτῶν ἑτέρους ἐνέγραφον.

τῶν δὲ προσκαίρως ἀρχόντων πρεσβεῖα μὲν ἐδέδοτο τοῖς δικτάτωρσι, δευτερεῖα δέ γε τοῖς τιμηταῖς, ἡ δὲ τρίτη τάξις τοῖς ἱππάρχοις νενέμητο· καὶ οὕτω ταῦτα ἐτέτακτο, κἂν ἐν ταῖς ἀρχαῖς ἦσαν κἂν ἀπηλλάγησαν. εἰ γάρ τις ἐκ μείζονος ἀρχῆς εἰς ὑποδεεστέραν κατέστη, τὸ τῆς προτέρας ἀξίωμα εἶχεν ἀκέραιον. εἷς δέ τις, ὃν πρίγκιπα μὲν τῆς γερουσίας ὠνόμαζον (λέγοιτο δ' ἂν καθ' Ἕλληνας πρόκριτος), συμπάντων προεῖχε τὸν χρόνον ὃν προεκρίνετο (οὐ γὰρ διὰ βίου τις εἰς τοῦτο προεχειρίζετο) καὶ προέφερε τῶν ἄλλων τῷ ἀξιώματι, οὐ μὴν καὶ δυνάμει ἐχρῆτό τινι.

[Zonaras 7, 19 — vol. II, p. 145, 10 sqq.]

20. χρόνον μὲν οὖν τινα εἰρήνην πρὸς ἀλλήλους καὶ πρὸς τοὺς περιοίκους ἤγαγον· εἶτα λιμοῦ ἐπικρατήσαντος, ὥστε τινὰς καὶ εἰς τὸν ποταμὸν ἑαυτοὺς ἐμβαλεῖν μὴ φέροντας τὸν λιμόν, ἐστασίασαν. οἱ μὲν γὰρ τοὺς εὐπόρους ὡς περὶ τὸν σῖτον κακουργοῦντας ἐν αἰτίᾳ πεποίηντο, οἱ δὲ τοὺς πένητας ὡς τὴν γῆν μὴ βουλομένους ἐργάζεσθαι. ἰδὼν
a. u. 315 δὲ τοῦτο Σπούριος Μάλιος, ἀνὴρ ἱππεὺς πλούσιος, τυραν-
(439) νίδι ἐπικεχείρηκε καὶ σῖτον ἐκ τῆς περιχώρου πριάμενος πολλοῖς μὲν ἐπευωνίζων, πολλοῖς δὲ καὶ προῖκα ἐδίδου κἀκ τούτου συχνοὺς προσοικειωσάμενος ὅπλα τε ἐπορίσατο καὶ φρουρούς· καὶ ἐκράτησεν ἂν τῆς πόλεως, εἰ μὴ Μινούκιος Αὐγουρῖνος, ἀνὴρ εὐπατρίδης, ἐπὶ τῇ σιτοδοσίᾳ τεταγμένος καὶ αἰτιώμενος ἐπὶ τῇ σιτοδείᾳ, εἰσήγγειλε τῇ βουλῇ τὸ πραττόμενον. ἡ δὲ γερουσία μαθοῦσα τὸ μήνυμα δικτάτωρα παραυτίκα ἐν τῷ συνεδρίῳ ἀνεῖπε τὸν Κυΐντιον τὸν Λούκιον τὸν Κικινάτον καὶ ταῦτα παρήλικα ὄντα· ὀγδοηκοντούτης γὰρ ἦν. κἀκεῖ τὴν ἡμέραν πᾶσαν ἀνάλωσαν συγκαθήμενοι ὥς τι δὴ βουλευόμενοι, ἵνα μὴ τὸ γεγονὸς ἐκφοιτήσῃ. νυκτὸς δ' ὁ δικτάτωρ τὸ Καπιτώλιον καὶ τὰ λοιπὰ τὰ ἐπικαιρότατα διὰ τῶν ἱππέων προκαταλαβὼν ἕωθεν ἐπὶ τὸν Μάλιον ἔπεμψε Γάιον Σερουίλιον τὸν ἵππαρχον ὡς δι' ἄλλο τι ἐκεῖνον μετακαλούμενος. ὁ δὲ ὑποτοπήσαντός τι τοῦ Μαλίου καὶ διαμέλλοντος δείσας, μὴ ὑπὸ τοῦ πλήθους ἐξαρπασθῇ (ἤδη γὰρ συνέτρεχον), ἔκτεινε τὸν ἄνδρα ἢ αὐτογνωμονήσας ἢ τοῦτο κεκελευσμένος πρὸς τοῦ δικτάτωρος. θορυβηθέντος δ' ἐπὶ τούτῳ τοῦ πλήθους ὁ Κυΐντιος δημηγορήσας καὶ σῖτον σφίσι παρασχὼν καὶ μή τινα ἕτερον ἢ κολάσας ἢ ἐπαιτιασάμενος τὸν θόρυβον ἔπαυσε.

πολέμων δὲ τοῖς Ῥωμαίοις ἐκ διαφόρων ἐθνῶν ἐπενηνεγμένων τοὺς μὲν ἐν ὀλίγαις ἡμέραις ἐνίκησαν, τοῖς δὲ Τυρσηνοῖς ἐπὶ μακρὸν ἐπολέμησαν. Ποστουμίου δὲ νενικηκότος τοὺς Αἰκουοὺς καὶ μεγάλην πόλιν ἑλόντος αὐτῶν, ὅτι μήτ' ἐκείνην οἱ στρατιῶται εἰς προνομὴν ἐξεχωρήθησαν μήτε τι τῆς λείας αἰτήσαντες ἔλαβον, τόν τε ταμίαν τὸν διατιθέμενον αὐτὴν περιστάντες ἐφόνευσαν καὶ τὸν Ποστούμιον ἐπιτιμῶντα αὐτοῖς ἐπὶ τούτῳ καὶ ζητοῦντα τοὺς αὐτόχειρας



[Zonaras 7, 20 — vol. II, p. 146, 21 sqq.]

προσαπέκτειναν καὶ τὴν χώραν οὐ τὴν αἰχμάλωτον μόνον, ἀλλὰ καὶ πᾶσαν προσένειμαν ἑαυτοῖς τὴν ἐν τῷ δημοσίῳ τότε τυγχάνουσαν. κἂν ἐπὶ πλεῖστον ἡ στάσις διήρκεσεν, εἰ μὴ πόλεμος αὖθις Ῥωμαίοις παρὰ τῶν Αἰκουῶν ἐπενήνεκτο. φοβηθέντες γὰρ διὰ τοῦτο ἡσύχασαν καὶ τὴν τιμωρίαν τῶν φόνων εἰς ὀλίγους ἐλθοῦσαν ὑπέμειναν καὶ ἐπὶ τοὺς ἐναντίους στρατεύσαντες μάχῃ αὐτοὺς νενικήκασι. διὸ τήν τε λείαν αὐτοῖς οἱ δυνατοὶ διέδοσαν καὶ μισθὸν τοῖς πεζοῖς, εἶτα καὶ τοῖς ἱππεῦσιν ἐψηφίσαντο· ἄμισθοι γὰρ μέχρι τότε καὶ οἰκόσιτοι ἐστρατεύοντο· τότε δὲ πρῶτον μισθοφορεῖν ἤρξαντο.

πολέμου δὲ αὐτοῖς πρὸς Οὐιέντας συστάντος, ἕως μὲν a. u. 346
κατὰ σφᾶς ἐπολέμουν ἐκεῖνοι, πολλάκις αὐτοὺς οἱ Ῥωμαῖοι (408)
ἐνίκησαν καὶ ἐς πολιορκίαν κατέστησαν· προσγενομένων δὲ αὐτοῖς συμμάχων ἐπεξῆλθον τοῖς Ῥωμαίοις καὶ ἐπεκράτησαν. ἐν τούτοις δὲ ἡ πρὸς τῷ ὄρει τῷ Ἀλβανῷ οὖσα λίμνη ὑπὸ τῶν πέριξ αὐτῆς περικλειομένη λόφων καὶ μὴ ἔχουσα ἐκροὴν κατὰ τὸν τῆς πολιορκίας τῶν Οὐιεντῶν καιρὸν ἐς τοσοῦτον ἐπλήμμυρεν, ὡς ὑπερεκχεῖσθαι καὶ τῶν ὀρῶν καὶ κατιέναι πρὸς θάλασσαν. κρίναντες δὲ οἱ Ῥωμαῖοι πάντως τι διὰ τούτου θεῖον σημαίνεσθαι ἔπεμψαν εἰς Δελφοὺς περὶ τούτου χρησόμενοι. ἦν δέ τις καὶ παρὰ τοῖς Οὐιένταις Τυρσηνὸς ἀνὴρ μαντικός. ἐς ταὐτὸν οὖν ἥ τε Πυθία καὶ ἡ ἐκείνου μαντεία συνέδραμον· καὶ ἄμφω γὰρ ἁλώσεσθαι τὴν πόλιν εἶπον, ὅταν τὸ ὕδωρ τὸ πλημμυρῆσαν μὴ ἐς θάλασσαν ἐκπέσῃ, ἀλλ' ἀναλωθείη ἑτέρωθι, καί τινας ἱερουργίας διὰ τοῦτο γενέσθαι ἐκέλευσαν. ἀλλ' ὁ μὲν Πύθιος οὔτε τίσι θεῶν οὔθ' ὅπως αὐτὰς ποιήσουσι διεσάφησεν, ὁ δὲ Τυρσηνὸς ᾔδει μὲν εἰδέναι, οὐδὲν δὲ ἐδήλου. οἱ γοῦν περὶ τὸ τεῖχος, ὅθεν ἐκεῖνος ὡμίλει, τεταγμένοι Ῥωμαῖοι φιλίαν πρὸς ἐκεῖνον ὑποκριθέντες τά τε ἄλλα θαρρεῖν αὐτῷ ἐνεδίδουν καὶ ἀδεῶς ἐπέτρεπον ἐκφοιτᾶν· καὶ οὕτω συλλαβόντες αὐτὸν πάντα τὰ καθήκοντα ἠνάγκασαν ἐξειπεῖν. καὶ κατὰ τὴν ὑποθήκην ἐκείνου τάς τε θυσίας ἐποίησαν καὶ τὸν λόφον διέτρησαν καὶ τὸ πλεονάζον ὕδωρ εἰς τὸ πεδίον κρυπτῇ διώρυχι μετωχέτευσαν, ὥσθ' ἅπαν ἐν αὐτῷ ἀναλίσκεσθαι καὶ μή τι καταρρέειν εἰς θάλασσαν.

23 *γενέσθαι δὲ καθὼς ὁ θριαμβικὸς παρακελεύεται νόμος, περὶ οὗ γράφει Δίων Κοκκειανός. εἰ δὲ τῶν ἐργωδῶν σοι δοκεῖ παλαιῶν βίβλους ἀνερευνᾶν, ἀλλ' οὖν ὡς οἷον ἐπιδρομάδην αὐτὸς τὰ τοῦ θριάμβου ἐξείποιμι. εἰς δίφρον τὸν θριαμβονίκην ἀναβιβάσαντες σινωπιδίῳ ἢ κινναβάρει τὸ πρόσωπον ἀντὶ αἵματος, ὡς μὴ ἐρυθριᾷ, περιχρίουσι καὶ βραχιονιστῆρας ἐμβάλλουσι ταῖς χερσὶ καὶ δάφνινον στέμμα καὶ δάφνης κλῶνα διδοῦσι τῇ δεξιᾷ. περιτιθέασι δὲ καὶ τῇ κεφαλῇ στέφανον ἐξ ὕλης ὁποίας, ἀνάγραπτα φέροντα, ὅσα ἐποίησεν ἢ ἐπεπόνθει· οἰκέτης δὲ δημόσιος τοῦ ἅρματος ἑστὼς ὄπισθεν ἀνέχει τὸν στέφανον λέγων ἐκείνῳ πρὸς οὖς "βλέπε καὶ τὸ κατόπιν". κώδωνες δὲ καὶ μάστιξ τοῦ ζυγοῦ τοῦ ἅρματος ἀπῃώρηνται· εἶτα τρὶς κυκλῶν τὸν τόπον περιτρέχει καὶ τοὺς ἀναβαθμοὺς ἐπὶ γόνασιν ἀνέρπει καὶ τοὺς στεφάνους ἐκεῖ ἀποτίθεται. εἶτα μετὰ θυμελικῶν οἴκαδε ἀπέρχεται.* Tzetzes Epist. 107, p. 86. Ergo Dionis fere sunt haec Zonarae 7, 21 (vol. II, p. 148, 27—151, 9) post Plutarchea Camill. c. 7 de populi in Camillum propter triumphum ira: *ἡ δὲ τῶν ἐπινικίων πομπή, ἣν καὶ θρίαμβον ἐκάλουν, τοιάδε τις ἐγίνετο. ὅτε τι κατωρθώθη μέγα καὶ ἐπινικίων ἐπάξιον, αὐτοκράτωρ αὐτίκα ὁ στρατηγὸς ὑπὸ τῶν στρατιωτῶν ὠνομάζετο καὶ κλῶνας δάφνης περιέδει ταῖς ῥάβδοις καὶ τοῖς δρομοκήρυξι τοῖς τὴν νίκην καταγγέλλουσι τῇ πόλει κομίζειν ἐδίδου. ἐλθὼν δ' οἴκαδε τὴν γερουσίαν συνήθροιζε καὶ ᾔτει ψηφίσασθαί οἱ τὰ ἐπινίκια. καὶ εἰ ἔτυχε ψήφου παρά τε τῆς βουλῆς καὶ τοῦ δήμου, ἐβεβαιοῦτο αὐτῷ καὶ ἡ ἐπωνυμία τοῦ αὐτοκράτορος. καὶ εἰ μὲν*



*ἐν τῇ ἀρχῇ ἦν ἔτι, ἐν ᾗ τυγχάνων ἐνίκησε, ταύτῃ καὶ
πανηγυρίζων ἐπέχρητο, εἰ δ' ὁ χρόνος παρεληλύθε
τῆς ἀρχῆς, ἄλλο τι πρόσφορον αὐτῇ ἐλάμβανεν ὄνομα·
ἰδιώτῃ γὰρ νικητήρια πέμψαι ἀπείρητο. ἐνσκευασάμε-
νος δὲ τῇ ἐπινικίῳ σκευῇ καὶ περιβραχιόνια λαβὼν
στέφανόν τε δάφνης ἀναδησάμενος καὶ κλάδον κρατῶν
ἐν τῇ δεξιᾷ τὸν δῆμον συνεκάλει· καὶ ἐπαινέσας τοὺς
συστρατευσαμένους αὐτῷ καὶ κοινῇ καὶ ἰδίᾳ τινὰς
ἐδωρεῖτο μὲν σφίσι χρήματα, ἐτίμα δὲ καὶ κόσμῳ,
περιβραχιόνιά τέ τισι καὶ δόρατα ἀσίδηρα παρεῖχε καὶ
στεφάνους τοῖς μὲν χρυσοῦς, τοῖς δὲ ἀργυροῦς ἐδίδου
τοὔνομά τε ἑκάστου καὶ τῆς ἀριστείας φέροντας τὸ
ἐκτύπωμα. ἢ γὰρ τείχους τις πρῶτος ἐπέβη, καὶ τεί-
χους ὁ στέφανος εἶδος ἔφερεν, ἢ καὶ ἐξεπολιόρκησέ τι,
καὶ τοῦτο κἀκεῖνο εἰκόνιστο. ἐναυκράτησέ τις, ναυσὶν
ὁ στέφανος ἐκεκόσμητο· ἱπποκράτησέ τις, ἱππικόν τι
ἐξετετύπωτο. ὁ δὲ πολίτην τινὰ ἐκ μάχης ἢ ἑτέρου
κινδύνου ἢ ἐκ πολιορκίας σώσας μέγιστόν τε εἶχε τὸν
ἔπαινον καὶ ἐλάμβανε στέφανον γινόμενον ἐκ δρυός,
ὃς πολὺ πάντων καὶ τῶν ἀργυρῶν καὶ τῶν χρυσῶν
ὡς ἐντιμότερος προτετίμητο. καὶ οὐ κατ' ἄνδρα μό-
νον ἀριστεύσαντα ταῦτα ἐδίδοτο, ἀλλὰ καὶ λόχοις καὶ
στρατοπέδοις ὅλοις παρείχετο. καὶ τῶν λαφύρων πολλὰ
μὲν τοῖς στρατευσαμένοις διανενέμητο· ἤδη δέ τινες
καὶ παντὶ τῷ δήμῳ διέδοσαν καὶ ἐδαπάνων εἰς τὴν
πανήγυριν καὶ ἐδημοσίευον, καὶ εἴ τι περιελέλειπτο,
εἰς ναούς, εἰς στοὰς ἢ καί τι ἕτερον δημόσιον ἔργον
ἀνήλισκον. ταῦθ' ὁ πομπεὺς ποιήσας εἰς τὸ ἅρμα ἀν-
έβαινε. τὸ δὲ δὴ ἅρμα οὔτ' ἀγωνιστηρίῳ οὔτε πολε-
μιστηρίῳ ἦν ἐμφερές, ἀλλ' ἐς πύργου περιφεροῦς τρό-
πον ἐξείργαστο. καὶ οὐ μόνος ἦν ἐν τῷ ἅρματι, ἀλλ',*

ἄν γε καὶ παῖδας ἢ συγγενεῖς εἶχε, κἀκείνων τὰς μὲν κόρας καὶ τὰ ἄρρενα τὰ νεογνὰ ἐν αὐτῷ ἀνεβίβαζε, τοὺς δὲ ἁδροτέρους ἐπὶ τοὺς ἵππους τούς τε ζυγίους καὶ τοὺς σειραφόρους ἀνετίθετο· εἰ δὲ πλείους ἦσαν, ἐπὶ κελήτων τῷ πομπεῖ παριππεύοντες συνεπόμπευον. τῶν δ' ἄλλων οὐδεὶς ὠχεῖτο, ἀλλ' ἐστεμμένοι δάφνῃ πάντες ἐβάδιζον. οἰκέτης μέντοι δημόσιος ἐπ' αὐτοῦ παρωχεῖτο τοῦ ἅρματος τὸν στέφανον τὸν τῶν λίθων τῶν χρυσοδέτων ὑπερανέχων αὐτοῦ καὶ ἔλεγε πρὸς αὐτὸν "ὀπίσω βλέπε", τὸ κατόπιν δηλαδὴ καὶ τὰ ἐφεξῆς προσκόπει τοῦ βίου μηδ' ὑπὸ τῶν παρόντων ἐπαρθῇς καὶ ὑπερφρονήσῃς. καὶ κώδων ἀπήρτητο καὶ μάστιξ τοῦ ἅρματος ἐνδεικτικὰ τοῦ καὶ δυστυχῆσαι αὐτὸν δύνασθαι, ὥστε καὶ αἰκισθῆναι ἢ καὶ δικαιωθῆναι θανεῖν. τοὺς γὰρ ἐπί τινι ἀτοπήματι καταδικασθέντας θανεῖν νενόμιστο κωδωνοφορεῖν, ἵνα μηδεὶς βαδίζουσιν αὐτοῖς ἐγχριπτόμενος μιάσματος ἀναπίμπληται. οὕτω τε σταλέντες εἰσῄεσαν εἰς τὴν πόλιν ἔχοντες προπέμποντα σφῶν τὰ σκῦλά τε καὶ τὰ τρόπαια καὶ ἐν εἰκόσι τά τε αἰχμάλωτα φρούρια ἠσκημένα, πόλεις τε καὶ ὄρη καὶ ποταμούς, λίμνας, θαλάσσας, τά τε σύμπαντα ὅσα ἑαλώκεσαν. καὶ εἰ μὲν μία ἡμέρα ἦν ἐξαρκοῦσα εἰς τὴν τούτων πομπήν· εἰ δὲ μή, καὶ ἐν δευτέρᾳ καὶ τρίτῃ ἐπέμπετο. προδιελθόντων δ' ἐκείνων οὕτως ὁ πομπεὺς εἰς τὴν Ῥωμαίαν κομισθεὶς ἀγορὰν καὶ τῶν αἰχμαλώτων τινὰς εἰς τὸ δεσμωτήριον ἀπαχθῆναι καὶ θανατωθῆναι κελεύσας ἀνήλαυνεν εἰς τὸ Καπιτώλιον καί τινας ἐκεῖ τελετὰς πληρώσας καὶ προσαγαγὼν ἀναθήματα καὶ παρὰ ταῖς ἐκεῖ δειπνήσας στοαῖς πρὸς ἑσπέραν οἴκαδε μετ' αὐλῶν καὶ συρίγγων ἀπήρχετο. τοιαῦτα μὲν ἦσαν πάλαι τὰ νικητήρια· αἱ



δὲ στάσεις αἵ τε δυναστεῖαι πλεῖστα ἐνεωτέρισαν ἐπ' αὐτοῖς.

τὰ τοῦ θριαμβικοῦ πάντα τοῦ κουρουλίου δίφρου 2
ἔχει τὸ ἐπιστόλιον. τί δὲ δεῖ γράφειν πάλιν;
ὅπως τὸν θριαμβεύοντα χρίσαντες κινναβάρει
ἢ καὶ σινωπιδίᾳ δὲ ἐφ' ἅρματος ἱστῶσι
καὶ στέφανον δὲ χρύσεον τῇ κεφαλῇ τιθοῦσιν,
ὁπόσα κατειργάσατο φέροντα τυπωθέντα,
καὶ τῇ χειρὶ διδόασιν δάφνινον τούτῳ κλάδον
καὶ βραχιονιστῆρας δὲ ἐμβάλλουσιν ἐκείνῳ
καὶ πάντας ἀριστεύσαντας στεφάνοις στεφανοῦσιν,
ἐξ ἀργυρᾶς τῆς ὕλης μὲν γραπτοῖς ταῖς ἀριστείαις,
καὶ πῶς ἐπὶ τοῦ ἅρματος δημόσιος οἰκέτης
ὄπισθεν τούτου ἵσταται τὸν στέφανον ἀνέχων
καὶ λέγων τούτῳ πρὸς τὸ οὖς· καὶ τὸ κατόπιν βλέπε—
πάντα τὸ ἐπιστόλιον ἔχει τὰ τῶν καιρίων.

Tzetz. hist. 13, 41—54.

ὅτι πρὸς τοὺς Φαλίσκους οἱ Ῥωμαῖοι πολλὰς μά- 3
χας μαχεσάμενοι καὶ πολλὰ καὶ παθόντες καὶ δράσαν- a. u. 359
τες τῶν μὲν πατρίων ἱερῶν ὠλιγώρησαν, πρὸς δὲ τὰ (395)
ξενικὰ ὡς καὶ ἐπαρκέσοντά σφισιν ὥρμησαν. φιλεῖ γάρ πως τὸ ἀνθρώπειον ἐν ταῖς συμφοραῖς τοῦ μὲν συνήθους, κἂν θεῖον ᾖ, καταφρονεῖν, τὸ δὲ ἀπείρατον θαυμάζειν· παρ' ἐκείνου μὲν γὰρ ἅτε μηδὲν ἐς τὸ παρὸν ὠφελεῖσθαι νομίζοντες οὐδὲ ἐς τὸ ἔπειτα χρηστὸν οὐδὲν προσδέχονται, παρὰ δὲ δὴ τοῦ ξένου πᾶν ὅσον ἂν ἐθελήσωσιν ὑπὸ τῆς καινοτομίας ἐλπίζουσιν. M p. 153.

---

23, 3, 10 ἂν B, οὖν L

4 ὅτι τὴν τῶν Φαλίσκων πόλιν πολιορκοῦντες οἱ
a. u. 361 Ῥωμαῖοι ταύτῃ προσκαθήμενοι διετρίβησαν, εἰ μὴ τοι-
(393) όνδε τι ἐγένετο. γραμματιστής τις ἐν αὐτῇ παῖδας
οὔτ' ὀλίγους οὔτ' ἀφανεῖς παιδεύων, εἶθ' ὑπ' ὀργῆς ἢ
καὶ κέρδους ἐλπίδι πάντας σφᾶς ἔξω τε τοῦ τείχους
ὡς καὶ ἐπ' ἄλλο τι ἐξήγαγεν (τοσοῦτον γάρ που τῆς
ἀδείας αὐτοῖς περιῆν, ὥστε καὶ τότε συμφοιτᾶν) καὶ
πρὸς τὸν Κάμιλλον ἐκόμισε πᾶσάν οἱ τὴν πόλιν δι'
αὐτῶν παραδιδόναι λέγων· οὐ γὰρ περιοίσειν ἔτι τοὺς
5 ἔνδον τῶν φιλτάτων σφίσιν ἐχομένων. οὐ μέντοι καὶ
ἐπέρανέ τι· ὁ γὰρ Κάμιλλος τῆς τε ἀρετῆς ἅμα τῆς
τῶν Ῥωμαίων καὶ τῶν συμπτωμάτων τῶν ἀνθρωπίνων
ἐνθυμηθεὶς οὐκ ἠξίωσεν ἐκ προδοσίας αὐτοὺς ἑλεῖν,
ἀλλὰ καὶ τὼ χεῖρε ἐς τοὐπίσω τοῦ προδότου δήσας
παρέδωκεν αὐτὸν αὐτοῖς τοῖς παισὶν [ὀπισθόχειρα]
ἀπαγαγεῖν οἴκαδε. γενομένου δὲ τούτου οἱ Φαλίσκοι
οὐκέτ' ἀντέσχον, ἀλλὰ καίτοι καὶ δυσάλωτοι ὄντες καὶ
ἐκ περιουσίας τὸν πόλεμον διαφέροντες ὅμως ἐθελον-
ταὶ ὡμολόγησαν αὐτῷ θαυμαστήν τινα φιλίαν παρ'
αὐτοῦ προσδοκήσαντες ἕξειν, οὗγε καὶ πολεμίου οὕτω
δικαίου ἐπεπείραντο. V p. 578. Cf. Zonar. 7, 22
(vol. II, p. 151, 13—152, 12).

6 ὁ οὖν Κάμιλλος ἐπιφθονώτερος ἔτι καὶ μᾶλλον ἐκ
τούτων τοῖς πολίταις γενόμενος ἐγράφη τε ὑπὸ τῶν
δημάρχων ὡς μηδὲν ἐκ τῆς λείας τῆς τῶν Οὐηίων
⟨τὸ⟩ δημόσιον ὠφελήσας καὶ ἑκουσίως πρὸ τῆς δίκης

4, 2 ⟨πολὺν χρόνον⟩ διετρίβησαν ⟨ἂν⟩ Reiske ‖ 4 εἶθ' R (coll. Zonar. ἢ δι' ὀργήν τινα ἢ κέρδους ἐλπίδι), ἔπειθ' L ‖ 6 που] τι V ‖ 5, 6 [ὀπισθόχειρα] del. Reiske ‖ 7 ἀπαγαγεῖν] ἀγαγεῖν V ‖ 6, 3 Οὐηίων] βιεων L ‖ 6, 4 ⟨τὸ⟩ om. L, habet Suidas s. v. ὑπεξέσχεν



ὑπεξέσχεν. V ib. Cf. Zonar. 7, 22 (vol. II, p. 152,
15 sqq.).

Δίωνος ζ' βιβλίῳ "ἐπεὶ διῆρξεν, ἐσήγαγον καὶ 7
χρήμασιν ἐξημίωσαν οὔτε περὶ τοῦ σώματος ἐς κίν-
δυνον καταστήσαντες." Bekk. Anecd. p. 146, 21.

οὕτω γὰρ αὐτὸν οὐ τὸ πλῆθος μόνον, οὐδ' ὅσοι 8
φιλοτιμίαν τινὰ πρὸς τὴν ἀξίωσιν αὐτοῦ εἶχον, ἀλλὰ
καὶ οἱ πάνυ φίλοι συγγενεῖς τε αὐτῷ ὄντες ἐβάσκαι-
νον, ὥστε μηδ' ἀποκρύπτεσθαι· δεομένου γὰρ αὐτοῦ
τῶν μὲν καὶ συναγωνίσασθαί οἱ, τῶν δὲ τήν γε ἀπο-
λύουσαν θέσθαι, ⟨πρὸς μὲν τὴν ψῆφον αὐτῷ βοηθή-
σειν ἀπείπαντο⟩, ἁλόντι δ' αὐτῷ χρημάτων τε τιμήσειν
καὶ τὴν καταδίκην συνεκτίσειν ὑπέσχοντο. διὰ μὲν δὴ
ταῦτα εὐχήν τε ὑπ' ὀργῆς ἐποιήσατο χρείαν αὐτοῦ τὴν
πόλιν σχεῖν καὶ πρὸς τοὺς Ῥουτούλους πρὶν κατηγο-
ρηθῆναι μετέστη. M p. 154. Cf. Zonar. 7, 22 (vol. II,
p. 152, 17—28).

ὅτι τῆς στρατείας τῶν Γαλατῶν αἰτία αὕτη ἐγένετο. 24
οἱ Κλουσῖνοι πολέμῳ ὑπ' αὐτῶν κακωθέντες πρὸς τοὺς a. u. 363
Ῥωμαίους κατέφυγον ἐλπίδα οὐκ ἐλαχίστην ἔχοντες, (391)
ἐπειδὴ τοῖς Οὐηιένταις καίπερ ὁμοφύλοις οὖσιν οὐ
συνήραντο, πάντως τινὰ ὠφέλειαν παρ' αὐτῶν εὑρή-
σεσθαι. ὡς δὲ ἐκεῖνοι τὴν ἐπικουρίαν οὐκ ἐψηφίσαντο,
πρέσβεις δὲ πρὸς τοὺς Γαλάτας πέμψαντες εἰρήνην
αὐτοῖς ἔπραττον, ταύτην παρὰ μικρόν (ἐπὶ γὰρ μέρει 2
τῆς χώρας προετείνετό σφισιν) ἐποιήσαντο, συμπεσόν-

7, 1 ἐπεὶ διῆρξεν B, ἐπειδὴ ἦρξεν L ‖ 8, 6 θέσθαι] quae sequuntur, sumpta sunt e Zonar. vol. II, p. 152, 22 ‖ 7 τιμήσειν B, τίμησιν L ‖ 24, 1, 4 Οὐηιένταις corr. U, βένταις L ‖ 6 τὴν ⟨μὲν⟩ ἐπικουρίαν B ‖ 8 ταύτην ⟨μὲν⟩ παρὰ B ‖ 2, 2 συμπεσόντες Reiske, συμπεσόντας Orsini, συμπεσόν L

τες δὲ τοῖς βαρβάροις ἐκ τῶν λόγων ἐς μάχην τοὺς τῶν Ῥωμαίων πρέσβεις προσπαρέλαβον. οἱ οὖν Γαλάται χαλεπῶς ἐπὶ τῇ ἀντιτάξει αὐτῶν ἐνεγκόντες τὸ μὲν πρῶτον ἀνταπέστειλάν τινας ἐς τὴν Ῥώμην αἰτιώμενοι τοὺς πρέσβεις· εἶτ' ἐπειδὴ μήτε τιμωρία σφίσιν ἐγένετο, καὶ χιλίαρχοι πάντες ἀπεδείχθησαν, θυμοῦ τε ἐπληρώθησαν ὄντες καὶ ἄλλως ὀργὴν ἄκροι καὶ τοὺς Κλουσίνους ἐν ὀλιγωρίᾳ θέμενοι πρὸς τὴν Ῥώμην ὥρμησαν. U p. 373. Cf. Zonar. 7, 23 (vol. II, p. 153, 10—21).

3 ὅτι τοῖς Ῥωμαίοις δεξαμένοις τὴν τῶν Γαλατῶν
a. u. 390 ἔφοδον οὐδ' ἀναπνεῦσαι ὑπῆρξεν, ἀλλ' αὐθημερὸν ἐς
(364) τὴν μάχην ἐκ τῆς πορείας ὥσπερ εἶχον καταστάντες ἔπταισαν· πρὸς γὰρ τὸ ἀδόκητον τῆς ἐπιστρατείας αὐτῶν καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν σωμάτων τήν τε φωνὴν ξενικόν τέ τι καὶ φρικῶδες φθεγγομένην ἐκπλαγέντες τῆς τε ἐμπειρίας ἅμα τῆς τῶν τακτικῶν ἐπελάθοντο καὶ ἐκ τούτου καὶ τὰς ἀρετὰς προ-
4 ήκαντο. πλεῖστον γάρ τοι πρὸς ἀνδρείαν ἐπιστήμη φέρει, ὅτι καὶ παροῦσά τισι τὴν ῥώμην τῆς γνώμης σφῶν βεβαιοῖ καὶ ἐλλείπουσα καὶ ἐκείνην προσδιαφθείρει πολλῷ μᾶλλον ἢ εἰ μηδὲ τὴν ἀρχὴν αὐτοῖς προϋπῆρχεν· ἄπειροι μὲν γὰρ ⟨πολλοὶ⟩ πολλὰ θυμῷ βιαίως κατορθοῦσιν, οἱ δὲ δὴ τῆς εὐταξίας, ἣν ἂν μάθωσιν, ἁμαρτάνοντες καὶ τὴν τοῦ φρονήματος ἰσχὺν προσαπολλύουσιν. ὑφ' ὧν καὶ οἱ Ῥωμαῖοι ἐσφάλησαν. M p. 154. Cf. Zonar. 7, 23 (vol. II, p. 153, 22 sqq.).

3, 6 φθεγγομένην] φθεγγομένων Herwerden ‖ 4, 4 πολλῷ Mai, πολλὰ L ‖ αὐτοῖς προϋπῆρχεν. ἄπειροι μὲν γὰρ ⟨πολλοὶ⟩ πολλὰ B, αὐτῆς προσαπῆλθεν. ἀπειρίᾳ μὲν γὰρ πολλὰ L



ὁ Κόκλιος Ὁράτιος Ῥωμαῖος ἦν τῷ γένει. 5
οὗτος τραπέντος τοῦ στρατοῦ ποτε τοῦ τῶν Ῥωμαίων,
ὡς κατασχεῖν ἦν κίνδυνος τὴν Ῥώμην ἐναντίους,
μόνος ἀντέστη σύμπασι γεφύρᾳ τῇ ξυλίνῃ
τοῦ Μάρκου κόπτοντος αὐτὴν ὄπισθεν Μινουκίου,
κοπείσης δὲ καὶ Κόκλιος τὸν Θύμβριν περαιοῦται
αὐτὸν καὶ Ῥώμην σεσωκὼς κοπῇ τῇ τῆς γεφύρας.
κἂν ἐν τῷ νήχεσθαι δορὶ τῷ τῶν ἐχθρῶν ἐβλήθη.
ᾧ γῆν δωρεῖται ἡ βουλὴ χάριν ἀνδραγαθίας,
ὅσην ἡμέραν γράψειε βόας ἑλὼν ἀρότρῳ·
Κόκλιος ἐκαλεῖτο δὲ τῇ τῶν Ῥωμαίων γλώσσῃ,
ὅτι τὸν ἕνα ὀφθαλμὸν ἀπέβαλε πρὶν μάχῃ.

Tzetz. Hist. 3, 818—830. Cf. Haupt, Hermes XIV, p. 440.

ὅτι οἱ Ῥωμαῖοι οἱ ἐν τῷ Καπιτωλίῳ ὄντες καὶ πολι- 6
ορκούμενοι ἐλπίδα σωτηρίας πλὴν παρὰ τοῦ δαιμονίου οὐδεμίαν εἶχον. τὸ γὰρ δὴ θεῖον καίπερ ἐν παντὶ κακοῦ ὄντες ἐθεράπευον οὕτως, ὥστε, ἐπειδή τι τῶν ἱερῶν ἐχρῆν ὑπὸ τῶν ποντιφίκων ἄλλοθί που τῆς πόλεως γενέσθαι, Καίσων Φάβιος, οὗ ἡ [οὐκ] ἱερουργία ἱκνεῖτο, κατέβη τε ἐπ' αὐτὴν ἐκ τοῦ Καπιτωλίου στειλάμενος, ὥσπερ εἰώθει, καὶ διὰ τῶν πολεμίων διεξελθὼν τά τε νομιζόμενα ἐποίησε καὶ αὐθημερὸν ἀνεκο-
μίσθη. θαυμάζω μὲν οὖν καὶ τῶν βαρβάρων, ὅτι αὐτοῦ 7
εἴτ' οὖν διὰ τοὺς θεοὺς εἴτε καὶ διὰ τὴν ἀρετὴν ἐφείσαντο· πολύ γε μὴν μᾶλλον αὐτὸν ἐκεῖνον ἐν θαύματι ποιοῦμαι καθ' ἑκάτερον, ὅτι τε ἐς τοὺς πολεμίους μόνος κατελθεῖν ἐτόλμησε, καὶ ὅτι δυνηθεὶς ἀναχωρῆσαί ποι ἀσφαλῶς οὐκ ἠθέλησεν, ἀλλ' ἐς τὸ

6, 4 κακοῦ B, κακῷ L, [κακοῦ] delet Herwerden ‖ 6 οὗ] ⟨ἐς⟩ ὃν Herwerden ‖ [οὐκ] del. V

*Καπιτώλιον αὖθις ἑκὼν ἐπὶ προὖπτον κίνδυνον ἀνεχώρησεν ἐπιστάμενος μὲν ὀκνοῦντας αὐτοὺς τὸ χώριον, ὃ μόνον ἔτι τῆς πατρίδος εἶχον, ἐκλιπεῖν, ὁρῶν δὲ μηδ' εἰ πάνυ ἐπεθύμουν ἐκφυγεῖν δυναμένους ὑπὸ τοῦ πλήθους τῶν πολιορκούντων τοῦτο ποιῆσαι.* V p. 581.

8 *ὅτι ὁ Κάμιλλος παρακαλούμενος τὴν ἡγεμονίαν ἐγχειρισθῆναι οὐχ ὑπήκουσεν, ὅτι φεύγων τε ἦν καὶ οὐκ ἔμελλε κατὰ τὰ πάτρια αὐτὴν λήψεσθαι. οὕτω γάρ που νόμιμος ἀκριβής τε ἀνὴρ ἐγένετο, ὥστε καὶ ἐν τηλικούτῳ τῆς πατρίδος κινδύνῳ διὰ φροντίδος τὰ καθήκοντα ποιεῖσθαι καὶ μὴ δικαιοῦν παράδειγμα τοῖς ἔπειτα παρανομίας καταλιπεῖν.* V p. 582. Cf. Zonar. 7, 23 (vol. II, p. 155, 30 sqq.).

9 *Μᾶρκος δὲ Μάλιος ἀνὴρ τῆς Ῥώμης πορθηθείσης*
*ἐκ Γαλατῶν· κατάρχοντος τῷ τότε τούτων Βρέννου,*
*ὡς καὶ τὸ Καπιτώλιον ἔμελλον σχεῖν Γαλάται*
*νυκτὸς πρὸς τὴν ἀκρόπολιν λαθραίως ἀνελθόντες,*
*κραυγῆς ἐκεῖσε τῶν χηνῶν μεγάλης γενομένης*
*ἐξεγερθεὶς ἀνέρποντας εἶδε τοὺς πολεμίους*
*καὶ οὓς μὲν παίων θυρεῷ, οὓς δὲ τῷ ξίφει σφάττων*
*τοὺς πάντας ἀπεώσατο καὶ ῥύεται Ῥωμαίους.*
*ὅθεν αὐτὸν κεκλήκασι κλῆσιν Καπιτωλῖνον*
*καὶ χῆνας δὲ τιμήσαντες ποιοῦσι τοὺς παπίας*
*ἐν Παλατίοις φύλακας ἐκ φυλακῆς τῆς τότε,*
*ὥσπερ καὶ πρὶν ἐκάλεσαν Ἕλληνες ἐν Ἀθήναις*
*Πελαργικὸν Γεράνειαν ἐκ τῶν τοιούτων ζώων.*

Tzetz. Hist. 830—842. Cf. Zonar. 7, 23 (vol. II, p. 156, 20 sqq.). Haupt, Hermes XIV, p. 440.

25 *ὅτι τοῦ Καπιτωλίνου κατέγνω ὁ δῆμος, καὶ ἥ τε*

8, 1 *Κάμιλλος* V, *αὐτὸς* L



*οἰκία αὐτοῦ κατεσκάφη καὶ τὰ χρήματα ἐδημεύθη, τό* a. u. 370

*τε ὄνομα, καὶ εἰ δή που εἰκὼν ἦν, ἀπηλείφθη καὶ* (384)

*διεφθάρη. καὶ νῦν δὲ πλὴν τῆς κατασκαφῆς πάντα ⟨ταῦτα⟩ γίνεται ἐπὶ τοῖς τῷ κοινῷ ἐπιβουλεύουσιν. ἔκριναν δὲ καὶ μηδένα εὐπατρίδην ἐν τῇ ἄκρᾳ κατοικεῖν, ὅτι καὶ ἐκεῖνος ἐνταυθοῖ οἰκῶν ἐτύγχανεν. ἡ δὲ δὴ συγγένεια ἡ τῶν Μαλλίων ἀπεῖπε μηδένα σφῶν Μᾶρκον, ἐπείπερ οὕτως ὠνομάζετο, προσκαλεῖσθαι.*

*Καπιτωλῖνος μὲν οὖν τοσοῦτον τὸ διαλλάσσον κἀν* 2
*τοῖς τρόποις κἀν τῇ τύχῃ ἔσχε· τά τε γὰρ πολέμια ἀκριβώσας εἰρηνεῖν οὐκ ἠπίστατο καὶ τὸ Καπιτώλιον, ὃ ἐσεσώκει, κατέλαβεν ἐπὶ τυραννίδι, εὐπατρίδης τε ὢν οἰκέτου ἔργον ἐγένετο καὶ πολεμικὸς νομισθεὶς ἐν ἀνδραπόδου τρόπῳ συνελήφθη κατά τε τῆς πέτρας αὐτῆς, ἀφ' ἧς τοὺς Γαλάτας ἀπεώσατο, ἐρρίφη.* V p. 582. Cf. Zonar. 7, 24 (vol. II, p. 159, 3 sqq.).

*ὅτι ὁ Καπιτωλῖνος κατεκρημνίσθη ὑπὸ τῶν Ῥω-* 3
*μαίων. οὕτως οὔτ' ἄλλο τι κατὰ χώραν ὡς πλήθει τοῖς ἀνθρώποις μένει, καὶ ⟨αἱ⟩ εὐπραγίαι συχνοὺς ἐς συμφορὰς ἀντιρρόπους προάγουσιν· ἐξαίρουσαι γὰρ αὐτοὺς πρὸς τὰς ἐλπίδας τῶν ὁμοίων τοῦ τε πλείονος ἀεὶ ποιοῦσιν ἐπορέγεσθαι καὶ ἐς τὸ ἐναντιώτατον σφαλέντας καταβάλλουσι.* M p. 155. Cf. Zonar. 7, 24 (vol. II, p. 159, 30 sq.).

*οὗτος ὁ Μᾶρκος Μάλιος ὁ καὶ Καπιτωλῖνος* 4
*ποτὲ καὶ αἰτιάματι πεσὼν τῆς τυραννίδος*

**25**, 1, 4 *πάντα ⟨ταῦτα⟩* (vel *⟨ταῦτα⟩ πάντα* Schenkl) scribendum aut *πάντα* in *ταῦτα* corrigendum censet Herwerden, *πάντα ⟨ταῦτα⟩* iam B ‖ 9 *οὕτως* R, *οὗτος* L, *οὗτος ⟨οὕτως⟩* B, *οὗτος τοῦτο* vel *αὐτὸς τοῦτο ⟨ὄνομα⟩* St ‖ 2, 5 *ἔργον*] *χείρων* Herwerden ‖ *πολεμικὸς*] *πολέμιος* Herwerden ‖ 7 *ἀπεωσστο* (sic) L ‖ 3, 1 *κατεκρημνήσθη* L ‖ 3 *⟨αἱ⟩* inseruit D

καὶ ψήφῳ μέλλων δικαστῶν ἁπάντων ἀναιρεῖσθαι
τὸ Καπιτώλιον εὐθὺς ἐσώζετο βλεπόντων,
οὗπερ αὐτὸς ἐποίησε κλεινὰς ἀνδραγαθίας,
ἕως ὁ λέγων κατ' αὐτοῦ νοήσας τὰς αἰτίας
πρὸς ἄλλο δικαστήριον τὴν σύγκλητον μετάγει,
ὅθεν τὸ Καπιτώλιον οὐθ' ὅλως ἑωρᾶτο,
ὡς γίνεσθαι ὑπόμνησιν ἐκείνου τῶν τροπαίων.
τότε δὲ κτείνουσιν αὐτόν. ἀλλὰ καὶ οὕτω πάλιν
ὅλον ἐμελαμφόρησε χρόνον ὁ δῆμος Ῥώμης
ἀποτιννὺς τὰς χάριτας τὰς τῆς ἀνδραγαθίας
καὶ τῆς χρηστότητος αὐτοῦ τοὺς ἀμιμήτους τρόπους.

Tzetz. Hist. 3, 843—855. Cf. Zonar. 7, 24 (vol. II, p. 159, 21 sqq.).

26 ὅτι πρὸς Τουσκουλανοὺς ἐστράτευσε Κάμιλλος,
a. u. 373 θαυμαστῇ δέ τινι προσποιήσει δεινὸν οὐδὲν ἔπαθον.
(381) καθάπερ γὰρ οὔτ' αὐτοί τι πλημμελήσαντες οὔτε τῶν Ῥωμαίων ὀργήν σφισιν ἐχόντων, ἀλλ' ἤτοι ὡς φίλων παρὰ φίλους ἰόντων ἢ καὶ ἐφ' ἑτέρους τινὰς διὰ τῆς ἐκείνων στρατευόντων, οὔτε τι μετέβαλον τῶν καθε-
2 στηκότων οὐθ' ὅλως ἐταράχθησαν, ἀλλὰ καὶ πάνυ πάντες ἐπί τε ταῖς δημιουργίαις καὶ ἐπὶ τοῖς ἄλλοις ἔργοις ὡς καὶ ἐν εἰρήνῃ κατὰ χώραν μείναντες εἴσω τε τὸν στρατὸν εἰσεδέξαντο καὶ ξένια αὐτοῖς ἔδοσαν τά τε ἄλλα ὡς φίλους ἐτίμησαν. ἐξ οὗπερ καὶ οἱ Ῥωμαῖοι οὐχ ὅτι κακὸν αὐτοὺς ἔδρασαν, ἀλλὰ καὶ ἐς τὴν πολιτείαν μετὰ ταῦτ' ἐσεγράψαντο. V p. 582.

3 Δίωνος ζ' βιβλίῳ "Τουσκουλανοὶ δὲ χεῖρας μὲν οὐκ ἀντήραντο αὐτῷ." Bekk. Anecd. p. 123, 32.

---

26, 1, 2 ἔπαθον] ἔπαθεν L ‖ 5 φίλους R, φίλοις L ‖ 2, 6 κακόν ⟨τι⟩ B



ὅτι ἡ Ῥούφου γυνὴ χιλιαρχοῦντος καὶ πράττοντος 27
ἐν τῇ ἀγορᾷ δημόσιον . . . . , ἐπειδὴ ἐκεῖνος ἀφίκετο a. u. 378
καὶ τὴν θύραν ὁ ῥαβδοῦχος κατά τι ἔθος ἀρχαῖον (376)
ἔκρουσεν, ἐξεταράχθη πρὸς τοῦτο οὔπω πρότερον τοιούτου τινὸς πεπειραμένη καὶ διεπτοήθη. γέλωτος οὖν ἐπ' αὐτῇ συχνοῦ καὶ παρὰ τῆς ἀδελφῆς καὶ τῶν ἄλλων
γενομένου καὶ σκωφθεῖσα ὡς ἰδιῶτις τῶν ἀρχικῶν 2
πραγμάτων διὰ τὸ τὸν ἄνδρα αὐτῆς μήποτε ἐν ἡγεμονίᾳ τινὶ ἐξητάσθαι οὖσα δεινὸν ἐποιήσατο, οἷά που ἄλλως τε καὶ ταῖς γυναιξὶν ἐκ μικροψυχίας συμβαίνειν πέφυκεν, καὶ οὐ πρότερον ἀνῆκε δυσκολαίνουσα, πρὶν πᾶσαν τὴν πόλιν θορυβῆσαι, ὥς που σμικρὰ καὶ τὰ τυχόντα πολλῶν τισι καὶ μεγάλων κακῶν αἴτια γίγνεται, ὅταν φθόνῳ τέ τις αὐτὰ καὶ ζηλοτύπως λαμβάνῃ. M p. 155. Zonar. 7, 24 (vol. II, p. 160, 13—21).

[Zonaras 7, 24 — vol. II, p. 160, 9 sqq.]

Μᾶρκος γάρ τις Φάβιος εὐπατρίδης, θυγατέρων δύο τυγχάνων πατήρ, τὴν μὲν πρεσβυτέραν Λικινίῳ τινὶ Στόλωνι κατηγγύησε πολὺ αὐτοῦ καταδεεστέρῳ, τὴν δὲ νεωτέ-
ραν Σουλπικίῳ Ῥούφῳ, ἀνδρὶ ὁμοτίμῳ, συνῴκισε. χιλιαρ- fr. 27, 1
χοῦντος οὖν τοῦ Ῥούφου καὶ ὄντος ἐν ἀγορᾷ πρὸς τὴν γυναῖκα αὐτοῦ ἡ ἀδελφὴ αὐτῆς παραγέγονεν. ἀφικομένου δ' ἐκείνου τὴν θύραν ὁ ῥαβδοῦχος κατά τι ἔθος ἀρχαῖον ἔκρουσε. διεπτοήθη δὲ πρὸς τὸν πάταγον ἡ γυνὴ οὔπω τούτου πεπειραμένη· καὶ γέλως ἐπὶ τούτῳ καὶ παρὰ τῆς ἀδελφῆς καὶ τῶν παρόντων ἐγένετο, καὶ ὡς ἰδιῶτις ἐσκώφθη. τῇ δ' ἐν δεινῷ τὸ πρᾶγμα πεποίητο καὶ τὸν ἄνδρα ἐς ἀρχὴν παραγγεῖλαι ἠρέθιζεν. ὁ γοῦν Στόλων ὑπὸ τῆς

---

27, 1, 1 πράττοντος ⟨τι⟩ B ‖ 2 δημόσιον ⟨ἐπεσκέφθη ὑπὸ τῆς ἀδελφῆς. αὕτη δὲ (vel καὶ ἡ)? B ‖ ἐκεῖνος B, ἐκτεῖνος L, ἐκεῖνος ⟨οἴκαδε⟩ Herwerden ‖ 6 συχνοῦ] ἰσχυροῦ Naber ‖ 2, 6 θορυβῆσαι Mai, θεραπεῦσαι L

3 ὅτι δεινὸν ἐν κακοῖς προσδοκία σωτηρίας ἀναπεῖσαί τινα πιστεῦσαι καὶ τοῖς παραλόγοις. M p. 156.

4 ἀεὶ γάρ τι τοῦ τῆς πολιτείας κόσμου στασιάζοντες παρέλυον, ὥσθ' ὑπὲρ ὧν τοὺς πολέμους πρὶν τοὺς μεγίστους ἀνῃροῦντο, ταῦτ' ἐν τῷ χρόνῳ σύμπαντα ὡς εἰπεῖν οὐκ ἀστασιάστως μέν, οὐ μέντοι καὶ χαλεπῶς κατακτήσασθαι. M ib.

5 ὅτι Πούπλιος, τῶν πολιτῶν [Ῥωμαίων] στασιαζόν-
a. u. 386 των πρὸς ἀλλήλους, ὀλίγου τούτους συνήλλαξε· Λικίνιον γὰρ Στόλωνα ἵππαρχον προσείλετο, ὄντα⟨δήμαρχον⟩. ὅπερ καινοτομηθὲν τοὺς μὲν εὐπατρίδας ἐλύπησε, τοὺς δὲ ἄλλους οὕτως ὑπηγάγετο, ὥστε μηκέτι τῆς ὑπατείας τῷ ὑστέρῳ ἔτει ἀντιποιήσασθαι, ἀλλ' ἐᾶσαι

6 τοὺς χιλιάρχους αἱρεθῆναι. ἐκ γὰρ τούτου καὶ ἐς τἆλλα ἀνθυπείξαντές γέ τινα ἀλλήλοις ἴσως ἂν κατηλλάγησαν, εἰ μήπερ ὁ Στόλων ὁ δήμαρχος τοιοῦτόν τι εἰπών, ὡς οὐκ ἂν πίοιεν, εἰ μὴ φάγοιεν, ἀνέπεισεν αὐτοὺς μηδενὸς ἀφέσθαι, ἀλλ' ὡς καὶ ἀναγκαῖα πάντα ὅσα ἐνεχειρίσαντο κατεργάσασθαι. V p. 585.

28 Δίων δὲ Κάσσιος Κοκκειανὸς ὁ τὰ Ῥωμαίων συν-

[Zonaras 7, 24 — vol. II, p. 160, 22 sqq.]

γυναικὸς παρακινηθεὶς Λουκίῳ τινὶ Σεξστίῳ, ἀνδρὶ τῶν ὁμοίων, τὰ τοῦ πράγματος κοινωσάμενος ἄμφω δημαρχῆσαι κατεβιάσαντο καὶ τὸν κόσμον τῆς πολιτείας συνέχεον, ὡς καὶ ἐπὶ τέσσαρσιν ἔτεσιν ἀναρχίαν γενέσθαι τῷ δήμῳ· τὰς γὰρ τῶν εὐπατριδῶν ἀρχαιρεσίας ἐνεπόδιζον. καὶ ἐπὶ πλέον ἂν ἔτι τοῦτο ἐγένετο, εἰ μή τις ἀγγελία κεκόμιστο ἐπὶ τὴν Ῥώμην αὖθις ἐλαύνειν Κελτούς.

---

4, 3 τῷ χρόνῳ vel σὺν τῷ χρόνῳ Herwerden ‖ 5, 1 [Ῥωμαίων] inclusit D ‖ 3 ἵππαρχον προσείλετο, ὄντα ⟨δήμαρχον⟩ B, προσείλετο ὄντα ἵππαρχον L, προσείλετο ⟨καίπερ ἐκ τοῦ πλήθους⟩ ὄντα ἵππαρχον R ‖ 6 ὑστέρῳ B, ἑτέρῳ L ‖ 6, 4 ἂν πίοιεν R, ἀπίοιεν L



τάξας ἐκ θεομηνίας φησὶ γενέσθαι χάσμα περὶ τὴν a. u. 392
Ῥώμην καὶ μὴ ἐπιμύειν. χρησμοῦ δὲ δοθέντος ἐπι- (362)
μύσαι τὸ χάσμα, ἐὰν ὃ κράτιστον Ῥωμαίοις ἐμβάλωσιν ἐν αὐτῷ, Κούρτιός τις ἱππεὺς εὐγενής, οὐδενὸς ἄλλου συμβαλεῖν τὸν χρησμὸν δυναμένου, αὐτὸς ἑρμηνεύσας ἵππον ὁμοῦ καὶ ἄνθρωπον λέγειν εὐθέως ἀνέβη τε τὸν ἵππον καὶ ὡς εἶχεν ἐλάσας ἡρωικῶς κατὰ τοῦ φρικώδους ἐκείνου βόθρου ἐφέρετο. καὶ εὐθέως κατενεχθέντος τὸ χάσμα ἐπέμυε ⟨καὶ⟩ οἱ λοιποὶ τῶν Ῥωμαίων ἄνωθεν ἄνθεσιν ἔβαλλον. κἀκ τούτου καὶ Κούρτιος ὁ λάκκος ἐκλήθη. Io. Tzetz. schol. ad Exeg. Hom. Il. p. 136, 17. Cf. Zonar. 7, 25 (vol. II, p. 161, 26 sqq.).

[Zonaras 7, 25 — vol. II, p. 161, 25 sqq.]

25. μετὰ δὲ ταῦτα καί τι συμβεβηκέναι πάθος περὶ τὴν Ῥώμην ἱστόρηται. διαστῆναι γὰρ λέγεται τὸ πεδίον τὸ μεταξὺ τοῦ Παλατίου καὶ τοῦ Καπιτωλίου ἐξάπινα μήτε σεισμοῦ προηγησαμένου μήτ' ἄλλου τινός, οἷα συμβαίνειν εἴωθε φυσικῶς ἐπὶ τοῖς τοιούτοις παθήμασι. καὶ ἦν τὸ χάσμα διαμένον ἐπὶ μακρὸν οὔτε συνερχόμενον οἵως δή ποτε οὔτε μέντοι πληρούμενον καὶ ταῦτα χοῦν τε τῶν Ῥωμαίων ἐς αὐτὸ συμφορούντων πολὺν καὶ λίθους καὶ ἄλλην ὕλην παντοδαπήν. ἀποροῦσιν οὖν τοῖς Ῥωμαίοις χρησμὸς ἐδόθη, μὴ ἄλλως τὸ διεστὸς συνελθεῖν, εἰ μὴ τὸ κρεῖττον αὐτῶν καὶ δι' οὗ μάλιστα πλεῖστον ἰσχύουσιν εἰς τὸ χάσμα ἐμβαλοῦσιν· οὕτω γὰρ ἐκεῖνό τε παύσεται καὶ τῇ πόλει ἔσται δύναμις ἀκατάλυτος. ἔμενεν οὖν καὶ πάλιν τὸ ἄπορον ἀπορούμενον ἀσαφοῦς τυγχάνοντος τοῦ χρησμοῦ. Μᾶρκος δὲ Κούρτιος, ἀνὴρ εὐπατρίδης, νέος τὴν ἡλικίαν, ὡραιότατος τὴν μορφήν, ῥωμαλεώτατος τὴν ἰσχύν, ἀνδρειότατος τὴν ψυχήν, φρονήσει διαπρεπής, τὸν νοῦν συνεὶς τοῦ χρησμοῦ παρελθὼν εἰς μέσον ἐδημηγόρησε λέγων "τί τῶν λογίων ἀσάφειαν, ὦ Ῥωμαῖοι, ἢ ἀμαθίαν ἡμῶν αὐτῶν καταψηφιζόμεθα; ἡμεῖς ἐσμεν τοῦτο δὴ τὸ ζητούμενόν τε καὶ ἀπο-

2 οὐκ ἔστιν οὐδὲν ζῷον θνητὸν οὔτ' ἄμεινον οὔτ'
ἰσχυρότερον ἀνθρώπου. ἢ οὐχ ὁρᾶτε, ὅτι τὰ μὲν ἄλλα
πάντα κάτω κέκυφε καὶ ἐς τὴν γῆν ἀεὶ βλέπει, πράτ-
τει δὲ οὐδέν, ὃ μὴ τροφῆς καὶ ἀφροδισίων ἔχεται;
οὕτω καὶ ὑπ' αὐτῆς τῆς φύσεως ἐς ταῦτα κατακέκρι-
3 ται. μόνοι δὲ ἡμεῖς ἄνω τε ὁρῶμεν καὶ τῷ οὐρανῷ
αὐτῷ ὁμιλοῦμεν καὶ τὰ μὲν ἐπὶ τῆς γῆς ὑπερφρονοῦ-
μεν, τοῖς δὲ δὴ θεοῖς αὐτοῖς ὡς καὶ ὁμοίοις οὖσιν
ἡμῖν σύνεσμεν, ἅτε καὶ φυτὰ καὶ ποιήματα αὐτῶν οὐ
γήινα, ἀλλ' οὐράνια ὄντες· ὑφ' οὗ καὶ αὐτοὺς ἐκείνους
πρὸς τὰ ἡμέτερα εἴδη καὶ γράφομεν καὶ πλάττομεν·
εἰ γὰρ δεῖ δή τι καὶ θρασυνόμενον εἰπεῖν, οὔτ' ἄν-
θρωπος οὐδὲν ἄλλο ἐστὶν ἢ θεὸς σῶμα θνητὸν ἔχων
οὔτε θεὸς ἄλλο τι ἢ ἄνθρωπος ἀσώματος καὶ διὰ τοῦτο
4 καὶ ἀθάνατος. ταῦτά τοι καὶ συμπάντων τῶν ἄλλων
ζῴων προφέρομεν· καὶ οὔτε τι πεζόν ἐστιν, ὃ μὴ τάχει
καταληφθὲν ἢ ἰσχύι δαμασθὲν ἢ καὶ τέχναις τισὶ συλ-
ληφθὲν δουλούμεθα, οὔτ' ἔνυδρον οὔτ' ἀεροπόρον,
ἀλλὰ καὶ ἐκεῖνα τὰ μὲν ἐκ τοῦ βυθοῦ μηδ' ὁρῶντες
ἀνέλκομεν, τὰ δὲ καὶ ἐκ τοῦ οὐρανοῦ μηδὲ ἐξικνού-
μενοι κατασύρομεν. M p. 532. Zonar. 7, 25 (vol. II,
p. 162, 22—29).

[Zonaras 7, 25 — vol. II, p. 162, 19 sqq.]

ρούμενον. οὐ γάρ τι ἄψυχον ἐμψύχου λογισθήσεται βέλτιον,
οὐδὲ τοῦ ἔννου καὶ ἔμφρονος καὶ λόγῳ κεκοσμημένου τὸ
ἄνουν ἄλογόν τε καὶ ἄφρον προτιμηθήσεται. τί γὰρ ἄν τις
ἀνθρώπου προκρίνειεν, ἵνα τοῦτο ἐς τὴν τῆς γῆς βαλόντες
fr. 28,2 διάστασιν αὐτὴν συναγάγοιμεν; οὐκ ἔστιν οὐδὲν ζῷον
θνητὸν οὐδ' ἄμεινον οὐδ' ἰσχυρότερον ἀνθρώπου
εἰ γάρ τι δεῖ καὶ θρασυνόμενον εἰπεῖν, οὔτ' ἄν-
θρωπος οὐδὲν ἄλλο ἐστὶν ἢ θεὸς σῶμα θνητὸν ἔχων

28, 2, 4 δὲ D, τε L



ὅτι ὁ Δίων φησί "διόπερ που καίπερ οὐκ εἰωθὼς 29
ἐκβολαῖς τοῦ λόγου χρῆσθαι ἄλλως τε ἐπεμνήσθην
αὐτοῦ καὶ τὴν Ὀλυμπιάδα προσέγραψα, ἵν' ἐπειδὴ
λανθάνει τοὺς πολλοὺς ὁ χρόνος τῆς μετοικίσεως, ἐκ-
φανέστερος ἐξ ἐκείνου γένηται." M p. 156.

ὅτι Ἀγυλλαῖοι ἐπειδὴ ᾔσθοντο τοὺς Ῥωμαίους 30
σφίσι πολεμῆσαι βουλομένους, πρέσβεις τε ἐς τὴν a. u. 401
Ῥώμην ἔστειλαν, πρὶν καὶ ὁτιοῦν ψηφισθῆναι, καὶ (353)
εἰρήνης ἐπὶ τῷ ἡμίσει τῆς χώρας ἔτυχον. U p. 374.

[Zonaras 7, 25 — vol. II, p. 162, 27 sqq.]

οὔτε θεὸς ἄλλο τι ἢ ἄνθρωπος ἀσώματος κἀντεῦ-
θεν ἀθάνατος, καὶ οὐ πόρρω τῆς θείας δυνάμεως ἀπηρ-
τήμεθα. ταῦτα ἐγὼ μὲν οὕτω φρονῶ, ἀξιῶ δὲ καὶ ὑμᾶς τῇ
γνώμῃ προσθέσθαι ταύτῃ. καὶ μή τις οἰήσαιτο, ὅτι κλῆρον
ποιήσομαι ἢ κόρην κελεύσω θανεῖν ἢ μειράκιον· αὐτὸς γὰρ
ἐγὼ ἑκὼν ἐμαυτὸν ὑμῖν ἐπιδίδωμι, ἵνα σήμερον αὐτίκα κή-
ρυκα πέμψητέ με καὶ πρεσβευτὴν τοῖς χθονίοις θεοῖς ἐσό-
μενον ὑμῖν ἀεὶ προστάτην καὶ σύμμαχον." ταῦτα εἰπὼν ὁ
Κούρτιος τὰ ὅπλα ἐνεδιδύσκετο, εἶτα καὶ τοῦ ἵππου ἐπέβη.
οἱ δ' ἄλλοι περιαλγεῖς ἐγίνοντο καὶ περιχαρεῖς καὶ κοσμή-
ματά τινα συμφορήσαντες οἱ μὲν αὐτὸν ἐκεῖνον αὐτοῖς ἐκό-
σμουν ὡς ἥρωα, οἱ δέ τινα καὶ ἐς τὸ χάσμα ἐνέβαλλον.
ἄρτι δ' ἐς αὐτὸ ἐνήλατο ὁ Κούρτιος ἔφιππος, καὶ ἡ τῆς γῆς
συνήχθη διάστασις, καὶ οὐδεὶς οὐκέτι οὔτε τὸ χάσμα οὔτε
τὸν Κούρτιον ἐθεάσατο. ταῦθ' οὕτω Ῥωμαίοις ἱστόρηται·
εἰ δέ τῳ μυθώδη κριθείη καὶ μὴ πιστά, ἔξεστίν οἱ μὴ
προσέχειν αὐτοῖς.

τοῖς Ῥωμαίοις δὲ πόλεμοι αὖθις καὶ παρὰ Γαλατῶν καὶ
ὑφ' ἑτέρων ἐθνῶν ἐπηνέχθησαν, ἀλλ' ἀπεκρούσαντο πάντας,
πῆ μὲν ὑπάτους, πῆ δὲ δικτάτωρας ψηφιζόμενοι. ὅτε καὶ
τι τοιοῦτον συμβέβηκε. δικτάτωρ ἐλέχθη Λούκιος Κάμιλλος
Γαλατῶν κατατρεχόντων τὰ ὑπὸ Ῥώμην. ὃς ἐπὶ τοὺς βαρ-
βάρους ὁρμήσας γνώμην εἶχε τρίβειν τὸν καιρὸν καὶ μὴ

30,1 Ἀγυλλαῖοι D, Ἀγύλλαιοι Strabo, ἀγύλλαι L

31 ὁ Μᾶρκος ὁ Κορουῖνος δὲ Κορουῖνος ἐπεκλήθη,
a. u. ὅτι ποτὲ μονομαχῶν μετά τινος βαρβάρου
405 ἄγριον ἔσχε κόρακα τῇ μάχῃ συνεργοῦντα
(349) τοῖς ὀφθαλμοῖς πετόμενον ἐκείνου τοῦ βαρβάρου,
ἕως αὐτὸν ἀπέκτεινεν οὗτος ὁ Μᾶρκος τότε.

Tzetz. Hist. 3, 862—866. Cf. Zonar. 7, 25 (vol. II, p. 163, 26 sqq.).

[Zonaras 7, 25 — vol. II, p. 163, 24 sqq.]

διακινδυνεύειν πρὸς ἀνθρώπους ἀπονοίᾳ χρωμένους· ῥᾷον γὰρ αὐτοὺς καὶ ἀσφαλέστερον ἀπορίᾳ τροφῶν ἐκτρυχώσειν ἤλπισε. Γαλάτης δέ τις εἰς μονομαχίαν τινὰ τῶν Ῥωμαίων προεκαλεῖτο. καὶ ἀντέστη αὐτῷ Οὐαλέριος Μᾶρκος χιλιαρχῶν, ὁ τοῦ Μαξίμου ἐκείνου ἔγγονος. καὶ λαμπρὰ μὲν ἡ μάχη προέβη ἀμφοῖν· ὁ μὲν γὰρ τῇ σοφίᾳ καὶ τῇ περιτεχνήσει διέφερεν, ὁ δὲ Γαλάτης τῇ ἰσχύϊ καὶ τῇ τόλμῃ· ἐπὶ πλέον δ' ἐθαυμαστώθη, ὅτι τῷ τοῦ Οὐαλερίου κράνει κόραξ ἐφιπτάμενος καὶ κρώζων εἰς τὸν βάρβαρον ἐνεχρίμπτετο καὶ τήν τε ὄψιν αὐτοῦ ἐπετάρασσε καὶ τὴν ὁρμὴν ἐνεπόδιζε, μέχρις οὗ κατειργάσθη. διὸ ἀγανακτήσαντες οἱ Γαλάται ὡς ὑπὸ ὄρνιθος ἡλαττωμένοι θυμῷ αὐτίκα συνέμιξαν τοῖς Ῥωμαίοις καὶ κακῶς ἀπηλλάγησαν. ὁ δ' Οὐαλέριος ἀπὸ τῆς τοῦ κόρακος συμμαχίας Κορουῖνος ἐπωνομάσθη.

εἰσέπειτα δὲ τῶν στρατευμάτων στασιασάντων καὶ ἐμφυλίου πολέμου γενέσθαι μέλλοντος κατηλλάγησαν οἱ στασιάσαντες νόμων τεθέντων μήτ' ἄκοντά τινα τοῦ καταλόγου ἀπαλείφεσθαι μήτε τὸν χιλιαρχήσαντα ἑκατονταρχεῖν καὶ τοὺς ὑπάτους καὶ ἄμφω ἐξὸν εἶναι καὶ ἐκ τοῦ πλήθους καθίστασθαι καὶ τὸν αὐτὸν μήτε δύο ἅμα ἀρχὰς μήτε τὴν αὐτὴν δὶς ἐντὸς δέκα ἄρχειν ἐτῶν.

26. Λατῖνοι δὲ καίπερ ἔνσπονδοι τοῖς Ῥωμαίοις ὄντες ἀπέστησαν καὶ πόλεμον ἤραντο ἐν φρονήματι γεγονότες, ὅτι τε νεότητι ἤκμαζον καὶ τὰ πολεμικὰ ἐκ τῆς ἀεὶ σὺν αὐτοῖς στρατείας ἀκριβῶς ἤσκηντο. οἱ δὲ τοῦτο γνόντες ἐξῆλθον ὕπατον τόν τε Τουρκουᾶτον τὸ τρίτον ἑλόμενοι καὶ τὸν Δέκιον καὶ ἐμαχέσαντο αὐτοῖς κραταιὰν μάχην κρίσιν τὴν



ταῦτά τε δὴ καὶ ἄλλα τινὰ τοιουτότροπα προετεί- 32
νοντο, οὐχ ὅτι καὶ καταπράξειν τι αὐτῶν ἤλπιζον (εὖ
γάρ, εἴπερ τινὲς ἄλλοι, τὰ τῶν Ῥωμαίων φρονήματα
ἠπίσταντο), ἀλλ' ὅπως ἀποτυχόντες αὐτῶν πρόφασιν
ἐγκλημάτων ὡς ἀδικούμενοι λάβωσιν. M p. 156.

Δίωνος ζ' βιβλίῳ "καὶ διὰ τοῦτό σε δικαιώσω, 2
a. u. ἵνα ὥσπερ τὸ τῆς ἀριστείας ἆθλον, οὕτω καὶ τὸ τῆς 414
(340)

[Zonaras 7, 26 — vol. II, p. 164, 25 sqq.]

ἡμέραν ἐκείνην ἑκάτεροι νομίζοντες ἀκριβῆ τῆς σφετέρας τύ-
χης τε καὶ τῆς ἀρετῆς. ἔδοξε δὲ περιφανεστέρα ἡ μάχη καὶ
διά τι συμβεβηκός. τοὺς γὰρ Λατίνους οἱ ὕπατοι καὶ ὁμο-
σκεύους καὶ ὁμοφώνους τοῖς Ῥωμαίοις ὁρῶντες ἐφοβήθησαν,
μὴ τῶν στρατιωτῶν τινες σφαλῶσι τό τε οἰκεῖον καὶ τὸ
πολέμιον μὴ ῥᾷστα διαγινώσκοντες. καὶ διὰ τοῦτο προεῖπον
σφίσι τά τε ἄλλα παρατηρεῖν ἀκριβῶς καὶ καθ' ἑαυτὸν μη-
δένα μηδενὶ τῶν ἐναντίων συμβαλεῖν. τοῦτο δὴ τὸ παράγ-
γελμα οἱ μὲν ἐτήρησαν, ὁ δὲ Τουρκουάτου παῖς, στρατευό-
μενος ἐν τοῖς ἱππεῦσι καὶ πεμφθεὶς πρὸς κατασκοπὴν τῶν
ἐναντίων, παρεῖδεν οὐκ αὐθαδείᾳ, ἀλλὰ μέντοι φιλοτιμίᾳ.
ἐπεὶ γὰρ ὁ ἵππαρχος τῶν Λατίνων ἰδὼν αὐτὸν προσιόντα
πρὸς μονομαχίαν προεκαλέσατο καὶ μὴ δεξάμενον ταύτην
διὰ τὴν πρόρρησιν παρώξυνεν εἰπὼν "οὐ σὺ μέντοι Τουρ-
κουάτου υἱὸς εἶ; οὐ σεμνύνει τῷ στρεπτῷ τοῦ πατρός; ἢ
πρὸς μὲν Γαλάτας ἀνθρώπους φθόρους ἔρρωσθε καὶ ἀνδρί-
ζεσθε, τοὺς δὲ δὴ Λατίνους ἡμᾶς φοβεῖσθε; τί οὖν ἄρχειν
ἡμῶν ἀξιοῦτε; τί δ' ὡς χείροσιν ὑμῶν ἐπιτάσσετε;" ἔκφρων
ἐγένετο ὑπὸ τοῦ θυμοῦ καὶ τῆς παραγγέλσεως ἑκὼν ἐπελά-
θετο καὶ μονομαχήσας ἐνίκησε καὶ τὰ σκῦλα μέγα φρονῶν
ἐκόμισε τῷ πατρί. καὶ ὃς ἀθροίσας τὸ στράτευμα "γενναίως
μὲν" ἔφη "ὦ παῖ, ἐμαχέσω, καὶ διὰ τοῦτό σε στεφανώσω·
ὅτι δὲ τὸ προσταχθὲν οὐ παρετήρησας καίτοι καὶ ὡς υἱὸς
πειθαρχεῖν καὶ ὡς στρατιώτης ἀναγκαζόμενος διὰ τοῦτό fr. 32,2
σε δικαιώσω, ἵνα καὶ τὸ τῆς ἀριστείας ἆθλον καὶ

32, 1, 1 τοιουτότροπα B, τοιούτῳ τρόπῳ L ‖ 4 ἀποτυχόντες Mai, ἐπιτυχόντες L

*ἀνηκουστίας τίμημα ἀπολάβῃς."* Bekk. Anecd. p. 133, 19. Zonar. 7, 26 (vol. II, p. 165, 22—24).

3 *γράφει δὲ Δοῦρις, Διόδωρος καὶ Δίων, ὅτι Σαυνιτῶν, Τυρρηνῶν καὶ ἑτέρων ἐθνῶν πολεμούντων Ῥωμαίοις ὁ Δέκιος ὕπατος Ῥωμαίων, συστράτηγος ὢν Τορκουάτου, ἐπέδωκεν ἑαυτὸν εἰς σφαγήν, καὶ ἀνῃρέθησαν τῶν ἐναντίων ἑκατὸν χιλιάδες αὐθημερόν.* Is. Tzetz. ad Lycophr. 1378. Zonar. 7, 26 (vol. II, p. 166, 11 sqq.).

4 *ὅτι φησὶν ὁ Δίων "θαυμάζω μὲν γάρ, εἰ ὁ θάνατος αὐτοῦ [Δεκίου] τὴν μάχην ἀνώρθωσε καὶ τοὺς μὲν νικῶντας ἥττησε, τοῖς δὲ δὴ κρατουμένοις νίκην*

[Zonaras 7, 26 — vol. II, p. 165, 23 sqq.]

τὸ τῆς ἀνηκουστίας τίμημα λήψῃ." ταῦτ' εἰπὼν ἅμα τόν τε στέφανον τῇ κεφαλῇ αὐτοῦ ἐπέθετο καὶ αὐτὴν ἐκείνην ἀπέτεμεν.

εἶτα ὄναρ ἀμφοῖν τοῖς ὑπάτοις ἐν τῇ αὐτῇ νυκτὶ ὁμοίως φανὲν ἔδοξε λέγειν τῶν ἐναντίων κρατήσειν, ἂν ὁ ἕτερος τῶν ὑπάτων ἑαυτὸν ἐπιδῷ. μεθ' ἡμέραν οὖν ἀλλήλοις διηγησάμενοι τὸ ὄναρ συνέθεντο θεῖον εἶναι καὶ πεισθῆναι δεῖν αὐτῷ ὡμολόγησαν. καὶ ἠμφισβήτησαν δὲ πρὸς ἀλλήλους, οὐχ ὃς ἂν σωθείη, ἀλλ' ὃς ἂν μᾶλλον ἑαυτὸν ἐπιδῷ· καὶ παρὰ τοῖς πρώτοις τοῦ στρατοπέδου ἐδικαιολογήσαντο. καὶ τέλος ἤρεσε σφίσι τὸν μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως, τὸν δὲ ἐπὶ τοῦ λαιοῦ παρατάξασθαι, καὶ ὁπότερον ἂν ἐκείνων ἐλαττωθῇ, τὸν ἐπ' αὐτῷ τεταγμένον ἀποθανεῖν. τοσαύτη δ' ἦν φιλοτιμία αὐτοῖς περὶ τὴν ἐπίδοσιν, ὡς εὔχεσθαι ἕκαστον τῶν ὑπάτων ἡττηθῆναι, ἵνα τύχῃ τῆς ἐπιδόσεως καὶ τῆς εὐκλείας τῆς ἐξ αὐτῆς. συμβαλόντες δὲ τοῖς Λατίνοις μέχρι μὲν πολλοῦ ἰσοπαλῶς ἠγωνίσαντο, εἶτα τὸ κατὰ τὸν Δέκιον κέρας μικρόν τι τοῖς Λατίνοις ἐνέκλινεν. ὃ γνοὺς ὁ Δέκιος ἑαυτὸν ἐπιδέδωκε· καὶ τὰ ὅπλα ἐκδὺς τὴν ἐσθῆτα ἐνέδυ τὴν

---

4, 1 *θαυμάζω μὲν γάρ, εἰ* D, *θαυμάζω μέν, εἰ ἄρ'* B, *θαυμάζομεν εἰ γὰρ* L



*ἔδωκεν, οὐ μὴν καὶ συμβαλεῖν ἔχω, δι' ὃ τοῦτ' ἐγένετο. ὅταν μὲν ⟨γὰρ⟩ τὰ πραχθέντα τισὶν ἐπιλέξωμαι (πολλὰ γὰρ ἤδη πολλοῖς τοιαῦτα συνενεχθέντα ἴσμεν), οὐ δύναμαι τοῖς λεγομένοις ἀπιστῆσαι· ὅταν δὲ δὴ τὰς αἰτίας αὐτῶν ἐκλογίσωμαι, καὶ πάνυ ἐς ἀπορίαν καθίσταμαι· πῶς γὰρ ⟨ἂν⟩ καὶ πιστεύσειέ τις ἐκ τοιαύτης ἑνὸς ἀνδρὸς ἐπιδόσεως τοσοῦτο πλῆθος ἀνθρώπων ἔς τε τὴν σωτηρίαν ὁμοίως καὶ ἐς τὴν ἐπικράτησιν μεταβαλέσθαι; καὶ ταῦτα μὲν ὅπῃ ποτὲ καὶ δι' ἃς αἰτίας οὕτως ἔχει ζητεῖν ἄλλοις μελήσει."* M p. 157. Zonar. 7, 26 (vol. II, p. 166, 19 sqq.).

*ἦν μὲν δὴ παντὶ καταφανές, ὅτι περισκοπήσαντες* 6
*τὴν ἔκβασιν τῆς τύχης πρὸς τὸ κρατοῦν ἔστησαν. οὐ μὴν ἐξήλεγξεν αὐτοὺς ὁ Τορκουᾶτος, μή τι οἰδούντων σφίσιν ἔτι τῶν πρὸς τοὺς Λατίνους πραγμάτων νεωτερίσωσιν· οὐ γάρ τοι τὰ πάντα τραχὺς οὐδ' οἷος ἐς τὸν υἱὸν ἐγένετο καὶ ἐς τἄλλα ἦν, ἀλλὰ καὶ εὔβουλος καὶ εὐπόλεμος ὡμολόγητο εἶναι, ὥστε καὶ πρὸς τῶν πολιτῶν καὶ πρὸς τῶν ἐναντίων ὁμοίως λέγεσθαι, ὅτι τό τε κράτος τοῦ πολέμου ὑποχείριον ἔσχε, καὶ εἰ καὶ*

[Zonaras 7, 26 — vol. II, p. 166, 13 sqq.]

περιπόρφυρον. καὶ οἱ μὲν οὕτω φασὶν ἐφ' ἵππον ἀναπηδῆσαι αὐτὸν καὶ εἰσελάσαι πρὸς τοὺς πολεμίους καὶ ὑπ' ἐκείνων ἀποθανεῖν, οἱ δὲ ὑπὸ συστρατιώτου πολιτικοῦ σφαγῆναι. τέως δὲ τελευτήσαντος τοῦ Δεκίου τοῖς Ῥωμαίοις ἡ νίκη καθαρῶς συνηνέχθη, καὶ οἱ Λατῖνοι πάντες ἐτράπησαν,
οὐ πάντως δὲ διὰ τὸν θάνατον τοῦ Δεκίου· πῶς γὰρ ἂν fr 32, 5
τις πιστεύσειεν ἐξ ἑνὸς ἀνδρὸς τοιᾶσδε τελευτῆς τοσοῦτον πλῆθος ἀνθρώπων τὸ μὲν φθαρῆναι, τὸ δὲ σωθῆναι καὶ νικῆσαι περιφανῶς; οἱ μὲν οὖν Λα-

---

5, 3 ⟨*ἂν*⟩ suppl. B ‖ 7 *μελλήσει* L ‖ 6, 4 *νεωτερήσωσιν* L ‖ 7 *ὡμολόγητο* V, *ὡμολόγειτο* L

τῶν Λατίνων ἡγεῖτο, πάντως ἂν αὐτοὺς νικῆσαι ἐποίησεν. M p. 157 et V p. 585.

7 ὅτι οἱ Ῥωμαῖοι καίπερ ἀχθόμενοι τῷ Τορκουάτῳ διά τε τὸν υἱὸν αὐτοῦ οὕτως, ὥστε καὶ τὰ . . . . . τατα τῶν ἔργων μαλλιανὰ ἀπ᾽ αὐτοῦ ὀνομάσαι, καὶ διότι καὶ τὰ ἐπινίκια τεθνηκότος μὲν ἐκείνου, τεθνηκότος δὲ καὶ τοῦ συνάρχοντος ἑώρτασεν, ὅμως ἐπείξαντός ποτε ἑτέρου σφᾶς πολέμου καὶ αὖθις αὐτὸν ἐς τετάρτην ὑπατείαν προεχειρίσαντο. οὐ μέντοι καὶ ἐκεῖνος ἄρξαι ἔτ᾽ αὐτῶν ἠθέλησεν, ἀλλ᾽ ἐξωμόσατο εἰπών, ὅτι οὔτ᾽ ἂν ἐγὼ ὑμῶν ἀνασχοίμην οὔθ᾽ ὑμεῖς ἐμοῦ. M p. 157. Zonar. 7, 26 (vol. II, p. 166, 23 sqq.).

8 ὅτι ἀνθυπαγόμενοι τοὺς Λατίνους ἐς εὔνοιαν οἱ
a. u. 416 Ῥωμαῖοι τὴν πολιτείαν αὐτοῖς ἔδωκαν, ὥστε καὶ τῶν
(338) ὁμοίων σφίσι μεταλαμβάνειν· ὧν γὰρ ἀπειλοῦσι τὸν πόλεμον οὐ μετέδοσαν καὶ δι᾽ ἃ τοσούτους κινδύνους ὑπέστησαν, ταῦτα τότε κρατήσαντες αὐτῶν αὐτεπάγγελτοι τούτοις ἐψηφίσαντο, τοὺς μὲν τῆς συμμαχίας, τοὺς δὲ ὅτι μηδὲν ἐνεόχμωσαν, ἀμειβόμενοι. M p. 158.

9 ὅτι διαγνώμην πρὸς Πριουεννάτας ἐποιήσαντο οἱ
a. u. 426 Ῥωμαῖοι ἐρωτήσαντες, τί παθεῖν τοιαῦτα δρῶντες
(328) ἄξιοι εἶεν· οἳ ἀπεκρίναντο θαρσούντως, ὅτι ὅσα χρὴ τοὺς ἐλευθέρους ὄντας τε καὶ ἐπιθυμοῦντας εἶναι. πυθομένου τε αὖθις τοῦ ὑπάτου "καὶ τί ποιήσετε,

[Zonaras 7, 26 — vol. II, p. 166, 22 sqq.]

fr. 32, 7 τῖνοι οὕτως ἥττηντο, ὁ δέ γε Τουρκουᾶτος καὶ τὸν υἱὸν ἀποκτείνας καὶ τοῦ συνάρχοντος τεθνηκότος ἑώρτασεν ὅμως τὰ ἐπινίκια.

---

6, 10 ἡγεῖτο] ἤγητο Naber ‖ 7, 2 τὰ . . . . . τατα] χαλεπώτατα Mai, ἰταμώτατα Naber, πικρότατα Herwerden ‖ 9, 5 ποιήσητε L



ἐὰν τῆς εἰρήνης τύχητε;" ἔφασαν ὅτι, ἂν μὲν ἐπὶ μετρίοις τισὶν αὐτὴν λάβωμεν, ἡσυχάσομεν, ἂν δὲ ἀφόρητόν τι προσταχθῶμεν, πολεμήσομεν. θαυμάσαντες δὲ τὴν προθυμίαν οὐχ ὅπως τὰς σπονδὰς πολὺ βελτίους σφίσι παρὰ τοὺς ἄλλους ἔδοσαν . . . M p. 158.

[ἐκ τῆς δημηγορίας τοῦ πατρὸς Ῥούλλου.] ἀλλ᾽ εὖ 33
ἴσθι, ὅτι αἱ μὲν ἀνήκεστοι ἐν τοῖς τοιούτοις τιμωρίαι a. u. 429
αὐτούς τε τοὺς δικαιουμένους παραπολλύουσι δυνη- (325)
θέντας ἂν ἀμείνους γενέσθαι καὶ τοὺς ἄλλους οὐδὲν
μᾶλλον σωφρονίζουσιν· ἡ γὰρ ἀνθρωπίνη φύσις οὐκ
ἐθέλει ἑαυτῆς πρὸς τὰς ἀπειλὰς ἐξίστασθαι, ἀλλ᾽ ἢ 2
δέους τινὸς ἀνάγκῃ ἢ θάρσους ὕβρει ἀπειρίας τε θρα-
σύτητι καὶ ἐξουσίας προπετείᾳ ἢ καθ᾽ ἑτέραν τινὰ
συντυχίαν, οἷα πολλὰ πολλοῖς καὶ παρ᾽ ἐλπίδα συμ-
βαίνει, τοὺς μὲν οὐδὲ ἐνθυμουμένους τῶν κολάσεων,
ἀλλ᾽ ἀλογίστως αὐτῶν ἐς τὸ προκείμενον φερομένους,
τοὺς δὲ παρ᾽ οὐδὲν αὐτὰς πρὸς τὸ τυχεῖν ὧν ὀρέγον-
ται ποιουμένους ἁμαρτάνειν ἀναπείθει. αἱ δὲ ἐμμε- 3
λεῖς φιλανθρωπίαι τἀναντία αὖ πάντα διαπράττουσιν· ὑπὸ γὰρ τῆς ἐγκαίρου συγγνώμης αὐτοί ⟨τε⟩ πολλάκις μεταβάλλονται, ἄλλως τε καὶ ὅταν ἐξ ἀνδρείας καὶ μὴ κακουργίας, ἐκ φιλοτιμίας καὶ μὴ πονηρίας ⟨τι⟩ ποιήσωσι (δεινὴ γάρ ἐστι καὶ δουλῶσαι καὶ σωφρονίσαι φρόνημα γενναῖον εὔλογος φιλανθρωπία), καὶ τοὺς ἄλλους ἐθελοντὰς ἅτε καὶ τὸ σεσωσμένον ὁρῶντας μεταρρυθμίζουσι· πείθεται γὰρ πᾶς ἥδιον ἢ βιάζεται καὶ ἑκούσιος ἀκούειν τοῦ νόμου βούλεται μᾶλλον ἢ

---

9, 8 πολεμήσωμεν L ‖ **33**, 2, 6 αὐτὰς B, αὐτοὺς L ‖ 3, 2 τἀναντία αὖ B, τἀναντία αὐτῶν L ‖ 3 ⟨τε⟩ inseruit B ‖ 5 ⟨τι⟩ inseruit B ‖ 8 ὁρῶντες L ‖ 10 τοῦ νόμου B, τὸν νόμον L

ἀνάγκῃ, ὅτι τὸ μὲν αὐθαίρετον ὡς καὶ οἰκεῖον σπου-
δάζει, τὸ δὲ ἐξ ἐπιτάγματος ὡς καὶ ἀνελεύθερον ἀπω-
4 θεῖται. ἔτι τῆς μεγίστης καὶ ἀρετῆς καὶ ἐξουσίας ἐστὶν
ἔργον οὐ τὸ φονεῦσαί τινα (τοῦτο μὲν γὰρ καὶ ὑπὸ
τῶν κακίστων καὶ ἀσθενεστάτων πολλάκις γίγνεται),
ἀλλὰ τὸ φείσασθαί τινος καὶ τὸ σῶσαί τινα, ὃ μηδεὶς
ἄλλος ἡμῶν ἄκοντός γέ σου δύναται.
5 βούλομαι μὲν ἤδη πεπαῦσθαι λέγων· τό τε γὰρ
ψυχίδιόν μου κέκμηκε καὶ τὸ φθέγμα ἐνδίδωσι, τά τε
δάκρυα τὴν φωνὴν ἐνίσχει, καὶ ὁ φόβος τὸ στόμα
συνδεῖ. ἀλλ᾿ οὐκ ἔχω, πῶς ἀπαλλαγῶ· τὸ γὰρ πάθος,
ἄν γε μᾶλλον δόξῃ σοι μὴ δόξει ἐπί τι προφαινόμε-
νον, οὐκ ἐπιτρέπει μοι σιωπῆσαι, ἀλλ᾿ ὡς καὶ παρὰ
τοῦθ᾿ ὅ,τι ποτ᾿ ἂν τελευταῖον εἴπω τῆς σωτηρίας μοι
τοῦ παιδὸς ἐσομένης, ἀναγκάζει με πλείω ὥσπερ ἐν
εὐχαῖς λαλεῖν. M p. 159.
6 τό τε γὰρ ὄνομα καὶ τὸ σχῆμα τῆς ἀρχῆς, ἧς περι-
εβέβλητο, ὤκνει καταλῦσαι, καὶ ἐπειδὴ ἔμελλε τοῦ
Ῥούλλου φείσεσθαι (τὴν γὰρ σπουδὴν τοῦ δήμου
ἑώρα), ἐκείνῳ τε ἐπὶ πλεῖον ἀντισχὼν χαρίσασθαι καὶ
τοὺς νέους ἐπιστρέψας μᾶλλον ὥστε ἐξ ἀδοκήτου αὐτῷ
συγγνοὺς ἠθέλησε. τό τε οὖν πρόσωπον συστρέψας
καὶ τὸν δῆμον δριμὺ ὑποβλέψας τὴν φωνὴν ἐνέτεινε
7 καὶ εἶπε. καὶ σιωπὴ μὲν ἦν, οὐ μέντοι καὶ ἡσύχαζον,

3, 11 οἰκεῖον σπουδάζει B, οἰκεῖόν που δόξει L ‖ 4, 1 ἔτι] ὅτι L ‖ 5 ἡμῶν B, ἡμῖν L ‖ 5, 1 πεπαῦσθαι] παύεσθαι aut ἐβουλόμην μὲν ἤδη πεπαῦσθαι Herwerden ‖ 3 ἐνίσχει Herwerden, ἀνίσχει L ‖ 4 συνδεῖν L ‖ 5 γε μᾶλλον] γε μὴ ἄλλο τι δ.? Tafel ‖ δόξῃ σοι μὴ δό⟨ξει ἐπὶ⟩ legere sibi videbatur Mai, hodie nonnulla prorsus evanida sunt ‖ 6, 2 ὤκνει sc. Papirius Cursor ‖ 5 ἐπιστρέψας Polak, ἀποτρέψαι Boissevain, ἐπιτρέψαι L ‖ 8 εἶπε] post εἶπε in codice nulla lacuna est. ipsam Papirii orationem titulo de contionibus receptam et hoc loco notam formulam



ἀλλ᾿ οἷόν τι φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, αὐτῷ τε
ἐπιστένοντες καὶ πρὸς ἀλλήλους τονθορύζοντες ἓν μὲν
οὐδὲν λαλοῦντες ἐξηκούοντο, σωθῆναι δὲ δὴ τὸν ἵπ-
παρχον ἐπιθυμεῖν ὑπωπτεύοντο. ἰδὼν δὲ ταῦθ᾿ ὁ
Παπίριος καὶ φοβηθείς, μὴ καὶ νεοχμώσωσί τι, τοῦ τε
πάνυ ἀρχικοῦ, ὅπερ ἐς ἐπανόρθωσιν αὐτῶν ἐπὶ μεῖζον
τοῦ καθήκοντος προσεπεποίητο, ὑφῆκε καὶ τὰ λοιπὰ
μετριάζων ἔς τε φιλίαν ἑαυτοῦ καὶ προθυμίαν αὖθις
σφᾶς ἀντικατέστησεν, ὥστε συμβαλόντας τοῖς ἐναντίοις
ἀνδρίσασθαι. M p. 160. Zonar. 7, 26 (vol. II, p. 166,
32 sq.).
ὅτι νικηθέντες οἱ Σαυνῖται ὑπὸ Ῥωμαίων ἐπεκη- 8
ρυκεύσαντο τοῖς ἐν τῇ πόλει Ῥωμαίοις τούς τε αἰχμα-
λώτους, ὅσους εἶχον αὐτῶν, πέμψαντές σφισι καί τι-
νος Παπίου, ἀνδρὸς ἔς τε τὰ πρῶτα τῶν παρ᾿ αὐτοῖς

[Zonaras 7, 26 — vol. II, p. 166, 26 sqq.]

εἶτ᾿ αὖθις αὐτούς τε τοὺς Λατίνους ἐπαναστάντας κατε-
πολέμησαν καὶ ἕτερα ἔθνη μάχαις ὑπέταξαν ποτὲ μὲν ὑπά-
τοις κεχρημένοι, ποτὲ δὲ δικτάτωρσιν. ὧν εἷς ἦν καὶ Λού-
κιος Παπείριος ὁ καὶ Κούρσωρ ὀνομαζόμενος διά τε τὴν
ἕξιν (ἦν γὰρ δρομικώτατος) καὶ διὰ τὴν ἄσκησιν τοῦ δρό-
μου. μετὰ δὲ ταῦτα δικτάτωρ ὁ Παπείριος ἐπὶ τοὺς Σαυ-
νίτας ἐξεπέμφθη μετὰ Φαβίου Ῥούλλου ἱππάρχου καὶ ἡττή-
σας αὐτοὺς ἠνάγκασεν ἐπὶ συνθήκαις συμβῆναι, αἷς ἐκεῖνος
ἐβούλετο. ἀποθεμένου δὲ τὴν ἡγεμονίαν αὐτοῦ ἐπανέστησαν
αὖθις. ὑπὸ δὲ Κορνηλίου Αὔλου δικτάτωρος καὶ πάλιν fr.
πολεμηθέντες καὶ ἡττηθέντες διεκηρυκεύσαντο πρὸς 33, 8
τοὺς ἐν τῇ Ῥώμῃ τοὺς αἰχμαλώτους τε ὅσους εἶχον
πέμψαντες αὐτοῖς καὶ τὴν αἰτίαν τοῦ πολέμου

ζήτει ἐν τῷ περὶ δημηγοριῶν excidisse putat Boissevain ‖ 7, 10 συμβαλόντας B, συμβαλόντες L ‖ 8, 1 ἐπεκηρυκεύσαντο U, ἐκηρυκεύσαντο L ‖ 4 Παπίου R, παπιρίου L ‖ ἔς τε τὰ πρῶτα R, ἔσται τὰ πρ. L

ἀξιουμένου καὶ τὴν αἰτίαν τοῦ πολέμου πᾶσαν φερομένου, τήν τε οὐσίαν καὶ τὰ ὀστᾶ, ἐπειδὴ φθάσας ἑαυτὸν προαπεχρήσατο, διαρρίψαντες. οὐ μέντοι καὶ ἔτυχον τῆς εἰρήνης· ἄπιστοί τε γὰρ δόξαντες εἶναι καὶ πρὸς τὰς συμφορὰς ἐς παράκρουσιν τοῦ ἀεὶ κρατοῦντος σφῶν σπένδεσθαι οὐχ ὅσον οὐχ εὕροντό τι συμβατικόν, ἀλλὰ καὶ ἄσπονδόν σφισι τὸν πόλεμον παρεσκεύασαν. οἱ γὰρ Ῥωμαῖοι καίτοι τοὺς αἰχμαλώτους λαβόντες ἀκηρυκτὶ πολεμεῖν αὐτοῖς ἐψηφίσαντο. U p. 374. Zonar. 7, 26 (vol. II, p. 167, 5—12).

9 πολλὰ μὲν δὴ οὖν καὶ ἄλλα τοῦ ἀνθρωπείου γένους θαυμάσειεν ἄν τις, οὐχ ἥκιστα δὲ τὰ τότε γενό-
a. u. 433 μενα· οἵ τε γὰρ Ῥωμαῖοι ὑπεραυχήσαντες, ὥστε μήτε
(321) κήρυκα ἔτι ἐπ' εἰρήνῃ παρὰ τῶν Σαυνιτῶν προσδέχεσθαι ψηφίσασθαι καὶ προσελπίσαι καὶ αὐτοβοεὶ πάντας αὐτοὺς αἱρήσειν, παθήματι δεινῷ περιέπεσον καὶ ἐν αἰσχύνῃ οἵᾳ οὐπώποτε ἐγένοντο, καὶ ἐκεῖνοι ἄλλως τε ὑπερδείσαντες καὶ ἐν μεγάλῃ συμφορᾷ τὸ μὴ σπείσασθαι ποιησάμενοι πανσυδίᾳ τε τὸ στρατόπεδον αὐτῶν

[Zonaras 7, 26 — vol. II, p. 167, 7 sqq.]

Ῥουτούλῳ, ἀνδρὶ δυνατῷ παρ' αὐτοῖς, ἐπιγράφοντες· οὗ τὰ ὀστᾶ, ἐπεὶ φθάσας ἐκεῖνος διεχειρίσατο ἑαυτόν, διέρριψαν. οὐ μέντοι καὶ ἔτυχον τῆς εἰρήνης ὡς ἄπιστοι, ἀλλ' ἄσπονδον σφίσιν ἐψηφίσαντο
fr. 33,9 πόλεμον καίτοι τοὺς αἰχμαλώτους λάβοντες. ὑπεραυχήσαντες οὖν οἱ Ῥωμαῖοι καὶ αὐτοβοεὶ πάντας αὐτοὺς αἱρήσειν ἐλπίσαντες δεινῷ παθήματι περιέπεσον. ὑπερδείσαντες γὰρ οἱ Σαυνῖται καὶ ἐν συμφορᾷ ποιούμενοι τὸ μὴ σπείσασθαι καὶ ὡς ἀπεγνωσμένοι μαχόμενοι καὶ λοχήσαντες ἔν τινι χώρᾳ κοιλοτέρᾳ καὶ στενῇ τό τε στρατόπεδον εἷλον

8, 7 διαρρίψαντες St, διέρριψαν L



ἐξώγρησαν καὶ πάντας ὑπὸ τὸν ζυγὸν ὑπήγαγον· ἐς τοῦτο γὰρ αὐτοῖς ἡ τύχη περιέστη. M p. 161. Zonar. 7, 26 (vol. II, p. 167, 12—19).

αἱ εὐεργεσίαι ἐν τῇ τῶν ἀνθρώπων μᾶλλον προαι- 10
ρέσει εἰσὶ καὶ οὔθ' ὑπ' ἀνάγκης οὔθ' ὑπ' ἀγνοίας, οὐκ ὀργῆς, οὐκ ἀπάτης, οὐκ ἄλλου τινὸς τῶν τοιούτων γίνονται, ἀλλ' αὐθαίρετοι παρ' ἑκουσίας καὶ προθύμου τῆς ψυχῆς ἐκτελοῦνται· καὶ διὰ ταῦτα χρὴ τοὺς μὲν πλημμελήσαντάς τι ἐλεεῖν, νουθετεῖν, παιδεύειν, τοὺς δὲ εὖ ποιήσαντας θαυμάζειν, φιλεῖν, ἀμείβεσθαι. καὶ ὅταν γε ὑπὸ τῶν ἀνθρώπων ἑκάτερον γένηται, πολύ που μᾶλλον τοῖς ἤθεσιν ἡμῶν προσήκει τῶν ἀμεινόνων μνημονεύειν ἢ τῶν ἀτοπωτέρων. M p. 535.

ὅτι αἱ διαφοραὶ εὐεργεσίαις παύονται· καὶ ὅσῳ ἂν 11
τις ἐπὶ μεῖζον ἔχθρας ἐλθὼν σωτηρίας ἀντὶ τιμωρίας παρὰ δόξαν τύχῃ, πολὺ μᾶλλον ἐκείνην τε ἑκὼν καταλύει καὶ ταύτης ἄσμενος ἡττᾶται· ὅσῳ τε ⟨μᾶλλον⟩ τῶν ἄλλως πως διενεχθέντων οἱ ἐκ φιλίας ἐς ἔχθραν χωρήσαντες μισοῦσιν ἀλλήλους, ἐπὶ πλεῖον καὶ τῶν ἄλλως πως εὐεργετηθέντων οἱ ἐκ διαφορᾶς εὖ παθόν-

[Zonaras 7, 26 — vol. II, p. 167, 18 sqq.]

καὶ τοὺς Ῥωμαίους ἐξώγρησαν πανσυδὶ καὶ πάντας ὑπήγαγον ὑπὸ τὸν ζυγόν (τί δ' ἦν τὸ τοῦ ζυγοῦ, ἤδη μοι ἄνωθί που ἱστόρηται), οὐδένα μέντοι ἀπέκτειναν, ἀλλὰ τά τε ὅπλα καὶ τοὺς ἵππους καὶ τὰ ἄλλα ὅσα εἶχον πλὴν ἑνὸς ἱματίου ἀφείλοντο καὶ γυμνοὺς σφᾶς ἀφῆκαν ἐπὶ συνθήκαις τοῦ τὴν χώραν αὐτῶν ἐκλιπεῖν καὶ συμμάχους σφίσιν ἀπὸ τῆς ἴσης εἶναι. ἵνα δὲ τὰ τῆς ὁμολογίας καὶ παρὰ τῆς γερουσίας βεβαιωθῶσι, τῶν ἱππέων ἑξακοσίους εἰς ὁμηρείαν κατέσχον.

10, 8 τῶν ἀνθρώπων] τῶν αὐτῶν? B ‖ 11, 4 ⟨μᾶλλον⟩ inseruit Herwerden

τες φιλοῦσι τοὺς ⟨εὖ⟩ πεποιηκότας. καὶ Ῥωμαῖοι οὖν βούλονται μὲν καὶ μάλα πολέμῳ κρατιστεύειν, προσέτι δὲ δὴ καὶ ἀρετὴν τιμῶσι καὶ διὰ τοῦτο ἐν ἀμφοτέροις ἠναγκασμένοι τῇ τῆς ψυχῆς γενναιότητι τὸ κρατεῖν ἐπικερδαίνουσι σπουδάζοντες ἀεὶ τὰ ὅμοια τοῖς ὁμοίοις καὶ καθ' ὑπερβολὰς ἀμύνεσθαι. M p. 161.

12 μέγα μὲν γὰρ καὶ ἐπὶ τῷ τοὺς ἀδικήσαντάς τι ἀμύνασθαι δεῖ φρονεῖν, μείζω δὲ δόξαν ἐπὶ τῷ τοὺς εὐεργετήσαντάς τι ἀμείβεσθαι ἔχειν. M p. 536.

13 ὅτι πεφύκασι πάντες ἄνθρωποι πλέον ἀλγεῖν ᾧ ⟨ἂν⟩ ἀτιμασθῶσιν ἢ χαίρειν ἐφ' οἷς ἂν εὐεργετηθῶσι, καὶ ῥᾷόν γε ἐπεξέρχονται τοῖς τι λυπήσασι σφᾶς ἢ ἀνθυπουργοῦσι τοῖς εὖ ποιήσασι, τήν τε κακοδοξίαν τοῦ τὸν σώσαντα μὴ δι' εὐνοίας ποιήσασθαι παρ' οὐδὲν πρὸς τὰ συμφέροντα αὐτῶν τιθέμενοι καὶ τῷ θυμουμένῳ καὶ παρὰ τὸ λυσιτελοῦν σφῶν χαριζόμενοι.

τοιαῦτα αὐτοῖς παρά τε τῆς ἐμφύτου φρονήσεως καὶ παρὰ τῆς ἐκ τοῦ γήρως ἐμπειρίας, οὐ τὸ αὐτίκα κεχαρισμένον, ἀλλὰ τὸ ἔπειτα ἀλγεινὸν προσκοπῶν παρῄνεσεν. M p. 162.

14 ὅτι οἱ Καπυηνοὶ τῶν Ῥωμαίων ἡττηθέντων καὶ ἐς Καπύην ἐλθόντων οὔτ' εἶπον αὐτοὺς δεινὸν οὐδὲν οὔτ' ἔπραξαν, ἀλλὰ καὶ τροφὴν καὶ ἵππους αὐτοῖς ἔδωκαν καὶ ὡς κεκρατηκότας ὑπεδέξαντο· οὓς γὰρ οὐκ
ἂν ἐβούλοντο διὰ τὰ προγεγονότα σφίσιν ὑπ' αὐτῶν
15 νενικηκέναι, τούτους κακοτυχήσαντας ἠλέησαν. οἱ δὲ
Ῥωμαῖοι ὡς τὰ πεπραγμένα ἤκουσαν, ἄποροι παντα-

11, 8 ⟨εὖ⟩ inseruit Herwerden ‖ 9 μὲν καὶ μάλα B, ἂν καὶ ἅμα L ‖ 11 ἠναγκασμένοι] ἐγγεγυμνασμένοι Naber ‖ 13, 1 ᾧ ⟨ἂν⟩ B, ὧν L ‖ 4 τήν τε B, τὴν δὲ L ‖ 10 προσκοπῶν B, προσκοπεῖν L ‖ 14, 3 αὐτοῖς] αὐτοὺς L



χόθεν ἐγένοντο μήδ' ὅπως ἡσθῶσι τῇ τῶν στρατιωτῶν σωτηρίᾳ μήθ' ὅπως ἀχθεσθῶσιν ἔχοντες· πρὸς μὲν γὰρ τὸ δεινὸν τῆς αἰσχύνης ὑπερήλγουν ἀπαξιοῦντες ἄλλως τε τοῦτο καὶ ὑπὸ τῶν Σαυνιτῶν πεπονθέναι ⟨καὶ⟩ ἐβούλοντο ἂν πάντας αὐτοὺς ἀπολωλέναι, ἐκλογιζόμενοι δὲ ὅτι, εἴπερ τι τοιοῦτον συνεβεβήκει σφίσι, κἂν περὶ τοῖς λοιποῖς ἅπασιν ἐκινδύνευσαν, οὐκ ἀκουσίως ἤκουον, ὅτι ἐσώθησαν. M p. 162. Zonar. 7, 26 (vol. II, p. 168, 2—9).

[Zonaras 7, 26 — vol. II, p. 167, 28 sqq.]

οἱ δ' ὕπατοι Σπούριός τε Ποστούμιος καὶ Τιβέριος Καλουῖνος μετὰ τῆς στρατιᾶς εὐθὺς ἀνεχώρησαν καὶ νυκτὸς αὐτοί τε καὶ τῶν ἄλλων οἱ ἀξιολογώτατοι εἰς τὴν Ῥώμην εἰσῆλθοσαν, οἱ δὲ λοιποὶ στρατιῶται κατὰ τοὺς ἀγροὺς ἐσκε-
δάσθησαν. οἱ δ' ἐν τῇ πόλει τὰ πεπραγμένα μαθόντες fr. 33,15
οὔθ' ἡσθῆναι τῇ τῶν στρατιωτῶν σωτηρίᾳ οὔτ' ἀχθεσθῆναι ἠδύναντο. πρὸς μὲν γὰρ τὸ δεινὸν ὑπερήλγουν, καὶ ὅτι παρὰ τῶν Σαυνιτῶν τοιαῦτα πεπόνθασι, μεῖζον σφίσι τὸ ἄλγος ἐγίνετο· λογιζόμενοι δέ, ὡς εἰ πάντας ἀπολέσθαι συνέβη, καὶ περὶ πάντα ἂν ἐκινδύνευσαν, ἐπὶ τῇ σφῶν ἥδοντο σωτηρίᾳ. ἐπικρύπτοντες δὲ τέως τὸ ἥδεσθαι πένθος ἐπεποιήκεσαν καὶ οὐδὲν ἐν τῷ καθεστηκότι τρόπῳ ἔπραξαν οὔτ' αὐτίκα οὔθ' ὕστερον, ἕως ἀντεπεκράτησαν· τοὺς δ' ὑπάτους μὲν παραχρῆμα ἔπαυσαν, ἑτέρους δ' ἀνθελόμενοι βουλὴν ἐποιήσαντο. καὶ ἐδόκει μὲν σφίσι μὴ δέξασθαι τὴν σύμβασιν, ἐπεὶ δὲ ἀδύνατον ἦν τοῦτο δρᾶσαι μὴ οὐχὶ πρὸς τοὺς πράξαντας αὐτὴν τρέψαντας τὴν αἰτίαν, ὤκνουν μὲν τῶν ὑπάτων καταψηφίσασθαι καὶ τῶν ἄλλων, οἳ μετ' αὐτῶν ὡς ἀρχάς τινας ἄρχοντες τὰς σπονδὰς ἐποιήσαντο, ὤκνουν δὲ καὶ ἀφεῖναι, ἵνα μὴ ἐφ' ἑαυτοὺς τὸ παρασπόνδημα περιστήσωσιν. αὐτοῖς οὖν ἐκείνοις τοῖς ὑπάτοις ἐπεκοινώσαντο

15, 7 ⟨καὶ⟩ inseruit B

16 ὅτι τῆς σωτηρίας τῆς ἑαυτῶν πᾶσιν ἀνθρώποις καὶ ἀναγκαῖον καὶ ἀνεμέσητόν ἐστι προνοεῖσθαι, κἂν ἐν κινδύνῳ τινὶ καταστῶσι, πᾶν ὁτιοῦν ὥστε σωθῆναι πράττειν. M p. 163.

17 ὅτι συγγνώμη καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων δίδοται τοῖς ἀκούσιόν τι πράξασιν. ib. Zonar. 7, 26 (vol. II, p. 168, 26).

18 Δίων η′ βιβλίῳ "καὶ προσποιοῦμαι τὸ ἀδίκημα καὶ ὁμολογῶ τὴν ἐπιορκίαν." Bekk. Anecd. p. 165, 13. Δίωνος η′ βιβλίῳ "ἦν γὰρ καὶ πάνυ αὐτὸς ἑαυτῷ πρὸς πάντα τὰ τοιαῦτα ἀρκῶν. ib. p. 124, 1.

19 ὅτι οἱ Σαυνῖται ὁρῶντες μήτε τὰς συνθήκας σφίσι τηρουμένας μήτε ἄλλην χάριν ἀνταποδιδομένην, ἀλλ' ὀλίγους ἀντὶ πολλῶν ἐς παραγωγὴν τῶν ὅρκων ἐκ-

[Zonar. 7, 26 — vol. II, p. 168, 21 sqq.]

καὶ πρώτῳ γε τῷ Ποστουμίῳ τὴν ψῆφον ἐπήγαγον, ὅπως αὐτὸς καθ' ἑαυτοῦ γνώμην ἀποφήνηται, αἰσχύνῃ τοῦ μὴ πάντας ἀδοξίας ἀναπλῆσαι. ὁ δὲ παρελθὼν εἰς τὸ μέσον ἔφη μὴ δεῖν κυρωθῆναι τὰ ὑπ' αὐτῶν πεπραγμένα παρὰ
fr. 33,17 τῆς γερουσίας καὶ τοῦ δήμου· μηδὲ γὰρ αὐτοὺς ἑκουσίως πρᾶξαι αὐτά, ἀλλ' ἀνάγκῃ συνεχομένους, ἣν αὐτοῖς ἐπήγαγον οἱ πολέμιοι οὐκ ἐξ ἀρετῆς, ἀλλ' ἐκ δόλου καὶ ἐξ ἐνέδρας. οἱ γοῦν ἀπατήσαντες, εἰ ἀντηπατήθησαν, οὐκ ἂν δύναιντο δικαίως ἐπεγκαλεῖν τοῖς ἀνταπατήσασι. ταῦτα τοίνυν εἰπόντος καὶ τοιαῦτα πολλὰ ἐν ἀμηχανίᾳ ἡ γερουσία ἐγένετο· τοῦ δὲ Ποστουμίου καὶ τοῦ Καλουίνου εἰς ἑαυτοὺς τὴν αἰτίαν ἀναδεχομένων ἐψηφίσθη μήτε κυρωθῆναι τὰ ὡμολογημένα ἐκείνους τε ἐκδοθῆναι.

ἀπήχθησαν οὖν καὶ ἄμφω οἱ ὕπατοι καὶ οἱ λοιποὶ ἄρχοντες οἱ ἐπὶ τοῖς ὅρκοις παρουσιάσαντες εἰς τὸ Σαύνιον.

19, 2 ἀνταποδιδομένην scripsi, ἀντιδιδομένην L, ἀποδιδομένην D



διδομένους δεινῶς ἠγανάκτησαν, ἐπεθείαζόν τέ τινα
τοὺς θεοὺς ἐπιβοώμενοι καὶ τὰς πίστεις αὐτῶν προ-
φερόμενοι καὶ ἀπῄτουν τοὺς ἁλόντας, ἐκέλευόν τε
αὐτοὺς ὑπὸ τὸ αὐτὸ ζυγὸν γυμνοὺς ἐσελθεῖν, οὗπερ
ἐλεηθέντες ἀφείθησαν, ἵνα καὶ τῷ ἔργῳ μάθωσι τοῖς
ἅπαξ ὁμολογηθεῖσιν ἐμμένειν. καὶ ἀπέπεμψαν τοὺς 20
ἐκδοθέντας, εἴτ' οὖν, ὅτι οὐκ ἠξίωσαν σφᾶς μηδὲν
ἠδικηκότας ἀπολέσαι, ἢ ὅτι τῷ δήμῳ τὴν ἐπιορκίαν
προσάψαι ἠθέλησαν καὶ μὴ δι' ὀλίγων ἀνδρῶν κολά-
σεως τοὺς ἄλλους ἀπολῦσαι. ταῦτ' ἔπραξαν ἐλπίσαντες
ἐκ τούτων ἐπιεικές τι εὑρήσεσθαι. M p. 163. Zonar.
7, 26 (vol. II, p. 169, 6—9).

21 ὅτι οἱ Ῥωμαῖοι τοῖς Σαυνίταις οὐχ ὅτι χάριν τινὰ τῆς [γοῦν] τῶν ἐκδοθέντων σωτηρίας ἔσχον, ἀλλ' ὥσπερ τι δεινὸν ἐκ τούτου παθόντες ὀργῇ τε τὸν πόλεμον ἐποιήσαντο καὶ κρατήσαντες τὰ αὐτὰ αὐτοὺς ἀντειργάσαντο· τὸ γὰρ δίκαιον οὐκ ἐκ τοῦ ὁμοίου τῷ νομιζομένῳ καὶ ἐν τοῖς ὅπλοις ὡς πλήθει κρίνεται, οὐδ' ἀνάγκη τίς ἐστι νικᾶν τοὺς ἀδικουμένους, ἀλλ' ὁ πόλεμος αὐτοκράτωρ ὢν τά τε ἄλλα πρὸς τὸ τοῦ κρατοῦντος συμφέρον τίθεται καὶ τὴν τοῦ δικαίου νόμισιν ἐς τοὐναντίον πολλάκις περιίστησιν. M p. 163. Zonar. 7, 26 (vol. II, p. 169, 10 sq.).

[Zonar. 7, 26 — vol. II, p. 169, 6 sqq.]

οὐ μέντοι αὐτοὺς οἱ Σαυνῖται ἐδέξαντο, ἀλλὰ τοὺς fr. 33, 19 ἁλόντας ἀπῄτουν ἅπαντας καὶ τοὺς θεοὺς ἐπεβοῶντο καὶ ἐπεθείαζον καὶ τέλος τοὺς ἐκδοθέντας ἀπέπεμψαν. οἱ δὲ Ῥωμαῖοι ἐκείνους μὲν ἀσμένως ἀπέ-

19, 4 τινα B, τινας L ‖ 20, 1 ἀπέπεμψαν B (et Zonaras), ἀντέπεμψαν L ‖ 6 εὑρήσεσθαι B, εὑρήσασθαι L ‖ 21, 2 [γοῦν] expunxit Herwerden ‖ 3 ὀργῇ] ⟨μείζονι⟩ vel ⟨πλείονι⟩ inserendum censet Herwerden ‖ 4 αὐτοὺς B, αὐτοῖς L ‖ 6 ἐν seclusit Herw.

22 ὅτι οἱ Ῥωμαῖοι Σαυνιτῶν κρατήσαντες τοὺς αἰχμαλώτους ὑπὸ τὸ ζυγὸν ἀνθυπήγαγον ἐξαρκεῖν σφισι νομίσαντες τὴν τῆς ὁμοίας αἰσχύνης ἀνταπόδοσιν. οὕτω μὲν ἡ τύχη πρὸς τἀναντία τοῖς ἀμφοτέροις ἐς βραχύτατον περιστᾶσα καὶ τοὺς Σαυνίτας ὑπ᾽ αὐτῶν τῶν ὑβρισθέντων τὰ αὐτὰ ἀντιποιήσασα διέδειξε καὶ ἐν τούτῳ τὸ ὅλον αὐτὴ δυναμένη. M p. 164. Zonar. 7, 26 (vol. II, p. 169, 12).

23 ὅτι ὁ Παπίριος στρατεύσας ἐπὶ τοὺς Σαυνίτας καὶ
a.u. 435 (319) καταστήσας αὐτοὺς ἐς πολιορκίαν προσήδρευέ σφισι.
κἂν τούτῳ ὀνειδίσαντός τινος αὐτῷ, ὅτι οἴνῳ πολλῷ ἐχρῆτο, ἔφη ὅτι τὸ μὲν μὴ εἶναί με μεθυστικὸν παντί που δῆλον ἔκ τε τοῦ πρωιαίτατά με ὀρθρεύεσθαι καὶ ἐκ τοῦ ὀψιαίτατα καταδαρθάνειν ἐστίν· διὰ δὲ τὸ ⟨τὰ⟩ κοινὰ ἀεὶ μεθ᾽ ἡμέραν καὶ νύκτωρ ὁμοίως ἐν φροντίδι ποιεῖσθαι καὶ ὑπὸ τοῦ μὴ δύνασθαι ῥᾳδίως ὕπνου λαχεῖν τὸν οἶνον κατακοιμήσοντά με παραλαμβάνω. M ib.

24 ὅτι ⟨ὁ⟩ αὐτὸς ἐφοδεύων ποτὲ τὰς φυλακὰς καὶ μὴ εὑρὼν τὸν Πραινεστίνων στρατηγὸν ἐν τῇ τάξει ὄντα ἠγανάκτησεν, εἶτα μεταπεμψάμενος αὐτὸν ἐκέλευσε τῷ ῥαβδούχῳ τὸν πέλεκυν προχειρίσασθαι· ἐκπλαγέντος

[Zonar. 7, 26 — vol. II, p. 169, 10 sqq.]

fr. 33,22 λαβον, τοῖς δὲ Σαυνίταις ὀργῇ τὴν μάχην ἐπήγαγον καὶ κρατήσαντες τὰ ὅμοια σφίσιν ἐποίησαν καὶ ὑπὸ τὸν ζυγὸν αὐτοὺς ἀνθυπήγαγον καὶ ἀφῆκαν μηδὲν ἄλλο κακὸν δράσαντες. καὶ τοὺς σφετέρους ἱππεῖς, οὓς ὡς ὁμήρους κατεῖχον οἱ Σαυνῖται, ἀπαθεῖς ἐκομίσαντο.

---

22,2 τὸ scripsi coll. fr. 33,19,7, τὸν L ‖ 4 τοῖς] αὐτοῖς? B ‖ 5 διὰ βραχυτάτου? B ‖ 7 αὔτη L ‖ 23,6 ⟨τὰ⟩ inseruit B ‖ 24,1 ⟨ὁ⟩ inseruit B ‖ 2 τὸν ⟨τῶν⟩ Πρ. B



δὲ αὐτοῦ πρὸς τοῦτο καὶ καταδείσαντος τῷ τε φόβῳ αὐτοῦ ἠρκέσθη καὶ οὐδὲν ἔτι δεινὸν αὐτὸν ἔδρασεν, ἀλλὰ ῥίζας τινὰς παρὰ τὰ σκηνώματα οὔσας ἐκκόψαι τῷ ῥαβδούχῳ, ἵνα μὴ τοὺς παριόντας λυπῶσι, προσέταξεν. M ib.

ὅτι αἱ εὐπραγίαι οὐ πάνυ τι πολλοῖς παραμένου- 25
σιν, ἀλλὰ καὶ συχνοὺς ἐς ἀφυλαξίαν παραγαγοῦσαι φθείρουσιν. M p. 165.

ὅτι Παπίριον δικτάτωρα προεβάλοντο οἱ ἐν τῷ 26
ἄστει καὶ δείσαντες, μὴ ὁ Ῥοῦλλος οὐκ ἐθελήσῃ αὐτὸν a.u. 444
διὰ τὰ συμβάντα οἱ ἐν τῇ ἱππαρχίᾳ εἰπεῖν, ἔπεμψαν (310)
πρὸς αὐτὸν δεόμενοι τὰ κοινὰ πρὸ τῆς ἰδίας ἔχθρας προτιμῆσαι. καὶ ὃς τοῖς μὲν πρέσβεσιν οὐδὲν ἀπεκρίνατο, ἐπειδὴ δὲ νὺξ ἐγένετο (νυκτὸς γὰρ πάντως ἐκ τῶν πατρίων τὸν δικτάτωρα ἔδει λέγεσθαι), εἶπέ τε αὐτὸν καὶ εὔκλειαν ἐκ τούτου μεγίστην ἔλαβεν. V p. 585.

[Zonar. 8, 1 — vol. II, p. 169, 16 sqq.]

8,1. μετὰ δὲ χρόνους πλείονας αὖθις τοῖς Σαυνίταις πολεμοῦντες οἱ Ῥωμαῖοι Γαΐου Ἰουνίου ἡγουμένου αὐτῶν συμφορᾷ περιέπεσον. πορθοῦντος γὰρ τοῦ Ἰουνίου τὴν χώραν αὐτῶν εἰς τὰς ὕλας τὰς Ἀόρνους τὰ προσόντα οἱ Σαυνῖται ἀνεκομίσαντο, οὕτω καλουμένας ἀπὸ τοῦ μηδ᾽ ὄρνις εἰσπέτεσθαι εἰς αὐτὰς τῇ τῶν δένδρων πυκνότητι. ἐκεῖ δὲ ὄντες ποίμνιά τινα ποιμένων ἢ φρουρῶν ἄνευ προκαθιστάντες καὶ ψευδαυτομόλους ὑποπέμποντες ὡς ἐφ᾽ ἑτοίμην λείαν αὐτοὺς ὑπηγάγοντο. εἴσω δὲ γενομένους τῆς ὕλης περιέσχον τε σφᾶς καὶ οὐ πρότερον ἐπαύσαντο κτείνοντες, πρὶν τέλεον ἐκκαμεῖν. καὶ ἄλλοτε δὲ πολλάκις τοῖς Ῥωμαίοις πολεμήσαντες οἱ Σαυνῖται καὶ ἡττηθέντες οὐκ ἐφησύχασαν, ἀλλὰ καὶ συμμάχους ἄλλους τε προσλαβόμενοι καὶ Γαλάτας ὡς καὶ πρὸς τὴν Ῥώμην αὐτὴν ἐλάσοντες ἡτοιμάζοντο. ὃ οἱ Ῥωμαῖοι

---

24, 5 τε B, δὲ R ‖ 25,1 τι B, τοῖς L

27 ὅτι Ἄππιος ὁ τυφλὸς καὶ Οὐολούμνιος διεφέροντο
a. u. 458 πρὸς ἀλλήλους, ἀφ' οὗπερ Οὐολούμνιος τοῦ Ἀππίου
(296) προενεγκόντος ποτὲ αὐτῷ ἐν ἐκκλησίᾳ, ὅτι σοφώτερος ὑφ' ἑαυτοῦ γεγονὼς οὐδεμίαν οἱ χάριν εἰδείη, αὐτὸς μὲν καὶ γεγονέναι ὄντως σοφώτερος καὶ ὁμολογεῖν τοῦτ' ἔφη, ἐκεῖνον δὲ μηδὲν πρὸς τὰ τοῦ πολέμου πράγματα ἐπιδεδωκέναι. M p. 165.

28 ὅτι ὁ ὅμιλος περὶ τῆς μαντείας παραχρῆμα μὲν οὔθ' ὅπως πιστεύσῃ οὔθ' ὅπως ἀπιστήσῃ αὐτῷ εἶχεν· οὔτε γὰρ ἐλπίζειν πάντα ἐβούλετο, ὅτι μηδὲ γενέσθαι πάντα ἤθελεν, οὔτ' αὖ ἀπιστεῖν ἅπασιν ἐτόλμα, ὅτι νικῆσαι ἐπεθύμει, ἀλλ' οἷα ἐν μέσῳ τῆς ταραχῆς καὶ τοῦ φόβου ὢν χαλεπώτατα διῆγεν. συμβάντων δ' αὐτῶν ὡς ἑκάστων καὶ τὴν ἑρμήνευσίν σφισιν ἐκ τῆς τῶν ἔργων πείρας ἐφήρμοσαν, καὶ αὐτὸς σοφίας τινὰ δόξαν ἐς τὴν ⟨τοῦ⟩ ἀφανοῦς πρόγνωσιν προσποιεῖσθαι ἐπεχείρει. M p. 165. Cf. Zonar. 8, 1 (vol. II, p. 170, 26—28).

[Zonar. 8, 1 — vol. II, p. 170, 2 sqq.]

μαθόντες ἐς δέος κατέστησαν καὶ σημείων πολλῶν ἐς τοῦτο αὐτοὺς ἐναγόντων. ἐν γὰρ τῷ Καπιτωλίῳ ἐκ τοῦ βωμοῦ τοῦ Διὸς αἷμα τρισὶν ἡμέραις, μιᾷ δὲ μέλι καὶ ἐν ἑτέρᾳ γάλα θρυλεῖται ἀναδοθῆναι, εἴ τῳ ταῦτα πιστά· καὶ ἐν τῇ ἀγορᾷ Νίκης τι ἄγαλμα χάλκεον ἱδρυμένον ἐπὶ βάθρου λιθίνου αὐτομάτως εὑρέθη κάτω ἑστὸς ἐπὶ γῆς· ἐτύγχανε δὲ ἐκεῖ ἀποβλέπον, ὅθεν οἱ Γαλάται ἤδη ἐπῄεσαν. ταῦτ' οὖν καὶ ἄλλως ἐξεφόβει τὸν δῆμον, πλέον δ' ὑπὸ τῶν μάντεων κεκριμένα ἀπαίσια. Μάνιος δέ τις Τυρσηνὸς τὸ γένος ἐθάρσυνεν αὐτοὺς εἰπὼν τήν τε Νίκην, εἰ καὶ κατέβη, ἀλλ' εἰς τὸ πρόσθεν προχωρήσασαν καὶ βεβαιότερον ἐπὶ τῆς γῆς ἱδρυθεῖσαν τὸ κράτος σφίσι προδηλοῦν τοῦ πολέμου· κἀκ τούτου καὶ θυσίας πολλὰς γενήσεσθαι τοῖς θεοῖς· τοὺς γὰρ βωμούς, καὶ μάλιστα τοὺς ἐν τῷ Καπιτωλίῳ, ἐν ᾧ τὰ νικητήρια θύουσιν, ἐν ταῖς εὐπραγίαις αὐτῶν, ἀλλ' οὐκ ἐν ταῖς συμφοραῖς κατ' ἔθος αἱμάττεσθαι. ἐκ μὲν οὖν τούτων

27, 3 σοφώτερος ⟨λέγειν⟩? B ‖ 5 ὄντως coniecit Boissevain ex litterarum reliquiis, οὕτως priores editores ‖ 28, 3 πάντα Herwerden, πάντων L ‖ γενέσθαι πάντα Mai, γενέσθω πάντων L ‖ 4 αὖ B, ἂν L



[Zonar. 8, 1 — vol. II, p. 170, 20 sqq.]

ἀγαθόν τι σφᾶς ἔπειθε προσδοκᾶν, ἐκ δὲ τοῦ μέλιτος νόσον, ὅτι αὐτοῦ οἱ κάμνοντες δέονται, ἐκ δὲ τοῦ γάλακτος λιμόν· ἐς γὰρ τοσαύτην σιτοδείαν ἀφίξεσθαι, ὥστε καὶ τὴν αὐτόφυτον τήν τε αὐτόνομον ζητῆσαι τροφήν.

ὁ μὲν οὖν Μάνιος οὕτω τὰ τῶν σημείων ἡρμήνευσε fr.
καὶ ἐπὶ τῶν πραγμάτων δ' ἐσύστερον τῆς αὐτοῦ 33, 28
μαντείας ἐκβάσης σοφίας ἐκομίσατο δόξαν καὶ προγνώσεως· ὁ δὲ Οὐολούμνιος τοῖς Σαυνίταις πολεμεῖν ἐκελεύσθη, τοῖς δὲ Γαλάταις καὶ τοῖς ἄλλοις τοῖς μετ' αὐτῶν ἀντικαταστῆναι ὕπατοι αἱρεθέντες ἐπέμφθησαν ὅ τε Ῥοῦλλος ὁ Φάβιος ὁ Μάξιμος καὶ ὁ Δέκιος ὁ Πούπλιος. οἳ πρὸς τὴν Τυρσηνίδα σπουδῇ ἀφικόμενοι καὶ τὸ τοῦ Ἀππίου στρατόπεδον ἰδόντες διπλῷ σταυρώματι κατωχυρωμένον τοὺς σταυροὺς ἀνέσπασάν τε καὶ διεφόρησαν ἐν τοῖς ὅπλοις ποιεῖσθαι τὴν ἐλπίδα τῆς σωτηρίας τοὺς στρατιώτας διδάσκοντες. προσέβαλον οὖν τοῖς πολεμίοις· κἀν τούτῳ λύκος ἔλαφον διώκων εἰς τὸ μεταίχμιον εἰσπεσὼν αὐτὸς μὲν πρὸς τοὺς Ῥωμαίους ὁρμήσας διεξῆλθε καὶ αὐτοὺς ἐπεθάρσυνε προσήκειν αὐτὸν νομίζοντας ἑαυτοῖς ὡς λυκαίνης θρεψαμένης τὸν Ῥωμύλον, καθάπερ ἱστόρηται· ἡ δ' ἔλαφος πρὸς τοὺς ἑτέρους χωρήσασα κατεκόπη καὶ τόν τε φόβον αὐτοῖς καὶ τὴν συντυχίαν τοῦ πάθους κατέλιπε. συμπεσόντων οὖν τῶν στρατευμάτων ὁ μὲν Μάξιμος ῥᾷον τοὺς κατ' αὐτὸν ἐνίκησεν, ἡττῆτο δέ γε ὁ Δέκιος. ἐνθυμηθεὶς δὲ τὴν ἐπίδοσιν τοῦ πατρός, ἣν διὰ τὸ ἐνύπνιον ἐποιήσατο, ἑαυτὸν ὁμοίως ἐπέδωκε μή τινι περὶ τῆς πράξεως κοινωσάμενος. ἄρτι δὲ ἔσφακτο καὶ οἱ συντεταγμένοι αὐτῷ τὸ μὲν ἐκείνου

28, 9 ⟨τοῦ⟩ inseruit Boissevain

29 ὅτι οἱ Σαυνῖται ἀγανακτήσαντες ἐπὶ τοῖς γεγονόσι
a. u. 461 καὶ ἀπαξιώσαντες ἐπὶ πολὺ ἡττᾶσθαι πρὸς ἀποκινδύ-
(293) νευσιν καὶ πρὸς ἀπόνοιαν ὡς ἤτοι κρατήσοντες ἢ παντελῶς ἀπολούμενοι ὥρμησαν καὶ τήν τε ἡλικίαν πᾶσαν ἐπελέξαντο θάνατον μὲν προειπόντες, ὅστις ἂν αὐτῶν οἴκοι καταμένῃ, καὶ ὅρκοις σφᾶς φρικώδεσι πιστωσάμενοι μήτ' αὐτόν τινα ἐκ μάχης φεύξεσθαι καὶ τὸν ἐπιχειρήσοντα τοῦτο ποιῆσαι φονεύσειν. M ib. Zonar. 8, 1 (vol. II, p. 172, 1—4).

[Zonar. 8, 1 — vol. II, p. 171, 18 sqq.]

αἰδοῖ ὡς δι' αὐτοὺς θανόντος ἐθελοντοῦ, τὸ δὲ καὶ ἐλπίδι τοῦ πάντως ἐκ τούτου κρατήσειν τῆς τε φυγῆς ἐπέσχον καὶ τοῖς διώκουσι σφᾶς γενναίως ἀντικατέστησαν. κἀν τούτῳ καὶ ὁ Μάξιμος κατὰ νώτου τε αὐτοῖς προσέπεσε καὶ παμπόλλους ἐφόνευσεν. οἱ δὲ περιλειφθέντες ἀποδιδράσκοντες διεφθάρησαν. Μάξιμος δὲ Φάβιος τὸν μὲν τοῦ Δεκίου νεκρὸν κατέκαυσε σὺν τοῖς σκύλοις, τοῖς δὲ εἰρήνης δεηθεῖσι σπονδὰς ἐποιήσατο.

τῷ δ' ἑξῆς ἔτει αὖθις τοῖς Σαυνίταις ἐπολέμησεν Ἀτίλιος Ῥήγουλος. καὶ μέχρι μέν τινος ἰσορρόπως ἐμάχοντο· εἶτα κρατησάντων τῶν Σαυνιτῶν αὖθις οἱ Ῥωμαῖοι ἀντεπεκράτησαν καὶ ἑλόντες αὐτοὺς ὑπήγαγον ὑπὸ τὸν ζυγὸν καὶ
fr. 33,29 οὕτως ἀφῆκαν. Σαυνῖται δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτήσαντες πρὸς ἀπόνοιαν ὥρμησαν ὡς ἢ κρατήσοντες ἢ παντελῶς ἀπολούμενοι, θάνατον ἀπειλήσαντες τῷ οἴκοι μενοῦντι. καὶ οἱ μὲν εἰς τὴν Καμπανίαν ἐνέβαλον, οἱ δ' ὕπατοι ἔρημον ὂν στρατιωτῶν τὸ Σαύνιον ἐπόρθουν καὶ πόλεις εἷλόν τινας. ὅθεν οἱ Σαυνῖται τὴν Καμπανίαν λιπόντες εἰς τὴν οἰκείαν ἠπείχθησαν καὶ τῷ ἑνὶ τῶν ὑπάτων συμμίξαντες ἔκ τινος ἥττηντο στρατηγήματος καὶ φυγόντες δεινῶς ἔπταισαν καὶ τὸ στρατόπεδον ἀπέβαλον, πρὸς δὲ καὶ τὸ πόλισμα, ᾧ ἐπεβοήθουν. ὁ δὲ ὕπατος τά τε ἐπινίκια ἔπεμψε καὶ τὰ ἀθροισθέντα ἐκ τῶν

29, 6 καταμένῃ D, καταμένοι L ‖ 7 αὐτῶν L, αὐτὸν B



ὅτι πυθόμενοι οἱ Ῥωμαῖοι, ὅτι ὁ ὕπατος Φάβιος 30
ἡττήθη ἐν τῷ πολέμῳ, δεινῶς ἠγανάκτησαν καὶ τοῦτον a. u. 462
μεταπέμψαντες εὔθυνον. κατηγορίας τε αὐτοῦ πολλῆς (292)
ἐν τῷ δήμῳ γενομένης (καὶ γὰρ τῇ τοῦ πατρὸς δόξῃ ἐπὶ πλεῖον τῶν ἐγκλημάτων ἐβαρύνετο) ἐκείνῳ μὲν οὐδεὶς λόγος ἐδόθη, ὁ δὲ γέρων ὑπὲρ τοῦ παιδὸς οὐκ

[Zonar. 8, 1 — vol. II, p. 172, 12 sqq.]

λαφύρων ἐδημοσίωσεν. ὁ δ' ἕτερος ὕπατος κατὰ τῶν Τυρσηνῶν στρατεύσας καὶ καταστήσας αὐτοὺς δι' ὀλίγου σῖτόν τε καὶ χρήματα παρ' αὐτῶν εἰσπράξας τὰ μὲν τοῖς στρατιώταις διέδωκε, τὰ δ' εἰσήνεγκεν εἰς τοὺς θησαυρούς.

συμβεβηκότος δὲ λοιμοῦ ἰσχυροῦ οἱ Σαυνῖται καὶ Φαλίσκοι καταφρονήσαντες τῶν Ῥωμαίων διά τε τὴν νόσον καὶ ὅτι τοὺς ὑπάτους οὐ κατ' ἀρετὴν ᾕρηντο ὡς μὴ πολέμων ὄντων, παρεκίνησαν. μαθόντες οὖν τοῦθ' οἱ Ῥωμαῖοι Ἰουνίῳ μὲν Βρούτῳ τὸν Καρουίλιον, Κυίντῳ δὲ Φαβίῳ τὸν πατέρα τὸν Ῥοῦλλον τὸν Μάξιμον ὑποστρατήγους ἢ πρεσβευτὰς συνεξέπεμψαν. ὁ μὲν οὖν Βροῦτος Φαλίσκους ἐνίκησε καὶ τὰ τούτων καὶ τὰ τῶν ἄλλων Τυρσηνῶν ἐληΐζετο, Φάβιος δὲ τῆς Ῥώμης πρὸ τοῦ πατρὸς ἐξελάσας καὶ τοὺς Σαυνίτας ληΐζεσθαι τὴν Καμπανίδα πυθόμενος ἠπείγετο. προσκόποις τέ τισιν αὐτῶν ἐντυχὼν καὶ ταχέως ἀποχωροῦντας σφᾶς θεασάμενος πάντας τε πολεμίους τυγχάνειν ἐκεῖ ἐνόμισε· καὶ φεύγειν ἐπίστευσε· κἀκ τούτου σπεύσας αὐτοῖς συμβαλεῖν πρὸ τοῦ τὸν πατέρα αὐτοῦ ἀφικέσθαι, ἵν' αὐτοῦ τὸ κατόρθωμα, ἀλλὰ μὴ ἐκείνου δοκῇ, προεχώρησεν ἀσυντάκτως. καὶ περιπεσὼν ἀθρόοις τοῖς πολεμίοις πανσυδὶ ἂν διεφθάρη, εἰ μὴ νὺξ ἐγένετο. πολλοὶ δ' οὖν καὶ μετὰ ταῦτα τεθνήκασι μήτ' ἰατροῦ μήτ' ἐπιτηδείου τινὸς παρόντος διὰ τὸ πολὺ πρὸ τῶν σκευοφόρων αὐτοὺς ἐπειχθῆναι ὡς αὐτίκα νικήσοντας· καὶ πάντως ἂν καὶ τῆς ὑστεραίας ἀπώλοντο, εἰ μὴ οἱ Σαυνῖται τὸν πατέρα αὐτοῦ ἐγγὺς εἶναι νομίσαντες ἔδεισάν τε καὶ ἀνεχώρησαν.

πυθόμενοι δὲ ταῦθ' οἱ ἐν τῷ ἄστει δεινῶς ἠγα- fr. 33,30
νάκτησαν καὶ μεταπεμψάμενοι τὸν ὕπατον εὐθύ-

ἀπελογήσατο, καταριθμήσας δὲ τά τε ἑαυτοῦ καὶ τὰ τῶν προγόνων ἔργα καὶ προσυποσχόμενος μηδὲν ἀνάξιον αὐτῶν πράξειν ⟨τὸν υἱὸν⟩ τῆς τε ὀργῆς σφᾶς παρέλυσεν, ἄλλως τε καὶ τὴν ἡλικίαν τοῦ υἱέος προ-
31 βαλόμενος, καὶ συνεξελθὼν εὐθὺς αὐτῷ μάχῃ τοὺς Σαυνίτας καὶ πρὸς τὴν νίκην ἐπηρμένους κατέβαλε καὶ τὸ στρατόπεδον καὶ λείαν πολλὴν εἷλεν. οἱ δὲ Ῥωμαῖοι διὰ τοῦτο ἐκεῖνόν τε ἐμεγάλυνον καὶ τὸν υἱὸν αὐτοῦ καὶ ἐς τὸ ἔπειτα ἀντὶ ὑπάτου ἄρξαι ἐκέλευσαν ὑποστρατήγῳ καὶ τότε τῷ πατρὶ χρώμενον. καὶ ὃς πάντα μὲν αὐτῷ διῴκει καὶ διῆγεν οὐδὲν τοῦ γήρως φειδόμενος, καὶ τά γε συμμαχικὰ προθύμως οἱ μνήμῃ τῶν παλαιῶν αὐτοῦ ἔργων συνήρετο· οὐ μέντοι καὶ ἔνδηλος ἦν δι' ἑαυτοῦ τὰ πράγματα ποιούμενος, ἀλλ' ὥσπερ ὄντως ἔν τε συμβούλου καὶ ἐν ὑπάρχου μέρει τῷ παιδὶ συνὼν αὐτός τε ἐμετρίαζε καὶ τὴν δόξαν τῶν ἔργων προσετίθει. V p. 585. Zonar. 8, 1 (vol. II, p. 173, 10—27).

[Zonar. 8, 1 — vol. II, p. 173, 11 sqq.]

νειν ἤθελον. ὁ δὲ γέρων ὁ τούτου πατὴρ καταριθμήσας τά τε οἰκεῖα καὶ τὰ τῶν προγόνων ἀνδραγαθήματα καὶ ὑποσχόμενος μηδὲν αὐτῶν πράξειν ἀνάξιον τὸν υἱὸν καὶ τὴν τούτου νεότητα πρὸς τὸ ἀτύχημα προβαλόμενος τῆς ὀργῆς αὐτοὺς αὐτίκα
fr. 33, 31 παρέλυσε. καί οἱ συνεξελθὼν μάχῃ τοὺς Σαυνίτας ἐνίκησε καὶ τὸ στρατόπεδον αὐτῶν εἷλε τήν τε χώραν ἐπόρθησε καὶ λείαν πολλὴν ἤλασε· καὶ τὰ μὲν αὐτῆς ἐδημοσίωσε, τὰ δὲ τοῖς στρατιώταις κατένειμε. διά τοι ταῦτα οἱ Ῥωμαῖοι ἐκεῖνόν τε ἐμεγάλυνον καὶ τὸν υἱὸν καὶ εἰς τὸ ἔπειτα ἀντὶ ὑπάτου ἄρξαι

30, 9 ⟨τὸν υἱὸν⟩ additum e Zonara ‖ 10 προβαλόμενος] προβαλλόμενος L ‖ 4 ⟨ἐκείνῳ⟩ προσετίθει Reiske, τῷ παιδὶ προσῆπτε Zonaras



ὅτι οἱ ⟨σὺν τῷ Ἰουνίῳ⟩ στρατιῶται ⟨ἅμ⟩α Πο- 32
στουμίῳ ἐξελθόντες κατὰ τὴν ὁδόν τε ἐνόσησαν καὶ a. u. 463
ἐδόκουν διὰ τὴν τοῦ ἄλσους τομὴν πονεῖσθαι. ἐπ' οὖν (291)
τούτοις ἀνακληθεὶς ἐν ὀλιγωρίᾳ κἀνταῦθα αὐτοὺς ἐποιήσατο λέγων οὐχ ἑαυτο⟨ῦ τὴν βουλὴν⟩, ἀλλ' ἐκεί-ν⟨ης αὐτὸν ἀρχεῖν. ηαι .................... φθονο ..ερον εν ... το ........ καὶ τὸν ... τῶν ἀνδρῶν πολλ ... ης φιλοτιμι ............... τι ...... (sunt verba Postumii Megilli, cf. Dionys. Hal. Ant. Rom. 16, 16). M p. 167.

ὅτι Γάιος Φαβρίκιος ἐν μὲν τοῖς ἄλλοις ὅμοιος ἦν 34
Ῥουφίνῳ, ἐν δὲ δὴ τῇ ἀδωροδοκίᾳ πολὺ προέχων· ἦν γὰρ ἀδωρότατος καὶ διὰ τοῦτο καὶ ἐκείνῳ οὔτ' ἠρέσκετο καὶ ἀεί ποτε διεφέρετο. ὅμως ἐχειροτόνησεν· ἐπιτηδειότατον γὰρ αὐτὸν ἐς τὴν τοῦ πολέμου χρείαν ἐνόμισεν εἶναι καὶ παρ' ὀλίγον τὴν ἰδίαν ἔχθραν 2
πρὸς τὰ κοινῇ συμφέροντα ἐποιήσατο καὶ δόξαν γε καὶ ἐκ τούτου ἐκτήσατο κρείττων καὶ τοῦ φθόνου γενόμενος, ὅσπερ που καὶ τῶν ἀρίστων ἀνδρῶν πολ-

[Zonaras 8, 1 — vol. II, p. 173, 22 sqq.]

ἐκέλευσαν ὑποστρατήγῳ καὶ τότε τῷ πατρὶ χρώμενον. καὶ ὃς πάντα μὲν αὐτὸς διῴκει καὶ διῆγε μηδὲν τοῦ γήρως φειδόμενος, οὐ μέντοι καὶ ἔνδηλος ἦν δι' ἑαυτοῦ τὰ πράγματα πράττων, ἀλλὰ τὴν δόξαν τῶν ἔργων τῷ παιδὶ προσῆπτε.

32, pagina 134 codicis Vaticani inde a versu octavo est ita male habita, ut iam Maius se oleum et operam perdere exclamaret. nec multum profecit Herwerdenus, cuius lectionem integram dedit Dindorfius. ego secutus sum Boissevainium, cui contigerat, ut quaedam rectius legeret ‖ 1 initium fragmenti recte suppleverat iam Mai ‖ 34, 1, 2 ἀδωροδοκίᾳ V, δωροδοκίᾳ L ‖ 4 ἐχειροτόνησεν V, (ἐχειροτονήθη L), idem 2, 1 ἐνόμισεν (ἐνόμισαν L) coll. Cic. de orat. 2, cap. 66 ‖ 2, 4 πολλοῖς R, πολὺς L

*λοῖς ὑπὸ φιλοτιμίας ἐγγίνεται. φιλόπολίς τε γὰρ ἀκριβῶς ὢν καὶ οὐκ ἐπὶ προσχήματι ⟨ἀρετὴν⟩ ἀσκῶν ἐν τῷ ἴσῳ τό τε ὑφ' ἑαυτοῦ καὶ ⟨τὸ⟩ δι' ἑτέρου τινός, κἂν διάφορός οἱ ᾖ, εὖ τι τὴν πόλιν παθεῖν ἐτίθετο.* V p. 586.

35 *⟨ὅτι ἐρωτηθεὶς Κορνή⟩λιος Φαβρίκιος, διὰ τί τῷ ἐχθρῷ τὰ πράγματα ⟨ἐπέτρεψε?⟩ τήν τε ἄλλην ἀρετὴν Ῥουφίνου....καὶ προσεῖπεν, ὅτι ⟨αἱρετωτερόν?⟩ ἐστιν ὑπὸ τοῦ πολίτου συληθῆναι ἢ ὑπὸ τῶν ἐχθρῶν ⟨πω⟩λ⟨η⟩θῆναι.* (est notum illud Fabricii Luscini, quod referunt Cicero de orat. 2, 66, 268; Quintil. 12, 1, 43; Gellius 4, 48.)

36 *⟨ὅ⟩τι Κούριος ⟨τὰ⟩ πεπραγμένα ⟨οἱ⟩ ἐν τῷ δήμῳ*
a. u. 464 *ἀπολογιζόμενος ἔφη ὅτι γῆν λεαν.........ην προσ-*
(290) *εκτήσατο τοσ⟨αύτην?⟩....λο...ες ἐξεγιγ..σαντο καὶ ἀνθρώπους τοσούσ⟨δε⟩ ἐθ⟨ηράσατο?⟩........καν αλλο τῆς χώρας......σεν.* (agitur de M'. Curio Dentato, cf. Auct. de Viris Illustr. c. 33.)

37 *⟨ὅ⟩τι χρεῶν ἀποκοπὴν εἰσηγουμένων τῶν δημάρχων.......σ το.....αφεσιν των τι προ τε...πολ-*

2, 6 *⟨ἀρετὴν⟩ ἀσκῶν* Reiske, *ἀρέσκων* L ‖ 7 *⟨τὸ⟩* om L ‖ **35** hoc fragmentum ex parte iam suppleverat Niebuhrius (Rh. Mus. 1828, p. 600 = Kl. Schriften 2, p. 241) ‖ 2 *πράγματα επ.εσε το* ‖ *ἀρετὴν τοῖς......φετο καὶ προσεῖπεν* ‖ 3 *ὅτι αἱρετωτερον...ἐστιν* ‖ **37** Niebuhrius, qui hoc fragmentum (Rhein. Mus. 1828, p. 579 sqq. = Kl. Schr. II, p. 241) egregie recensuit et illustravit, priorem partem in universum recte supplevit ita: *⟨ὅτι χρεῶν ἀποκοπὴν⟩ εἰσηγουμένων τῶν δημάρχων, ⟨ὁ νόμος⟩ πολλάκις ⟨μάτην ἐξετίθετο τῶν μὲν δανειστῶν αὐτὸν δέχεσθαι μηδαμῶς⟩ βουλομένων, τῶν δὲ ⟨δημάρχων αἵρεσιν διδόντων τοῖς⟩ δυνατοῖς, ἢ τοῦτον ⟨ἐπιψηφίσαι τὸν νόμον ἢ τῷ τοῦ Στόλωνος χρῆσθαι⟩ καὶ ἐκείνους τοὺς ⟨μὲν τόκους ἐπὶ τὸ ἀρχαῖον ἀναλογίσασθαι, τὸ δὲ λοιπὸν ἀποφοραῖς τρι⟩τετέσι κομίσασθαι. καὶ ἐν μὲν κτλ.*



*λάκις....ν...ντο παν απως....τους δανειστῶν βουλομένων τῶν δε...δε.....* (desunt 13—15 litterae) *παν....τοις δυνάτοις ἢ τοῦτον* (des. 23—25 litterae) *ἐκείνους λαβεῖν ἢ καὶ ἐκείνους τους . . χ . . το* (desunt 20—22 litterae) *σασθαι. καὶ ἐν μὲν τῷ παραχρῆμα οἵ τ' ἀσθενέστεροι ὀρρωδήσαντες* (?), *μὴ καὶ τοῦ παντὸς ἁμαρτήσοιντο, αὐτοῖς προσείχοντο, καὶ οἱ εὐπορώτεροι θαρσήσαντες, ὡς οὐδέτερον ἀναγκασθήσονται, ἤχθραινον· ἐπειδὴ δὲ ἐπίσχειν τὸ μεταστάν* (?) *τι ἔμελλεν ἐς τοὐναντίον ἀμφοτέροις αὐτοῖς περιέστη. τοῖς τε γὰρ ὀφείλουσιν οὐδέτερον ἔτ' αὐτῶν ἐξήρκεσε καὶ τοῖς δυνατοῖς ἀγαπητὸν ἐδόκει, εἰ μὴ καὶ τῶν ἀρχαίων στερηθεῖεν. οὔτ' οὖν ἐν τῷ τε παρόντι ἡ στάσις διεκρίθη καὶ μετὰ ταῦτα ἐπὶ μακρότερον ἐς τὸ φιλονεικεῖν συνέβαλλον ἀλλήλοις οὔτ' ἄλλο οὐδὲν ἐν τῷ*
*καθεστῶτι προσώπῳ ἐποίουν. τελευτῶντες οὖν οὐδ'* 2
*ἐθελόντων τῶν δυνατῶν πολλῷ πλείω τῶν κατ' ἀρχὰς ἐλπισθέντων σφίσιν ἀφεῖναι συνηλλάγησαν, ἀλλ' ὅσῳ μᾶλλον εἴκοντας αὐτοὺς ἑώρων, ἐπὶ πλέον ὡς καὶ δικαιώματί τινι περιγινόμενοι ἐθρασύνοντο, καὶ διὰ τοῦτο τά τε ἀεὶ συγχωρούμενα αὐτοῖς ὡς καὶ ἀναγκαῖα παρὰ*

[Zonar. 8, 2 — vol. II, p. 173, 28 sqq.]

2. *μετὰ δὲ ταῦτα δημάρχων τινῶν χρεῶν ἀποκοπὴν εἰσηγησαμένων, ἐπεὶ μὴ καὶ παρὰ τῶν δανειστῶν αὕτη ἐδίδοτο, ἐστασίασε τὸ πλῆθος· καὶ οὐ πρότερον τὰ τῆς στάσεως κατηυνάσθη, ἕως πολέμιοι τῇ πόλει*

1, 8 *ὀρρωδήσαντε?*] *η..σαντες* ‖ 9 *ἁμαρτήσοιντο, αὐτοῖς προσείχοντο* Boissevain; in codice desunt 30 fere litterae ‖ 11 *ἤχθραινον*] *ἠχθ....* ‖ *τὸ μεταστων* ‖ 14 *ἐδόκει εἰ μὴ*] *εὐδοκεῖν ..ειωθ..* dederat Mai, nam posterior versuum pars charta ad pergamenam conservandam inducta hodie legi nequit ‖ 14 *παρόντι.........διεκρι.η* Mai ‖ 16 *μετὰ ταῦτα* Boissevain, *μετὰ τούτων* L

μικρὸν ἐτίθεντο καὶ ἑτέρων ἐπωρέγοντο, ἐπιβασίαν ἐς ταῦτα τὸ τινῶν ἤδη τετυχηκέναι ποιούμενοι. M p. 167. Zonar. 8, 2 (vol. II, p. 173, 28—174, 1).

38 ὅτι ὡς εἶδον οἱ ἐναντίοι καὶ ἕτερον στρατηγὸν ἐλθόντα, τοῦ μὲν κοινοῦ τῆς στρατείας σφῶν ἠμέλησαν, τὴν δὲ ἰδίαν ἕκαστοι σωτηρίαν διεσκόπουν, οἷά που φιλοῦσι ποιεῖν οἱ μήτε ἐξ ὁμοφύλων συνιόντες μήτ' ἀπὸ κοινῶν ἐγκλημάτων στρατεύοντες μήτ' ἄρχοντα ἕνα ἔχοντες· ἐν μὲν γὰρ ταῖς εὐπραγίαις συμφρονοῦσιν, ἐν δὲ δὴ ταῖς συμφοραῖς τὸ καθ' ἑαυτὸν ἕκαστος
2 μόνον προορᾶται. καὶ ὥρμησαν ἐς φυγήν, ἐπειδὴ συνεσκότασε, μηδὲν ἀλλήλοις ἐπικοινωνήσαντες· ἀθρόοι μὲν γὰρ οὔτ' ἂν βιάσασθαι οὔτ' ἂν λαθεῖν τὴν ἀπόδρασιν ἐνόμισαν, ἂν δὲ αὐτοὶ ἰδίᾳ ἕκαστοι καὶ ὡς ᾤοντο μόνοι ἀπίωσι, ῥᾷόν που διαπεσεῖσθαι. καὶ οὕτω τῷ οἰκείῳ ἕκαστος αὐτῶν δόξουσι ὅτι ἀσφαλέστατα τὴν φυγὴν ποιησάμενοι . . . M p. 167.

39 ὅτι πυθομένων τῶν Ῥωμαίων, ὡς Ταραντῖνοι καὶ
a. u. 471 ἄλλοι τινὲς πόλεμον ἀρτύουσι κατ' αὐτῶν, καὶ πρεσ-
(283) βευτὴν Φαβρίκιον ἐς τὰς πόλεις τὰς συμμαχίδας, ὅπως μηδὲν νεωτερίσωσι, στειλάντων, ἐκεῖνόν τε συνέλαβον καὶ πέμψαντες πρὸς τοὺς Τυρσηνοὺς καὶ Ὀμβρικοὺς

[Zonar. 8, 2 — vol. II, p. 174, 3 sqq.]

fr. 39,1 ἐπήλθοσαν. ἦρξαν δὲ τῶν πολέμων οἱ Ταραντῖνοι Τυρσηνοὺς καὶ Γαλάτας καὶ Σαυνίτας καὶ ἄλλους προσεταιρισάμενοι πλείονας. ἀλλὰ τοὺς μὲν ἄλλους οἱ Ῥω-

38, 1, 5 κοινῶν Gros, κοινοῦ L ‖ 2, 1 προσορᾶται L, corr. B ‖ 5 ἀπίωσι B, φεύγωσι Gros, ποιήσωσι Mai, non iam legi potest in cod. ‖ διαπεσεῖσθαι. καὶ οὕτω B, διαπεσεῖ. ὅθεν legit Mai ‖ 6 δόξουσι κτλ.] δόξωσι . . . την . . λ . . . ον hodie in cod. legi posse affirmat Boissevain, δόξουσι ὅτι ἀσφαλέστατον Mai ‖ ἀσφαλέστατα B ‖ 39, 1, 5 τυρσικοὺς καὶ ὀμβρίσκους L



καὶ Γαλάτας συχνοὺς αὐτῶν τοὺς μὲν παραχρῆμα, τοὺς δ' οὐ πολλῷ ὕστερον προσαπέστησαν. U p. 375. Zonar. 8, 2 (vol. II, p. 174, 4 sq.).

ὅτι οἱ Ταραντῖνοι καίπερ τὸν πόλεμον αὐτοὶ παρα- 2
σκευάσαντες ὅμως ἐν σκέπῃ τοῦ φόβου ἦσαν· οἱ γὰρ Ῥωμαῖοι ᾐσθάνοντο μὲν τὰ πραττόμενα ὑπ' αὐτῶν, οὐ μέντοι καὶ προσεποιοῦντο διὰ τὰ παρόντα σφίσι. μετὰ δὲ δὴ τοῦτο νομίσαντες γοῦν ἢ δ.α..λειν ἢ πάντως γε λανθάνειν, ὅτι μηδ' ἔγκλημα ἐλάμβανον, ἐπὶ πλεῖον ἐξύβρισαν καὶ ἄκοντας αὐτοῖς τοὺς Ῥωμαίους ἐξεπολέμωσαν, ὥστε καὶ ἐπαληθεῦσαι, ὅτι καὶ εὐπραγίαι, ἐπειδὰν ἔξω τοῦ συμμέτρου τισὶ γένωνται, συμφορῶν σφισιν αἴτιαι καθίστανται· προαγαγοῦσαι γὰρ αὐτοὺς ἐς τὸ ἔκφρον (οὐδὲ γὰρ ἐθέλει τὸ σῶφρον τῷ χαύνῳ συνεῖναι) τὰ μέγιστα σφάλλουσιν, ὥσπερ που καὶ ἐκεῖνοι ὑπερανθήσαντες ἀντίπαλον τῆς ἀσελγείας κακοπραγίαν ἀντέλαβον. M p. 168 et 536.

Δίων θ' βιβλίῳ "Λούκιος Οὐαλέριος ναυαρχῶν τε 3
Ῥωμαίοις καὶ σταλείς ποι ὑπ' αὐτῶν." Bekk. Anecd. a. u. 472
p. 158, 25. Zonar. 8, 2 (vol. II, p. 174, 9 sq.). (282)

ὅτι ὁ Λούκιος ἀπεστάλη παρὰ Ῥωμαίων ἐς Τάραντα. 4
οἱ δὲ Ταραντῖνοι Διονύσια ἄγοντες καὶ ἐν τῷ θεάτρῳ

[Zonar. 8, 2 — vol. II, p. 174, 6 sqq.]

μαῖοι συμβαλόντες διαφόροις μάχαις ἐνίκησαν καὶ ὑπάτοις ἄλλοτε ἄλλοις· οἱ δὲ Ταραντῖνοι καίτοι αὐτοὶ τὸν πόλεμον παρασκευάσαντες ὅμως οὔπω πρὸς μάχην ἀντικατέστησαν
φανερῶς. ναυαρχοῦντος δὲ Λουκίου Οὐαλερίου καὶ fr. 39, 3
τριήρεσι προσορμίσαι βουληθέντος ἐς Τάραντα,

39, 2, 2 φόβου Boissevain coll. Herod. 1, 143, φοβεροῦ Madvig, φαβρίου L ‖ 3 ὑπ' B, ἀπ' L ‖ 5 δ.α..λειν] utrum inter δ et α altera littera fuerit necne, incertum est; nec satis constat de littera λ. Boissevain cogitavit de διασιλλοῦν (cf. Dio Cass. 59, 25, 4) vel διαφεύγειν

διακορεῖς οἴνου τὸ δείλης καθήμενοι πλεῖν ἐπὶ σφᾶς
αὐτὸν ὑπετόπησαν καὶ παραχρῆμα δι' ὀργῆς, καί τι
καὶ τῆς μέθης αὐτοὺς ἀναπειθούσης, ἀντανήχθησαν
καὶ προσπεσόντες αὐτῷ μήτε χεῖρας ἀνταιρομένῳ μήθ'
ὅλως πολέμιόν τι ὑποτοπουμένῳ κατέδυσαν κἀκεῖνον
καὶ ἄλλους πολλούς. πυθόμενοι δὲ ταῦθ' οἱ Ῥωμαῖοι
χαλεπῶς μέν, ὥσπερ οὖν εἰκός, ἔφερον, οὐ μὴν καὶ
στρατεῦσαι ἐπ' αὐτοὺς εὐθὺς ἠθέλησαν. πρέσβεις μέν-
τοι τοῦ μὴ κατασεσιωπηκέναι δόξαι κἀκ τούτου θρα-
συτέρους αὐτοὺς ποιῆσαι ἔστειλαν. καὶ αὐτοὺς οἱ
Ταραντῖνοι οὐχ ὅπως καλῶς ἐδέξαντο ἢ τρόπον γέ
τινα ἐπιτήδειον ἀποκρινάμενοι ἀπέπεμψαν, ἀλλ' εὐθύς,
πρὶν καὶ λόγον σφίσι δοῦναι, γέλωτα τά τε ἄλλα καὶ
6 τὴν στολὴν αὐτῶν ἐποιοῦντο. ἦν δὲ ἡ ἀστική, ᾗ κατ'
ἀγορὰν χρώμεθα· ταύτην γὰρ ἐκεῖνοι, εἴτ' οὖν σεμνό-
τητος ἕνεκα εἴτε καὶ διὰ δέος, ἵν' ἔκ γε τούτου αἰδε-
σθῶσιν αὐτούς, ἐσταλμένοι ἦσαν. κατὰ συστάσεις τε
οὖν κωμάζοντες ἐτώθαζον (καὶ γὰρ καὶ τότε ἑορτὴν

[Zonar. 8, 2 — vol. II, p. 174, 11 sqq.]

ἐπεὶ ἀπῄει, ὅπῃ σὺν αὐταῖς ἀπεστάλη, φίλιον τὴν
fr. 39,4 χώραν ἡγούμενος, οἱ Ταραντῖνοι κατ' αὐτῶν ὑπο-
τοπήσαντες τὸν Οὐαλέριον πλεῖν ἐκ τοῦ συνειδότος
ὧν ἔδρων, μετ' ὀργῆς ἀντανήχθησαν καὶ προσπε-
σόντες αὐτῷ μηδὲν πολέμιον ἐλπίσαντι κατέδυσαν
ἐκεῖνόν τε καὶ ἄλλους πολλούς· καὶ τοὺς ἁλόντας
fr. 39,5 τοὺς μὲν καθεῖρξαν, τοὺς δὲ καὶ ἀπέκτειναν. πυ-
θόμενοι δὲ ταῦθ' οἱ Ῥωμαῖοι ἠγανάκτησαν μέν,
πρέσβεις δ' ὅμως ἀπέστειλαν ἐπεγκαλοῦντες αὐτοῖς
καὶ δίκας ἀπαιτοῦντες. οἱ δὲ οὐ μόνον αὐτοῖς
οὐδὲν ἐπιεικὲς ἀπεκρίθησαν, ἀλλὰ καὶ ἐτώθαζον,

4, 3 τὸ δείλης] ἀπὸ δείλης Leunclavius ‖ 5 αὐτοὺς R, αὐ-
τοῖς L



ἦγον, ὑφ' ἧς καίτοι μηδένα χρόνον σωφρονοῦντες ἔτι
καὶ μᾶλλον ὕβριζον) καὶ τέλος προσστάς τις τῷ Πο-
στουμίῳ καὶ κύψας ἑαυτὸν ἐξέβαλε καὶ τὴν ἐσθῆτα
αὐτοῦ ἐκηλίδωσε. θορύβου δὲ ἐπὶ τούτῳ παρὰ πάντων 7
τῶν ἄλλων γενομένου, καὶ τὸν μὲν ἐπαινούντων ὥσ-
περ τι θαυμαστὸν εἰργασμένον, ἐς δὲ δὴ τοὺς Ῥω-
μαίους πολλὰ καὶ ἀσελγῆ ἀνάπαιστα ἐν ῥυθμῷ τοῦ τε
κρότου καὶ τῆς βαδίσεως ᾀδόντων ὁ Ποστούμιος "γε-
λᾶτε" ἔφη "γελᾶτε, ἕως ἔξεστιν ὑμῖν· κλαυσεῖσθε γὰρ
ἐπὶ μακρότατον, ὅταν τὴν ἐσθῆτα ταύτην τῷ αἵματι
ὑμῶν ἀποπλύνητε." U p. 375. M p. 168. Zonar. 8, 2
(vol. II, p. 174, 8—27).
ἀκούσαντες τοῦτ' ἐκεῖνοι τῶν μὲν σκωμμάτων ἐπ- 8
έσχον, ἐς δὲ τὴν παραίτησιν τοῦ ὑβρίσματος οὐδὲν
ἔπραξαν, ἀλλ' ὅτι γε σῶς αὐτοὺς ἀφῆκαν, ἐν εὐεργε-
σίας μέρει ἐτίθεντο. M ib.

[Zonar. 8, 2 — vol. II, p. 174, 22 sqq.]

ὡς καὶ τὴν ἐσθῆτα τοῦ *Λουκίου Ποστουμίου* τοῦ προέχοντος κηλιδῶσαι τῶν πρέσβεων. θορύβου δὲ ἐπὶ τούτῳ γενομένου, καὶ τῶν Ταραντίνων ἐπικαγχαζόντων ὁ Ποστούμιος "γελᾶτε" ἔφη, "γελᾶτε, ἕως ἔξεστιν ὑμῖν· κλαυσεῖσθε γὰρ ἐπὶ μακρότατον, ὅταν τὴν ἐσθῆτα ταύτην τῷ αἵματι ὑμῶν ἀποπλύνητε."

ἐπανελθόντων οὖν τῶν πρέσβεων οἱ Ῥωμαῖοι τὰ πραχ-
θέντα μαθόντες ἤλγησαν καὶ στρατεῦσαι ἐπὶ τοὺς Ταραντί-
νους *Λούκιον Αἰμίλιον* τὸν ὕπατον ἐψηφίσαντο. ὃς εἰς
Τάραντα προσχωρήσας λόγους αὐτοῖς ἐπιτηδείους ἔπεμψε
νομίζων εἰρήνην ἐπί τισι μετρίοις αἱρήσεσθαι. οἱ δὲ ταῖς cf. fr.
γνώμαις ἀλλήλοις ἠναντιώθησαν· καὶ τῶν μὲν πρεσβυτέρων 39, 9
καὶ εὐπόρων τὴν εἰρήνην σπευδόντων, τῶν δ' ἐν ἡλικίᾳ καὶ
ὀλίγα ἢ μηδὲν ἐχόντων πόλεμον αἱρουμένων ἐκράτησαν οἱ
νεώτεροι. φοβούμενοι δὲ ὅμως τὸν *Πύρρον* τὸν *Ἠπειρώτην*

6, 7 προστὰς cod. Brux. de legat. ‖ 7, 2 τὸν μὲν B, τῶν μὲν L

9 ὅτι Μέτων ὡς οὐκ ἔπεισε Ταραντίνους τὸ μὴ Ῥωμαίοις ἐκπολεμωθῆναι, ἔκ τε τῆς ἐκκλησίας ὑπεξῆλθε καὶ στεφάνους ἀνεδήσατο, συγκωμαστάς τέ τινας καὶ αὐλητρίδα λαβὼν ὑπέστρεψεν. ᾄδοντος δὲ αὐτοῦ καὶ κορδακίζοντος ἐξέστησαν τῶν προκειμένων καὶ ἐπεβόων καὶ ἐπεκρότουν, οἷα ἐν τῷ τοιούτῳ φιλεῖ γίγνεσθαι. καὶ ὃς σιγάσας αὐτοὺς "νῦν μὲν καὶ μεθύειν" ἔφη "καὶ κωμάζειν ἔξεστιν ἡμῖν· ἂν δ' ὅσα βουλεύεσθε ἐπιτελέσητε, δουλεύσομεν." M p. 169.

40 ὅτι ὁ Πύρρος ὁ βασιλεὺς τῆς τε Ἠπείρου καλου-
a. u. 473 μένης ἐβασίλευσε καὶ τοῦ Ἑλληνικοῦ τὸ πλεῖστον, τὸ
(281) μὲν εὐεργεσίαις, τὸ δὲ φόβῳ προσεπεποίητο. Αἰτωλοί τε πολὺ τότε δυνάμενοι καὶ Φίλιππος ὁ Μακεδὼν καὶ οἱ ἐν τῷ Ἰλλυρικῷ δυνάσται ἐθεράπευον αὐτόν. καὶ

[Zonar. 8, 2 — vol. II, p. 175, 7 sqq.]

εἰς συμμαχίαν ἐβουλεύσαντο προσκαλέσασθαι καὶ πρέσβεις αὐτῷ καὶ δῶρα πεπόμφασιν. Αἰμίλιος δὲ ταῦτα μαθὼν τὴν χώραν αὐτῶν ἐλεηλάτει καὶ ἔφθειρεν. οἱ δὲ ἐπεξῆλθον μέν, ἀλλ' ἐτράπησαν, ὥστε τοὺς Ῥωμαίους τήν τε χώραν αὐτῶν ἀδεῶς πορθῆσαι καί τινα χειρώσασθαι φρούρια. πολλὴν δὲ τῶν ἁλόντων τοῦ Αἰμιλίου πεποιηκότος πρόνοιαν καί τινας τῶν δυνατωτέρων ἐλευθερώσαντος οἱ Ταραντῖνοι τήν τε φιλανθρωπίαν αὐτοῦ θαυμάσαντες καὶ εἰς ἐλπίδας προαχθέντες σπονδῶν Ἄγιν τοῖς Ῥωμαίοις ἐπιτήδειον ὄντα εἵλοντο στρατηγὸν αὐτοκράτορα. ἄρτι δ' οὗτος κεχειροτόνητο
καὶ Κινέας ὑπὸ τοῦ Πύρρου προπεμφθεὶς ἐμποδὼν τοῖς
fr. 40, 1 πραττομένοις ἐγένετο. ὁ γὰρ Πύρρος τῆς καλουμένης
βασιλεύων Ἠπείρου φύσεώς τε δεξιότητι καὶ παιδείας ἰσχύι καὶ ἐμπειρίᾳ πάντων προέφερε καὶ τοῦ

9, 1 τὸ D, οὐ B, τοῦ L ‖ 40, 1, 3 προσεποιήτο (sic) L ‖ 4 Φίλιππος] per haec tempora nullus eo nomine regnavit in Macedonia, quodcirca corruptum hunc locum esse putat V; itaque pro Φίλιππος scribendum Ἀλέξανδρος censet R



γὰρ φύσεως λαμπρότητι καὶ παιδείας ἰσχύι καὶ ἐμπειρίᾳ πραγμάτων πολὺ πάντων προέφερεν, ὥστε καὶ ὑπὲρ τὰς δυνάμεις καὶ τὰς ἑαυτοῦ καὶ <τὰς> τῶν συμμάχων καίπερ μεγάλας οὔσας ἀξιοῦσθαι. V p. 589. Zonar. 8, 2 (vol. II, p. 175, 20—24).

ὅτι Πύρρος ὁ βασιλεὺς τῆς Ἠπείρου τό τε φρό- 2
νημα πολλῷ μεῖζον ἔσχεν ἅτε καὶ ὑπὸ τῶν ἀλλοφύλων ἀντίπαλος τοῖς Ῥωμαίοις εἶναι νομιζόμενος καὶ ἐν τύχῃ οἱ ἡγήσατο ἔσεσθαι τοῖς τε πρὸς αὐτὸν καταφυγοῦσιν, ἄλλως τε καὶ Ἕλλησιν οὖσιν, ἐπικουρῆσαι καὶ ἐκείνους σὺν προφάσει τινὶ εὐπρεπεῖ προκαταλαβεῖν, πρίν τι δεινὸν ὑπ' αὐτῶν παθεῖν. οὕτω γάρ που καὶ τῆς εὐδοξίας αὐτῷ ἔμελεν, ὥστε καὶ ἐκ πολλοῦ χρόνου Σικελίας ἐφιέμενος καὶ τὰ τῶν Ῥωμαίων ὅπῃ χειρώσαιτο διασκοπῶν ὀκνεῖν τῆς πρὸς αὐτοὺς ἔχθρας, ἐπειδὴ μηδὲν ἠδίκητο, προκατάρξασθαι. M p. 169. Zonaras 8, 2 (vol. II, p. 175, 25—28).

[Zonar. 8, 2 — vol. II, p. 175, 22 sqq.]

Ἑλληνικοῦ τὸ πλεῖστον τὸ μὲν εὐποιίαις, τὸ δὲ
φόβῳ προσεπεποίητο. οὗτος τοίνυν τοῖς τῶν Τα- fr. 40, 2
ραντίνων πρέσβεσιν ἐντυχὼν ἕρμαιον τὴν συμμαχίαν ἡγήσατο ἐκ πλείονος τῆς Σικελίας καὶ τῆς Καρχηδόνος καὶ τῆς Σαρδοῦς ἐφιέμενος, ὀκνῶν δ' ὅμως ἔχθρας πρὸς Ῥωμαίους αὐτὸς προκατάρξασθαι· καὶ βοηθήσειν μὲν αὐτοῖς ἐπηγγείλατο, ἵνα δὲ μὴ ὑποπτευθείη δι' ἅπερ εἴρηται, οἴκαδε αὐτίκα ἀνακομισθήσεσθαι ἔφη καὶ ἐν ταῖς συνθήκαις προστεθῆναι πεποίηκε τὸ μὴ περαιτέρω τῆς χρείας ἐν τῇ Ἰταλίᾳ παρ' αὐτῶν κατασχεθῆναι. συνθέμενος δὲ ταῦτα τοὺς μὲν πλείους τῶν πρέσβεων ὡς τὰ στρατεύματα αὐτῷ συμπαρασκευάσοντας ἐν ὁμηρείᾳ κατέσχεν, ὀλίγους δ' ἐξ αὐτῶν καὶ τὸν Κινέαν προέπεμψε σὺν

1, 8 ἑαυτοῦ Salmasius, ἑαυτῶν L ‖ <τὰς> inseruit St

3 ὅτι ὑπὸ τοῦ Κινέου ἔλεγεν ὁ Πύρρος ὁ βασιλεὺς πλείονας πόλεις ἢ ὑπὸ τοῦ αὐτοῦ ἐξελεῖν δόρατος. καὶ γὰρ ἦν δεινὸς [εἶναι], φησὶ Πλούταρχος, ἐν τῷ λέγειν καὶ τῷ Δημοσθένει μόνος ἐν τῇ δεινότητι παρισούμενος. ἀμέλει καὶ τὸ ἄτοπον τῆς ἐκστρατείας οἷα ἔμφρων εἰδὼς ἀνὴρ ἐμποδὼν τῷ Πύρρῳ ἐς λόγους ἐλθὼν καθίστατο· ὁ μὲν γὰρ ἄρξειν ⟨διὰ τὴν⟩ ἀνδρείαν πάσης διενοεῖτο τῆς γῆς, ὁ δὲ ἀρκεῖσθαι ἱκανοῖς οὖσι τοῖς οἰκείοις πρὸς εὐδαιμονίαν προέτρεπεν. ἀλλὰ τὸ φιλοπόλεμον τοῦ ἀνδρὸς καὶ φιλόπρωτον τὴν τοῦ Κινέου νικῆσαν παραίνεσιν αἰσχρῶς ἀπαλλάξαι αὐτὸν καὶ Σικελίας καὶ Ἰταλίας πεποίηκεν, πολλὰς τῶν αὐτοῦ δυνάμεων μυριάδας ἐν ταῖς μάχαις ἁπάσαις ἀποβεβληκότα. V p. 586.

[Zonar. 8, 2 — vol. II, p. 176, 4 sqq.]

στρατῷ. ἐλθόντων δ' αὐτῶν οἱ Ταραντῖνοι θαρσήσαντες τῶν τε καταλλαγῶν τῶν πρὸς Ῥωμαίους ἀπέσχοντο καὶ τὸν Ἄγιν παύσαντες τῆς στρατηγίας ἕνα τῶν πρέσβεων ἐχειροτόνησαν στρατηγόν. μετ' οὐ πολὺ δὲ Μίλων ὑπὸ τοῦ Πύρρου σὺν δυνάμει πεμφθεὶς τήν τε ἀκρόπολιν αὐτῶν ἐς τὴν ἐκείνου ὑποδοχὴν κατειλήφει καὶ τὴν τοῦ τείχους φρουρὰν ὑφ' ἑαυτὸν ἐποιήσατο. καὶ οἱ Ταραντῖνοι ἐπὶ τούτοις ἔχαιρον ὡς μήτε φρουρεῖν μήτ' ἄλλο τι ἐπίπονον ὑπομένειν ἀναγκαζόμενοι καὶ αὐτοῖς τροφὰς ἐχορήγουν καὶ τῷ Πύρρῳ χρήματα ἔπεμπον.

ὁ οὖν Αἰμίλιος τέως μὲν κατὰ χώραν ἔμενεν, ἐπεὶ δὲ τούς τε Πυρρείους ἥκοντας ἔγνω καὶ διὰ τὸν χειμῶνα προσκαρτερεῖν οὐχ οἷός τε ἦν, ἐς Ἀπουλίαν ὥρμησεν. οἱ δὲ Ταραντῖνοι ἔν τινι στενοπόρῳ χωρίῳ, δι' οὗ διελθεῖν ἀνάγ-

---

3,1 ἔλεγεν ὁ Π. B, ἐλέγετο Π. L ‖ 2 αὐτοῦ L ‖ 3 [εἶναι] delevit Reiske ‖ 6 ἐμποδὼν ⟨αὐτῇ⟩ Reiske ‖ 7 ⟨διὰ τὴν⟩ om. L in fine versus, ins. V ‖ 8 διενοεῖτο B, διενόει L ‖ 9 οὖσι] οὔσῃ L ‖ προέτρεπεν R, ἐπέτρεπεν L ‖ 13 αὐτοῦ V, αὐτῶν L



ὅτι Πύρρος πέμψας ἐς Δωδώνην ἐμαντεύσατο περὶ 4
τῆς στρατείας· καί οἱ χρησμοῦ ἐλθόντος, ἂν ἐς τὴν Ἰταλίαν περαιωθῇ, Ῥωμαίους νικήσειν, συμβαλὼν αὐτὸν πρὸς τὸ βούλημα (δεινὴ γὰρ ἐξαπατῆσαί τινα ἐπιθυμία ἐστίν) οὐδὲ τὸ ἔαρ ἔμεινεν. M p. 169.

ὅτι οἱ Ῥηγῖνοι φρουρὰν ᾐτήσαντο παρὰ Ῥωμαίων, 5
ἡγεῖτο δὲ αὐτῆς Δέκιος. τούτων οὖν οἱ πλείους ἔκ τε a. u. 474
τῆς περιουσίας τῶν ἐπιτηδείων καὶ ἐκ τῆς ἄλλης ῥᾳ- (280)
στώνης, ἅτε καὶ ἀνειμένῃ παρὰ πολὺ διαίτῃ πρὸς τὰ
οἴκοι χρώμενοι, ἐπεθύμησαν ἐνάγοντος αὐτοὺς τοῦ
Δεκίου τοὺς πρώτους τῶν Ῥηγίνων ἀποκτείναντες τὴν
πόλιν κατασχεῖν· ἄδεια γὰρ αὐτοῖς πολλὴ ἐφαίνετο
τῶν Ῥωμαίων περὶ τοὺς Ταραντίνους καὶ περὶ τὸν
Πύρρον ἀσχόλων ὄντων πάνθ' ὅσα ἐβούλοντο πρᾶξαι.
προσανέπειθε δὲ αὐτούς, ὅτι καὶ τὴν Μεσσήνην ὑπὸ 6
τῶν Μαμερτίνων ἐχομένην ἑώρων· οὗτοι γὰρ Καμπα-
νοί τε ὄντες καὶ φρουρεῖν αὐτὴν ὑπ' Ἀγαθοκλέους
τοῦ ἐν Σικελίᾳ δυναστεύοντος ταχθέντες σφαγάς τε
τῶν ἐπιχωρίων ἐποιήσαντο καὶ τὴν πόλιν κατέσχον.
οὐ μέντοι ἐκ τοῦ προφανοῦς τὴν ἐπιχείρησιν ἐποιή- 7
σαντο· πολὺ γὰρ ἠλαττοῦντο τῷ πλήθει· ἀλλ' ἐπιστο-

[Zonar. 8, 2 — vol. II, p. 176, 20 sqq.]

κην εἶχε, λοχήσαντες ἄπορον αὐτῷ τὴν πορείαν ἐποίουν τοξεύμασιν ἀκοντίσμασί τε καὶ σφενδονήμασιν. ὁ δὲ τοὺς αἰχμαλώτους σφῶν, οὓς ἐπήγετο, προήγαγε. φοβηθέντες δ' οἱ Ταραντῖνοι, μὴ τοὺς σφετέρους ἀντὶ τῶν Ῥωμαίων ἀπολέσωσιν, ἐπαύσαντο.

ὁ δὲ Πύρρος οὐδὲ τὸ ἔαρ ἀναμείνας ἀπῄει στράτευμά fr. 40,4

---

4, 5 ἐστίν Mai, τουτέστιν L ‖ 5, 1 Ῥωμαίων B, Ῥωμαίοις L ‖ 5 αὐτοὺς R, αὐτοῖς L ‖ 6 ἀποκτείναντας L ‖ 6, 1 προσανέπειθε B, προσανέπειθον L ‖ 2 μανεθίνων L ‖ 4 τοῦ vel ⟨τοῦ⟩ τῶν Reiske, τῶν L

λὰς ὁ Δέκιος ὡς καὶ τῷ Πύρρῳ ἐπὶ προδοσίᾳ σφῶν
ὑπό τινων γεγραμμένας πλάσας ἤθροισε τοὺς στρα-
τιώτας καὶ ἐκείνας τε αὐτοῖς ὡς καὶ ἑαλωκυίας ἀνέγνω
καὶ προσπαρώξυνεν αὐτοὺς εἰπὼν οἷα εἰκὸς ἦν, ἄλλως
τε καὶ ἐσαγγείλαντός τινος ἐκ κατασκευασμοῦ, ὅτι
ναυτικόν τέ τι τοῦ Πύρρου κατῆρέ που τῆς χώρας καὶ
8 ἐς λόγους τοῖς προδόταις ἀφικνεῖται. οἱ δὲ παρεσκευ-
ασμένοι ἐμεγάλυνον καὶ διεβόων προκαταλαβεῖν τοὺς
Ῥηγίνους, πρίν τι δεινὸν παθεῖν· ἀγνοοῦντας δὲ τὸ
πρασσόμενον χαλεπῶς ⟨ἂν⟩ ἀντισχεῖν. καὶ οἱ μὲν ἐς
τὰς καταγωγὰς σφῶν, οἱ δὲ ἐς τὰς οἰκίας ἐσπηδήσαν-
τες ἐφόνευσαν πολλοὺς πλὴν ὀλίγων, οὓς ὁ Δέκιος
καλέσας ἐπὶ δεῖπνον ἔσφαξεν. V p. 589.

9 ὅτι ὁ Δέκιος ὁ φρούραρχος τοὺς Ῥηγίνους ἀπο-
σφάξας φιλίαν πρὸς Μαμερτίνους ἐσπείσατο νομίζων
αὐτοὺς ἐκ τοῦ ὁμοιοτρόπου τῶν τολμημάτων πιστοτά-
τους σφίσι συμμάχους ἔσεσθαι ἅτε καὶ εὖ εἰδώς, ὅτι
συχνοὶ τῶν ἀνθρώπων ἰσχυροτέραις δή τισιν ἀνάγκαις

[Zonar. 8, 2 — vol. II, p. 176, 27 sqq.]

τε πολὺ καὶ ἔκκριτον ἐπαγόμενος καὶ ἐλέφαντας εἴκοσι, ζῷα
μήπω πρότερον τοῖς ἐν τῇ Ἰταλίᾳ ὀφθέντα· ὅθεν ἐξεπλήσ-
σοντο καὶ ἐθαύμαζον. χειμῶνι δὲ περιπεσὼν τὸ Ἰόνιον
περαιούμενος πολλοὺς ἀπώλεσε τοῦ στρατεύματος, οἱ δὲ λοι-
ποὶ τῷ κλύδωνι ἐσκεδάσθησαν. μόλις δ' οὖν πεζεύσας ἦλ-
θεν εἰς Τάραντα. καὶ αὐτίκα τοὺς μὲν ἀκμάζοντας τοῖς
ἑαυτοῦ στρατιώταις συνέταξεν, ὅπως μὴ καθ' ἑαυτοὺς λελο-
χισμένοι νεωτερίσωσι, καὶ τὸ θέατρον ἔκλεισε τάχα διὰ τὸν
πόλεμον, ὅπως μὴ ἐς αὐτὸ συνερχόμενοι νεοχμώσωσί τι,
ἀπεῖπε δ' αὐτοῖς καὶ πρὸς συμπόσια καὶ κώμους ἀθροίζεσθαι
καὶ τοὺς νεωτέρους ἐν τοῖς ὅπλοις ἀσκεῖσθαι ἐκέλευεν ἢ
διημερεύειν κατὰ τὴν ἀγοράν. ὡς δέ τινες ἀχθόμενοι τού-

7, 3 προδοσίαν L ‖ 7 ἐσαγγείλαντες L ‖ 8, 4 ⟨ἂν⟩ ἀντισχεῖν St, ἀντισχεῖν L, ἀντίσχειν B



ὑπὸ τοῦ τῶν ὁμοίων τι παρανομῆσαι τοῦ τε κατὰ νό-
μους ἑταιρικοῦ καὶ τοῦ κατὰ γένος οἰκείου συνίσταν-
ται. M p. 170.

ὅτι διαβολὴν ἀπ' αὐτῶν οἱ Ῥωμαῖοι χρόνον τινὰ 10
ἔσχον τὸν μέχρις οὗ ἐπεξῆλθον αὐτοῖς· πρὸς γὰρ τὰ
μείζω καὶ πρὸς τὰ μᾶλλον κατεπείγοντα ἀσχολίαν
ἄγοντες παρὰ σμικρόν τισιν αὐτὰ ποιεῖσθαι ἔδοξαν.
M p. 170.

ὅτι οἱ Ῥωμαῖοι μαθόντες ἥξειν τὸν Πύρρον κατέ- 11
δεισαν ἐκεῖνόν τε αὐτὸν εὐπόλεμον εἶναι μαθόντες
καὶ δύναμιν πολλὴν καὶ ἀνανταγώνιστον ἔχειν, οἷά

[Zonaras 8, 2 — vol. II, p. 177, 9 sqq.]

τοις ὑπεχώρησαν, φρουροὺς ἐκ τῶν οἰκείων κατέστησεν, ὥστε
μηδένα ἐξιέναι τῆς πόλεως. οἱ δὲ τούτοις τε καὶ τῇ χορηγίᾳ
τῶν τροφῶν βαρυνόμενοι καὶ τοὺς δορυφόρους εἰς τὰς
οἰκίας αὐτῶν ἀναγκαζόμενοι δέχεσθαι μετεγίνωσκον δεσπό-
του καὶ οὐχὶ συμμάχου τοῦ Πύρρου πειρώμενοι. ὁ δὲ διὰ
ταῦτα μὴ πρὸς τοὺς Ῥωμαίους ἀποκλίνωσι φοβηθεὶς τῶν
τὰ πολιτικὰ δυναμένων πράττειν καὶ προστατεῖν τοῦ ὁμίλου
τοὺς μὲν εἰς τὴν Ἤπειρον πρὸς τὸν υἱὸν ἐπί τισι προφά-
σεσιν ἔπεμπε, τοὺς δὲ καὶ ἀφανῶς διώλλυεν. Ἀρίσταρχον
δέ τινα ἐν τοῖς ἀρίστοις τῶν Ταραντίνων ἐξεταζόμενον καὶ
εἰπεῖν πιθανώτατον προσηταιρίσατο, ἵν' ὕποπτος τῷ δήμῳ
ὡς τὰ τοῦ Πύρρου φρονῶν γένηται· ὡς δ' ἔτι πιστεῦον
ἐκείνῳ τὸ πλῆθος ἑώρα, ἔπεμπεν αὐτὸν εἰς τὴν Ἤπειρον·
καὶ ὃς ἀντειπεῖν μὴ θαρρῶν ἐξέπλευσε μέν, ἐς δὲ τὴν Ῥώ-
μην ἀφίκετο.

3. καὶ τοιαῦτα μὲν ὁ Πύρρος τοῖς Ταραντίνοις ἐποίει· οἱ fr. 40,11
δ' ἐν τῇ Ῥώμῃ μαθόντες τὸν Πύρρον ἐλθόντα εἰς
Τάραντα κατέδεισαν τῷ τε ἐκπεπολεμῶσθαι τὰ ἐν
τῇ Ἰταλίᾳ αὐτοῖς καὶ τῷ θρυλεῖσθαι ἐκεῖνον εὐπό-
λεμόν τε τυγχάνειν καὶ δύναμιν ἔχειν ἀνανταγώνι-

10, 3 κατεπείγοντα B, κατεπειγόμενα Mai, κατιπεγγόναι L ‖ 11, 2 μαθόντες L, ἀκούοντες B

*που συμβαίνει περί τε τῶν ἀγνώστων σφίσι καὶ περὶ τῶν διὰ πλείστου ὄντων μάλιστα θρυλεῖσθαι τοῖς πυνθανομένοις.* M p. 170. Zonar. 8, 3 (vol. II, p. 177, 27—178, 1).

12 *ἀδύνατον γάρ ἐστι μήτε ἐν τοῖς αὐτοῖς ἔθεσι τεθραμμένους τινὰς μήτε τῶν αὐτῶν ἐπιθυμοῦντας μήτε τὰ αὐτὰ αἰσχρὰ καὶ καλὰ νομίζοντας εἶναι φίλους ποτὲ ἀλλήλοις γενέσθαι.* M p. 537.

[Zonaras 8, 3 — vol. II, p. 178, 1 sqq.]

*σ τ ο ν. στρατιώτας τε οὖν κατέλεγον καὶ χρήματα ἤθροιζον φρουρούς τε ἐς τὰς συμμαχίδας πόλεις διέπεμπον, ἵνα μὴ καὶ ἐκεῖναι ἀποστῶσι, καί τινας προαισθόμενοι νεωτεριοῦντας τοὺς πρώτους αὐτῶν ἐκόλασαν. καί τινες τῶν Πραινεστίνων ἐς τὴν Ῥώμην ἀχθέντες περὶ δείλην ὀψίαν εἰς τοὺς θησαυροὺς ἐπὶ φυλακῇ ἐνεβλήθησαν, καί τις αὐτοῖς ἐκ τούτου χρησμὸς ἐπεπλήρωτο· ἐχρήσθη γὰρ αὐτοῖς ποτε, ὅτι τοὺς τῶν Ῥωμαίων καθέξουσι θησαυρούς. καὶ ὁ μὲν χρησμὸς εἰς τοῦτο ἀπέβη, ἐκεῖνοι δέ γε ἀπώλοντο.*

*Οὐαλέριον δὲ Λαουίνιον ἐπὶ τὸν Πύρρον καὶ τοὺς Ταραντίνους καὶ τοὺς ἄλλους τοὺς σὺν αὐτοῖς ἀπεστάλκασι καί τι καὶ ἐν τῷ ἄστει τοῦ στρατεύματος κατέσχον. ὁ γοῦν Λαουίνιος εὐθὺς ἐξεστράτευσεν, ἵνα πορρωτάτω τὸν πόλεμον τῆς οἰκείας ποιήσηται· καὶ τὸν Πύρρον καταπλήξειν ἤλπισεν, εἰ αὐτοῖς ἐθελονταὶ ἐπίοιεν, οὓς ἐκεῖνος πολιορκεῖν προσεδόκησε. καὶ ἀπιὼν χωρίον τι τῶν Λευκανῶν εἷλεν ἰσχυρὸν καὶ ἐπίκαιρον καὶ δύναμίν τινα ἐν τῇ Λευκανίᾳ κατέλιπεν εἴρξουσαν αὐτοὺς τοῦ ἐπαρῆξαι τοῖς ἐναντίοις.*

*καὶ ὁ Πύρρος μαθὼν τὸν Λαουίνιον πλησιάζοντα προεξώρμησε καὶ στρατοπεδευσάμενος τρίβειν ἤθελε τὸν καιρὸν ἀναμένων τοὺς συμμαχήσοντας. καὶ τῷ Λαουινίῳ ἐπέστειλεν ὑπερηφάνως ὡς καταπλήξων αὐτόν· εἶχε δὲ ἡ γραφὴ ὧδε. “Βασιλεὺς Πύρρος Λαουινίῳ χαίρειν. πυνθάνομαί σε στράτευμα ἐπὶ Ταραντίνους ἄγειν. τὸ μὲν οὖν ἀπόπεμψον, αὐτὸς*

11, 4 *σφίσι*] *φησὶ* L ‖ 5 *μάλιστα ὄντων* L, transposuit Herw.



*ὅτι ἥ τε φιλοτιμία καὶ ἡ ἀπιστία ἀεὶ τοῖς τυράν-* 13
*νοις πάρεστιν, ἐξ ὧν ἀνάγκη μηδένα αὐτοὺς ἀκριβῆ φίλον ἔχειν· ἀπιστούμενος γὰρ καὶ φθονούμενός τις οὐδένα ἂν καθαρῶς ἀγαπήσειε. πρὸς δ' ἔτι καὶ ἡ τῶν τρόπων ὁμοιότης ἥ τε τοῦ βίου ἰσότης καὶ τὸ τὰ αὐτά τισι καὶ σφαλερὰ καὶ σωτήρια εἶναι καὶ ἀληθεῖς καὶ βεβαίους φίλους μόνα ποιεῖ. ὅπου δ' ἂν τούτων τι ἐνδεήσῃ, προσποιητὸν μέν τι σχῆμα ἑταιρίας ὁρᾶται, ἕρμα δ' οὐδὲν αὐτῆς ἐχέγγυον εὑρίσκεται.* M p. 170 et 537.

[Zonaras 8, 3 — vol. II, p. 178, 30 sqq.]

*δὲ μετ' ὀλίγων ἧκε πρὸς ἐμέ· δικάσω γὰρ ὑμῖν ἐγώ, εἴ τι ἀλλήλοις ἐγκαλεῖτε, καὶ ἄκοντας τὰ δίκαια ποιεῖν ἀναγκάσω.” Λαουίνιος δὲ τάδε τῷ Πύρρῳ ἀντέγραψε. “πάνυ μοι δοκεῖς, ὦ Πύρρε, τετυφῶσθαι δικαστὴν ἡμῖν ἑαυτὸν καθιστὰς καὶ Ταραντίνοις, πρὶν δίκην ἡμῖν ὑποσχεῖν, ὅτι καὶ τὴν ἀρχὴν εἰς Ἰταλίαν ἐπεραιώθης. ἥξω τε οὖν μετὰ παντὸς τοῦ στρατοῦ καὶ τὴν προσήκουσαν τιμωρίαν καὶ παρὰ Ταραντίνων καὶ παρὰ σοῦ λήψομαι. τί γὰρ δεῖ μοι λήρου καὶ φλυαρίας ἐξὸν παρὰ τῷ Ἄρει, τῷ προπάτορι ἡμῶν κριθῆναι;” τοιαῦτα ἀντεπιστείλας ἠπείγετο καὶ ηὐλίσατο διὰ μέσου τὸ ῥεῦμα τοῦ ἐκεῖ ποταμοῦ ποιησάμενος. κατασκόπους τέ τινας συλλαβών, δείξας τὴν δύναμιν αὐτοῖς καὶ ἐπειπὼν πολλαπλασίαν ἄλλην ἔχειν ἀπέπεμψε. καὶ ἐπὶ τούτοις ὁ Πύρρος καταπλαγεὶς οὐ μάχεσθαι ἤθελεν, ὅτι καὶ τῶν συμμάχων οὔπω τινὲς συνῆλθον αὐτῷ, ἐπιλείψειν τε τοῖς Ῥωμαίοις τὰ ἐπιτήδεια ἤλπιζεν ἐν πολεμίᾳ διάγουσι. ταῦτα δὲ καὶ ὁ Λαουίνιος λογιζόμενος ἔσπευδε συμμῖξαι. τῶν δὲ στρατιωτῶν πρὸς τὴν τοῦ Πύρρου φήμην καὶ διὰ τοὺς ἐλέφαντας ἐκπεπληγμένων συγκαλέσας αὐτοὺς πολλὰ πρὸς θάρσος παρακαλοῦντα ἐδημηγόρησε καὶ παρεσκευάζετο καὶ ἄκοντι τῷ Πύρρῳ συμμῖξαι. ὁ δὲ γνώμην μὲν οὐκ εἶχε μάχεσθαι, ὅπως δὲ μὴ δόξῃ τοὺς Ῥωμαίους φοβεῖσθαι, καὶ αὐτὸς τοῖς*

13, 8 *τι* B, *τὸ* L

14 ὅτι στρατηγία ἂν μὲν καὶ δυνάμεις ἀξιόχρεως λάβῃ, πλεῖστον καὶ πρὸς σωτηρίαν σφῶν καὶ πρὸς ἐπικράτησιν φέρει, αὐτὴ δὲ καθ' ἑαυτὴν οὐδενὸς ἐν μέρει· οὐδὲ γὰρ οὐδ' ἄλλη τις τέχνη χωρὶς τῶν συμπραξόντων καὶ συνδιοικησόντων αὐτῇ ἰσχύει. M p. 171.

15 ὅτι τοῦ Μεγακλέους τελευτήσαντος καὶ τοῦ Πύρρου τὸν πῖλον ἀπορρίψαντος ἐς τὸ ἐναντίον ἡ μάχη περιέστη· τοῖς μὲν γὰρ ἡ σωτηρία αὐτοῦ πολὺ πλεῖον ἐκ

[Zonaras 8, 3 — vol. II, p. 179, 23 sqq.]

οἰκείοις διαλεχθεὶς ἐπώτρυνεν εἰς τὸν πόλεμον. Λαουίνιος δὲ τὸν ποταμὸν πειρώμενος κατὰ τὸ στρατόπεδον διαβῆναι ἐκωλύθη. ἐπαναγαγὼν οὖν αὐτὸς μὲν κατὰ χώραν μετὰ τοῦ πεζοῦ ἔμεινε, τοὺς δ' ἱππεῖς ὡς ἐπὶ λείαν τάχα τινὰ ἔπεμψεν ἐντειλάμενος πόρρω ποι βαδίσαντας περαιωθῆναι. καὶ οὕτως ἐκεῖνοί τε κατὰ νώτου τοῖς πολεμίοις προσέπεσον ἀπροσδόκητοι, καὶ ὁ Λαουίνιος ταραχθέντων αὐτῶν τόν τε ποταμὸν διέβη καὶ τῆς μάχης συνεπελάβετο. φεύγουσιν οὖν τοῖς ἑαυτοῦ ὁ Πύρρος ἐπικουρήσας τρωθέντα τὸν ἵππον ἀπέβαλε καὶ ἔδοξεν αὐτοῖς τεθνηκέναι. κἀκ τούτου τῶν μὲν ἀθυμησάντων, τῶν δὲ καταφρονησάντων τὸ ἔργον ἠλλοίωτο. συνεὶς δὲ τοῦτο τὴν μὲν στολὴν ἐκπρεπεστέραν τῶν ἄλλων οὖσαν ἔδωκε Μεγακλεῖ κελεύσας ἐνδῦναι αὐτὴν καὶ πανταχόσε περιελαύνειν, ὅπως σώζεσθαι αὐτὸν νομίσαντες οἱ μὲν ἐναντίοι πρὸς δέος, οἱ δ' οἰκεῖοι πρὸς θάρσος ἀφίκωνται, αὐτὸς δὲ στειλάμενος ἰδιωτικῶς συνέμιξεν αὐτοῖς παντὶ τῷ στρατῷ πλὴν ἐλεφάντων καὶ τοῖς ἀεὶ πονουμένοις ἐπαμύνων πλεῖστον τοὺς σφετέρους ὠφέλησε. τὰ μὲν οὖν πρῶτα ἐπὶ πολὺ τῆς ἡμέρας ἰσορρόπως ἐμάχοντο, ὡς δὲ τὸν Μεγακλέα τις ἀποκτείνας ᾠήθη τὸν Πύρρον ἀπεκτονέναι καὶ τοῖς ἄλλοις δόκησιν τούτου παρέσχεν, οἵ τε Ῥωμαῖοι ἐπερρώσθησαν καὶ fr. 40,15 οἱ ἐναντίοι ἐνέδοσαν. γνοὺς δὲ ὁ Πύρρος τὸ γινόμενον τὸν πῖλον ἀπέρριψε καὶ γυμνῇ τῇ κεφαλῇ περιῄει· καὶ εἰς τοὐναντίον περιέστη ἡ μάχη. ἰδὼν δὲ τοῦτο

14, 3 ἐν μέρει] κρατεῖ? B



τοῦ παρὰ τὴν ἐλπίδα σφῶν αὐτὸν περιεῖναι ἢ εἰ μηδ' ἀρχὴν τεθνηκέναι ἐνενόμιστο, θάρσος ἐνεποίησεν, οἱ δὲ ἀπατηθέντες δεύτερον οὐδὲν ἔτι ⟨τὸ⟩ πρόθυμον ἔσχον κολουσθέντες τε αὖθις τὸ μάτην θαρσῆσαν καὶ ἐκ τῆς δι' ὀλίγου μεταβολῆς σφῶν ἐς τὴν τοῦ χείρονος δόκησιν οὐδ' ὕστερόν ποτε αὖθις φθαρήσεσθαι ἐλπίσαντες. M p. 171. Zonar. 8, 3 (vol. II, p. 180, 16—18).

ὅτι συγχαιρόντων τινῶν τῷ Πύρρῳ τῆς νίκης τὴν 16

[Zonaras 8, 3 — vol. II, p. 180, 17 sqq.]

ὁ Λαουίνιος καὶ ἱππέας ἔχων ἐνεδρεύοντάς που τῆς μάχης ἐκτὸς κατὰ νώτου προσπεσεῖν αὐτοὺς τοῖς πολεμίοις ἐκέλευσε. πρὸς τοῦτο δὲ ἀντιστρατηγῶν ὁ Πύρρος τὸ σημεῖον τοῖς ἐλέφασιν ἦρεν· ἔνθα ἔκ τε τῆς τῶν θηρίων θέας ἀλλοκότου οὔσης καὶ τῆς βοῆς φρικώδους καὶ ἐκ τοῦ τῶν ὅπλων πατάγου, ὃν οἱ ἐπιβεβηκότες ἐποίουν ἐν τοῖς πύργοις φερόμενοι, αὐτοί τε οἱ Ῥωμαῖοι ἐξεπλάγησαν, καὶ οἱ σφῶν ἵπποι ἐκταραχθέντες οἱ μὲν ἀποσειόμενοι τοὺς ἀναβάτας, οἱ δὲ καὶ φέροντες ἔφευγον. ἀθυμῆσαν οὖν ἐκ τούτων τὸ Ῥωμαϊκὸν ἐτράπετο στράτευμα, καὶ φεύγοντες ἀνῃροῦντο οἱ μὲν παρὰ τῶν ἐν τοῖς πύργοις ἀνδρῶν τοῖς ἐπὶ τῶν ἐλεφάντων, οἱ δὲ καὶ παρ' αὐτῶν τῶν θηρίων ταῖς προβοσκίσι καὶ τοῖς κέρασιν ἢ καὶ ὀδοῦσι φθειρόντων πολλούς· καὶ τοῖς ποσὶ δὲ οὐ μείους κατηλόων συμπατουμένους. καὶ οἱ ἱππεῖς δὲ ἐφεπόμενοι πολλοὺς ἔφθειρον· οὐδ' ἂν ὑπελείφθη τις, εἰ μὴ ἐλέφας τρωθεὶς αὐτός τε ἐσφάδαζεν ἐκ τοῦ τραύματος καὶ οἱ ἄλλοι πρὸς τὰς ἐκείνου βοὰς ἐταράσσοντο. διὰ τοῦτο γὰρ ὁ Πύρρος ἐπέσχε τὴν δίωξιν, καὶ οὕτως οἱ Ῥωμαῖοι διαβεβηκότες τὸν ποταμὸν εἰς Ἀπουλίδα πόλιν τινὰ ἀπεσώθησαν. πολλοὶ δὲ καὶ τῶν τοῦ Πύρρου στρατιωτῶν καὶ τῶν ἡγεμό-

15, 4 παρὰ Tafel in versione, quem secutus est Gros, πάθους L ‖ 6 ⟨τὸ⟩ om. L ‖ 9 αὖθις Herwerden, αὐτὸν L ‖ φθαρήσεσθαι B, θαρσήσεσθαι L, Herwerden cogitavit de χαρήσεσθαι (= χαιρήσειν)

μὲν δόξαν τοῦ ἔργου ἐδέχετο, εἰ δὲ δὴ καὶ αὖθίς ποτε ὁμοίως κρατήσειεν, ἀπολεῖσθαι ἔφη. καὶ τοῦτό τ' αὐτοῦ φερόμενόν ἐστιν, καὶ ὅτι τοὺς Ῥωμαίους καίτοι νικηθέντας ἐθαύμασε καὶ προέκρινε τῶν ἑαυτοῦ στρατιωτῶν εἰπών, ὅτι τὴν οἰκουμένην ἂν ἤδη πᾶσαν ἐχειρωσάμην, εἰ Ῥωμαίων ἐβασίλευον. M p. 171. Zonar. 8, 3 (vol. II, p. 181, 10—15).

17 ὅτι Πύρρος λαμπρὸς ἐπὶ τῇ νίκῃ ἦν καὶ ὄνομα ἀπ' αὐτῆς μέγα ἔσχεν, ὥστε πολλοὺς μὲν τῶν ἐκ τοῦ μέσου καθημένων προσχωρῆσαί οἱ, πάντας δὲ τοὺς περιορωμένους τῶν συμμάχων ἀφικέσθαι. οὐ μὴν οὔτε ἐμφανῆ ὀργὴν αὐτοῖς ἐποιήσατο οὔτ' αὖ παντελῶς τὴν ὑποψίαν ἀπεκρύψατο, ἀλλ' ὀλίγα σφίσιν ἐπὶ τῇ διαμελλήσει ἐπιτιμήσας ⟨ἄλλως φιλοφρόνως ἐδέξατο· καὶ

[Zonaras 8, 3 — vol. II, p. 181, 10 sqq.]

fr. 40,16 νων πεπτώκασιν, ὥστε συγχαιρόντων αὐτῷ τῆς νίκης τινῶν "εἰ καὶ αὖθίς ποτε ὁμοίως" ἔφη "κρατήσομεν, ἀπολούμεθα." τοὺς μέντοι Ῥωμαίους καὶ νικηθέντας ἐθαύμασεν εἰπὼν ὅτι "τὴν οἰκουμένην ἂν πᾶσαν ἐχειρωσάμην, εἰ Ῥωμαίων ἐβασίλευον."

fr. 40,17 ὁ μὲν οὖν Πύρρος ἐπὶ τῇ νίκῃ μέγα ἔσχηκεν ὄνομα, καὶ πολλοὶ αὐτῷ προσεχώρησαν, οἵ τε σύμμαχοι ἀφίκοντο πρὸς αὐτόν· οἷς ὀλίγα ἐπιτιμήσας διὰ τὴν μέλλησιν τῶν σκύλων μετέδωκεν· 4. οἱ δ' ἐν τῇ Ῥώμῃ ἤλγησαν ἐπὶ τῇ ἥττῃ, τῷ δέ γε Λαουινίῳ στράτευμα ἔπεμψαν καὶ τὸν Τιβέριον ἐκ τῶν Τυρσηνῶν μετεπέμψαντο καὶ τὴν πόλιν διὰ φυλακῆς ἐποιήσαντο πυνθανόμενοι ἐπ' αὐτὴν τὸν Πύρρον ἐπείγεσθαι. ὁ μέντοι Λαουίνιος τούς οἰκείους τε τραυματίας ἐξακεσάμενος καὶ τοὺς σκεδασθέντας συναγαγών, ἤδη καὶ τῶν ἐκ Ῥώμης πεμφθέντων ἀφικομένων, τὸν Πύρρον παρεπόμενος ἐλύπει· καὶ τὴν

---

17, 7 post ἐπιτιμήσας lacunam statuit et probabiliter explevit Boissevain



γὰρ ἐκ τοῦ σφόδρα αὐτοῖς ἐγκεῖσθαι⟩ ἔδεισε, μὴ καὶ ἐς φανερὰν αὐτοὺς ἀλλοτρίωσιν προαγάγῃ, καὶ ἐκ τοῦ 18
μηδὲν ἐνδείξασθαι ἐνόμισεν ἤτοι καταγνωσθήσεσθαι ὑπ' αὐτῶν εὐήθειαν ὡς οὐ συνεὶς ὧν ἔπραξαν, ἢ καὶ ὑποπτευθήσεσθαι ὀργὴν κρυφαίαν ἔχειν καὶ ἀπ' αὐτῶν ⟨ἢ⟩ καταφρόνησιν ἢ μῖσος προεπιβουλήν τε ἐς αὐτόν, ὅπως μὴ προπάθωσί τι, ἐγγενήσεσθαί σφισι προσεδόκησε. δι' οὖν ταῦτα πράως τε αὐτοῖς διελέχθη καὶ τῶν σκύλων τινὰ ἔδωκεν. M p. 172. Zonar. 8, 4 (vol. II, p. 181, 16—19).

ὅτι Πύρρος τοὺς τῶν Ῥωμαίων αἰχμαλώτους συ- 19
χνοὺς ὄντας τὸ μὲν πρῶτον πεῖσαι ἐπεχείρησεν ἐπὶ τὴν Ῥώμην συστρατεῦσαι, ὡς δὲ οὐκ ἠθέλησαν, ἰσχυρῶς ἐθεράπευσε μήτε δήσας τινὰ μήτ' ἄλλο τι κακὸν δράσας ὡς καὶ προῖκα αὐτοὺς ἀποδώσων καὶ ἀμαχὶ δι' αὐτῶν τὸ ἄστυ προσποιησόμενος. V p. 590.

ὅτι οἱ Ῥωμαῖοι ἐν ἀπόρῳ γενόμενοι διὰ τοὺς ἐλέ- 20
φαντας ἅτε μηπώποτε τοιοῦτο θηρίον ἰδόντες τὴν μέντοι θνητὴν φύσιν ἐνθυμούμενοι καὶ ὅτι θηρίον οὐδὲν ἀνθρώπου κρεῖττόν ἐστιν, ἀλλὰ πάντα δὴ πάντως, εἰ καὶ μὴ κατ' ἰσχύν, ταῖς γοῦν σοφίαις σφῶν ἐλαττοῦται, ἐθάρσουν. M p. 172.

[Zonaras 8, 4 — vol. II, p. 181, 28 sqq.]

Καπύην μαθὼν ἑλεῖν γλιχόμενον προκατέλαβε καὶ ἐφύλαξεν. ἁμαρτὼν δ' ἐκείνης ὁ Πύρρος ἐπὶ τὴν Νεάπολιν ὥρμησεν. ὡς δ' οὐδὲν οὐδ' ἐν αὐτῇ δρᾶσαι ἴσχυσε, σπεύδων τὴν Ῥώμην καταλαβεῖν καὶ διὰ τῆς Τυρσηνίδος παριὼν ὡς

---

18, 5 ⟨ἢ⟩ inseruit Herwerden ‖ 19, 3 ⟨οἱ⟩ συστρατεῦσαι? B ‖ 4 ἐθεράπευσε L, ἐθεράπευε V ‖ 5 ὡς καὶ] τέλος δὲ προῖκα αὐτοὺς ἀπέδωκεν ὡς ἀμαχεὶ Reiske ‖ 20, 6 ἐλαττοῦται Madvig, ἐλαττοῦνται D, ἐλαττοῦντα L, πάντως ⟨ἢν⟩ — ἐλαττοῦν ἀνεθάρσουν B

21 ὅτι καὶ οἱ στρατιῶται οἱ τοῦ Πύρρου, οἵ τε οἴκοθεν καὶ οἱ σύμμαχοι, δεινῶς πρὸς τὰς ἁρπαγὰς ὡς καὶ ἑτοίμους καὶ ἀκινδύνους σφίσιν οὔσας ἠπείγοντο. M ib.

22 ὅτι οἱ Ἠπειρῶται τὴν φιλίαν ἀγανακτήσει, ὅτι ἐπὶ μεγάλαις δή τισιν ἐλπίσι στρατεύσαντες οὐδὲν ἔξω τῶν πραγμάτων εἶχον, ἐλυμήναντο, καὶ πάνυ γε ἐν καιρῷ τοῦτο τοῖς Ῥωμαίοις ἐγένετο· συνιστάμενοι γὰρ πρὸς αὐτὸν οἱ τὴν Ἰταλίαν οἰκοῦντες ἀνεκόπησαν ἐξ ἴσου τὰ τῶν συμμάχων καὶ τῶν πολεμίων πορθοῦντα αὐτὸν ὁρῶντες· τὰ γὰρ ἔργα αὐτοῦ μᾶλλον ἢ τὰς ὑποσχέσεις ἐσκόπουν. M ib.

23 ὅτι ὁ Πύρρος ἐφοβήθη, μὴ καὶ πανταχόθεν ὑπὸ τῶν Ῥωμαίων ἐν χωρίοις ἀγνώστοις ἀποληφθῇ. χαλεπῶς δ' ἐπὶ τούτῳ τῶν συμμάχων αὐτοῦ φερόντων εἶπέ σφισιν, ὅτι σαφῶς ἐξ αὐτῆς τῆς χώρας ὁρῴη, ὅσον τῶν Ῥωμαίων διαφέρουσι· τὴν μὲν γὰρ ἐκείνων ὑπήκοον καὶ δένδρα παντοδαπὰ καὶ ἀμπελουργίας καὶ γεωργίας ⟨καὶ⟩ κατασκευὰς τῶν ἀγρῶν πολυτελεῖς ἔχειν, τὰ δὲ δὴ τῶν ἑαυτοῦ φίλων οὕτω πεπορθῆσθαι, ὥστε μηδ' εἰ κατῳκήθη ποτὲ γιγνώσκεσθαι. M p. 173. Zonaras 8, 4 (vol. II, p. 182, 5 sq.).

[Zonaras 8, 4 — vol. II, p. 182, 2 sqq.]

κἀκείνους προσλάβοι, ἐπεὶ ἔμαθεν αὐτούς τε τοῖς Ῥωμαίοις ὁμολογίας πεποιημένους καὶ τὸν Τιβέριον αὐτῷ ἀντιπροσιόντα
fr. 40,23 τόν τε Λαουίνιον ἐφεπόμενον, ἐφοβήθη, μὴ ὑπ' αὐτῶν πανταχόθεν ἐν χωρίοις ἀγνώστοις ἀποληφθῇ, καὶ

21, 1 οἵ τε Gros, ἅτε L ‖ 22, 4 τοῦτο B, τούτῳ L ‖ ἐγένετο B, ἐγένοντο L ‖ συνιστάμενοι B, συνεσταμένοι L ‖ 6 πορθοῦντα αὐτὸν B, πορθοῦντας αὐτοὺς L ‖ 23, 1 L πανταχ . . ., quod Boissevain probabiliter supplevit πανταχόθεν (cf. fr. 33, 15, 2), forma a Zonara vol. II, p. 182, 6 confirmata ‖ 7 ⟨καὶ⟩ inseruit B



24 ὅτι ὁ αὐτός, ἐπειδή γε ἀναχωροῦντι αὐτῷ . . ., ὡς τὸ στράτευμα τοῦ Λαιουίνου πολλῷ πλεῖον ⟨ὂν⟩ τοῦ πρόσθεν εἶδεν, ὕδρας ἔφη δίκην τὰ στρατόπεδα τῶν Ῥωμαίων κοπτόμενα ἀναφύεσθαι. οὐ μέντοι παρὰ τοῦθ' ἧττον ἐθάρσησεν, ⟨ἀλλ'⟩ ἀντιπαρετάξατο μέν, οὐκ ἐμαχέσατο δέ. M p. 173. Zon. 8, 4 (vol. II, p. 182, 7—12).

25 ὅτι ὁ Πύρρος πρέσβεις ὑπὲρ τῶν αἰχμαλώτων ἄλλους τε καὶ τὸν Φαβρίκιον προσιέναι πυθόμενος φρουράν τέ σφισι πρὸς τὰ μεθόρια, μὴ καὶ βίαιόν τι ὑπὸ τῶν Ταραντίνων πάθωσιν, ἔπεμψε καὶ μετὰ τοῦτο καὶ ἀπήντησεν, ἔς τε τὴν πόλιν αὐτοὺς ἐσαγαγὼν καὶ ἐξένισε λαμπρῶς καὶ τἆλλα ἐδεξιώσατο ἐλπίσας σπονδῶν τε δεῖσθαι καὶ ὁμολογίαν οἵαν ἡττηθέντας εἰκὸς ἦν ποιήσεσθαι. U p. 376. Zonar. 8, 4 (vol. II, p. 182, 19—23).

[Zonaras 8, 4 — vol. II, p. 182, 7 sqq.]

περαιτέρω οὐ προεχώρησεν. ὡς δὲ ἀναχωροῦντι καὶ γε- fr. 40,24
νομένῳ περὶ Καμπανίαν ὁ Λαουίνιος ἐπεφάνη, καὶ τὸ στράτευμα αὐτοῦ πολλῷ πλεῖον τοῦ πρόσθεν ἦν, ὕδρας ἔφη δίκην τὰ στρατόπεδα τῶν Ῥωμαίων κοπτόμενα ἀναφύεσθαι. καὶ ἀντιπαρετάξατο μέν, οὐκ ἐμαχέσατο δέ, ὅτι ἐκέλευσεν ὡς καταπλήξων πρὸ τῆς συμπλοκῆς τοὺς Ῥωμαίους, τοὺς ἑαυτοῦ στρατιώτας τὰς ἀσπίδας τοῖς δόρασι πλήξαντας ἐκβοῆσαι καὶ τοὺς σαλπιγκτὰς καὶ τοὺς ἐλέφαντας συνηχῆσαι, ἐπεὶ δὲ κἀκεῖνοι πολὺ μεῖζον ἀντεβόησαν, ὡς ἐκπλαγῆναι τοὺς τοῦ Πύρρου, οὐκέτ' ἠθέλησε συμμῖξαι, ἀλλ' ὡς δυσιερῶν ἐπανήγαγε. καὶ ἀφίκετο
εἰς Τάραντα. ἔνθα πρέσβεις τῶν Ῥωμαίων ὑπὲρ τῶν fr. 40,25
αἰχμαλώτων ἀφίκοντο ἄλλοι τε καὶ ὁ Φαβρίκιος. οὓς φιλοτίμως ἐξένισε καὶ ἐδεξιώσατο ἐλπίσας αὐτοὺς σπείσασθαι καὶ ὁμολογίαν ὡς ἡττημένους

24, 1 lacunam explevit Herwerden verbis ⟨ἐπῆλθε θαυμάσαι⟩ ‖ 2 ⟨ὂν⟩ ins. Herw. ‖ 5 ἧττον B, ἤγαγον L ‖ ⟨ἀλλ'⟩ ins. B

26 ὅτι τοῦ Φαβρικίου αὐτὸ τοῦτο μόνον εἰπόντος, ὅτι
Ῥωμαῖοι ἡμᾶς ἔπεμψαν τούς τε ἑαλωκότας ἐν τῇ μάχῃ
κομιουμένους καὶ λύτρα ἀντ' αὐτῶν ἀντιδώσοντας, ὅσα
ἂν ἀμφοτέροις ἡμῖν συμβῇ, διηπορήθη τε, ὅτι μὴ
περὶ τῆς εἰρήνης πρεσβεύειν ἔφη, καὶ μεταστησάμενος
αὐτοὺς ἐβουλεύετο μετὰ τῶν φίλων ὧνπερ εἰώθει, τὸ
μέν τι καὶ περὶ τῆς ἀνταποδόσεως τῶν αἰχμαλώτων,
τὸ δὲ δὴ πλεῖστον περί τε τοῦ πολέμου καὶ περὶ τῆς
διαχειρίσεως αὐτοῦ, εἴτε κατὰ τὸ ἰσχυρὸν εἴτε καὶ
ἄλλως πως αὐτὸν (desunt paginae 4). M p. 173. Zon.
8, 4 (vol. II, p. 182, 23—29).

27 . . . . . μεταχειρίσασθαι ἢ μάχας καὶ παρατάξεις
ἀσταθμήτους ἀναρρῖψαι· ὥστε πεισθείς, ὦ Μίλων, ἐμοὶ
καὶ τῷ παλαιῷ λόγῳ μηδὲ ἐς ἄλλο τι βίᾳ μᾶλλον ἢ
σοφίᾳ, ὅπου γε καὶ ἐνδέχεται, χρήσῃ, ἐπεὶ Πύρρος γε
πάντα τὰ πρακτέα οἱ ἀκριβῶς οἶδε καὶ οὐδὲν αὐτῶν
δεῖται παρ' ἡμῶν μαθεῖν." ταῦτ' εἶπε, καὶ πάντες

[Zonaras 8, 4 — vol. II, p. 182, 22 sqq.]

fr. 40,26 ποιήσασθαι. τοῦ δὲ Φαβρικίου τοὺς ἑαλωκότας ἐν
τῇ μάχῃ κομίσασθαι αἰτοῦντος ἐπὶ λύτροις τοῖς
ἀμφοῖν συναρέσουσι διηπορήθη, ὅτι μὴ καὶ περὶ
εἰρήνης πρεσβεύειν ἔφη, καὶ ἰδίᾳ μετὰ τῶν φίλων
ἐβουλεύετο, ὡς εἰώθει, περὶ τῆς τῶν αἰχμαλώτων
ἀποδόσεως καὶ περὶ τοῦ πολέμου καὶ ὅπως τοῦτον
μεταχειρίσηται. ὁ μὲν οὖν Μίλων μήτε τοὺς αἰχμαλώ-
τους ἀποδόσθαι μήτε σπείσασθαι συνεβούλευεν, ἀλλ' ἤδη τῶν
Ῥωμαίων ἡττημένων καὶ τὰ λοιπὰ πολέμῳ προσκατεργάσασθαι,
ὁ δὲ Κινέας τοὐναντίον ἅπαν αὐτῷ συνεβούλευε· τούς τε
γὰρ αἰχμαλώτους προῖκα ἀποδοῦναι συνῄνει καὶ πρέσβεις
εἰς Ῥώμην καὶ χρήματα πέμψαι τῆς εἰρήνης ἕνεκα καὶ σπον-
fr. 40,27 δῶν. οὗ τῇ γνώμῃ καὶ οἱ λοιποὶ συνετίθεντο. οὕτω

27, 1 ἢ B, ἐς L, ⟨ἢ⟩ ἐς Gros ‖ 5 οὐδὲν B, οὐ τῶν L



ὁμογνώμονες ἐγένοντο καὶ μάλισθ' ὅτι ἐκ μὲν τούτων
οὔτε ζημιωθήσεσθαι οὔτε κινδυνεύσειν, ἐκ δὲ τῶν ἑτέ-
ρων ἑκάτερον πείσεσθαι ἔμελλον. καὶ ὁ Πύρρος οὕτω 28
φρονῶν εἶπε πρὸς τοὺς πρέσβεις "οὔτε πρότερον ἑκὼν
ὑμῖν, ὦ Ῥωμαῖοι, ἐπολέμησα, οὔτε ἂν νῦν πολεμή-
σαιμι· φίλος τε γὰρ ὑμῶν γενέσθαι περὶ παντὸς ποι-
οῦμαι καὶ διὰ τοῦτο τούς τε αἰχμαλώτους πάντας ἄνευ
λύτρων ἀφίημι καὶ τὴν εἰρήνην σπένδομαι." καὶ ἰδίᾳ
τούτους ἐθεράπευεν, ὅπως μάλιστα μὲν τὰ ἑαυτοῦ ἀνθ-
έλωνται, εἰ δὲ μή, τήν γε φιλίαν οἱ πρυτανεύσωσιν.
M p. 173. Zonar. 8, 4 (vol. II, p. 183, 3—9).

ὁ δὲ Πύρρος τούς τε ἄλλους προσηταιρίσατο καὶ 29
τῷ Φαβρικίῳ διελέχθη ὧδε. "ἐγώ, ὦ Φαβρίκιε, πο-
λεμεῖν μὲν ὑμῖν οὐδὲν ἔτι δέομαι, ἀλλὰ καὶ ὅτι τὴν
ἀρχὴν τοῖς Ταραντίνοις ἐπείσθην καὶ δεῦρο ἦλθον,
μεταγινώσκω καίπερ πολὺ ὑμᾶς ἐν τῇ μάχῃ κρατήσας·
φίλος δὲ δὴ καὶ πᾶσι μὲν Ῥωμαίοις ἡδέως ἂν ἐγενό-
μην, μάλιστα δὲ δὴ σοί· πάνυ γάρ σε καὶ ἀγαθὸν

[Zonaras 8, 4 — vol. II, p. 183, 4 sqq.]

δὲ φρονῶν καὶ ὁ Πύρρος ἐτύγχανε. καλέσας οὖν fr. 40,28
τοὺς πρέσβεις "οὔτε πρῴην, ὦ Ῥωμαῖοι," ἔφη "ἑκὼν
ὑμῖν ἐπολέμησα οὔτε νῦν πολεμήσαιμι· φίλος γὰρ
ὑμῖν γενέσθαι βεβούλημαι· διὸ καὶ τοὺς αἰχμαλώ-
τους ὑμῖν ἄνευ λύτρων ἀφίημι καὶ σπείσασθαι
ἀξιῶ."

ταῦτα μὲν πᾶσιν εἰρήκει τοῖς πρέσβεσι καὶ χρή- fr. 40,29
ματα σφίσι τὰ μὲν δέδωκε, τὰ δὲ ἐπηγγείλατο, τῷ
δὲ Φαβρικίῳ κατὰ μόνας διαλεχθεὶς "φίλος" εἶπεν
"ἡδέως καὶ πᾶσιν ἂν Ῥωμαίοις γενοίμην, μάλιστα

28, 7 τούτους Gros, τούτοις L ‖ 29, 6 Ῥωμαίοις e Zonara, Ῥωμαίων L ‖ 7 post ἀγαθὸν spatium decem fere litterarum, quae hodie evanuerunt; coll. §§ 30 et 31 Boissevain supplevit <καὶ ἐλλόγιμον>

⟨καὶ ἐλλόγιμον⟩ ἄνδρα ὁρῶ ὄντα. τήν τε οὖν εἰρήνην
συμπρᾶξαί σέ μοι ἀξιῶ καὶ προσέτι καὶ οἴκαδέ [τε καὶ
ἐς τὴν Ἤπειρον] ἐπισπέσθαι· ἐπί τε γὰρ τὴν Ἑλλάδα
στρατευσείω καὶ συμβούλου στρατηγοῦ τέ σου δέομαι."
30 ὁ οὖν Φαβρίκιος "ἐπαινῶ μέν σε" εἶπεν, "ὅτι καὶ
ἐπὶ τῇ στρατείᾳ μεταγινώσκεις καὶ τῆς εἰρήνης ἐπιθυ-
μεῖς, καί σοι πρὸς αὐτήν, εἴγε συμφέρει ἡμῖν, συσπου-
δάσω (οὐ γάρ που καὶ κατὰ τῆς πατρίδος τι πρᾶξαί
με ἀγαθόν, ὡς φής, ἄνδρα ὄντα ἀξιώσεις), σύμβουλον
δὲ δὴ καὶ στρατηγὸν μηδένα ποτὲ ἐκ δημοκρατίας
παραλάβῃς· ἔμοιγ᾽ οὐδ᾽ ἡτισοῦν ἐστι σχολή. οὐ μέν-
τοι οὐδὲ τούτων τι λάβοιμι ⟨ἄν⟩, ὅτι οὐ προσήκει τὸ
31 παράπαν πρεσβευτὴν δωροδοκεῖν. πυνθάνομαι γοῦν,
πότερον ἐλλόγιμόν με ὡς ἀληθῶς νομίζεις ἄνδρα εἶναι
ἢ οὔ· εἰ μὲν γὰρ φαῦλός εἰμι, πῶς με δώρων ἄξιον
κρίνεις; εἰ δὲ χρηστός, πῶς με λαβεῖν αὐτὰ κελεύεις;

[Zonaras 8, 4 — vol. II, p. 183, 14 sqq.]

δὲ σοί· ὁρῶ γάρ σε ἀγαθὸν ἄνδρα καὶ τὴν εἰρήνην
συμπρᾶξαί μοι ἀξιῶ." ταῦτα λέγων καὶ δῶρα αὐτῷ
fr. 40, 30 πολλὰ ἐδίδου. ὁ δέ "ἐπαινῶ σε" εἶπεν, "ὦ Πύρρε,
ὅτι τῆς εἰρήνης ἐπιθυμεῖς, καί σοι αὐτήν, ἄν γε
συμφέρῃ ἡμῖν, καταπράξομαι. οὐ γὰρ κατὰ τῆς
πατρίδος τι πρᾶξαί με ἀγαθόν, ὡς φής, ἄνδρα
ὄντα ἀξιώσεις. ἀλλ᾽ οὐδὲ τούτων ὧν δίδως τι λά-
fr. 40, 31 βοιμι ἄν. πυνθάνομαι γάρ σου, πότερον ἐλλόγιμόν
με ὡς ἀληθῶς νομίζεις ἄνδρα ἢ οὔ; εἰ μὲν γὰρ
φαῦλός εἰμι, πῶς με δώρων ἄξιον κρίνεις; εἰ δὲ

---

29, 9 [τε καὶ ἐς τὴν Ἤπειρον] seclusit Herwerden, quia ex interpretamento fluxisse videntur ‖ 30, 3 συσπουδάσω scripsi, conf. fr. 10, 3, 7, σπουδάσω L ‖ 7 ἔμοιγ᾽ οὐδ᾽ ἡτισοῦν ἐστι σχ. Herwerden, ἐμοὶ γοῦν δῆλον ὅτι οὐ σχ. B, ἔμοιγ᾽ οὐ δή τι οὖν ἐστι σχ. L ‖ 8 λάβοιμι Mai, ἀλλ᾽ L ‖ ⟨ἄν⟩ inseruit Gros e Zonara, μέντἂν Herwerden ‖ 31, 3 δῶρον L, corr. Mai



εὖ τοίνυν ἴσθ᾽ ὅτι ἐγὼ μὲν καὶ πάνυ πολλὰ ἔχω καὶ
οὐδὲν δέομαι πλειόνων· ἀρκεῖ γάρ μοι τὰ ὄντα, καὶ
οὐδενὸς τῶν ἀλλοτρίων ἐπιθυμῶ· σὺ δ᾽ εἰ καὶ σφόδρα
πλουτεῖν νομίζεις, ἐν πενίᾳ μυρίᾳ καθέστηκας· οὐ γὰρ
ἂν οὔτε τὴν Ἤπειρον οὔτε τἄλλα, ὅσα κέκτησαι, κατα-
λιπὼν δεῦρ᾽ ἐπεραιώθης, εἴγε ἐκείνοις τε ἠρκοῦ καὶ
μὴ πλειόνων ὠρέγου. ὅταν γάρ τις τοῦτο πάσχῃ καὶ 32
μηδένα ὅρον τῆς ἀπληστίας ποιῆται, πτωχότατός ἐστι·
διὰ τί; ὅτι πᾶν τὸ μὴ ὑπάρχον αὐτῷ ὡς καὶ ἀναγ-
καῖον ποθεῖ, καθάπερ ἄνευ ἐκείνου μὴ δυνάμενος ζῆ-
σαι. ὥστ᾽ ἔγωγε ἡδέως ἄν σοι, ἐπειδὴ καὶ φίλος μοι
φῂς εἶναι, ἐκ τοῦ ἐμαυτοῦ τι πλούτου χαρισαίμην·
πολλῷ γάρ τοι καὶ ἀσφαλέστερος καὶ ἀθανατώτερός
ἐστι τοῦ σοῦ, καὶ οὔτε τις αὐτῷ φθονεῖ οὔτε τις ἐπι-
βουλεύει, οὐ δῆμος, οὐ τύραννος· καὶ τὸ μέγιστον,
ὅσῳ τις ἂν αὐτοῦ πλείοσι μεταδιδῷ, καὶ αὐτὸς ἐπὶ
μεῖζον αὔξεται. τίς οὖν οὗτός ἐστιν; τὸ τοῖς ὑπάρ- 33
χουσί τινι ὡς καὶ παμπληθέσιν οὖσιν ἡδέως χρῆσθαι,
τὸ τῶν ἀλλοτρίων ὡς καὶ μέγα τι κακὸν ἐχόντων ἀπ-
έχεσθαι, τὸ μηδένα ἀδικεῖν, τὸ πολλοὺς εὐεργετεῖν,
ἄλλα μυρία, ἃ σχολὴν ἄν τις ἄγων εἴποι. ὡς ἔγωγε
βουλοίμην ἄν, εἴπερ που πάντως ἀναγκαῖον εἴη θάτε-

[Zonaras 8, 4 — vol. II, p. 183, 24 sqq.]

χρηστός, πῶς με λαβεῖν αὐτὰ κελεύεις; ἴσθι γοῦν,
ὡς ἐγὼ καὶ πάνυ πολλὰ ἔχω τοῖς παροῦσιν ἀρκού-
μενος καὶ πλειόνων οὐ δέομαι· σὺ δ᾽ εἰ καὶ σφόδρα
πλουτεῖς, ἐν πενίᾳ μυρίᾳ καθέστηκας. οὐ γὰρ ἂν
οὔτε τὴν Ἤπειρον οὔτε τὰ ἄλλα, ἃ ἔχεις, καταλιπὼν
δεῦρο ἐπεραιώθης, εἴ γε ἐκείνοις ἠρκοῦ καὶ μὴ
πλειόνων ὠρέγου."

---

31, 9 τἄλλα Herwerden, ἄλλα L ‖ 32, 5 ὥστ᾽ D, ὡς L

*ρον αὐτῶν παθεῖν, βιασθεὶς ἂν μᾶλλον ἢ φενακισθεὶς ἀπολέσθαι· τὸ μὲν γὰρ τῆς τύχης ἀξιώσει φιλεῖ τισι συμβαίνειν, τὸ δὲ ἔκ τε ἀνοίας καὶ ἐξ αἰσχροκερδείας*
34 *πολλῆς, ὥσθ' αἱρετώτερον εἶναί [τι] τῇ τοῦ ὀθνείου πλεονεξίᾳ μᾶλλον ἢ τῇ ἑαυτοῦ κακίᾳ σφαλῆναι· ἐν ἐκείνῳ μὲν γὰρ τὸ σῶμά τινος ἡττᾶται, ἐν δὲ τούτῳ καὶ ἡ ψυχὴ προσδιαφθείρεται· . . ., ἐνταῦθα δ' αὐτοέντης τρόπον τινὰ αὐτός τις ἑαυτοῦ γίγνεται, ὅτι ὁ τὴν ψυχὴν ἅπαξ τὴν ἑαυτοῦ τὸ μὴ τοῖς παροῦσιν ἀρκεῖσθαι διδάξας ἀόριστον τὴν τῆς πλεονεξίας ἐπιθυμίαν λαμβάνει.* M p.174 et § 31, *ἐλλόγιμον — κρίνεις ἄξιον — κελεύεις* p. 538. Zonar. 8, 4 (vol. II, p. 183, 10—30).

[Zonaras 8, 4 — vol. II, p. 183, 31 sqq.]

*τούτων οὕτω λεχθέντων οἱ πρέσβεις τοὺς αἰχμαλώτους λαβόντες ἀπῄεσαν. καὶ ὁ Πύρρος τὸν Κινέαν εἰς τὴν Ῥώμην ἀπέστειλε μετὰ χρυσίου πολλοῦ καὶ κόσμου γυναικείου παντοδαποῦ, ἵνα εἰ καί τινες τῶν ἀνδρῶν ἀντίσχοιεν, ἀλλ' αἱ γυναῖκες αὐτῶν τοῖς κόσμοις ἀναπεισθεῖσαι κἀκείνους συνδιαφθείρωσιν. ἐλθὼν δὲ πρὸς τὴν πόλιν ὁ Κινέας οὐ προσῄει τῇ γερουσίᾳ, ἀλλὰ διῆγεν ἄλλοτε ἄλλην αἰτίαν σκηπτόμενος. περιφοιτῶν δὲ καὶ τὰς τῶν δυνατῶν οἰκίας λόγοις τε σφᾶς καὶ δώροις ὑπήγετο· καὶ ἐπειδὴ πολλοὺς ᾠκειώσατο, εἰσῆλθεν εἰς τὸ συνέδριον καὶ εἶπεν ὡς "Πύρρος ὁ βασιλεὺς ἀπολογεῖται, ὅτι οὐχ ὡς πολεμήσων ὑμῖν ἧκεν, ἀλλ' ὡς καταλλάξων Ταραντίνους αὐτὸν ἱκετεύοντας· ἀμέλει καὶ τοὺς ἁλόντας ὑμῶν λύτρων ἀφῆκεν ἄτερ καὶ δυνάμενος πορθῆσαι τὴν χώραν καὶ τῇ πόλει προσβαλεῖν ἀξιοῖ τοῖς φίλοις καὶ τοῖς συμμάχοις ὑμῶν ἐγγραφῆναι πολλὰ μὲν ὠφελήσεσθαι ἀφ' ὑμῶν ἐλπίζων, πλείω δ' ἔτι καὶ μείζω εὐεργετήσειν ὑμᾶς."*

---

33, 8 *ἀπολέσθαι* B, *ἀπολεῖσθαι* L ‖ 34, 1 [*τι*] expunxit B ‖ *ὀθνείου* Naber, *θείου* L



*καὶ προθυμότατα ἐς τοὺς καταλόγους ἀπήντησαν,* 35
*τὸ καθ' ἑαυτὸν ἕκαστος ἐλλιπὲς ἀνάστασιν τῆς πατρίδος [εἶναι] νομίζοντες ἔσεσθαι.* M p. 176.

[Zonaras 8, 4 sq. — vol. II, p. 184, 18 sqq.]

*ἐπὶ τούτοις οἱ πλείους τῶν βουλευτῶν ἠρέσκοντο διὰ τὰ δῶρα καὶ διὰ τοὺς αἰχμαλώτους· οὐ μέντοι καὶ ἀπεκρίναντο, ἀλλ' ἐσκόπουν ἔτι πλείους ἡμέρας, ὅ,τι χρὴ πρᾶξαι. καὶ πολλὰ μὲν ἐλέγετο, ἐπεκράτει δὲ ὅμως σπείσασθαι. μαθὼν δὲ τοῦτο Ἄππιος ὁ τυφλὸς ἐκομίσθη ἐπὶ τὸ βουλευτήριον (ὑπὸ γὰρ τοῦ γήρως καὶ τοῦ πάθους οἰκουρῶν ἦν) καὶ εἶπε μὴ συμφέρειν τὰς πρὸς τὸν Πύρρον συμβάσεις τῇ πολιτείᾳ, παρῄνεσε δὲ καὶ αὐτίκα τὸν Κινέαν ἐξελάσαι τῆς πόλεως καὶ δι' αὐτοῦ δηλῶσαι τῷ Πύρρῳ οἴκαδε ἀναχωρήσαντα ἐκεῖθεν ἐπικηρυκεύσασθαι περὶ εἰρήνης αὐτοῖς ἢ καὶ περὶ ἑτέρου, ὅτου δέοιτο. ταῦτα ὁ Ἄππιος συνεβούλευσεν· ἡ δὲ γερουσία οὐκέτι ἐμέλλησεν, ἀλλ' εὐθὺς ὁμοθυμαδὸν ἐψηφίσαντο αὐθημερὸν τὸν Κινέαν ἔξω τῶν ὅρων ἐκπέμψαι καὶ τῷ Πύρρῳ πόλεμον ἀκήρυκτον, ἕως ἂν ἐν τῇ Ἰταλίᾳ διάγῃ, ποιήσασθαι. τοῖς δ' αἰχμαλώτοις ἀτιμίαν τινὰ ἐν ταῖς στρατείαις ἐπέθεσαν καὶ οὔτε πρὸς τὸν Πύρρον αὐτοῖς ἔτι ἐχρήσαντο οὔτ' ἄλλοσέ ποι ἀθρόοις, ἵνα μή τι ὁμοῦ ὄντες νεωτερίσωσιν, ἀλλ' ἄλλους ἄλλῃ φρουρήσοντας ἔπεμψαν.*

5. *ἐν μὲν οὖν τῷ χειμῶνι παρεσκευάζοντο ἄμφω, ἔαρος* a.u. 475
*δ' ἤδη ἐφεστηκότος ὁ Πύρρος εἰς τὴν Ἀπουλίαν ἐνέβαλε* (279)
*καὶ πολλὰ μὲν βίᾳ, πολλὰ δὲ ὁμολογίᾳ προσεποιήσατο, μέχρις οὗ Ῥωμαῖοι πρὸς Ἀσκούλῳ πόλει ὄντι αὐτῷ ἐπελθόντες ἀντεστρατοπεδεύσαντο. ἐπὶ πλείους δ' ἡμέρας διέτριψαν ὀκνοῦντες ἀλλήλους· οἱ μὲν γὰρ Ῥωμαῖοι τοὺς προνενικηκότας οὐκ ἐθάρρουν, οἱ δὲ ὡς ἀπονενοημένους ἐδεδίεσαν τοὺς Ῥωμαίους. κἀν τούτῳ λογοποιούντων τινῶν, ὅτι ὁ Δέκιος ἐπιδοῦναι ἑαυτὸν κατὰ τὸν πατέρα καὶ τὸν πάππον ἑτοιμάζοιτο καὶ τοὺς τοῦ Πύρρου δεινῶς ἐκφοβούντων, ὡς ἐκ τοῦ θανεῖν ἐκεῖνον πάντως ἀπολουμένους, συνήγαγε τοὺς στρατιώτας ὁ Πύρρος καὶ διειλέχθη περὶ τούτου συμβουλεύων*

---

35, 3 [*εἶναι*] delevit Mai

36 τοιαύτη μὲν ἡ τοῦ λόγου φύσις ἐστὶ καὶ τοσαύτην ἰσχὺν ἔχει, ὥστε καὶ ἐκείνους ὑπ᾽ αὐτοῦ τότε μεταβαλεῖν καὶ ἐς ἀντίπαλον καὶ μῖσος καὶ θάρσος τοῦ τε δέους τοῦ Πύρρου καὶ τῆς ἐκ τῶν δώρων αὐτοῦ ἀλλοιώσεως περιστῆναι. M ib.

37 ὅτι πᾶν τὸ τῇ γνώμῃ παρὰ δόξαν ταπεινωθὲν καὶ τῆς ῥώμης ὑποδίδωσιν. M p. 177.

38 ὅτι τῷ Δεκίῳ ὁ Πύρρος προσπέμψας οὔτε προχω-
a. u. 475 ρήσειν οἱ τοῦτο πρᾶξαι ἐθελήσαντι ἔφη [τοῦτ᾽ ἔστι τὸ
(279) μὴ συλληφθέντα ἀποκτανθῆναι] καὶ ζωγρηθέντα κακῶς αὐτὸν ἀπολεῖσθαι ἐπηπείλησεν. οἱ δὲ ὕπατοι πρὸς ταῦτα ἀπεκρίναντο μηδενὸς τοιούτου ἔργου σφᾶς δεῖσθαι· πάντως γὰρ αὐτοῦ καὶ ἄλλως κρατήσειν. M ib. Zonar. 8, 5 (vol. II, p. 185, 30—186, 4).

[Zonaras 8, 5 — vol. II, p. 185, 20 sqq.]

μήτ᾽ ἀθυμεῖν μήτ᾽ ἐκπλήττεσθαι τοιούτοις λόγοις· μήτε γὰρ ἕνα ἄνθρωπον δύνασθαι θνήσκοντα πολλοὺς καταγωνίσασθαι μήτ᾽ ἐπῳδὴν ἢ μαγγανείαν τινὰ κρείττω τῶν ὅπλων καὶ τῶν ἀνδρῶν γενέσθαι. ταῦτ᾽ εἰπὼν καὶ λογισμοῖς ἐπικρατύνας τοὺς λόγους ὁ Πύρρος τὸ οἰκεῖον ἐθάρσυνε στράτευμα. καὶ πολυπραγμονήσας τὴν στολήν, ᾗ ἐχρήσαντο οἱ Δέκιοι ἐπιδιδόντες ἑαυτούς, παρήγγειλε τοῖς οἰκείοις, ἄν τινα οὕτως ἐσκευασμένον ἴδωσι, μὴ κτεῖναι αὐτόν, ἀλλὰ ζῶον συλλαβεῖν.
fr. 40, 38 τῷ δὲ Δεκίῳ πέμψας ἔφη οὔτε προχωρήσειν αὐτῷ τοῦτο πρᾶξαι θελήσαντι καὶ ζωγρηθέντα κακῶς ἀπολεῖσθαι ἠπείλησε. πρὸς ἅπερ οἱ ὕπατοι ἀπεκρίναντο μηδενὸς τοιούτου ἔργου σφᾶς δεῖσθαι· πάντως γὰρ αὐτοῦ καὶ ἄλλως κρατήσειν. ποταμοῦ δὲ διὰ μέσου τῶν στρατοπέδων οὐκ εὐδιαβάτου ῥέοντος ἤροντο, πότερον αὐτὸς περαιωθῆναι βούλεται ἀδεῶς αὐτῶν ἀναχωρησάντων ἢ ἐκείνοις ἐπιτρέψαι τοῦτο ποιῆσαι, ἵν᾽ ἐξ ἀντι-

---

36, 5 περιστῆναι B, ἀντιστῆναι L ‖ 38, 2 [τοῦτ᾽ — ἀποκτανθῆναι] seclusit Gros



[Zonaras 8, 5 — vol. II, p. 186, 8 sqq.]

πάλου μάχης ἀκεραίων τῶν δυνάμεων εἰς χεῖρας ἐλθουσῶν ὁ τῆς ἀνδρείας ἔλεγχος γένοιτο ἀκριβής. οἱ μὲν οὖν Ῥωμαῖοι πρὸς κατάπληξιν τὸν λόγον ἐποίησαν, ὁ δὲ Πύρρος αὐτοῖς ἐφῆκε διαβῆναι τὸν ποταμὸν μέγα φρονῶν ἐπὶ τοῖς ἐλέφασιν. οἱ δὲ Ῥωμαῖοι τά τε ἄλλα παρεσκευάσαντο καὶ πρὸς τοὺς ἐλέφαντας κεραίας ἐφ᾽ ἁμαξῶν σεσιδηρωμένας καὶ πανταχόθεν προεχούσας ἡτοίμασαν, ἵνα τοξεύοντες ἀπ᾽ αὐτῶν ἄλλα τε καὶ πῦρ ἐμποδὼν σφίσι γίνωνται. προσμίξαντες δὲ χρόνῳ μὲν οἱ Ῥωμαῖοι τοὺς Ἕλληνας, ἐώσαντο δ᾽ οὖν, μέχρις ὁ Πύρρος τοῖς ἐλέφασιν οὐ κατὰ τὰς ἁμάξας, ἀλλ᾽ ἐπὶ θάτερα προσβοηθήσας αὐτοῖς τὴν ἵππον σφῶν καὶ πρὶν προσμῖξαι φόβῳ τῶν θηρίων ἐτρέψατο. τῷ μέντοι πεζῷ οὐδὲν μέγα ἐλυμήνατο. κἀν τούτῳ τῶν Ἀπούλων τινὲς ἐπὶ τὸ τῶν Ἠπειρωτῶν ὡρμηκότες στρατόπεδον τῆς νίκης αἴτιοι τοῖς Ῥωμαίοις ἐγένοντο. τινὰς γὰρ τῶν μαχομένων ἐπ᾽ αὐτοὺς τοῦ Πύρρου πέμψαντος πάντες οἱ λοιποὶ ἐταράχθησαν καὶ τάς τε σκηνὰς ἑαλωκέναι καὶ ἐκείνους φεύγειν ὑποτοπήσαντες ἐνέδοσαν· καὶ συχνοὶ αὐτῶν ἔπεσον, ὅ τε Πύρρος καὶ ἄλλοι τῶν ἐν τέλει πολλοὶ ἐτρώθησαν, καὶ μετὰ ταῦτα διά τε τὴν τῆς τροφῆς καὶ τὴν τῶν ἐπιτηδείων πρὸς ἄκεσιν ἀπορίαν σφόδρα ἐκακώθησαν. ὅθεν ἀπῆρεν εἰς Τάραντα, πρὶν τοὺς Ῥωμαίους αἰσθέσθαι. οἱ δ᾽ ὕπατοι διέβησαν μὲν τὸν ποταμὸν ἐπὶ μάχῃ, ὡς δὲ πάντας ἐσκεδάσθαι ἐπύθοντο, εἰς τὰς οἰκείας ἀνεχώρησαν πόλεις· ἐπιδιῶξαι γὰρ διὰ τοὺς σφετέρους τραυματίας οὐκ ἠδυνήθησαν. εἶτα οἱ μὲν εἰς τὴν Ἀπουλίαν ἐχείμασαν, ὁ δὲ Πύρρος τἄλλα τε ἡτοιμάζετο καὶ οἴκοθεν στρατιώτας καὶ χρήματα μετεπέμψατο. μαθὼν δὲ τὸν Φαβρίκιον καὶ τὸν Πάππον ὑπάτους ᾑρημένους καὶ εἰς τὸ στρατόπεδον ἀφιγμένους οὐκ ἐπὶ τῆς αὐτῆς μεμένηκε γνώμης.

ἤδη δὲ τῶν ῥηθέντων ὑπάτων ἐν τῷ στρατεύματι ὄντων a. u.
Νικίας τις τῶν Πύρρῳ πιστῶν δοκούντων ἦλθε πρὸς τὸν 476
Φαβρίκιον καὶ ὑπέσχετο αὐτῷ τὸν Πύρρον δολοφονήσειν. (278)
δυσχεράνας οὖν ἐπὶ τούτῳ ἐκεῖνος (ἀρετῇ γὰρ καὶ ταῖς δυνάμεσιν ἠξίου τῶν πολεμίων κρατεῖν ὡς ὁ Κάμιλλος) κατεμήνυσε τῷ Πύρρῳ τὸ ἐπιβούλευμα· καὶ οὕτως αὐτὸν ἐκ τούτου κατέπληξεν, ὥστε καὶ τοὺς ἑαλωκότας τῶν Ῥωμαίων

39 οὔθ' ὅπως τὸν ἕτερον αὐτῶν πρότερον οὔθ' ὅπως
a. u. 476 ἀμφοτέρους ἅμα ἀμύναιτο, ἔσχεν καὶ ἐν ἀμηχανίᾳ ἦν·
(278) τό τε γὰρ διελεῖν τὸ στράτευμα ἔλαττον ὂν τῶν ἐναν-
τίων ἐδεδίει καὶ τὸ τῷ ἑτέρῳ τὴν χώραν ἀδεῶς κακοῦν
ἀφεῖναι δεινὸν ἐποιεῖτο. M p. 177.

40 ἐπεὶ μέντοι ἄλλως τε δι' ἀκριβείας αὐτοὺς ἐποιεῖτο,
a. u. 477 μεῖζον μέρος ἐς ἀσφάλειαν τοῦ μηδ' ⟨ἂν⟩ ἐπιθυμῆσαί
(277) τινα κακῶς αὐτὸν δρᾶσαι τῷ μηδ' ἂν ἐθελήσῃ ⟨δύνα-
σθαι⟩ νέμων, καὶ διὰ τοῦτο πολλοὺς τῶν ἐν τέλει καὶ
τοὺς ἐπικαλεσαμένους αὐτόν, τὸ μέν τι βαρυνόμενός
σφισιν, ὅτι ὑπ' αὐτῶν ἐν κράτει τῆς πόλεως γεγονέναι
ἐλέγετο, τὸ δὲ καὶ προσυποπτεύων σφᾶς, μὴ ὥσπερ

[Zonaras 8, 5 — vol. II, p. 187, 11 sqq.]

προῖκα αὖθις ἀφεῖναι καὶ πρέσβεις πάλιν ὑπὲρ εἰρήνης ἀπο-
στεῖλαι. ἐπεὶ δὲ οἱ Ῥωμαῖοι περὶ τῆς εἰρήνης οὐδὲν ἀπεκρί-
ναντο, ἀλλὰ καὶ τότε ἀπᾶραι τῆς Ἰταλίας ἐκέλευον καὶ οὕτως
αὐτοῖς διακηρυκεύεσθαι καὶ τὰς συμμαχίδας αὐτῷ πόλεις κατ-
fr. 40,39 έτρεχόν τε καὶ ᾕρουν, ἐν ἀμηχανίᾳ ἐγένετο, πρὶν δὴ Συ-
ρακουσίων τινές (ἐτύγχανον δὲ ἐξ οὗ Ἀγαθοκλῆς ἐτελεύτησε
στασιάζοντες) ἐπεκαλέσαντο αὐτὸν παραδιδόντες οἱ καὶ ἑαυ-
τοὺς καὶ τὴν πόλιν. ἀναπνεύσας γὰρ ἐπὶ τούτῳ καὶ προσ-
ελπίσας πᾶσαν τὴν Σικελίαν καταστρέψασθαι τὸν μὲν Μί-
λωνα ἐν Ἰταλίᾳ κατέλιπεν ἐν φυλακῇ τόν τε Τάραντα καὶ
τὰ ἄλλα ποιησόμενον, αὐτὸς δὲ ὡς διὰ βραχέος ἐπανήξων
ἀπέπλευσε. καὶ τῶν Συρακουσίων δεξαμένων αὐτὸν καὶ
πάντα αὐτῷ ἀναθεμένων μέγας ἐν βραχεῖ αὖθις ἐγένετο,
ὥστε τοὺς Καρχηδονίους φοβηθέντας μισθοφόρους ἐκ τῆς
Ἰταλίας προσλαβεῖν. ἀλλὰ ταχὺ πρὸς τοὐναντίον αὐτῷ περι-
fr. 40,40 έστη τὰ πράγματα τῷ πολλοὺς τῶν ἐν τέλει τοὺς

40, 2 ⟨ἂν⟩ inser. B ‖ 3 τῷ B, τὸ L ‖ ⟨δύνασθαι⟩ ins. Gros ‖ 7 τὸ δὲ καὶ προσυποπτεύων σφᾶς] ὑποπτεύω αἰτιατικῇ, Δίων δεκάτῳ βιβλίῳ "οὗτοι δὲ καὶ προσυποπτεύουσιν ὑμᾶς". Bekk. Anecd. p. 177, 28, sed alium spectans locum



αὐτῷ, οὕτω καὶ ἄλλῳ τινὶ προσχωρήσωσιν, ἐξήλασε καὶ
διέφθειρεν, . . . M p. 178. Zonar. 8, 5 (vol. II, p. 188,
6 sq.).

[Zonaras 8, 5 — vol. II, p. 188, 7 sqq.]

μὲν ἐξελάσαι, τοὺς δὲ διαφθεῖραι ὑποπτευομένους
αὐτῷ. οἱ γὰρ Καρχηδόνιοι ἰδόντες αὐτὸν μήτε ταῖς οἰκεί-
αις δυνάμεσιν ἐρρωμένον μήτε τοὺς ἐπιχωρίους δι' εὐνοίας
ἔχοντα τοῦ πολέμου προθύμως ἀντελάβοντο καὶ τοὺς ἐκ-
πίπτοντας τῶν Συρακουσίων δεχόμενοι δεινὰ αὐτὸν εἰργά-
σαντο, ὥστε μὴ τὰς Συρακούσας μόνον, ἀλλὰ καὶ τὴν Σι-
κελίαν καταλιπεῖν.

6. οἱ Ῥωμαῖοι δὲ τὴν ἀπουσίαν αὐτοῦ πυθόμενοι ἀνε- a. u. 477
θάρσησαν καὶ πρὸς ἄμυναν τῶν ἐπικαλεσαμένων αὐτὸν ἐτρά- (277)
πησαν. καὶ τοὺς Ταραντίνους εἰς ἄλλον καιρὸν ὑπερθέμενοι
εἰσέβαλον εἰς τὸ Σαύνιον μετὰ ὑπάτων τοῦ Ῥουφίνου καὶ
τοῦ Ἰουνίου καὶ τήν τε χώραν ἐπόρθουν καὶ τείχη τινὰ
ἐκλειφθέντα ἔλαβον. οἱ γὰρ Σαυνῖται εἰς τὰ ὄρη τὰ Κρα-
νιτὰ λεγόμενα, ὅτι κρανίαν πολλὴν ἔχουσι, τά τε φίλτατα
καὶ τὰ τιμιώτατα ἀνεκόμισαν. καταφρονήσαντες οὖν οἱ Ῥω-
μαῖοι εἰς τὰ εἰρημένα ὄρη ἀναβῆναι ἐτόλμησαν. λασίων οὖν
αὐτῶν καὶ δυσπροσβάτων ὄντων πολλοὶ μὲν ἀπέθανον, πολ-
λοὶ δὲ καὶ ἑάλωσαν.

οἱ δ' ὕπατοι οὐκέτι κοινῇ τὸν πόλεμον ἐποιήσαντο ἀλ-
λήλους αἰτιώμενοι διὰ τὸ ἀτύχημα, ἀλλ' Ἰούνιος μὲν ἐδῄου
μέρος τι τῆς Σαυνίτιδος, Ῥουφῖνος δὲ Λευκανοῖς καὶ Βρετ-
τίοις ἐλυμήνατο. καὶ ἐπὶ Κρότωνα ὥρμησεν ἀποστάντα Ῥω-
μαίων, μεταπεμψαμένων αὐτὸν τῶν ἐπιτηδείων, φθασάντων
δὲ τῶν λοιπῶν ἐπαγαγέσθαι παρὰ τοῦ Μίλωνος φρουράν,
ἧς ἦρχε Νικόμαχος. ἀγνοήσας οὖν τοῦτο καὶ ἀμελῶς τοῖς
τείχεσι προσιὼν ὡς πρὸς φίλους ἔπταισεν ἐξαίφνης ἐπεκ-
δραμόντων αὐτῷ. εἶτά τι ἐπινοήσας στρατήγημα τὴν πόλιν
εἷλε· δύο γὰρ ἄνδρας αἰχμαλώτους ψευδαυτομόλους εἰς τὸν
Κρότωνα ἔπεμψε, τὸν μὲν εὐθὺς λέγοντα, ὅτι ἀπεγνωκὼς
τὴν ἅλωσιν αὐτῶν ἐς τὴν Λοκρίδα προδιδομένην αὐτῷ μέλλει
ἀπαίρειν, τὸν δ' ἕτερον μετὰ τοῦτο, ὡς ἐν ὁδῷ ἐστι, διαβε-
βαιούμενον. καὶ γὰρ ἵνα πίστιν ὁ λόγος ἔχῃ, ἀνεσκευάσατο

41 ὅτι τῷ Πύρρῳ ὡς οὐδὲν οἱ σύμμαχοι συντελέσαι
a. u. 479 ἐβούλοντο, ἐτράπετο πρὸς τοὺς θησαυροὺς τῆς Φερρε-
(276) φάττης δόξαν πλούτου μεγάλην ἔχοντας καὶ αὐτοὺς συλήσας ἐς τὸν Τάραντα τὰ σῦλα ἐπὶ νεῶν ἔπεμψε. καὶ οἵ τε ἄνθρωποι ὀλίγου πάντες ὑπὸ χειμῶνος ἐφθάρησαν, καὶ τὰ χρήματα τά τε ἀναθήματα ἐς τὴν γῆν ἐξέπεσεν. V p. 590.

[Zonaras 8, 6 — vol. II, p. 189, 12 sqq.]

καὶ προσεποιεῖτο ἐπείγεσθαι. ὁ οὖν Νικόμαχος πιστεύσας τούτοις (καὶ οἱ κατάσκοποι γὰρ τὰ αὐτὰ ἀνήγγελλον) τὸν Κρότωνα λιπὼν ἐς τοὺς Λοκροὺς ἀπῄει σπουδῇ δι' ἐπιτομωτέρας ὁδοῦ. καὶ ἐν τῇ Λοκρίδι γενομένου αὐτοῦ ὁ Ῥουφῖνος ὑπέστρεψε πρὸς τὸν Κρότωνα καὶ λαθὼν διά τε τὸ ἀπροσδόκητον καὶ δι' ὁμίχλην τότε συμβᾶσαν εἷλε τὴν πόλιν. μαθὼν δὲ τοῦτο Νικόμαχος ἀπῄει εἰς Τάραντα· καὶ ἐν ὁδῷ τῷ Ῥουφίνῳ περιπεσὼν πολλοὺς ἀπέβαλε. καὶ οἱ Λοκροὶ τοῖς Ῥωμαίοις προσεχώρησαν.

a. u. 478 τῷ δ' ἑξῆς ἔτει Ῥωμαῖοι ἐστράτευσαν ἐς τὸ Σαύνιον καὶ
(276) ἐς Λευκανίδα καὶ Βρεττίοις ἐπολέμησαν. ὁ δὲ Πύρρος τῆς Σικελίας ἐκπεσὼν καὶ ἐπανελθὼν ἤδη δεινῶς αὐτοὺς ἐλύπει καὶ τοὺς μὲν Λοκροὺς ἐκομίσατο (τὴν γὰρ φρουρὰν τῶν Ῥωμαίων ἀποκτείναντες μετέστησαν), ἐπὶ δὲ τὸ Ῥήγιον στρατεύσας ἀπεκρούσθη καὶ αὐτὸς ἐτρώθη καὶ πλείστους ἀπέβαλε. μεταστὰς δὲ εἰς τὴν Λοκρίδα καὶ τῶν αὐτῷ ἐναντία φρονησάντων δικαιώσας τινὰς παρὰ τῶν λοιπῶν σῖτον καὶ χρήματα ἔλαβε καὶ εἰς Τάραντα ἀνεκομίσθη. κακῶς δὲ πάσχοντες ὑπὸ Ῥωμαίων οἱ Σαυνῖται ἐξαναστῆναι αὐτὸν ἐποί-
a. u. 479 ησαν. ἐλθὼν δὲ εἰς ἐπικουρίαν αὐτῶν ἐτράπη. τρωθέντος
(275) γὰρ πώλου ἐλέφαντος καὶ ἀποσεισαμένου τοὺς ἀναβάτας περιπλανωμένου τε κατὰ ζήτησιν τῆς μητρὸς κἀκείνης ἐπὶ τούτῳ ταραχθείσης καὶ τῶν ἄλλων ἐλεφάντων θορυβηθέντων φύρδην ἀνεμίχθησαν ἅπαντα. τέλος δὲ οἱ Ῥωμαῖοι ἐπεκράτησαν συχνοὺς ἀποκτείναντες καὶ ὀκτὼ ἑλόντες ἐλέφαντας

---

41, 3 αὐτοὺς L, τούτους V



ὅτι τοῦ Πύρρου ἐκεῖνο δὴ πάντες ἐθαύμαζον, ὅτι 42
νεανίσκων τινῶν ἐν συμποσίῳ σκωψάντων αὐτὸν τὰ μὲν πρῶτα ἐξελέγξαι σφᾶς ἠθέλησεν, ὅπως τιμωρήσηται, ἔπειτ' εἰπόντων αὐτῶν, ὅτι πολὺ πλείω καὶ χαλεπώτερα ἂν εἰρήκειμεν, εἰ μήπερ ὁ οἶνος ἡμᾶς ἐπελελοίπει, ἐγέλασε καὶ ἀφῆκεν αὐτούς. M ib. Zonar. 8,6 (vol. II, p. 190, 16—21).

[Zonaras 8, 6 — vol. II, p. 190, 9 sqq.]

καὶ τὸ χαράκωμα κατέσχον αὐτῶν. ὁ δὲ Πύρρος σὺν ὀλίγοις ἱππεῦσι διέφυγεν εἰς τὸν Τάραντα, ἐκεῖθεν δὲ εἰς τὴν Ἤπειρον ἀπέπλευσεν ὡς αὖθις ἐπανήξων τὸν Μίλωνα μετὰ φρουρᾶς εἰς Τάραντα καταλείψας, δοὺς αὐτοῖς δίφρον ἱμᾶσιν ἐκ τοῦ δέρματος τοῦ Νικίου ἐνδεδεμένον, ὃν ἐπὶ τῇ προδοσίᾳ ἀπέκτεινεν. τὸν μὲν οὖν Νικίαν οὕτως ἐτιμωρή-
σατο, νεανίσκους δέ τινας ἐν συμποσίῳ σκώψαντας fr 40, 42
αὐτὸν τιμωρήσασθαι ἔμελλεν, ἐρωτήσας δ' αὐτούς, διὰ τί ἔσκωπτον, ἐπεὶ ἀπεκρίθησαν ὅτι "πολὺ πλείω καὶ χαλεπώτερα εἰρήκειμεν ἄν, εἰ μὴ ὁ οἶνος ἡμᾶς ἐπιλέλοιπε," γελάσας ἀφῆκεν αὐτούς.

Πύρρος μὲν οὖν ἐπιφανέστατος ἐν στρατηγοῖς γενόμενος καὶ φόβον πολὺν τοῖς Ῥωμαίοις ἐμβαλὼν καὶ πέμπτῳ ἔτει τὴν Ἰταλίαν λιπὼν καὶ ἐπὶ τὴν Ἑλλάδα στρατεύσας οὐ πολλῷ ὕστερον ἐν Ἄργει ἀπέθανε. γυνὴ γάρ τις, ὡς λόγος ἔχει, παριόντα αὐτὸν ἰδεῖν ἀπὸ τοῦ τέγους ἐπιθυμήσασα ἐσφάλη καὶ ἐμπεσοῦσα διέφθειρεν αὐτόν. ἐν δὲ τῷ αὐτῷ ἔτει ὅ τε Φαβρίκιος καὶ ὁ Πάππος ἐτιμήτευσαν καὶ ἄλλους τε τῶν ἱππέων ἀπήλειψαν καὶ τῶν βουλευτῶν καὶ τὸν Ῥουφῖνον καίπερ δικτατωρεύσαντα καὶ δὶς ὑπατεύσαντα. αἴτιον δ' ὅτι σκεύη ἀργυρᾶ λιτρῶν δέκα εἶχεν· οὕτως οἱ Ῥωμαῖοι πενίαν οὐ τὸ μὴ πολλὰ κεκτῆσθαι, ἀλλὰ τὸ πολλῶν δεῖσθαι εἶναι ἐνόμιζον. καὶ διὰ τοῦτο τοῖς τε ἄρχουσι τοῖς ἐκδημοῦσι καὶ τοῖς ἄλλοις τοῖς κατά τι πρᾶγμα τῇ πόλει διαφέρον ἐξιοῦσι τά τε ἄλλα τὰ ἀναγκαῖα καὶ δακτύλιος ἐκ τοῦ δημοσίου ἐδίδοτο.

---

42, 5 εἰρήκειμεν Mai, εἰρήκαμεν L

41 ὅτι ὁ *Πτολεμαῖος* ὁ τῆς *Αἰγύπτου* βασιλεύς, ὁ φι-
a. u. 481 (273) λάδελφος ἐπικληθείς, ὡς τόν τε *Πύρρον* κακῶς ἀπηλ-
λαχότα καὶ τοὺς *Ῥωμαίους* αὐξανομένους ἔμαθε, δῶρά
τε αὐτοῖς ἔπεμψε καὶ ὁμολογίαν ἐποιήσατο. οἱ οὖν
*Ῥωμαῖοι* ἡσθέντες, ὅτι καίτοι διὰ πλείστου ὢν περὶ
πολλοῦ σφᾶς ἐπεποίητο, πρέσβεις πρὸς αὐτὸν ἀνταπέ-
στειλαν. ἐπειδή τε ἐκεῖνοι δῶρα παρ' αὐτοῦ μεγαλο-
πρεπῆ λαβόντες ἐς τὸ δημόσιον σφᾶς ἀπέδειξαν, οὐκ
ἐδέξαντο αὐτά. U p. 374. Zonar. 8, 6 (vol. II, p. 191,
14—21).

[Zonaras 8, 6 — vol. II, p. 191, 7 sqq.]

τῶν *Ταραντίνων* δέ τινες κακωθέντες ὑπὸ τοῦ *Μίλωνος*
ἐπέθεντο αὐτῷ *Νίκωνα* προστησάμενοι. ὡς δ' οὐδὲν ἤνυ-
σαν, τεῖχός τι τῆς σφετέρας χώρας κατέσχον κἀκεῖθεν ὁρ-
μώμενοι τῷ *Μίλωνι* ἐπῄεσαν. ἐπεὶ δὲ ᾔσθοντο τοὺς *Ῥω-
μαίους* πολεμῆσαι σφίσι βουλομένους, πρέσβεις εἰς τὴν *Ῥώ-
μην* ἔστειλαν καὶ εἰρήνης ἔτυχον.

fr. 41 καὶ *Πτολεμαῖος* δὲ ὁ *Φιλάδελφος*, ὁ τῆς *Αἰγύπτου*
a. u. 481 (273) βασιλεύς, τόν τε *Πύρρον* κακῶς ἀπηλλαχότα μαθὼν
καὶ τοὺς *Ῥωμαίους* αὐξανομένους δῶρά τε αὐτοῖς
ἔπεμψε καὶ ὁμολογίαν ἐποιήσατο. καὶ οἱ *Ῥωμαῖοι*
ἐπὶ τούτῳ ἡσθέντες πρέσβεις πρὸς αὐτὸν ἀνταπέ-
στειλαν· οἳ μεγαλοπρεπῆ δῶρα παρ' ἐκείνου λαβόν-
τες εἰς τὸ δημόσιον ταῦτα εἰσῆγον. ἡ δὲ βουλὴ οὐ
προσήκατο, ἀλλ' εἴασεν αὐτοὺς ταῦτα ἔχειν.

a. u. 482 (272) μετὰ δὲ ταῦτα τούς τε *Σαυνίτας* διὰ *Καρουιλίου* ὑπέτα-
ξαν καὶ *Λευκανῶν* καὶ *Βρεττίων* διὰ *Παπειρίου* ἐκράτησαν.
καὶ τοὺς *Ταραντίνους* ὁ αὐτὸς *Παπείριος* ἐχειρώσατο. ἀχθό-
μενοι γὰρ τῷ *Μίλωνι* καὶ πρὸς τῶν σφετέρων κακούμενοι
τῶν, ὡς εἴρηται, ἐπιθεμένων τῷ *Μίλωνι Καρχηδονίους* ἐπ-
εκαλέσαντο, ἐπεὶ καὶ τὸν *Πύρρον* τεθνάναι ἔμαθον. ὁ δὲ
*Μίλων* ἐν στενῷ ἑαυτῷ τὰ πράγματα συνηγμένα ὁρῶν, τῶν
*Ῥωμαίων* ἐκ τῆς ἠπείρου ἐφεδρευόντων, τῶν δέ γε *Καρχη-*

41, 1 ὅτι] καὶ L ‖ 8 σφᾶς] ταῦτα Gros, del. St



[Zonaras 8, 6 — vol. II, p. 191, 31 sqq.]

*δονίων* ἐκ τῆς θαλάσσης, παρέδωκε τῷ *Παπειρίῳ* τὴν ἄκραν
ἐπὶ τῷ ἀβλαβὴς μετὰ τῶν περὶ αὐτὸν καὶ τῶν χρημάτων
ἀποχωρῆσαι. ἐντεῦθεν οἱ μὲν *Καρχηδόνιοι* ὡς ἔνσπονδοι
τοῖς *Ῥωμαίοις* ἀπέπλευσαν, ἡ δὲ πόλις προσεχώρησε τῷ *Πα-
πειρίῳ*· καὶ τὰ ὅπλα καὶ τὰς ναῦς αὐτῷ παρέδοσαν καὶ τὰ
τείχη καθεῖλον καὶ δασμοφορεῖν ὡμολόγησαν.

οὕτω δὲ τοὺς *Ταραντίνους* ὑφ' ἑαυτοὺς οἱ *Ῥωμαῖοι* ποιη-
σάμενοι ἐτράποντο πρὸς τὸ *Ῥήγιον*, ὅτι τὸν *Κρότωνα* προ-
δοσίᾳ λαβόντες τήν τε πόλιν κατέσκαψαν καὶ τοὺς ἐν αὐτῇ
*Ῥωμαίους* διέφθειραν. τοὺς μὲν οὖν *Μαμερτίνους* τοὺς τὴν
*Μεσσήνην* ἔχοντας, οὓς συμμάχους οἱ ἐν τῷ *Ῥηγίῳ* προσ-
εδέχοντο, ὁμολογίᾳ διεκρούσαντο, ἐκακοπάθησαν δὲ πολιορ-
κοῦντες τὸ *Ῥήγιον* σπάνει τε τροφῆς καὶ ἄλλοις τισίν, ἕως
*Ἱέρων* ἐκ *Σικελίας* σῖτόν τε *Ῥωμαίοις* πέμψας καὶ στρατιώ-
τας ἐπέρρωσε σφᾶς καὶ τὴν πόλιν συνεῖλεν. ἣ τοῖς περι- a. u. 484
οῦσι τῶν ἀρχαίων πολιτῶν ἀπεδόθη· οἱ δ' ἐπιβουλεύσαντες (270)
αὐτῇ ἐκολάσθησαν.

ὁ δέ γε *Ἱέρων* οὔτε πατρόθεν ἐπιφάνειαν ἔχων τινά,
μητρόθεν δὲ καὶ δουλείᾳ προσήκων *Σικελίας* ἁπάσης ἦρξε
μικροῦ καὶ φίλος *Ῥωμαίοις* ἐνομίσθη καὶ σύμμαχος. οὗτος
οὖν τῶν *Συρακουσίων* κρατήσας μετὰ τὴν τοῦ *Πύρρου* φυ-
γὴν καὶ τοὺς *Καρχηδονίους* εὐλαβηθεὶς ἐγκειμένους τῇ *Σι-
κελίᾳ* πρὸς τοὺς *Ῥωμαίους* ἀπέκλινε καὶ πρώτην χάριν αὐτοῖς
τὴν εἰρημένην συμμαχίαν καὶ τὴν σιτοπομπίαν ἀπένειμε.

μετὰ ταῦτα δὲ χειμῶνος γεγονότος πολλοῦ, ὥστε τὸν *Τί-
βεριν* εἰς πολὺ τοῦ βάθους κρυσταλλωθῆναι καὶ αὐανθῆναι
τὰ δένδρα, οἱ ἐν τῇ *Ῥώμῃ* ἐταλαιπώρησαν, καὶ τὰ βοσκή-
ματα τῆς πόας ἐπιλιπούσης ἐφθάρησαν.

7. τῷ δ' ἑξῆς ἔτει *Λόλιός* τις ἀνὴρ *Σαυνίτης* ὁμηρεύων a. u. 485
ἐν *Ῥώμῃ* καὶ ἐκδρὰς δύναμιν συνελέξατο καὶ χωρίον τι (269)
καρτερὸν ἐν τῇ οἰκείᾳ καταλαβὼν ἐλῄστευεν. ἐφ' ὃν *Κύιντός
τε Γάλλος* καὶ *Γάιος Φάβιος* στρατεύσαντες αὐτὸν μὲν καὶ
τοὺς σὺν αὐτῷ σύγκλυδας καὶ ἀόπλους τοὺς πλείονας ὄντας
συνέσχον, χωρήσαντες δ' ἐπὶ *Καρκίνους*, παρ' οἷς τὴν λείαν
ἐκεῖνοι ἀπετέθειντο, πράγματα ἔσχον. καὶ τέλος νυκτὸς ὑπ'
αὐτομόλων ὑπερβάντες πῃ τοῦ τείχους ἐκινδύνευσαν ἀπο-

42 ὅτι τοιαῦτα πράττοντες οἱ Ῥωμαῖοι καὶ ἐπὶ μεῖζον
a. u. ἀεὶ αἰρόμενοι οὐδέπω ὑπερεφρόνουν, ἀλλὰ Κύιντον
488
(266) Φάβιον βουλευτὴν Ἀπολλωνιάταις τοῖς ἐν τῷ Ἰονίῳ
κόλπῳ ὑπὸ Κορινθίων ἀποικισθεῖσιν ἐξέδωκαν, ὅτι
τινὰς πρέσβεις αὐτῶν ὕβρισεν. οὐ μέντοι καὶ ἐκεῖνοι
δεινόν τι ἔδρασαν αὐτόν, ἀλλὰ καὶ ἔπεμψαν οἴκαδε·
V p. 590. Zonar. 8, 7 (vol. II, p. 193, 23—27).

[Zonaras 8, 7 — vol. II, p. 193, 10 sqq.]

λέσθαι διὰ σκότος, οὐχ ὡς ἀσελήνου τῆς νυκτὸς οὔσης, ἀλλ' ὅτι σφοδρότατα ἔνιφεν· ἐκφανείσης δὲ τῆς σελήνης ἀθρόον ἐκράτησαν τοῦ χωρίου.

πολλὰ δὲ χρήματα τότε τῇ Ῥώμῃ ἐγένετο, ὥστε καὶ ἀργυραῖς δραχμαῖς χρήσασθαι.

a. u. εἶτα εἰς τὴν νῦν καλουμένην Καλαβρίαν ἐστράτευσαν,
487
(267) προφάσει μέν, ὅτι τὸν Πύρρον ὑπεδέξαντο καὶ τὴν συμμα-
χίδα κατέτρεχον, τῇ δ' ἀληθείᾳ, ὅτι ἐβούλοντο οἰκειώσασθαι
τὸ Βρεντέσιον, ὡς εὐλίμενον καὶ προσβολὴν καὶ κάταρσιν
ἐκ τῆς Ἰλλυρίδος καὶ τῆς Ἑλλάδος τοιαύτην ἔχον, ὥσθ' ὑπὸ
a. u. τοῦ αὐτοῦ πνεύματος καὶ ἐξανάγεσθαί τινας καὶ καταίρειν.
488 καὶ εἷλον αὐτὸ καὶ ἀποίκους ἔπεμψαν εἰς αὐτό τε καὶ εἰς
(266) ἕτερα. ταῦτα δ' ἀνύοντες καὶ ἐπὶ μεῖζον αἰρόμενοι οὐχ
fr. 42 ὑπερεφρόνουν, ἀλλὰ Κύιντον Φάβιον βουλευτὴν
Ἀπολλωνιάταις τοῖς ἐν τῷ Ἰονίῳ κόλπῳ ἐξέδωκαν,
ὅτι πρέσβεις αὐτῶν ὕβρισεν. οἳ δὲ λαβόντες αὐτὸν
ἀπέπεμψαν οἴκαδε ἀπαθῆ.

a. u. ἐπὶ δὲ Κυΐντου Φαβίου καὶ Αἰμιλίου ὑπάτων πρὸς Οὐολ-
489 σινίους ἐστράτευσαν ἐπ' ἐλευθερίᾳ αὐτῶν· ἔνσπονδοι γὰρ
(265) ἦσαν αὐτοῖς. οἳ ἀρχαιότατοι Τυρσηνῶν ὄντες ἰσχύν τε περι-
εποιήσαντο καὶ τεῖχος κατεσκεύασαν ὀχυρώτατον, πολιτείᾳ τε
εὐνομουμένῃ ἐκέχρηντο καὶ δι' αὐτὰ πολεμοῦντές ποτε τοῖς
Ῥωμαίοις ἐπὶ πλεῖστον ἀντέσχον. ὡς δ' ἐχειρώθησαν, αὐτοὶ
μὲν ἐξώκειλαν εἰς ἁβρότητα, τὴν δὲ διοίκησιν τῆς πόλεως

---

**42**, 2 ἀεὶ αἰρόμενοι B, διαιρούμενοι L, αἰρόμενοι vel δὴ αἰρόμενοι vel διαιρόμενοι R ‖ 6 καὶ ἔπεμψαν] ἀπέπεμψαν? B



[Zonaras 8, 7 — vol. II, p. 194, 6 sqq.]

τοῖς οἰκέταις ἐπέτρεψαν καὶ τὰς στρατείας δι' ἐκείνων ὡς τὸ πολὺ ἐποιοῦντο· καὶ τέλος ἐς τοῦτο προήγαγον σφᾶς, ὡς καὶ δύναμιν τοὺς οἰκέτας καὶ φρόνημα ἔχειν καὶ ἐλευθερίας ἑαυτοὺς ἀξιοῦν. προϊόντος δὲ τοῦ χρόνου καὶ ἔτυχον ταύτης δι' ἑαυτῶν καὶ τὰς σφῶν δεσποίνας ἠγάγοντο καὶ τοὺς δεσπότας διεδέχοντο καὶ εἰς τὴν βουλὴν ἐνεγράφοντο καὶ τὰς ἀρχὰς ἐλάμβανον καὶ αὐτοὶ τὸ σύμπαν κῦρος εἶχον καὶ τά τε ἄλλα καὶ τὰς ὕβρεις τὰς ὑπὸ τῶν δεσποτῶν αὐτοῖς γινομένας ἰταμώτερον εἰς αὐτοὺς ἐκείνους ἀνταπεδείκνυντο. οὔτ' οὖν φέρειν σφᾶς οἱ ἀρχαῖοι πολῖται οὔτε καθ' ἑαυτοὺς δεδυνημένοι ἀμύνασθαι λάθρᾳ πρέσβεις εἰς τὴν Ῥώμην ἀπέστειλαν. οἳ καὶ δι' ἀπορρήτων νυκτὸς τὴν γερουσίαν εἰς ἰδιωτικὴν οἰκίαν ἐλθεῖν, ἵνα μηδὲν ἐξαγγελθῇ, παρεκάλεσαν καὶ ἔτυχον. καὶ οἱ μὲν ὡς οὐδενὸς ἐπακούοντος ἐβουλεύοντο, Σαυνίτης δέ τις παρὰ τῷ κυρίῳ τῆς οἰκίας ἐπιξενούμενος καὶ νοσῶν ἔλαθε κατὰ χώραν μείνας καὶ ἔμαθεν ἃ ἐψηφίσαντο καὶ ἐμήνυσε τοῖς τὴν αἰτίαν ἔχουσι. κἀκεῖνοι τοὺς πρέσβεις ἐπανιόντας κατέσχον καὶ ἐβασάνισαν· καὶ μαθόντες τὰ δρώμενα αὐτούς τε ἀπέκτειναν καὶ τῶν ἄλλων τοὺς πρώτους. δι' οὖν ταῦθ' οἱ Ῥωμαῖοι τὸν Φάβιον ἐπ' αὐτοὺς ἔστειλαν. καὶ ὃς τούς τε ἀπαντήσαντας αὐτῷ ἐξ ἐκείνων ἐτρέψατο καὶ πολλοὺς ἐν τῇ φυγῇ φθείρας κατέκλεισε τοὺς λοιποὺς εἰς τὸ τεῖχος καὶ προσέβαλε τῇ πόλει. καὶ ὁ μὲν ἐνταῦθα τρωθεὶς ἀπέθανε, θαρσήσαντες δ' ἐπὶ τούτῳ ἐπεξῆλθον. καὶ ἡττηθέντες αὖθις ἀνεχώρησαν καὶ ἐπολιορκοῦντο· καὶ εἰς ἀνάγκην λιμοῦ ἐμπεσόντες παρέδωκαν ἑαυτούς. ὁ δὲ ὕπατος τοὺς μὲν ἀφελομένους τὰς τῶν κυρίων τιμὰς αἰκισάμενος ἔκτεινε καὶ τὴν πόλιν κατέσκαψε, τοὺς δὲ αὐθιγενεῖς, καὶ εἴ τινες τῶν οἰκετῶν χρηστοὶ περὶ τοὺς δεσπότας ἐγένοντο, ἐν ἑτέρῳ κατῴκισε τόπῳ.

8. ἐντεῦθεν ἤρξαντο οἱ Ῥωμαῖοι διαποντίων ἀγώνων· ναυτικῶν γὰρ οὔτι πάνυ πεπείραντο· θαλαττουργοὶ δὲ γενόμενοι καὶ ἐπὶ τὰς νήσους τάς τε ἄλλας ἠπείρους ἐπεραιώθησαν. Καρχηδονίοις δὲ πρώτοις ἐπολέμησαν οὐδὲν αὐτῶν οὖσιν ἥττοσιν οὔτε πλούτῳ οὔτε ἀρετῇ χώρας καὶ ἠσκημένοις τὰ ναυτικὰ πρὸς ἀκρίβειαν καὶ παρεσκευασμένοις ἱπ-

43 ὅτι αἰτίαι ἐγένοντο τῆς πρὸς ἀλλήλους διαφορᾶς τοῖς μὲν Ῥωμαίοις, ὅτι Καρχηδόνιοι τοῖς Ταραντίνοις ἐβοήθησαν, τοῖς δὲ Καρχηδονίοις, ὅτι Ῥωμαῖοι φιλίαν τῷ Ἱέρωνι συνέθεντο. ἀλλὰ ταῦτα μέν, οἷά που πεφύκασιν οἱ τῷ μὲν ἔργῳ πλεῖον ἔχειν βουλόμενοι, τὴν δὲ δόξαν αὐτοῦ αἰσχυνόμενοι, σκήψεις ἐποιοῦντο· ἡ
2 δὲ ἀλήθεια ἄλλως ἔχει. δυνάμενοι ⟨μὲν⟩ γὰρ ἐκ πολλοῦ οἱ Καρχηδόνιοι, αὐξανόμενοι δὲ ἤδη οἱ Ῥωμαῖοι ἀλλήλους τε ὑφεωρῶντο καὶ τὰ μὲν ἐπιθυμίᾳ τοῦ ἀεὶ πλείονος κατὰ τὸ ⟨τοῖς⟩ πολλοῖς τῶν ἀνθρώπων, καὶ μάλισθ᾽ ὅταν εὖ πράττωσιν, ἔμφυτον, τὰ δὲ καὶ φόβῳ προήχθησαν ἐς τὸν πόλεμον ⟨μίαν⟩ καὶ τὴν αὐτὴν ἑκάτεροι τῶν οἰκείων σωτηρίαν ἀσφαλῆ τὸ τὰ τῶν ἑτέρων
3 προσκτήσασθαι νομίζοντες εἶναι· τά τε γὰρ ἄλλα καὶ χαλεπώτατον ἀδύνατόν τε ἦν, δύο δήμους ἔν τε ἐλευθερίᾳ καὶ ἐν δυνάμει φρονήματί τε ὄντας καὶ βραχύ-

[Zonaras 8, 8 — vol. II, p. 195, 15 sqq.]

πικαῖς τε δυνάμεσι καὶ πεζαῖς καὶ ἐλέφασι καὶ ἄρχουσι Λιβύων τήν τε Σαρδὼ καὶ τῆς Σικελίας τὰ πλείω κατέχουσιν· ὅθεν καὶ τὴν Ἰταλίαν χειρώσασθαι δι᾽ ἐλπίδων πεποίηντο. τά τε γὰρ ἄλλα σφᾶς φρονηματίζεσθαι ἔπειθον, καὶ τῷ αὐτονόμῳ λίαν ἐτύγχανον ἐπαιρόμενοι (τὸν γὰρ βασιλέα ἑαυτοῖς κλῆσιν ἐτησίου ἀρχῆς, ἀλλ᾽ οὐκ ἐπὶ χρονίῳ δυναστείᾳ προυβάλλοντο) καὶ ὡς αὐτοῖς πονούμενοι προθυμότατα ὤργων.

fr. 43,1 σκήψεις δὲ τοῦ πολέμου ἐγένοντο Ῥωμαίοις μέν, ὅτι Καρχηδόνιοι τοῖς Ταραντίνοις ἐβοήθησαν, Καρχηδονίοις δέ, ὅτι φιλίαν Ῥωμαῖοι συνέθεντο τῷ
fr. 43,2 Ἱέρωνι· τὸ δ᾽ ἀληθές, ὅτι ἀλλήλους ὑφωρῶντο καὶ μίαν σωτηρίαν τῶν οἰκείων ἑκάτεροι ᾤοντο, εἰ τὰ τῶν ἄλλων προσκτήσαιντο. οὕτω διανοουμένοις αὐ-

43,2,1 ⟨μὲν⟩ inser. B, δυνάμενοι γὰρ ⟨μέγα⟩ Herwerden ‖ 4 ⟨τοῖς⟩ inseruit Herwerden ‖ 6 ⟨μίαν⟩ inseruit B e Zonara



τατον ⟨ὡς⟩ εἰπεῖν ταῖς τῆς ναυτιλίας ὀξύτησι διεστηκότας ἄλλων μέν τινων ἄρχειν, ἀλλήλων δὲ ἀπέχεσθαι ἐθελῆσαι. τοιοῦτον κατὰ τύχην συμπεσὸν τάς τε σπονδὰς σφῶν διέλυσε καὶ ἐς τὸν πόλεμον αὐτοὺς συνέρρηξεν. M p. 178. Zonaras 8, 8 (vol. II, p. 195, 25 —196, 2).

ὅτι τὸ ἀγώνισμα λόγῳ μὲν περὶ Μεσσήνης καὶ Σι- 4
κελίας, ἔργῳ δὲ καὶ περὶ τῆς οἰκείας ἑκάτεροι ἐκεῖθεν ἤδη κινούμενον ᾐσθάνοντο καὶ τὴν νῆσον ἅτε ἐν μέσῳ σφῶν κειμένην ἐπίβασιν τοῖς κρατήσασιν αὐτῆς ἐπὶ τοὺς ἑτέρους ἀσφαλῆ παρέξειν ἐνόμιζον. M p. 179. Zonar. 8, 8 (vol. II, p. 196, 12—17).

[Zonaras 8, 8 — vol. II, p. 196, 1 sqq.]

τοῖς συμπεσόν τι τὰς σπονδάς τε διέλυσε καὶ ἐς τὸν πόλεμον αὐτοὺς ἐξηρέθισε· τὸ δ᾽ ἦν τοιοῦτον.

οἱ Μαμερτῖνοι ἐκ Καμπανίας ποτὲ πρὸς Μεσσήνην ἀποικίαν στειλάμενοι, τότε δ᾽ ὑπὸ Ἱέρωνος πολιορκούμενοι ἐπεκαλέσαντο τοὺς Ῥωμαίους οἷα σφίσι προσήκοντας. κἀκεῖνοι ἑτοίμως ἐπικουρῆσαι αὐτοῖς ἐψηφίσαντο εἰδότες ὅτι, ἂν τῆς συμμαχίας αὐτῶν οἱ Μαμερτῖνοι μὴ τεύξωνται, πρὸς τοὺς Καρχηδονίους τραπήσονται, κἀκεῖνοι τῆς τε Σικελίας ὅλης κρατήσουσι καὶ ἐς τὴν Ἰταλίαν ἐξ αὐτῆς διαβήσονται. ἡ γὰρ νῆσος αὕτη βραχὺ τῆς ἠπείρου διέχει, ὡς μυθεύεσθαι,
ὅτι ποτὲ καὶ αὐτὴ ἠπείρωτο. ἥ τε οὖν νῆσος οὕτω τῇ fr. 43,4
Ἰταλίᾳ ἐπικειμένη ἐδόκει τοὺς Καρχηδονίους ἐκκαλέσασθαι καὶ τῶν ἀντιπέραν ἀντιποιήσασθαι, ἄν γε ταύτην κατάσχωσι, καὶ ἡ Μεσσήνη παρεῖχε τοῖς κρατοῦσιν αὐτῆς καὶ τοῦ πορθμοῦ κυριεύειν.

ψηφισάμενοι δὲ βοήθειαν οἱ Ῥωμαῖοι τοῖς Μαμερτίνοις οὐ ταχέως αὐτοῖς ἐπεκούρησαν διά τινας ἐπισυμβάσας αἰτίας. ὅθεν ἀνάγκῃ πιεζόμενοι οἱ Μαμερτῖνοι Καρχηδονίους ἐπεκαλέσαντο. οἱ δὲ καὶ ἑαυτοῖς καὶ τοῖς ἐπικαλεσαμένοις εἰρή-

3, 4 ⟨ὡς⟩ inseruit B

5 ὅτι Γάιος Κλαύδιος ἐλθὼν ἐς ἐκκλησίαν ἄλλα τε
a.u. ἐπαγωγὰ εἶπε καὶ ὅτι ἐπ' ἐλευθερώσει τῆς πόλεως ἥκει·
490
(264) οὐ γὰρ δεῖσθαί γε Ῥωμαίους Μεσσήνης οὐδέν· καὶ
ὅτι εὐθύς, ἐπειδὰν τὰ πράγματα αὐτῶν καταστήσῃ,
ἀποπλεύσεται. κἀκ τούτου καὶ τοὺς Καρχηδονίους ἢ
ἀποχωρῆσαι ἐκέλευσεν ἤ, εἰ δή τι δίκαιον εἰπεῖν ἔχου-
6 σιν, ἐς κρίσιν καταστῆναι. ὡς δ' οὔτε τῶν Μαμερτί-
νων τις ὑπὸ δέους ἐφθέγγετο καὶ οἱ Καρχηδόνιοι ἅτε
καὶ βίᾳ τὴν πόλιν κατέχοντες βραχὺ αὐτοῦ ἐφρόντιζον,
αὔταρκες ἔφη μαρτύριον τὴν σιωπὴν παρ' ἀμφοτέρων
ἔχειν, τῶν μέν, ὅτι ἀδικοῖεν, δεδικαιολογῆσθαι γὰρ ἄν,

[Zonaras 8, 8 — vol. II, p. 196, 22 sqq.]

νην κατεπράξαντο πρὸς Ἱέρωνα, ἵνα μὴ οἱ Ῥωμαῖοι ἐς
τὴν νῆσον περαιωθῶσι, καὶ τὸν πορθμὸν καὶ τὴν πόλιν
a.u. ἐφύλασσον Ἄννωνος σφῶν ἡγουμένου. κἀν τούτῳ Γάιος
490
(264) Κλαύδιος χιλιαρχῶν ναυσὶν ὀλίγαις ὑπὸ Ἀππίου Κλαυδίου
προπεμφθεὶς εἰς τὸ Ῥήγιον ἀφίκετο. διαπλεῦσαι δὲ οὐκ
ἐθάρρησε πολὺ πλεῖον τὸ τῶν Καρχηδονίων ὁρῶν ναυτικόν.
ἀκατίῳ δ' ἐμβὰς προσέσχε τῇ Μεσσήνῃ καὶ διειλέχθη αὐτοῖς,
ὅσα ὁ καιρὸς ἐδίδου. ἀντειπόντων δὲ τῶν Καρχηδονίων
τότε μὲν μηδὲν πράξας ἀνεκομίσθη, μετὰ ταῦτα δὲ γνοὺς
τοὺς Μαμερτίνους ἐν στάσει ὄντας (οὔτε γὰρ τοῖς Ῥωμαίοις
ὑπείκειν ἐβούλοντο καὶ τοὺς Καρχηδονίους ἐβαρύνοντο)
fr. 43, 5 ἔπλευσεν αὖθις καὶ ἄλλα τε εἶπεν ἐπαγωγὰ καὶ ὡς
ἐπ' ἐλευθερώσει τῆς πόλεως ἥκει καί, ἐπειδὰν κα-
τασταῖεν τὰ πράγματα, ἀποπλεύσει· καὶ τοὺς Καρ-
χηδονίους ἢ ἀποχωρῆσαι ἐκέλευσεν ἤ, εἴ τι δίκαιον
fr. 43, 6 ἔχοιεν, τοῦτο εἰπεῖν. ὡς δ' οὔτε τῶν Μαμερτίνων
τις ὑπὸ δέους ἐφθέγγετο, καὶ οἱ Καρχηδόνιοι βίᾳ
τὴν πόλιν κατέχοντες οὐδὲν αὐτοῦ ἐφρόντιζον,

---

5, 5 ἀποπλεύσεται vel ἀποπλευσεῖται B, Boissevain coll. Zonar. vol. II, p. 197, 5; ἀποπλεύσεσθαι Mai, quamobrem Herwerden ὅτι v. 4 expunxerat; in codice quid scriptum fuerit, incertum est ‖ 6, 4 τὴν σιωπὴν — ἔχειν B, ἡ σιωπὴ — ἔχει L



εἴπερ τι ὑγιὲς ἐφρόνουν, τῶν δέ, ὅτι τῆς ἐλευθερίας
ἐπιθυμοῖεν· παρρησίᾳ γὰρ ἄν, εἴπερ τὰ τῶν Καρχεδο-
νίων ᾑροῦντο, ἄλλως τε καὶ ἰσχύος αὐτῶν παρούσης
κεχρῆσθαι. καὶ προσυπέσχετό σφισι βοηθήσειν καὶ διὰ
τὸ γένος αὐτῶν τῆς Ἰταλίας ὂν καὶ διὰ τὴν αἴτησιν
τῆς ἐπικουρίας, ἣν ἐπεποίηντο. M p. 179. Zonar. 8, 8
(vol. II, p. 197, 3—15).

ὅτι Γάιος Κλαύδιος τῶν τε τριήρων τινὰς ἀπέβαλε 7
καὶ χαλεπῶς ἀπεσώθη, οὐ μέντοι παρὰ τοῦθ' ἧττον
οὔτε ἐκεῖνος οὔτε οἱ ἐν τῷ ἄστει Ῥωμαῖοι ἀντελάβοντο
τῆς θαλάσσης, ὅτι πρῶτον ⟨πειρασά⟩μενοι αὐτῆς ἡτ-
τήθησαν, ὅπερ που φιλοῦσιν οἱ πρῶτόν τι ἐγχειρισά-
μενοι καὶ σφαλέντες ποιεῖν, πρὸς οἰωνοῦ τὸ πρόσθεν
τιθέμενοι καὶ μηδ' αὖθίς ποτε κατορθώσειν νομίζον-
τες· ἀλλὰ καὶ προθυμότερον αὐτῆς διά τε τἆλλα καὶ

[Zonaras 8, 8 sq. — vol. II, p. 197, 10 sqq.]

"αὔταρκες" ἔφη "μαρτύριον παρ' ἀμφοτέρων ἡ σι-
ωπή, τῶν μέν, ὅτι ἀδικοῦσιν, εἰ γάρ τι ὑγιὲς ἐφρό-
νουν, ἐδικαιολογήσαντο ἄν, τῶν δέ, ὅτι τῆς ἐλευ-
θερίας ἐφίενται· ἐπαρρησιάσαντο γὰρ ἄν, εἰ τὰ τῶν
Καρχηδονίων προῄρηντο." καὶ ἐπηγγέλλετο βοη-
θήσειν αὐτοῖς. θορύβου δὲ καὶ ἐπαίνου παρὰ τῶν Μα-
μερτίνων ἐπὶ τούτοις γενομένου εὐθὺς ἀνέπλευσε πρὸς τὸ
Ῥήγιον καὶ μετ' ὀλίγον παντὶ τῷ ναυτικῷ βιασάμενος τὸν
διάπλουν τὸ μέν τι ὑπὸ τοῦ πλήθους καὶ τῆς τέχνης τῶν
Καρχηδονίων, τὸ δὲ πλεῖστον διὰ τὴν τοῦ ῥοῦ χαλεπότητα
καὶ χειμῶνα ἐξαίφνης γενόμενόν τινας τε τῶν τριήρων fr. 43, 7
ἀπέβαλε καὶ ταῖς λοιπαῖς μόλις εἰς τὸ Ῥήγιον ἀπ-
εσώθη.

9. οὐ μέντοι τῆς θαλάσσης οἱ Ῥωμαῖοι διὰ τὴν
ἧτταν ἀπέσχοντο, ἀλλ' ὁ μὲν Κλαύδιος τὰς ναῦς ἐπεσκεύ-

---

6, 10 ⟨ἐξ⟩ Ἰταλίας Herwerden ‖ 7, 4 ⟨πειρασά⟩μενοι suppl. Herwerden.

διὰ φιλοτιμίαν, ἵνα μὴ καὶ ὑπὸ τῆς συμφορᾶς ἀποτετράφθαι δόξωσι, μετεποιήσαντο. M p. 180. Zonaras 8, 8 sq. (vol. II, p. 197, 21—24).

8 ὅτι ὁ Ἄννων οὔτ' ἄλλως ἐπ' ἐλαφρῷ τὸν πόλεμον ποιούμενος, εἰ καὶ δέοι αὐτὸν γενέσθαι, τὴν γοῦν αἰτίαν τῆς διαλύσεως τῶν σπονδῶν ἐς ἐκεῖνον τρέψαι, μὴ κατάρχειν αὐτὸς νομισθείη, θέλων ἀπέπεμψέ τε αὐτῷ τὰς ναῦς καὶ τοὺς αἰχμαλώτους, πρός ⟨τε⟩ τὴν εἰρήνην προὐκαλεῖτο καὶ προσπαρῄνει οἱ μὴ πολυπραγμονεῖν τὴν θάλατταν. M p. 180. Zonaras 8, 9 (vol. II, p. 197, 25—29).

9 ὅτι ἐπεὶ οὐδὲν ἐδέξατο, ἀπειλὴν ὑπέρφρονα καὶ νεμεσητὴν ἠπείλησεν· ἔφη τε γὰρ μηδ' ἀπονίψασθαι ποτὲ τὰς χεῖρας ἐν τῇ θαλάσσῃ τοῖς Ῥωμαίοις ἐπιτρέψειν καὶ μετὰ ταύτης ἀπέβαλε καὶ τὴν Μεσσήνην οὐ πολλῷ ὕστερον. M p. 180. Zonar. 8, 9 (vol. II, p. 197, 29—198, 1).

10 ὅτι ὁ Κλαύδιος καταλαβὼν τοὺς Μαμερτίνους ἐν τῷ λιμένι συνεστραμμένους ἐκκλησίαν τε αὐτῶν ἐποίησε καὶ εἰπὼν ὅτι οὐδὲν δέομαι τῶν ὅπλων, ἀλλ' αὐτοῖς ὑμῖν διαγνῶναι πάντα ἐπιτρέπω, ἔπεισε σφᾶς μεταπέμψασθαι τὸν Ἄννωνα· μὴ βουληθέντος δὲ αὐτοῦ καταβῆναι πολὺς ἐνέκειτο κατατρέχων καὶ λέγων ὅτι, εἰ δή τι καὶ τὸ βραχύτατον δικαίωμα εἶχεν, πάντως ἂν ἐς λόγους οἱ ἀφίκετο καὶ οὐκ ἂν βίᾳ τὴν πόλιν κατεῖχεν. M p. 180. Zonar. 8, 9 (vol. II, p. 198, 5—9).

[Zonaras 8, 9 — vol. II, p. 197, 25 sqq.]

fr. 43, 8 αξεν, Ἄννων δὲ τὴν αἰτίαν τῆς τῶν σπονδῶν δια-
λύσεως εἰς τοὺς Ῥωμαίους τρέψαι βουλόμενος καὶ
τὰς ἁλούσας τριήρεις τῷ Κλαυδίῳ ἔπεμψε καὶ τοὺς
αἰχμαλώτους ἀπεδίδου καὶ πρὸς τὴν εἰρήνην προ-
fr. 43, 9 εκαλεῖτο αὐτόν. ἐπεὶ δ' οὐδὲν ἐδέξατο, ἠπείλησε
μηδ' ἀπονίψασθαί ποτε τὰς χεῖρας ἐν τῇ θαλάσσῃ
τοὺς Ῥωμαίους ἐᾶσαι. ὁ Κλαύδιος δὲ τὴν τοῦ πορθμοῦ
φύσιν κατανοήσας ἐτήρησε τὸν ῥοῦν καὶ τὸν ἄνεμον ἐκ τῆς
Ἰταλίας εἰς τὴν Σικελίαν ἅμα φέροντας καὶ οὕτως ἔπλευσεν
fr. 43, 10 εἰς τὴν νῆσον μηδενὸς ἐναντιωθέντος. εὑρὼν οὖν ἐν τῷ
λιμένι τοὺς Μαμερτίνους (ὁ γὰρ Ἄννων προϋποπτεύσας αὐτοὺς ἐν τῇ ἀκροπόλει καθῆστο φυλάττων αὐτήν) ἐκκλησίαν συνήγαγε καὶ διαλεχθεὶς αὐτοῖς ἔπεισε μεταπέμψασθαι τὸν Ἄννωνα. ὁ δὲ καταβῆναι οὐκ ἤθελε· φοβηθεὶς δέ, μὴ οἱ Μαμερτῖνοι ὡς ἀδικοῦντος αὐτοῦ νεωτερίσωσιν, ἦλθεν εἰς τὴν ἐκκλησίαν. καὶ πολλῶν ὑπ' ἀμφοῖν μάτην λεχθέντων συνήρπασέ τις τῶν Ῥωμαίων αὐτὸν καὶ ἐνέβαλεν εἰς τὸ δεσμωτήριον συνεπαινούντων τῶν Μαμερτίνων.

[Zonaras 8, 9 — vol. II, p. 198, 6 sqq.]

καὶ ὁ μὲν οὕτως ὅλην ἀνάγκῃ τὴν Μεσσήνην ἐξέλιπεν, οἱ Καρχηδόνιοι δὲ ἐκόλασαν μὲν τὸν Ἄννωνα, κήρυκα δὲ τοῖς Ῥωμαίοις ἔπεμψαν τήν τε Μεσσήνην ἐκλιπεῖν κελεύοντες καὶ ἐκ πάσης ἀπελθεῖν Σικελίας ἐν ἡμέρᾳ ῥητῇ· καὶ στρατιὰν ἀπεστάλκασιν. ὡς δ' οὐκ ἐπείθοντο οἱ Ῥωμαῖοι, τούς τε μισθοφοροῦντας παρ' αὐτοῖς ἐξ Ἰταλίας ἀπέκτειναν καὶ τῇ Μεσσήνῃ προσέβαλον (συνῆν δὲ καὶ ὁ Ἱέρων αὐτοῖς) καὶ τὴν πόλιν ἐπολιόρκουν καὶ τὸν πορθμὸν ἐφύλασσον, ὡς μήτε στράτευμα μήτε σῖτος αὐτοῖς κομισθῇ. ὃ μαθὼν ὁ ὕπατος ἤδη πλησιάζων, ὡς εὗρε συχνοὺς αὐτῶν πολλαχῇ κατὰ πρόφασιν ἐμπορίας ἐλλιμενίζοντας, ἐξηπάτησε σφᾶς, ὅπως διέλθῃ τὸν πορθμὸν ἀσφαλῶς, καὶ ἔλαθε νυκτὸς τῇ Σικελίᾳ προσορμισάμενος. καὶ προσπλεύσας οὐ πόρρω τοῦ στρατοπέδου τοῦ Ἱέρωνος αὐτίκα συνέμιξε νομίζων φοβερώτατος αὐτοῖς ἐκ τοῦ ἀθρόου φανήσεσθαι. ἀντεπεξελθόν-

7, 10 μετεποιήσαντο B, μετεποίησαν L ‖ 8, 4 αὐτὸς Herw., αὐτῆς L ‖ ἀπέπεμψε B, προσέπεμψε L ‖ 5 ⟨τε⟩ inser. Boissevain

10, 3 εἰπὼν Gros, εἶπεν L ‖ 7 εἶχεν Mai, εἶχον L ‖ 8 ἂν B, ἐν L

11 ὅτι ὁ ὕπατος Κλαύδιος τοὺς στρατιώτας προπαρήνεσε θαρρεῖν μηδὲ ἐπὶ τῇ τοῦ χιλιάρχου ἥττῃ καταπεπλῆχθαι διδάσκων αὐτούς, ὅτι καὶ αἱ νῖκαι τοῖς ἄμεινον παρεσκευασμένοις γίγνοιντο, καὶ ὅτι ἡ σφετέρα ἀρετὴ πολὺ τῆς τῶν ἐναντίων τέχνης προέχουσα εἴη· ἑαυτοὺς μὲν γὰρ τὴν ἐπιστήμην τῶν ναυτικῶν δι᾽ ὀλίγου προσλήψεσθαι, τοῖς δὲ δὴ Καρχηδονίοις μηδέποτε τὴν ἀνδρείαν ἐκ τοῦ ἴσου σφίσιν ὑπάρξειν ἔφη· τὸ μὲν γὰρ κτητὸν διὰ βραχέος τοῖς τὸν νοῦν αὐτῷ προσέχουσι καὶ καθαιρετὸν μελέτῃ εἶναι, τὸ δὲ εἰ μὴ φύσει τῳ προσείη, οὐκ ἂν διδαχῇ πορισθῆναι. M p. 181.

12 ὅτι θαρσήσαντες οἱ Λίβυες ὡς οὐ τῇ φύσει τοῦ χωρίου, ἀλλὰ τῇ σφετέρᾳ ἀρετῇ κεκρατηκότες τὴν ἐπέξοδον ἐποιήσαντο· ὁ δὲ Κλαύδιος οὕτως αὐτοὺς δε-

[Zonaras 8, 9 — vol. II, p. 198, 32 sqq.]

των δ᾽ αὐτῶν τὸ μὲν τῶν Ῥωμαίων ἱππικὸν ἠλαττώθη, τὸ δ᾽ ὁπλιτικὸν ὑπερέσχε. καὶ ὁ Ἱέρων τότε μὲν εἰς τὰ ὄρη, ἐς δὲ τὰς Συρακούσας ὕστερον ἀπεχώρησεν.

ὁ οὖν Κλαύδιος ἀποχωρήσαντος τοῦ Ἱέρωνος καὶ τῶν Μαμερτίνων διὰ τὴν παρουσίαν αὐτοῦ ἀναθαρσησάντων ἐπῆλθε τοῖς Καρχηδονίοις μονωθεῖσιν ἤδη καὶ τῷ σφῶν προσέβαλε χαρακώματι, ὄντι οἷον ἐν χερρονήσῳ. ἐντεῦθεν μὲν γὰρ ἡ θάλασσα τοῦτο συνεῖχεν, ἐντεῦθεν δ᾽ ἕλη τινὰ δυσδιάβατα· ἐπὶ δὲ τὸν αὐχένα, δι᾽ οὗπερ μόνου εἰσῄεσαν στενοτάτου τυγχάνοντος, ἐπεποίητο διατείχισμα. βιαζόμενοι οὖν πρὸς ταῦτα οἱ Ῥωμαῖοι ἐταλαιπώρησαν καὶ βαλλόμενοι
fr. 43,12 ἀνεχώρησαν. οἱ δὲ Λίβυες θαρσήσαντες ἐπεξῆλθον καὶ ὡς φεύγοντας ἐπιδιώκοντες ἔξω προεληλύθεισαν τῶν στενῶν· κἀνταῦθα ἐπιστραφέντες οἱ Ῥωμαῖοι αὐτοὺς ἐτρέψαντο καὶ πολλοὺς ἀπέκτειναν, ὥστε αὐτοὺς μηκέτι τοῦ στρατοπέδου προελθεῖν,

11, 1 προπαρήνεσε Herwerden, προσπαρήνεσε L ‖ 3 καὶ] ἀεὶ? B ‖ 9 κτητόν ⟨τε⟩ B ‖ 11 διδαχθῇ L, corr. Mai



διέναι ἐποίησεν, ὡς μηδ᾽ ἔξω τοῦ στρατοπέδου παρακύψαι. M p. 181. Zonar. 8, 9 (vol. II, p. 199, 13—18).

συμβαίνει γὰρ ὡς ἐπὶ πλήθει τοῖς μὲν ἐκ λογισμοῦ 13
τι δεδιόσιν ὀρθοῦσθαι διὰ προφυλακὴν αὐτοῦ, τοῖς δ᾽ ἀπρονοήτως θρασυνομένοις φθείρεσθαι δι᾽ ἀφυλαξίαν. M p. 539.

[Zonaras 8, 9 — vol. II, p. 199, 17 sqq.]

παρ᾽ ὅσον ἦν ἐν Μεσσήνῃ ὁ Κλαύδιος. ὁ δὲ βιάσασθαι τὴν πρόσοδον μὴ τολμῶν πρὸς τὰς Συρακούσας καὶ τὸν Ἱέρωνα ἐτράπετο φυλακὴν ἐν τῇ Μεσσήνῃ καταλιπών. καὶ προσέβαλλέ τε αὐτὸς τῷ ἄστει κἀκεῖνοί ποτε ἐπεξῄεσαν· καὶ ὅτε μὲν ἐκράτουν, ὅτε δ᾽ ἐκρατοῦντο ἑκάτεροι. καί ποτε ἐν χωρίῳ στενῷ ὁ ὕπατος γεγονὼς ἑάλω ἄν, εἰ μὴ πρὸ τοῦ περισχεθῆναι ἔπεμψε πρὸς τὸν Ἱέρωνα εἰς συμβάσεις δή τινας αὐτὸν προκαλούμενος. οὕτω γὰρ ἐλθόντος τινός, πρὸς ὃν ἔμελλε συμβήσεσθαι, διελέγετό τε αὐτῷ καὶ ὑπαπῄει, μέχρις οὗ πρὸς τὸ ἀσφαλὲς ἀπεχώρησε. τῆς δὲ πόλεως ῥᾳδίως ἁλῶναι μὴ δυναμένης καὶ τῆς προσεδρείας ἀπόρου διὰ σπάνιν οὔσης σιτίων καὶ διὰ νόσον τῆς στρατιᾶς ἀπανέστη· καὶ οἱ Συρακούσιοι εἵποντο καὶ ἐς λόγους τοῖς σκεδαννυμένοις ᾔεσαν καὶ ἐσπείσαντο ἄν, εἰ καὶ ὁ Ἱέρων συμβῆναι ἠθέλησεν. ὁ δὲ ὕπατος φρουρὰν ἐν τῇ Μεσσήνῃ καταλιπὼν ἀπέπλευσεν εἰς τὸ Ῥήγιον.

οἱ Ῥωμαῖοι δέ, ἐπεὶ τὰ Τυρσηνικὰ καθειστήκει καὶ τὰ a. u.
ἐν τῇ Ἰταλίᾳ ἀκριβῶς εἰρήνουν, τὰ δὲ τῶν Καρχηδονίων ἐπὶ 491 (263)
πλέον συνίσταντο, ἄμφω τοὺς ὑπάτους ἐς τὴν Σικελίαν ἐκστρατεῦσαι ἐκέλευσαν. περαιωθέντες οὖν ὅ τε Μάξιμος Οὐαλέριος καὶ Ὀτακίλιος Κράσσος καὶ διὰ τῆς νήσου ὁμοῦ τε καὶ δίχῃ πορευόμενοι πολλοὺς ὁμολογίᾳ παρεστήσαντο. ὡς δὲ τὰ πλείω ᾠκείωντο, πρὸς τὰς Συρακούσας ὥρμησαν. καὶ ὁ Ἱέρων φοβηθεὶς διεκηρυκεύσατο σφίσι τάς πόλεις τε, ἃς ἀφῄρηντο, ἀποδιδοὺς καὶ χρήματα ὑπισχνούμενος καὶ τοὺς αἰχμαλώτους ἐλευθερῶν. καὶ ἔτυχεν ἐπὶ τούτοις σπονδῶν·

13, 2 δεδιῶσιν L, corr. Mai

14 τὸ μὲν σωφρονοῦν καὶ κτᾶται τὰς νίκας καὶ γενομένας φυλάσσει, τὸ δ' ἀσελγαῖνον οὔτε περιγίγνεταί τινος, κἂν ἄρα εὐτυχήσῃ ποτὲ ἔν τινι, ῥᾷστα αὐτὸ ἀπόλλυσι· κἂν μὲν διασώσῃ τι, χεῖρον ὑπ' αὐτοῦ τοῦ παρὰ λόγον εὐπραγῆσαι γενόμενον οὐχ ὅσον οὐκ ἐκείνου τι ὀνίναται, ἀλλὰ καὶ αὐτῷ προσδιαφθείρεται.
15 καὶ γάρ πως πᾶν τὸ παρὰ λόγον θρασυνόμενον καὶ δεδιέναι ἀλόγως πέφυκεν· ὁ μὲν γὰρ λογισμὸς τήν τε

[Zonaras 8, 9 — vol. II, p. 200, 15 sqq.]

οἱ γὰρ ὕπατοι ῥᾷον μετ' αὐτοῦ καταστρέψασθαι τοὺς Καρχηδονίους ἐνόμισαν. συμβάντες δ' αὐτῷ πρὸς τὰς λοιπὰς πόλεις ὑπὸ Καρχηδονίων φρουρουμένας ἐτράποντο. καὶ τῶν μὲν ἄλλων ἀπεκρούσθησαν, Ἔγεσταν δ' ἑκουσίαν ἔλαβον. διὰ γὰρ τὴν πρὸς Ῥωμαίους οἰκείωσιν οἱ ἐν αὐτῇ ἀπὸ τοῦ Αἰνείου λέγοντες γεγονέναι προσεχώρησαν αὐτοῖς τοὺς Καρχηδονίους φονεύσαντες.

10. καὶ οἱ μὲν ὕπατοι διὰ τὸν χειμῶνα εἰς τὸ Ῥήγιον ἀπῆραν, Καρχηδόνιοι δὲ εἰς Σαρδὼ τὸ πλεῖον ἐκόμισαν τοῦ στρατοῦ, ἵν' ἐκεῖθεν τῇ Ῥώμῃ ἐπίθωνται καὶ ἢ τέλεον οὕτω τῆς Σικελίας ἐκστήσωσιν ἢ διαπεραιωθέντας ἀσθενεστέρους ποιήσωσιν. ἀλλ' οὔτε τούτου οὔτε μὴν ἐκείνου ἐπέτυχον· οἱ γὰρ Ῥωμαῖοι τήν τε οἰκείαν ἐφύλαττον καὶ ἀξιόμαχον
a. u. 492 (262) εἰς Σικελίαν δύναμιν ἔπεμψαν μετὰ Ποστουμίου Ἀλβίνου καὶ μετὰ Αἰμιλίου Κυΐντου. ἐλθόντες δὲ εἰς Σικελίαν οἱ ὕπατοι ἐπ' Ἀκράγαντα ὥρμησαν κἀνταῦθα Ἀννίβαν τὸν Γίσγωνος ἐπολιόρκουν. ὃ οἱ ἐν Καρχηδόνι πυθόμενοι Ἄννωνα αὐτῷ σὺν πολλῇ χειρὶ συμμαχήσοντα ἔπεμψαν. ὁ δὲ ἐς Ἡράκλειαν ἐλθὼν οὐ πόρρω οὖσαν Ἀκράγαντος ἐπολέμει. καὶ μάχαι πλείους, οὐ μεγάλαι δ' ἐγίνοντο· καὶ τὰ μὲν πρῶτα ὁ Ἄννων τοὺς ὑπάτους προυκαλεῖτο εἰς πόλεμον, εἶθ' ὕστερον ἐκεῖνον οἱ Ῥωμαῖοι προυκέκληντο. ἕως μὲν γὰρ ἄφθονον εἶχον οἱ Ῥωμαῖοι τροφήν, οὐκ ἐτόλμων μάχεσθαι τῷ πλήθει ἐλαττούμενοι, λιμῷ δὲ τὴν πόλιν αἱρήσειν ἤλπιζον·

14, 3 αὐτὸ B, αὐτὰ L



γνώμην τῇ προνοίᾳ βεβαίαν καὶ τὴν ἐλπίδα πιστὴν ἐκ τοῦ ἐχεγγύου αὐτῆς ἔχων οὔτε καταπτήσσειν τιν' οὔθ' ὑπερφρονεῖν ἐᾷ· ἡ δ' ἀλόγιστος ἐμπληξία πολλοὺς ἔν τε ταῖς εὐπραγίαις ἐξαίρει κἀν ταῖς συμφοραῖς ταπεινοῖ, οἷα μηδὲν ἕρμα ἔχουσα, ἀλλ' ἀεὶ τῷ συμπίπτοντι ἐξομοιουμένη. M p. 539 et inde a 15 p. 181.

[Zonaras 8, 10 — vol. II, p. 201, 12 sqq.]

ἐπεὶ δὲ σίτου ἐσπάνιζον, αὐτοὶ μὲν ἀποκινδυνεύειν προεθυμοῦντο, ὁ Ἄννων δὲ ὤκνει ὑποπτεύσας διὰ τὴν προθυμίαν ἐνεδρευθήσεσθαι. διὸ οἵ τε ἄλλοι τὰ τῶν Ῥωμαίων θεραπεύειν ἠξίουν ὡς ἀκμητὶ νενικηκότων, καὶ ὁ Ἱέρων ἀπροθύμως αὐτοῖς συναιρόμενος πρότερον τότε σῖτον αὐτοῖς ἔπεμψεν, ὥστε καὶ τοὺς ὑπάτους ἀναθαρσῆσαι.

Ἄννων δὲ ἐπεχείρησε μάχην συνάψαι ἐλπίσας καὶ τὸν Ἀννίβαν ἐκ τοῦ τείχους κατὰ νώτου τοῖς Ῥωμαίοις προσπεσεῖσθαι. ὃ μαθόντες οἱ ὕπατοι ἡσύχαζον, ὥστε τὸν Ἄννωνα καταφρονήσαντα τῷ ταφρεύματι προσελθεῖν. ἔπεμψαν δέ τινας κατόπιν αὐτοῦ ἐνεδρεύσοντας. ἐκείνου δὲ πρὸς ἑσπέραν ἀδεῶς καὶ καταφρονητικῶς ἐπανάγοντος ἔκ τε τῆς ἐνέδρας καὶ ἐκ τοῦ χαρακώματος αὐτῷ οἱ Ῥωμαῖοι προσέμιξαν καὶ φόνον πολὺν καὶ αὐτῶν καὶ τῶν ἐλεφάντων εἰργάσαντο. ὁ δ' Ἀννίβας ἐν τούτῳ ταῖς σκηναῖς τῶν Ῥωμαίων ἐπελθὼν ἐξεκρούσθη ὑπὸ τῶν φυλαττόντων αὐτάς. ὁ δ' Ἄννων εἰς τὴν Ἡράκλειαν κατέφυγε τὸ στρατόπεδον ἐκλιπών. καὶ ὁ Ἀννίβας νυκτὸς ἐκδρᾶναι τοῦ Ἀκράγαντος βουλευσάμενος αὐτὸς μὲν ἔλαθεν, οἱ δ' ἄλλοι γνωσθέντες οἱ μὲν ὑπὸ τῶν Ῥωμαίων, συχνοὶ δὲ καὶ ὑπὸ τῶν Ἀκραγαντίνων ἐκτάνθησαν. οὐ μέντοι συγγνώμης ἔτυχον οἱ Ἀκραγαντῖνοι, ἀλλὰ καὶ τὰ χρήματα σφῶν διηρπάσθησαν καὶ αὐτοὶ ἐπράθησαν ἅπαντες.

καὶ οἱ μὲν ὕπατοι πρὸς τὴν Μεσσήνην διὰ τὸν χειμῶνα ἀνεχώρησαν· ὠργίζοντο δ' οἱ Καρχηδόνιοι κατὰ Ἄννωνος καὶ Ἀμίλκαν ἀντ' αὐτοῦ τὸν Βαρχίδην ἀπέστειλαν, ἄνδρα

15, 7 ἕρμα B, ἔρυμα L

16 ὅτι Ῥωμαῖοι καὶ Καρχηδόνιοι πρὸς πόλεμον ἐλθόν-
τες τῷ μὲν ἀριθμῷ τῶν νεῶν καὶ ταῖς προθυμίαις
a. u. 494 ἀντίρροποι ἦσαν· ὕστερον δὲ πρῶτόν τ' ἐς ναυμαχίαν
(260) ἀπ' ἀντιπάλου παρασκευῆς καθιστάμενοι καὶ ἐλπίζον-
τες καὶ τὸν πάντα πόλεμον ὑπ' αὐτῆς κριθήσεσθαι
τό τε ἆθλον τὴν Σικελίαν ἐν τοῖς ὀφθαλμοῖς ἔχοντες
καὶ περὶ δουλείας καὶ περὶ ἀρχῆς, τῆς μὲν μὴ πειρα-
17 θῆναι νικηθέντες, τὴν δὲ προσκτήσασθαι κρατήσαντες

[Zonaras 8, 10 — vol. II, p. 202, 9 sqq.]

τῶν ὁμοφύλων πλὴν τοῦ Ἀννίβου τοῦ υἱέος ἐν στρατηγίᾳ
a. u. 493 κρείττονα. καὶ αὐτὸς μὲν τὴν Σικελίαν ἐφύλαττεν, Ἀννίβαν
(261) δὲ ναυαρχοῦντα ἐς Ἰταλίαν ἔπεμψε τὰ παράλια αὐτῆς κα-
κουργήσοντα, ἵνα τοὺς ὑπάτους πρὸς ἑαυτὸν ἐπισπάσηται. ἀλλ' οὐκ ἔτυχε τοῦ σκοποῦ· καταστήσαντες γὰρ ἐκεῖνοι φρουρὰς ἑκασταχόθι τῆς παραλίας εἰς Σικελίαν ἦλθον. οὐδὲν δὲ μνήμης ἔπραξαν ἄξιον. ὁ δὲ Ἀμίλκας τοὺς Γαλάτας τοὺς μισθοφόρους, ὅτι μὴ ἐντελῆ δέδωκεν αὐτοῖς τὸν μισθόν, ἀγανακτήσαντας φοβηθείς, μὴ προσχωρήσωσι τοῖς Ῥωμαίοις, διέφθειρε πέμψας αὐτοὺς εἴς τινα τῶν ὑπὸ Ῥωμαίους πόλιν παραληψομένους αὐτὴν ὡς τάχα προδιδομένην καὶ διαρπάσαι αὐτὴν ἐπιτρέψας, στείλας δὲ πρὸς τοὺς ὑπάτους ψευδαυτομόλους τὴν τῶν Γαλατῶν προμηνύοντας ἔλευσιν· ὅθεν οἱ Γαλάται μὲν πάντες ἐνεδρευθέντες ἐφθάρησαν, πολλοὶ δὲ καὶ τῶν Ῥωμαίων ἀπέθανον.

ἀπελθόντων δὲ τῶν ὑπάτων οἴκαδε ὁ Ἀμίλκας καὶ τὴν
Ἰταλίαν ἐπόρθει προσπλέων καὶ ἐν τῇ Σικελίᾳ πόλεις τινὰς
ὑπηγάγετο. πυθόμενοι δὲ ταῦτα οἱ Ῥωμαῖοι ναυτικὸν συν-
a. u. 494 εστήσαντο καὶ Γάιον αὐτῷ Δουίλιον τὸν ἕνα τῶν ὑπά-
(260) των ἐπέστησαν, τὸν δὲ τούτου συνάρχοντα Κορνήλιον Γάιον
εἰς Σικελίαν ἔπεμψαν. ὃς τοῦ κατὰ γῆν πολέμου, ὃν ἐκεκλήρωτο, ἀμελήσας ταῖς προσούσαις αὐτῷ ναυσὶν ἐς Λιπάραν ἔπλευσεν ὡς προδιδομένην αὐτῷ· τοῦτο δ' ἐκ δόλου

16, 1 πόλεμον B, ναυμαχίαν L ‖ ἐλθόντες] συνελθόντες Herw. ‖ 2 νηῶν L ‖ 7 δουλείας Mai, δούλων L ‖ 17, 1 νικήντες L



ἀγωνιζόμενοι προέφερον [δὲ] οἱ μὲν τῇ ἐμπειρίᾳ τῶν τριηριτῶν ἅτε ἀπὸ παλαιοῦ ναυκρατοῦντες, οἱ δὲ τῇ τε ῥώμῃ τῶν ἐπιβατῶν καὶ ταῖς τόλμαις· ὅσῳ γὰρ ἀπειρότεροι τῶν ναυτικῶν ἦσαν, τόσῳ καὶ προπετέστερον καὶ θρασύτερον ἐμάχοντο. τὸ μὲν γὰρ ἐν πείρᾳ σφίσιν ὂν ἀκριβῶς πάντες ὡς εἰπεῖν ἐκλογίζονται καὶ ὀκνοῦσιν, ἄν γε καὶ ταύτῃ σφᾶς ἡ γνώμη φέρῃ, τὸ δὲ ἀπείρατον ἀλογίστως τε θαρσοῦσι καὶ ἐς χεῖρας ἐξ ἀπροβουλίας ἄγονται. M p. 181.

[Zonaras 8, 10 — vol. II, p. 203, 3 sqq.]

τῶν Καρχηδονίων ἐγένετο. ὡς οὖν ἐς τὴν Λιπάραν καθωρμίσατο, Βόδης αὐτὸν ὁ τοῦ Ἀννίβου περιεστοίχισεν ὑποστράτηγος. παρασκευαζομένου δὲ τοῦ Γαΐου πρὸς ἄμυναν δείσας ἐκεῖνος τὴν ἀπόνοιαν αὐτῶν προεκαλέσατο αὐτοὺς εἰς σπονδάς· καὶ πείσας ἀνεβίβασεν εἰς τὴν ἑαυτοῦ τριήρη τόν τε ὕπατον καὶ τοὺς χιλιάρχους ὡς τῷ ναυάρχῳ ἐντευξομένους. καὶ τούτους μὲν εἰς Καρχηδόνα ἀπέπεμψαν, τοὺς δὲ λοιποὺς οὐδὲ ἀραμένους τὰ ὅπλα εἷλον.

11. εἶτα Ἀννίβας μὲν τὴν Ἰταλίαν ἐπόρθει, Ἀμίλκας δὲ εἰς Ἔγεσταν ἐστράτευσεν, ἐν ᾗ τὸ πλεῖστον τοῦ πεζοῦ τοῖς Ῥωμαίοις ἦν· οἷς ἐπικουρῆσαι Γάϊον Καικίλιον χιλίαρχον ἐθελήσαντα λοχήσας πολλοὺς ἐφόνευσε τῶν αὐτοῦ. ταῦτα δὲ μαθόντες οἱ ἐν τῇ Ῥώμῃ τὸν μὲν ἀστυνόμον εὐθὺς ἐξέπεμψαν καὶ τὸν Δουίλιον ἐπέσπευσαν· ὁ δὲ ἐς τὴν Σικελίαν ἐλθὼν καὶ καταμαθὼν τὰς ναῦς τῶν Καρχηδονίων τῇ μὲν παχύτητι καὶ τῷ μεγέθει τῶν σφῶν ἐλαττουμένας, τῷ τάχει δὲ τῆς εἰρεσίας καὶ τῇ ποικιλίᾳ τοῦ πλοῦ προεχούσας μηχανὰς ἐπὶ τῶν τριήρων ἀγκύρας τε καὶ χεῖρας περικόντους σιδηρᾶς καὶ ἄλλα τοιαῦτα κατεσκεύασεν, ὅπως ταῖς πολεμίαις ναυσὶν ἐπιρριπτοῦντες αὐτὰ συνάπτοιντο σφίσι καὶ μεταβαίνοντες εἰς αὐτὰς εἰς χεῖρας ἴοιεν τοῖς Καρχηδονίοις καὶ ὡς ἐν πεζῇ μάχῃ τούτοις συρρήγνυνται. συμμίξαντες οὖν οἱ Καρχηδόνιοι ταῖς τῶν Ῥωμαίων ναυσὶ περιέπλεον σφᾶς συντόνῳ χρώμενοι εἰρεσίᾳ καὶ ἐκ τοῦ αἰφνιδίου προσέβαλλον. χρόνον μὲν οὖν τινα ἰσοπαλὴς ἡ ναυμαχία ἐγίνετο, εἶθ' οἱ

18 ὅτι ἡττηθέντων Καρχηδονίων κατὰ τὴν ναυμαχίαν ὑπὸ Ῥωμαίων ὀλίγου καὶ τὸν Ἀννίβαν ἀπέκτειναν (πᾶσί τε γὰρ ὡς εἰπεῖν τοῖς στρατεύματά ποι πέμπουσι πρόσεστι φύσει τῶν μὲν πλεονεξιῶν προσποιεῖσθαι, τὰς δὲ ἐλαττώσεις ἐς τοὺς στρατηγήσαντας ἀνωθεῖν, καὶ οἱ Καρχηδόνιοι προχειρότατα τοὺς πταίσαντάς τι ἐκόλαζον), εἰ μὴ φοβηθεὶς εὐθὺς μετὰ τὴν ἧτταν ἐπερωτῶν αὐτοὺς ὡς καὶ ἀκεραίων ἔτι τῶν πραγμάτων ὄντων, πότερον ναυμαχῆσαί οἱ κελεύουσιν

[Zonaras 8, 11 — vol. II, p. 204, 2 sqq.]

Ῥωμαῖοι ἐπικρατέστεροι γεγονότες πολλοὺς μὲν κατέδυσαν, συνέσχον δὲ καὶ πολλούς. ὁ δ' Ἀννίβας ἐπὶ ἑπτήρους ναυμαχῶν, συσχεθείσης τῆς αὐτοῦ νηὸς τριήρει τινί, φοβηθείς, μὴ ἁλῷ, τὴν ἑπτήρη τε ἐγκατέλιπε καὶ μεταβὰς εἰς ἑτέραν διέφυγε.

τῆς μὲν οὖν ναυμαχίας τοῦτο τέλος ἐγένετο καὶ λάφυρα
fr. 43,18 πολλὰ ἐλήφθη· τὸν δ' Ἀννίβαν οἱ Καρχηδόνιοι διὰ τὴν ἧτταν ἀπέκτειναν ἄν, εἰ μὴ εὐθὺς ἐπηρώτησε σφᾶς ὡς ἀκεραίων ἔτι τῶν πραγμάτων ὄντων, εἰ ναυμαχῆσαι κελεύουσιν ἢ μή. συνθεμένων γὰρ αὐτῶν ναυμαχῆσαι ὡς τῷ ναυτικῷ προέχειν ἐπαιρομένων ὑπεῖπεν ὅτι "οὐδὲν ἄρα ἠδίκηκα, ὅτι τὰ αὐτὰ ὑμῖν ἐλπίσας συνέβαλον· τῆς γὰρ γνώμης, ἀλλ' οὐ τῆς τύχης ἐτύγχανον κύριος." καὶ ὁ μὲν ἐσώθη, τὴν δὲ ἡγεμονίαν ἀφῃρέθη· Δουίλιος δὲ τὸ πεζὸν προσλαβὼν τούς τε Ἐγεσταίους ἐρρύσατο μηδ' εἰς χεῖρας αὐτῷ τοῦ Ἀμίλκου ἐλθεῖν ὑπομείναντος καὶ τὰ φίλια τὰ ἄλλα ἐβεβαιώσατο καὶ εἰς τὴν Ῥώμην τοῦ θέρους παρελθόντος ἀνεκομίσθη. ἀπάραντος δ' αὐτοῦ ὁ Ἀμίλκας τό τε Δρέπανον κεκλημένον (ἔστι δὲ λιμὴν ἐπίκαιρος) ἐκρατύνατο καὶ ἐς αὐτὸν τὰ πλείστου κατέθετο ἄξια καὶ τοὺς Ἐρυκίνους ἅπαντας μετανέστησε καὶ τὴν πόλιν αὐτῶν κατέσκαψεν, ἵνα μὴ

18 recte distinguunt locum I. M. Stahl, Mus. Rhen. XXI (1866) p. 311, et Herwerden, Lectiones Rheno-Traiectinae p. 79



ἢ μή, συνεπαινεσάντων αὐτῶν ὥσπερ που καὶ προσεδόκα, καὶ ⟨τῷ⟩ τοσοῦτον τῷ ναυτικῷ προέχειν ἐπαιρομένων, ὑπεῖπε διὰ τῶν αὐτῶν ἀγγέλων ὅτι οὐδὲν ἄρα ἠδίκηκα, ὅτι τὰ αὐτὰ ὑμῖν ἐλπίσας συνέβαλον· τῆς γὰρ γνώμης, ἀλλ' οὐ τῆς τύχης ἦν κύριος. M p. 182. Zonar. 8, 11 (vol. II, p. 204, 9—16).

[Zonaras 8, 11 — vol. II, p. 204, 26 sqq.]

οἱ Ῥωμαῖοι καρτερὰν αὐτὴν οὖσαν καταλαβόντες ὁρμητήριον τοῦ πολέμου ποιήσωνται, καὶ πόλεις εἷλε τὰς μὲν βίᾳ, τὰς δὲ προδοσίᾳ· καὶ εἰ μὴ Γάιος Φλῶρος αὐτὸν ἐπέσχεν ἐκεῖ χειμάσας, τὴν Σικελίαν ἂν κατεστρέψατο ἅπασαν.

Λούκιος δὲ Σκιπίων ὁ συνάρχων αὐτοῦ ἐπὶ Σαρδὼ καὶ a. u. 495
ἐπὶ Κύρνον ἐστράτευσε (κεῖνται δὲ ἐν τῷ Τυρσηνικῷ πελάγει (259)
ἀλλήλων ὀλίγον ἀπέχουσαι, ὡς μίαν αὐτὰς πόρρωθεν εἶναι δοκεῖν) καὶ προτέρᾳ τῇ Κύρνῳ προσβαλὼν τὴν μὲν Οὐαλερίαν τὴν κρατίστην αὐτῆς πόλιν βίᾳ εἷλεν, ἀπόνως δὲ τὰ λοιπὰ ἐχειρώσατο. ἐς δὲ τὴν Σαρδὼ πλέων κατεῖδέ τι ναυτικὸν Καρχηδόνιον καὶ ἐπ' αὐτὸ ἐτράπετο. καὶ οἱ μὲν ἔφυγον πρὶν ἢ συμμῖξαι, αὐτὸς δ' ἐπὶ πόλιν Ὀλβίαν ἦλθεν· ἔνθα τῶν Καρχηδονίων μετὰ τῶν νεῶν ἐπιφανέντων φοβηθεὶς (οὐ γὰρ εἶχε τὸ πεζὸν ἀξιόμαχον) ἐπ' οἴκου ἀπῆρεν.

ἐν δὲ τῷ τότε χρόνῳ ἄλλοι τε τῶν ἁλόντων καὶ ἐν τῷ ἄστει δουλευόντων καὶ οἱ Σαυνῖται (συχνοὶ γὰρ πρὸς τὴν τοῦ ναυτικοῦ παρασκευὴν ἀφίκοντο) συνέθεντο τῇ Ῥώμῃ ἐπιβουλεῦσαι. μαθὼν δὲ τοῦτο Ἔριος Ποτίλιος ὁ τῆς βοηθείας ἄρχων προσεποιήσατο συμφρονεῖν αὐτοῖς, ἵνα ἀκριβώσῃ πᾶν τὸ δεδογμένον αὐτοῖς, καὶ ἐπεὶ μὴ οἷός τ' ἦν καταμηνῦσαι τὸ βούλευμα (πάντες γὰρ περὶ αὐτὸν ἦσαν οἱ Σαυνῖται), ἔπεισεν αὐτοὺς βουλῆς ἀγομένης εἰς τὴν ἀγορὰν ἀθροισθῆναι καὶ καταβοῆσαι αὐτοῦ ὡς περὶ τὸν σῖτον ἀδικουμένους, ὅνπερ ἐλάμβανον. τῶν δὲ τοῦτο ποιησάντων μεταπεμφθεὶς ὡς αἴτιος τοῦ θορύβου ἐξέφηνεν αὐτοῖς τὴν ἐπιβουλήν. καὶ τότε μὲν ἡσυχάσαντας ἀπέπεμψαν, νυκτὸς δὲ

18, 10 προσεδόκα B, προσεδοκᾶτο L ‖ 11 ⟨τῷ⟩ inseruit Herwerden ‖ 12 ὑπεῖπε] ἐπεῖπε Herwerden

[Zonaras 8, 11 — vol. II, p. 205, 24 sqq.]

συνέλαβον ἕκαστοι τῶν ἐχόντων δούλους τινὰς ἐξ αὐτῶν· καὶ οὕτως ἡ πᾶσα ἐλύθη συνωμοσία.

a. u. τῷ δ' ἐπιγενομένῳ θέρει ἔν τε τῇ Σικελίᾳ καὶ τῇ Σαρ-
496 (253) δοῖ ἅμα ἐπολέμησαν οἱ Ῥωμαῖοί τε καὶ οἱ Καρχηδόνιοι. καὶ μετὰ τοῦτ' Ἀτίλιος Λατῖνος ἐς τὴν Σικελίαν ἐλθὼν καὶ Μουτίστρατον πόλιν ὑπὸ τοῦ Φλώρου πολιορκουμένην εὑρὼν τῇ παρασκευῇ ἐκείνου ἐχρήσατο. καὶ προσβολὰς περὶ τὸ τεῖχος αὐτοῦ ποιουμένου πρῶτον μὲν οἱ ἐπιχώριοι μετὰ τῶν Καρχηδονίων ἠμύνοντο κραταιῶς, τῶν δὲ γυναικῶν καὶ τῶν παίδων ἐς δάκρυα καὶ ἐς οἰμωγὰς προαχθέντων οὐκ ἀντέσχον. ὑπεξελθόντων δὲ νυκτὸς τῶν Καρχηδονίων ἅμα τῇ ἕῳ τὰς πύλας ἐθελονταὶ οἱ ἐπιχώριοι ἀνεπέτασαν. εἰσιόντες δὲ οἱ Ῥωμαῖοι πάντας ἐφόνευον, ἕως ἐκήρυξεν ὁ Ἀτίλιος τὴν λοιπήν τε λείαν καὶ τοὺς ἀνθρώπους τοῦ λαβόντος εἶναι· ἔκτοτε γὰρ τοὺς λοιπούς τε ἐζώγρησαν καὶ τὴν πόλιν προδιαρπάσαντες κατέπρησαν.

12. ἐκεῖθεν δ' ἐπὶ Καμάριναν ἀπερισκέπτως γενόμενοι ἐς χωρία προλελοχισμένα ἐνέπεσον· καὶ πανσυδὶ ἂν ἐφθάρησαν, εἰ μὴ Μᾶρκος Καλπούρνιος χιλιαρχῶν σοφίᾳ μετῆλθε τὸ δυστύχημα. ἰδὼν γάρ τινα τῶν πέριξ λόφων μόνον ὑπὸ τοῦ κρημνώδους μὴ προκατειλημμένον ὁπλίτας τριακοσίους παρὰ τοῦ ὑπάτου ᾐτήσατο καὶ σὺν αὐτοῖς ἐπ' ἐκεῖνον ὥρμησεν, ἵν' οἱ πολέμιοι πρὸς αὐτοὺς τράπωνται, κἀντεῦθεν οἱ λοιποὶ διαφύγωσι. καὶ ἔσχεν οὕτως· ὡς γὰρ τὴν ὁρμὴν αὐτῶν εἶδον οἱ ἐναντίοι, ἐκπλαγέντες τὸν μὲν ὕπατον καὶ τοὺς περὶ αὐτὸν ὡς ἤδη ἑαλωκότας κατέλιπον, ἐπὶ δὲ τὸν Καλπούρνιον συνέδραμον. καὶ μάχης ἰσχυρᾶς γεγονυίας πολλοὶ μὲν κἀκείνων, πάντες δ' οἱ τριακόσιοι ἔπεσον· μόνος δὲ περιεσέσωστο ὁ Καλπούρνιος, τρωθεὶς μέν, λαθὼν δ' ἐν τοῖς νεκροῖς κείμενος ὑπὸ τῶν τραυμάτων ὡς τεθνηκώς, ἔνθα ζωὸς εὑρεθεὶς ἐσώθη. ἐν ᾧ δ' οἱ τριακόσιοι ἐμάχοντο, ὁ ὕπατος ἀπεχώρησε. διαφυγὼν δ' οὕτως τήν τε Καμάριναν καὶ ἄλλας πόλεις τὰς μὲν βίᾳ, τὰς δὲ καὶ ὁμολογίᾳ παρεστήσατο. ἐντεῦθεν ἐπὶ τὴν Λιπάραν ὥρμησεν ὁ Ἀτίλιος· νυκτὸς δὲ λαθὼν προκατέσχεν αὐτὴν ὁ Ἀμίλκας καὶ ἐπεξελθὼν αἰφνιδίως πολλοὺς διέφθειρε.



*Δίωνος ια' βιβλίῳ* "ἐπειδὴ δὲ ὅ τε χειμὼν ἐπέμενε 19
καὶ ὁμίχλη προσεγένετο, ἔσφηλε δι' αὐτομόλων δή τι- a. u. 496
νων τὸν Ἀννίβαν." Bekk. Anecd. p. 171, 26. Zonar. (258)
8, 12 (vol. II, p. 207, 7—10).

ἀλλ' ἐν τῷ ἴσῳ τὸ τὴν οἰκείαν μὴ προέσθαι καὶ 20
τὸ τὴν ἀλλοτρίαν προσκτήσασθαι τιθέμενοι θυμῷ καὶ ῥώμῃ ἠγωνίζοντο· τῶν γὰρ πολλῶν τὰ μὲν σφέτερα καὶ παρὰ δύναμιν περιστελλόντων, τῶν δὲ ἀλλοτρίων οὐκ ἐθελόντων μετὰ κινδύνων ἀντιποιεῖσθαι ἐκεῖνοι ἐν τῷ ὁμοίῳ τό τε κεχειρωμένον καὶ τὸ προσδοκώμενον ποιούμενοι πρὸς ἀμφότερα ὁμοίως ἔρρωντο. οἱ δὲ δὴ Ῥωμαῖοι ἄμεινον εἶναι νομίσαντες μηκέτι πόρρω

[Zonaras 8, 12 — vol. II, p. 207, 4 sqq.]

Γάιος δὲ Σουλπίκιος τῆς τε Σαρδοῦς τὰ πλεῖστα κατέδραμε καὶ ὑπερφρονήσας ἐκ τούτου ὥρμησεν ἐπὶ τὴν Λιβύην. καὶ ἀπῆραν μὲν καὶ οἱ Καρχηδόνιοι σὺν τῷ Ἀννίβᾳ
περὶ τοῖς οἴκοι δεδιότες, ἀντιπνεύσαντος δὲ πνεύματος fr. 43,19
σφίσιν ἄμφω ἐπέστρεψαν. καὶ μετὰ ταῦτα ἔσφηλε διά τινων ψευδαυτομόλων τὸν Ἀννίβαν ὁ Ἀτίλιος ὡς ἐς τὴν Λιβύην αὖθις πλευσόμενος. σπουδῇ τε οὖν αὐτῷ ἐξαναχθέντι ἐπιπλεύσας ὁ Σουλπίκιος τὰς μὲν πλείους τῶν νεῶν ἀγνοούσας ὑπὸ ὁμίχλης ἐπὶ πολὺ τὸ γινόμενον καὶ ταραττομένας κατέδυσε, τὰς δὲ λοιπὰς καταφυγούσας εἰς τὴν γῆν κενὰς εἷλεν. ὁ γὰρ Ἀννίβας οὐκ ἀσφαλῆ τὸν λιμένα ὁρῶν καταλιπὼν αὐτὰς ὑπεχώρησεν εἰς πόλιν Σουλκούς· ἔνθα στασιασάντων πρὸς αὐτὸν Καρχηδονίων προῆλθέ τε ἐς αὐτοὺς μόνος καὶ ἀπώλετο. ἀδεέστερον δ' ἐκ τούτου τὴν χώραν κατατρέχοντες οἱ Ῥωμαῖοι ἡττήθησαν ὑπὸ Ἄννωνος. ταῦτα ἐν τῷ ἔτει τούτῳ ἐγένετο. καὶ συνεχῶς λίθοι ἐξ οὐρανοῦ ἐς τὴν Ῥώμην ἅμα πολλοί, ὡς καὶ χαλάζῃ ἐοικέναι, ἔπεσον· καὶ ἐς τὸ Ἀλβανὸν καὶ ἄλλοθι λίθους ὁμοίως συνέβη κατενεχθῆναι.

οἱ δ' ὕπατοι ἐπὶ Σικελίαν ἐλθόντες ἐπὶ Λιπάραν ἐστρά- a. u. 497
τευσαν. ἐπεὶ δ' ὑπὸ τὴν ἄκραν τὴν Τυνδαρίδα καλουμένην (257)

τὸν πόλεμον ποιεῖσθαι μηδὲ ἐν ταῖς νήσοις προκινδυνεύειν, ἀλλ' ἐν τῇ οἰκείᾳ τῇ τῶν Καρχηδονίων ἀγωνίζεσθαι (πταίσαντες γὰρ οὐδενὸς στερήσεσθαι καὶ κρατήσαντες οὐκ ἐν ἐλπίσιν ἔσεσθαι), καὶ διὰ τοῦτ' ἀκόλουθον τῇ διανοίᾳ σφῶν ⟨τὴν⟩ παρασκευὴν ποιησάμενοι ἐξεστράτευσαν ⟨ἐπὶ Καρχηδόνα V p. 593⟩. M p. 183. Cf. Zonar. 8, 12 (vol. II, p. 208, 1).

21 ἡγοῦντο δὲ αὐτῶν ὅ τε Ῥήγουλος καὶ Λούκιος,
a. u. 498 (256) ἀπ' ἀρετῆς προκριθέντες· ὁ γὰρ Ῥήγουλος ἐν τοσαύτῃ πενίᾳ ἦν, ὥστε μήτε τὴν ἀρχὴν ῥαδίως ἐθελῆσαι δι' αὐτὴν ὑποστῆναι, καὶ τῇ γυναικὶ τοῖς τε παισὶν αὐτοῦ τὴν τροφὴν ἐκ τοῦ δημοσίου δίδοσθαι ψηφισθῆναι. V p. 593. Zonar. 8, 12 (vol. II, p. 208, 3—5).

[Zonaras 8, 12 — vol. II, p. 207, 27 sqq.]

ναυλοχοῦντας ᾔσθοντο τοὺς Καρχηδονίους, διχῇ τὸν πλοῦν ἐποιοῦντο. καὶ θατέρου τῶν ὑπάτων τῷ ἡμίσει τοῦ ναυτικοῦ τὸ ἀκρωτήριον περιβαλόντος νομίσας ὁ Ἀμίλκας μόνους εἶναι ἐξανήχθη· ὡς δὲ καὶ οἱ λοιποὶ ἐπεγένοντο, πρὸς φυγὴν ἐχώρησε καὶ τοῦ ναυτικοῦ πλεῖστον ἀπέβαλεν. ἐπαρθέντες δ' οἱ Ῥωμαῖοι Σικελίαν μὲν ὡς ἤδη σφετέραν οὖσαν κατέλιπον, τῇ δὲ Λιβύῃ τῇ τε Καρχηδόνι ἐπιχειρῆσαι ἐτόλ-
fr. 43,21 μησαν. ἡγοῦντο δὲ αὐτῶν ὅ τε Ῥήγουλος ὁ Μᾶρκος
a. u. 498 (256) καὶ Λούκιος Μάλλιος, ἐξ ἀρετῆς προκριθέντες. καὶ οἱ μὲν εἰς τὴν Σικελίαν πλεύσαντες τὰ ἐκεῖ τε καθίστων καὶ τὸν ἐς τὴν Λιβύην ηὐτρέπιζον πλοῦν, Καρχηδόνιοι δὲ οὐκ ἀνέμειναν αὐτοὺς ἐπιπλεῦσαι σφίσιν, ἀλλὰ παρασκευασάμενοι πρὸς Σικελίαν ἠπείχθησαν. καὶ παρὰ τῇ Ἡρακλειώτιδι ἐς χεῖρας ἀλλήλοις ἦλθον. ἰσορρόπου δὲ τῆς ναυμαχίας ἐπὶ πολὺ γινομένης τέλος ὑπερέσχον Ῥωμαῖοι· Ἀμίλκας δὲ

20, 13 ⟨τὴν⟩ inseruit V ‖ 14 ἐξεστράτευσαν M, ἐστράτευσαν V ‖ 21,3 δι' αὐτὴν i. e. τὴν πενίαν] fortasse διετῆ V (coll. Liv. epit. libri 18 et Val. Max. 4, 4, 6) ‖ 4 ὑποστῆναι L, ἀποστῆναι V, quod probat R



ὅτι Ἄννωνα πρὸς Ῥωμαίους λόγῳ μὲν ὑπὲρ εἰρή- 22
νης, ἔργῳ δὲ τριβῆς ἕνεκα ἔπεμψεν Ἀμίλκας· καὶ ὃς ἐπιβοώντων τινῶν συλλαβεῖν αὐτόν, ὅτι Καρχηδόνιοι τὸν Κορνήλιον ἀπάτῃ..... [M p. 183.] codici desunt quattuor paginae. Zonar. 8, 12 (vol. II, p. 208, 13—17).

ὁ δὲ Δίων ὁ Ῥωμαῖος ὁ συγγραψάμενος περὶ τῆς 23
βασιλείας καὶ περὶ τῆς δημοκρατίας Ῥώμης καὶ διηγησάμενος περὶ τοῦ πολυθρυλήτου πολέμου τοῦ Καρχη-

[Zonaras 8,12 — vol. II, p. 208, 12 sqq.]

ἀντιστῆναι αὐτοῖς οὐκέτι ἐτόλμα, Ἄννωνα δὲ πρὸς αὐτοὺς fr. 43,22
ἔπεμψεν ὡς ὑπὲρ εἰρήνης, βουλόμενος τὸν καιρὸν τρίβειν· ἤλπιζε γὰρ στράτευμά οἱ πεμφθήσεσθαι οἴκοθεν. Ἄννων δὲ βοώντων τινῶν συλλαβεῖν αὐτόν, ὅτι καὶ Καρχηδόνιοι ἀπάτῃ συνέλαβον τὸν Κορνήλιον, "ἂν τοῦτο ποιήσητε" εἶπεν "οὐδὲν ἔτι κρείττους τῶν Λιβύων ἔσεσθε." ἐκεῖνος μὲν οὖν εὐκαιρότατα θωπεύσας αὐτοὺς οὐδὲν ἔπαθεν, οἱ δὲ καὶ αὖθις τοῦ πολέμου εἴχοντο. καὶ οἱ μὲν ὕπατοι ἐκ τῆς Μεσσήνης ἔπλεον, Ἀμίλκας δὲ καὶ Ἄννων διαιρεθέντες ἀμφοτέρωθεν αὐτοὺς περισχεῖν ἐμελέτων. ἀλλ' ὁ μὲν Ἄννων οὐχ ὑπέστη προσιόντας αὐτούς, προκαταπλεύσας δ' εἰς Καρχηδόνα ταύτην ἐφύλασσεν· ὁ δὲ Ἀμίλκας πυθόμενος τοῦτο κατὰ χώραν ἔμενεν. ἐκβάντες δ' εἰς τὴν γῆν οἱ Ῥωμαῖοι ἐπὶ τὴν Ἀσπίδα τὴν πόλιν ἐχώρησαν. οὓς ἰδόντες προσιόντας οἱ ἐπιχώριοι προϋπεξῆλθον· καὶ ἀμαχεὶ κατασχόντες αὐτὴν οἱ Ῥωμαῖοι τοῦ πολέμου ὁρμητήριον ἐποιήσαντο κἀντεῦθεν τήν τε γῆν ἐπόρθουν καὶ πόλεις τὰς μὲν ἐθελουσίας, τὰς δὲ φόβῳ προσεπεκτῶντο, λείαν τε πολλὴν ἐλάμβανον καὶ αὐτομόλους πλείστους ἐδέχοντο καὶ τῶν οἰκείων συχνοὺς τῶν ἐν τοῖς πρὶν πολέμοις ἁλόντων ἐκομίζοντο.

13. χειμῶνος δ' ἐπιγενομένου Μάλλιος μὲν εἰς Ῥώμην σὺν τῇ λείᾳ ἀπέπλευσε, Ῥήγουλος δ' ἐν τῇ Λιβύῃ ὑπέμεινε. καὶ οἱ Καρχηδόνιοι ἐν παντὶ κακοῦ γεγόνασι τῆς χώρας τε πορθουμένης αὐτῶν καὶ τῶν περιοίκων ἀλλοτριουμένων καὶ

δονίου λέγει, ὅτι Ῥηγούλου τοῦ ὑπάτου Ῥώμης πολεμοῦντος τὴν Καρχηδόνα ἐξαίφνης δράκων ἑρπύσας ἔξω τοῦ χαρακώματος τοῦ Ῥωμαίου στρατοῦ ἔκειτο, ὃν τῇ προστάξει αὐτοῦ ἔκτειναν οἱ Ῥωμαῖοι καὶ ἀποδείραντες αὐτὸν ἔστειλε (sic) τὴν δορὰν αὐτοῦ τῇ συγκλήτῳ Ῥώμης, μέγα θαῦμα· καὶ παρὰ τῆς αὐτῆς μετρηθεῖσα συγκλήτου, ὡς ὁ αὐτὸς Δίων λέγει, εὑρέθη ἔχουσα μῆκος ποδῶν ἑκατὸν εἴκοσι. πρὸς τὸ μῆκος αὐτοῦ ἦν καὶ τὸ πάχος. Ioannes Damasc. De draconibus vol. I, p. 472, A. B. Cf. Zonar. 8, 13 (vol. II, p. 209, 9—18).

24 ὅτι οἱ Καρχηδόνιοι φοβηθέντες, μὴ ἁλῶσι, διεκηρυκεύσαντο πρὸς τὸν ὕπατον, ὅπως ὁμολογίᾳ τινὶ ἐπι-

[Zonaras 8, 13 — vol. II, p. 209, 8 sqq.]

cf. fr. 43,23 κατειληθέντες εἰς τὸ τεῖχος ἡσύχαζον. Ῥηγούλῳ δὲ παρὰ τὸν Βαγράδαν ποταμὸν στρατοπεδευομένῳ δράκων ἐπεφάνη ὑπερμεγέθης, οὗ τὸ μῆκος λέγεται εἶναι ποδῶν ἑκατὸν πρὸς τοῖς εἴκοσι· καὶ γὰρ ἡ λεβηρὶς αὐτοῦ εἰς τὴν Ῥώμην κεκόμιστο δι' ἐπίδειξιν· ἀνάλογον δὲ καὶ τὸν ἄλλον ὄγκον εἶχε τοῦ σώματος. ὃς συχνοὺς τῶν στρατιωτῶν τοὺς μὲν πελάζοντας αὐτῷ, τοὺς δὲ καὶ πίνοντας ἐκ τοῦ ποταμοῦ διέφθειρε. κατειργάσατο δ' αὐτὸν ὁ Ῥήγουλος πλήθει στρατιωτῶν καὶ μηχαναῖς λιθοβόλοις. καὶ τὸν μὲν οὕτως ἔφθειρε, τῷ δὲ Ἀμίλκᾳ ἐπὶ μετεώρου καὶ ὑλώδους στρατοπεδευομένῳ χωρίου νύκτωρ προσέμιξε καὶ πολλοὺς μὲν ἐν ταῖς εὐναῖς, πολλοὺς δ' ἐξεγερθέντας διώλεσεν· εἰ δέ τινες καὶ διέφυγον, τοῖς τὰς ὁδοὺς τηροῦσιν ἐμπίπτοντες ὤλλυντο. καὶ οὕτω τῶν τε Καρχηδονίων μέρος ἀναλώθη πολὺ καὶ πόλεις αὐτῶν συχναὶ πρὸς
fr. 43,24 Ῥωμαίους μεθίσταντο. φοβηθέντες δ' οἱ ἐν τῇ πόλει, μὴ ἁλῶσι, διεκηρυκεύσαντο πρὸς τὸν ὕπατον, ὅπως ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψαντες αὐτὸν τὸ παρ-

24, 1 διεκηρυκεύσαντο B, προεκηρυκεύσαντο L



εικεῖ ἀποτρέψαντες αὐτὸν τὸ παραχρῆμα δεινὸν ὑπεκφύγωσιν. ἐπειδή τε οὐκ ἠθέλησαν Σικελίας τε πάσης καὶ Σαρδοῦς ἀποστῆναι καὶ τοὺς μὲν τῶν Ῥωμαίων αἰχμαλώτους προῖκα ἀφεῖναι, τοὺς δὲ σφετέρους λύσασθαι, τά τε δαπανηθέντα τοῖς Ῥωμαίοις εἰς τὸν πόλεμον πάντα διαλῦσαι καὶ χωρὶς ἄλλα καθ' ἕκαστον ἔτος συντελεῖν, οὐδὲν ἤνυσαν. πρὸς γὰρ δὴ τοῖς εἰρημένοις καὶ ἐκεῖνα αὐτοὺς ἐλύπει, ὅτι μήτε πολεμεῖν μήτε συμβαίνειν ἄνευ τῶν Ῥωμαίων, καὶ αὐτοὶ μὲν μὴ πλείοσι μιᾶς ναυσὶ μακραῖς χρῆσθαι, ἐκείνοις δὲ πεντήκοντα τριήρεσιν ἐπικουρεῖν, ὁσάκις ἂν ἐπαγγελθῇ σφισιν, ἄλλα τέ τινα οὐκ ἐκ τοῦ ὁμοίου ποιεῖν ἐκελεύοντο. ἐξ οὖν τούτων ἅλωσιν σφῶν ἀκριβῆ τὰς σπονδὰς νομίσαντες ἔσεσθαι πολεμεῖν αὐτοῖς μᾶλλον εἵλοντο. U p. 376. Zonar. 8, 13 (vol. II, p. 209, 25—210, 2).

[Zonaras 8, 13 — vol. II, p. 209, 28 sqq.]

αυτίκα δεινὸν ὑπεκφύγωσιν. ἐπεὶ δὲ πολλὰ ἀπητοῦντο καὶ φορτικά, ὡς ἅλωσιν αὐτῶν ἀκριβῆ νομίζεσθαι τὰς σπονδάς, πολεμεῖν μᾶλλον εἵλοντο.

ὁ μέντοι Ῥήγουλος μέχρι τότε εὐτυχῶν αὐχήματος μεστὸς a. u.
ἐγένετο καὶ φρονήματος, ὥστε καὶ γράφειν εἰς τὴν Ῥώμην, 499 (255)
ὅτι κατεσφραγισμένας ἔχει τὰς τῶν Καρχηδονίων πύλας ὑπὸ τοῦ φόβου· τὰ ἴσα δὲ καὶ οἱ σὺν αὐτῷ καὶ οἱ ἐν τῇ Ῥώμῃ ἐφρόνουν. ὅθεν καὶ ἐσφάλησαν. ἦλθον μὲν γὰρ τοῖς Καρχηδονίοις καὶ ἕτεροι σύμμαχοι, ἦλθε δὲ καὶ ἐκ Λακεδαίμονος Ξάνθιππος. οὗτος τὴν αὐτοκράτορα τῶν Καρχηδονίων ἀρχὴν εἰληφώς (ὅ τε γὰρ δῆμος αὐτῷ τὰ πράγματα προθύμως ἐπέτρεψε καὶ ὁ Ἀμίλκας καὶ οἱ λοιποὶ οἱ ἐν τέλει ἑκουσίως ἐξέστησαν) τά τε ἄλλα παρεσκεύασεν εὖ καὶ ἀπὸ τῶν μετεώρων τοὺς Καρχηδονίους, ἐν οἷς ὑπὸ δέους ἦσαν,

24, 3 ἀποτρέψαντες B, ἀποπέμψαντες L et Zonaras ‖ 25, 1 ἤνυσαν U, ἐώνισαν L ‖ 2 πολεμεῖν τε L

[Zonaras 8, 13 — vol. II, p. 210, 15 sqq.]

κατήγαγεν εἰς τὸ ὁμαλόν, ἐν ᾧ ἥ τε ἱππεία αὐτῶν καὶ οἱ ἐλέφαντες πλεῖστον ἰσχύσειν ἔμελλον. καὶ τὸν μὲν ἄλλον χρόνον ἡσύχαζε, τηρήσας δέ ποτε τοὺς Ῥωμαίους καταφρονητικῶς αὐλιζομένους, μέγα τε γὰρ τῇ νίκῃ φρονοῦντες καὶ τὸν Ξάνθιππον ὡς Γραικὸν ὑπερορῶντες (οὕτω γὰρ καλοῦσι τοὺς Ἕλληνας καὶ εἰς ὄνειδος δυσγενείας τῷ προσρήματι κατ' αὐτῶν χρῶνται) τὰς στρατοπεδείας ἀπερισκέπτως πεποίηντο, οὕτως οὖν τοῖς Ῥωμαίοις διακειμένοις ὁ Ξάνθιππος ἐπελθὼν καὶ τὸ ἱππικὸν αὐτῶν διὰ τῶν ἐλεφάντων τρεψάμενος πολλοὺς μὲν κατέκοψε, πολλοὺς δὲ καὶ ἐζώγρησε καὶ αὐτὸν τὸν Ῥήγουλον. καὶ ἐν φρονήματι διὰ ταῦτα ἦσαν οἱ Καρχηδόνιοι· τοὺς δὲ ἁλόντας περιέσωσαν, ἵνα μὴ καὶ οἱ παρὰ τῶν Ῥωμαίων πρότερον ἐξ αὐτῶν αἰχμαλωτισθέντες κτανθῶσι. τοὺς μὲν οὖν ἄλλους τῶν ἑαλωκότων Ῥωμαίων ἐν θεραπείᾳ εἶχον, τὸν δὲ Ῥήγουλον ἐν πάσῃ κακουχίᾳ πεποίηντο, τροφήν τε αὐτῷ ὅσον ἀποζῆν προσῆγον καὶ ἐλέφαντα προσέφερον συνεχῶς, ὅπως ὑπ' αὐτοῦ δειματούμενος μήτε τῷ σώματι μήτε τῇ διανοίᾳ ἡσυχάζοι. ἐπὶ συχνὸν δὲ κακώσαντες οὕτως αὐτὸν εἰς δεσμωτήριον ἔθεντο.

τοὺς δὲ σφετέρους συμμάχους οἱ Καρχηδόνιοι δεινότατα μετεχειρίσαντο. οὐ γὰρ εὐποροῦντες ἀποδοῦναι αὐτοῖς ἃ προϋπέσχοντο, ἀπέπεμψαν αὐτοὺς ὡς καὶ τὸν μισθὸν αὐτοῖς οὐκ ἐς μακρὰν ἀποδώσοντες. ἐκέλευσαν δὲ τοῖς κομίζουσι σφᾶς εἰς ἐρήμην τινὰ νῆσον ἐκβιβάσαι καὶ λάθρᾳ ἀποπλεῦσαι. καὶ τὸν Ξάνθιππον δὲ οἱ μέν φασι καταποντίσαι αὐτοὺς ἀποπλεύσαντι ἐπιπλεύσαντας, οἱ δὲ ναῦν αὐτῷ δοῦναι παλαιὰν μηδὲν στέγουσαν, νέον καταπιττώσαντας ἔξωθεν, ἵν' αὐτὴ ἐφ' ἑαυτῆς καταποντισθῇ· τὸν δὲ γνόντα τοῦτο εἰς ἑτέραν ἐμβῆναι καὶ οὕτω διασωθῆναι. ταῦτα δ' ἐποίουν, ἵνα μὴ δοκοῖεν πρὸς ἐκείνου σεσῶσθαι· ἐνόμισαν γὰρ ἀπολωλότος αὐτοῦ καὶ τὴν τῶν ἔργων δόξαν συναπολέσθαι.

14. οἱ δ' ἐν τῇ Ῥώμῃ ἤλγουν μὲν διὰ τὸ συμβὰν καὶ πλέον, ὅτι τοὺς Καρχηδονίους ἐπὶ τὴν Ῥώμην αὐτὴν προσεδόκων πλευσεῖσθαι. διὰ ταῦτα τήν τε Ἰταλίαν ἐν φυλακῇ ἐποιήσαντο καὶ ἐπὶ τοὺς ἐν Σικελίᾳ τῇ τε Λιβύῃ ὄντας Ῥωμαίους σπουδῇ τοὺς ὑπάτους ἔπεμψαν, Μᾶρκον Αἰμίλιον



*Δίων ια' βιβλίῳ* "*οἱ δὲ Καρχηδόνιοι τὰς ναῦς αὐ-* 26
*τῶν ἀναπλεούσας οἴκαδε τηρήσαντες συχνὰς χρημάτων* a. u. 500
*γεμούσας εἷλον.*" Bekk. Anecd. p. 131, 12. Zonar. 8, (254)
14 (vol. II, p. 212, 25—27).

[Zonaras 8, 14 — vol. II, p. 211, 26 sqq.]

καὶ Φούλβιον Πλαιτῖνον. οἳ ἐς Σικελίαν πλεύσαντες καὶ φρουρήσαντες τὰ ἐκεῖ πρὸς Λιβύην ὡρμήκεσαν· καὶ χειμῶνι ληφθέντες κατηνέχθησαν ἐς Κόρσουραν· πορθήσαντες δὲ τὴν νῆσον καὶ φρουρᾷ παραδόντες ἔπλεον αὖθις. κἀν τούτῳ ἰσχυρὰ ναυμαχία πρὸς Καρχηδονίους ἐγένετο. ἠγωνίζοντο γὰρ οἱ μὲν παντελῶς τοὺς Ῥωμαίους ἐκ τῆς οἰκείας ἐκβαλεῖν, Ῥωμαῖοι δὲ τοὺς ἐγκαταλειφθέντας σφῶν ἐν τῇ πολεμίᾳ ἀνασώσασθαι. ἀγχωμάλως δὲ μαχομένων οἱ ἐν τῇ Ἀσπίδι ὄντες Ῥωμαῖοι κατὰ νώτου τοῖς Καρχηδονίοις ἐξαίφνης ἐπέπλευσαν καὶ ἀμφιβόλους αὐτοὺς καταλαβόντες ἐνίκησαν. καὶ μετὰ τοῦτο καὶ τῷ πεζῷ οἱ Ῥωμαῖοι ἐκράτησαν καὶ εἷλον πολλούς· οὓς διὰ τὸν Ῥήγουλον καὶ τοὺς μετ' αὐτοῦ ἁλόντας περιεσώσαντο. ἁρπαγάς δέ τινας ποιησάμενοι εἰς Σικελίαν ἔπλεον. χειμῶνι δὲ περιπεσόντες καὶ πολλοὺς ἀποβαλόντες οἴκοι ταῖς ναυσὶ ταῖς περισωθείσαις ἀπέπλευσαν.

οἱ δὲ Καρχηδόνιοι καὶ τὴν Κόρσουραν ἔλαβον καὶ εἰς a. u. 500
Σικελίαν ἐπεραιώθησαν· καὶ εἰ μὴ τὸν Κολλατῖνον καὶ (254)
Γναῖον Κορνήλιον ἔμαθον πολλῷ προσπλέοντας ναυτικῷ, πᾶσαν ἂν αὐτὴν ἐχειρώσαντο. οἱ γὰρ Ῥωμαῖοι ναυτικόν τε ἄριστον ταχέως ἐξήρτυσαν καὶ καταλόγους βελτίστους ἐπεποιήκεσαν καὶ οὕτως ἐρρώσθησαν, ὥστε τρίτῳ μηνὶ ἐς τὴν Σικελίαν ἐπανελθεῖν. πεντακοσιοστὸν δ' ἦν ἔτος, ἀφ' οὗπερ ἡ Ῥώμη συνέστη. καὶ τὴν μὲν κάτω τοῦ Πανόρμου πόλιν οὐ χαλεπῶς εἷλον, τῇ δὲ ἄκρᾳ προσεδρεύοντες ἐκακοπάθησαν, μέχρις οὗ τοὺς ἐν αὐτῇ ἐπέλιπεν ἡ τροφή. τότε γὰρ προσ-
εχώρησαν τοῖς ὑπάτοις. οἱ δὲ Καρχηδόνιοι τὰς ναῦς fr. 43, 26
αὐτῶν οἴκαδε πλεούσας τηρήσαντες εἷλον συχνὰς χρημάτων μεστάς.

εἶτα Σερουίλιός τε Καιπίων καὶ Γάιος Σεμπρώνιος ὕπα- a. u. 501
τοι τοῦ μὲν Λιλυβαίου πειράσαντες ἀπεκρούσθησαν, ἐς δὲ (253)

[Zonaras 8, 14 — vol. II, p. 212, 30 sqq.]

τὴν *Λιβύην* ἐπεραιώθησαν καὶ τὴν παραλίαν ἐπόρθουν. ὡς
δ' ἐκομίζοντο οἴκαδε, χειμῶνι ἐνέτυχον καὶ ἐβλάβησαν. διὸ
νομίσας ὁ δῆμος ἐξ ἀπειρίας τῶν ναυτικῶν βλάπτεσθαι τῆς
μὲν ἄλλης θαλάσσης ἀπέχεσθαι ἐψηφίσαντο, ναυσὶ δ' ὀλί-
γαις τὴν Ἰταλίαν φρουρεῖν.

a. u. 502 (252) τῷ δ' ἐπιγενομένῳ ἔτει *Πούπλιος Γάιος* καὶ *Αὐρήλιος*
*Σερουίλιος* ἐς τὴν *Σικελίαν* ἦλθον καὶ ἄλλα τέ τινα κατε-
στρέψαντο καὶ Ἱμέραν· οὐ μέντοι τινὰ συνέσχον τῶν ἐν αὐτῇ·
νυκτὸς γὰρ αὐτοὺς οἱ *Καρχηδόνιοι* ἐξεκόμισαν. μετὰ δὲ τοῦτο
*Αὐρήλιος* ναῦς τε παρὰ Ἱέρωνος εἰληφὼς καὶ ὅσοι τῶν Ῥω-
μαίων ἦσαν ἐκεῖ συμπαραλαβὼν ἔπλευσεν εἰς *Λιπάραν* καὶ
ἐν αὐτῇ χιλίαρχον *Κύιντον Κάσσιον* καταλιπὼν προσεδρεύ-
σοντα μάχης ἄνευ ἀπῆρεν οἴκαδε. *Κύιντος* δὲ μὴ φροντί-
σας τῆς ἐντολῆς προσέμιξε τῇ πόλει καὶ πολλοὺς ἀπέβαλεν.
ὁ μέντοι *Αὐρήλιος* μετὰ ταῦτα ἐκείνους ἑλὼν πάντας ἀπ-
έκτεινε καὶ τὸν *Κάσσιον* τῆς ἀρχῆς ἔπαυσε.

a. u. 503 (251) *Καρχηδόνιοι* δὲ τὰ δόξαντα τοῖς Ῥωμαίοις περὶ τοῦ ναυ-
τικοῦ μαθόντες ἔπεμψαν εἰς *Σικελίαν* πᾶσαν ὑποτάξαι τότε
ἐλπίσαντες. καὶ ἕως μὲν ἄμφω παρῆσαν οἱ ὕπατοι *Καικί-
λιος Μέτελλος* καὶ *Γάιος Φούριος*, ἠρέμουν· ὡς δὲ πρὸς
τὴν Ῥώμην ἀπῆρεν ὁ *Φούριος*, κατεφρόνησαν τοῦ *Μετέλλου*
καὶ πρὸς τὸ *Πάνορμον* ἦλθον. ὁ δὲ *Μέτελλος* κατασκόπους
ἐλθεῖν μαθὼν ἐκ τῶν πολεμίων ἤθροισε τοὺς ἐν τῇ πόλει
πάντας καὶ διαλεχθεὶς αὐτοῖς ἀλλήλων λαβέσθαι σφίσιν
ἐκέλευσε· καὶ οὕτως ἕκαστον ἀνακρίνων, ὅστις τε εἴη καὶ
ὅ,τι πράττοι, κατεφώρασε τοὺς πολεμίους. *Καρχηδόνιοι* δὲ
παρετάξαντο ὡς μαχούμενοι, καὶ *Μέτελλος* δεδιέναι προσ-
εποιεῖτο. τούτου δ' ἐπὶ πλείους ἡμέρας γινομένου οἱ *Καρ-
χηδόνιοι* ἐφρονηματίσθησαν καὶ προσέβαλλον θρασύτερον.
καὶ τότε ὁ *Μέτελλος* σημεῖον τοῖς Ῥωμαίοις ἦρε· κἀκ τού-
του ἐξαπιναίως ἐκεῖνοι κατὰ πάσας τὰς πύλας ἐπεκδραμόντες
ῥᾳδίως ἐκράτησαν καὶ ἐς στενὸν αὐτοὺς κατέκλεισαν, ὥστε
μηκέτ' ἀναχωρῆσαι δι' αὐτοῦ δυνηθῆναι. στενοχωρούμενοι
γὰρ ἅτε καὶ αὐτοὶ πολλοὶ ὄντες καὶ πολλοὺς ἐλέφαντας
ἔχοντες ἐταράττοντο. κἀν τούτῳ τὸ ναυτικὸν τὸ *Λιβυκὸν*
προσπλεῦσαν αὐτοῖς ἐγένετο φθορᾶς αἰτιώτατον. ἰδόντες γὰρ



ὅτι φασὶ ⟨τοὺς⟩ *Καρχηδονίους* ἐπικηρυκεύσασθαι τοῖς 27
Ῥωμαίοις διά τε τἆλλα καὶ διὰ τὸ πλῆθος τῶν αἰχμα- a. u. 503
λώτων, μάλιστα μέν, εἴ πως καὶ τὴν εἰρήνην ἐπὶ με- (251)
τρίοις τισὶ ποιήσαιντο, εἰ δὲ μή, ἵνα τούς γε ἑαλω-
κότας κομίσαιντο. φασὶ δὲ καὶ τὸν Ῥήγουλον ἐν τοῖς
πρέσβεσι πεμφθῆναι διά τε τὸ ἀξίωμα αὐτοῦ καὶ τὴν

[Zonaras 8, 14 — vol. II, p. 214, 10 sqq.]

τὰς ναῦς ὥρμησαν εἰς αὐτὰς καὶ ἐμβαίνειν ἐξεβιάζοντο, καὶ
οἱ μὲν εἰς τὴν θάλασσαν ἐνέπιπτον καὶ ἐφθείροντο, οἱ δὲ
ὑπὸ τῶν ἐλεφάντων ἐμπελαζομένων ἀλλήλοις τε καὶ τοῖς ἀν-
θρώποις ἀπώλλυντο, οἱ δὲ ὑπὸ τῶν Ῥωμαίων ἐκτείνοντο,
πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν ἄνδρες τε καὶ ἐλέφαντες.
ἐπειδὴ γὰρ ἄνευ τῶν συνήθων σφίσιν ἀνδρῶν ὄντες ἠγρι-
αίνοντο, κήρυγμα τοῖς αἰχμαλώτοις ὁ *Μέτελλος* ἐποιήσατο
σωτηρίαν καὶ ἄδειαν τοῖς συλλαβοῦσιν αὐτοὺς διδοῦν· καὶ
οὕτως προσελθόντες τινὲς τοῖς σφῶν πραοτάτοις ἐκείνους τε
διὰ τὴν συνήθειαν ἐχειρώσαντο καὶ τοὺς ἄλλους προσεπεσπά-
σαντο. οὓς καὶ εἰς τὴν Ῥώμην ἐκόμισαν ἑκατὸν ὄντας καὶ
εἴκοσιν οὕτως αὐτοὺς τὸν πορθμὸν περαιώσαντες. πίθους
πολλοὺς συνδήσαντες ἀλλήλοις καὶ ξύλοις διαλαβόντες σφᾶς,
ὥστε μήτ' ἀπαρτᾶσθαι σφᾶς μήτε συμπίπτειν, δοκοὺς ἐπ'
αὐτῶν ἐπέτειναν καὶ ὕλην καὶ γῆν ἐπεφόρησαν φράξαντές
τε πέριξ τὸ χωρίον, ὡς αὐλῇ τινι ἐοικέναι, εἰς τοῦτο αὐτοὺς
ἐπεβίβασαν καὶ διεπόρθμευσαν οὐδ' αἰσθανομένους, ὅτι
πλέοιεν. ὁ μὲν οὖν *Μέτελλος* οὕτως ἐνίκησεν, ὁ δ' *Ἀσ-
δρούβας* ὁ τῶν *Καρχηδονίων* στρατηγὸς σωθεὶς τότε ὕστε-
ρον ὑπὸ τῶν οἴκοι *Καρχηδονίων* ἐκλήθη καὶ ἀνεσκολοπίσθη.
15. οἱ *Καρχηδόνιοι* δὲ διεκηρυκεύσαντο τοῖς Ῥω- fr. 43,27
μαίοις διά τε τἆλλα καὶ τὸ πλῆθος τῶν αἰχμαλώτων
καὶ τοῖς πρέσβεσι καὶ αὐτὸν τὸν Ῥήγουλον συν-
έπεμψαν πᾶν δι' αὐτοῦ οἰηθέντες κατωρθωκέναι
διὰ τὴν ἀρετὴν καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός, ὥρκωσάν

---

27, 1 ⟨τοὺς⟩ inseruit R ‖ *Καρχηδονίοις* L ‖ 6 ⟨διὰ⟩ τὴν ἀρετὴν B

ἀρετήν· ὑπέλαβον γὰρ πᾶν ὁτιοῦν τοὺς Ῥωμαίους ἐπὶ τῷ κομίσασθαι αὐτὸν ἐλπίσαι σφᾶς πρᾶξαι, ὥστε καὶ μόνον ἀντὶ τῆς εἰρήνης ἢ πάντως γε ἀντὶ τῶν
28 αἰχμαλώτων ἀνταποδοθῆναι. ὥρκωσάν τε οὖν αὐτὸν πίστεσι [τε] μεγάλαις ἦ μὴν ἐπανήξειν, ἂν μηδέτερον αὐτῶν διαπράξηται, καὶ πρεσβευτὴν μεθ' ἑτέρων ἔστειλαν. καὶ ὃς τά τε ἄλλα καθάπερ τις Καρχηδόνιος, ἀλλ' οὐ Ῥωμαῖος ὢν ἔπραττε καὶ οὔτε τὴν γυναῖκα ἐς λόγους ἐδέξατο οὔτε ἐς τὴν πόλιν καίπερ κληθεὶς εἰσῆλθεν, ἀλλ' ἔξω τοῦ τείχους τῆς βουλῆς ἀθροισθείσης, ὥσπερ τοῖς τῶν πολεμίων πρέσβεσιν ἔθος εἶχον χρηματίζειν, τήν τε πρόσοδον μετὰ τῶν ἄλλων, ὥς γε καὶ ὁ λόγος ἔχει, ᾐτήσατο, ... U p. 377. Zonar. 8,15 (vol. II, p. 215, 3—13).

29 *Δίων ια' βιβλίῳ* "οὐ πρότερον αὐτοῖς ἐπείσθη ὁ

[Zonaras 8,15 — vol. II, p. 215, 7 sqq.]

fr. 43,28 τε αὐτὸν ἦ μὴν ἐπανήξειν. καὶ ὃς τά τε ἄλλα ὡς εἷς τῶν Καρχηδονίων ἔπραττε καὶ οὔτε τὴν γυναῖκα εἰς λόγους ἐδέξατο οὔτε τὴν πόλιν εἰσῆλθε καὶ ταῦτα καλούμενος, ἀλλ' ἔξω τοῦ τείχους τῆς βουλῆς ἀθροισθείσης, ὡς ἔθος ἦν χρηματίζειν τῶν πολεμίων τοῖς πρέσβεσιν, εἰσαχθεὶς εἰς τὸ συνέδριον εἶπεν "ἡμᾶς, ὦ πατέρες, πρὸς ὑμᾶς Καρχηδόνιοι ἔπεμψαν· ἐκεῖνοι γάρ με ἐστάλκασιν, ἐπεὶ δοῦλος αὐτῶν νόμῳ πολέμου γεγένημαι· καὶ ἀξιοῦσι μάλιστα μὲν καὶ τὸν πόλεμον λύσασθαι ἐπὶ συνθήκαις ταῖς δοκούσαις ἀμφοῖν, εἰ δὲ μή, τῶν αἰχμαλώτων ποιήσασθαι ἄλλαγμα." ταῦτα εἰπὼν μετέστη μετὰ τῶν πρέσβεων, ὡς ἂν καθ' ἑαυτοὺς οἱ Ῥωμαῖοι βουλεύσωνται. κελευόντων δὲ αὐτὸν τῶν ὑπάτων συμμετασχεῖν σφίσι τῆς
fr. 43,29 διαγνώμης, οὐ πρὶν ἐπείσθη πρὸ τοῦ παρὰ τῶν Καρ-

28, 2 [τε] del. R ‖ ἂν μηδέτερον αὐτῶν B, ἂν δὲ μηδὲν ἕτερον αὐτὸν L, ἄν τε U, ἂν καὶ R ‖ 6 κληθεὶς B, ἐκβληθεὶς L



Ῥήγουλος, πρὶν Καρχηδονίους οἱ ἐπιτρέψαι." Bekk. Anecd. p. 140, 20. Zonar. 8, 15 (vol. II, p. 215, 21—23).

*Δίων ια' βιβλίῳ* "οὔτε γὰρ πρὸς ἐμοῦ οὔτε πρὸς 30
ἄλλου ἀνδρὸς ἀγαθοῦ οὐδενός ἐστι προέσθαι τι τῶν κοινῇ συμφερόντων." ib. p. 165, 23.

*ια' βιβλίῳ* "ἄλλος ἄν τις παραμυθήσασθαι τὴν 31
καθ' ἑαυτὸν συμφορὰν ἐθελήσας ἐξῇρεν ἂν τὰ τῶν πολεμίων." ib. v. 30.

[Zonaras 8,15 — vol. II, p. 215, 22 sqq.]

χηδονίων ἐπιτραπῆναι. ὁ δὲ τέως μὲν ἐσιώπα· ἐπεὶ δ' οἱ βουλευταὶ εἰπεῖν αὐτὸν γνώμην ἐκέλευον, εἶπεν "εἰμὶ μὲν εἷς ἐξ ὑμῶν, ὦ πατέρες, κἂν μυριάκις ἁλῶ· τὸ μὲν γὰρ σῶμά μου Καρχηδονίων, ἡ δὲ ψυχή μου ὑμετέρα ἐστίν· ἐκεῖνο μὲν γὰρ ὑμῶν ἠλλοτρίωται, ταύτην δὲ οὐδεὶς δύναται μὴ οὐχὶ Ῥωμαίαν εἶναι ποιῆσαι· καὶ ὡς μὲν αἰχμάλωτος Καρχηδονίοις προσήκω, ἐπεὶ δ' οὐκ ἐκ κακίας, ἀλλ' ἐκ προθυμίας ἐδυστύχησα, καὶ Ῥωμαῖός εἰμι καὶ φρονῶ τὰ ὑμέτερα. καὶ οὐδ' ἐξ ἑνὸς τρόπου λυσιτελεῖν ὑμῖν τὰς καταλλαγὰς νομίζω."

ταῦτα ὁ Ῥήγουλος εἰπὼν καὶ τὰς αἰτίας προσέθηκε, δι' ἃς τὰς συμβάσεις ἀπηγόρευε, καὶ ἐπήγαγεν ὡς "οἶδα μέν, ὅτι προὖπτός μοι ὄλεθρος πρόκειται· ἀδύνατον γὰρ λαθεῖν αὐτοὺς ἃ συνεβούλευσα· ἀλλὰ καὶ οὕτως τῆς ἐμαυτοῦ σωτηρίας τὸ κοινῇ συμφέρον προτίθημι. εἰ δέ τις φήσει, τί οὖν οὐκ ἐκδιδράσκεις ἢ ἐνταῦθα καταμένεις; ἀκούσεται, ὅτι ὀμώμοκα αὐτοῖς ἐπανήξειν καὶ οὐκ ἂν παραβαίην τοὺς ὅρκους, οὐδ' εἰ πρὸς πολεμίους γεγόνασι, καὶ δι' ἄλλα, μάλιστα δέ, ὅτι τὸ δεινὸν ἐμπεδορκήσας μὲν μόνος πείσομαι, ἂν δ' ἐπιορκήσω, πᾶσα ἡ πόλις ἀναπλησθήσεται."

ἡ γερουσία δὲ τῆς ἐκείνου σωτηρίας ἕνεκεν καὶ τὴν εἰρήνην ποιήσασθαι καὶ τοὺς αἰχμαλώτους ἀντιδοῦναι προτεθύμητο. γνοὺς οὖν τοῦτο αὐτός, ἵνα μὴ τὸ συμφέρον δι' αὐτὸν καταπρόωνται, ἐπλάσατο πεπωκέναι φάρμακον δηλητήριον καὶ μέλλειν πάντως ὑπ' αὐτοῦ ἀπολέσθαι. καὶ οὔτε

[Zonaras 8, 15 — vol. II, p. 216, 21 sqq.]

ἡ σύμβασις γέγονεν οὔτε τῶν αἰχμαλώτων ἡ ἀμοιβή. ἀπιόν-
τος δ' αὐτοῦ σὺν τοῖς πρέσβεσιν ἀντελάβοντο ἄλλοι τε καὶ
οἱ παῖδες καὶ ἡ γυνή· οἱ δ' ὕπατοι μήτ' ἐθέλοντα κατα-
μεῖναι αὐτὸν ἐκδώσειν ἔφασαν μήτ' ἀπιόντα κατασχεῖν. καὶ
οὕτω προτιμήσας μὴ παραβῆναι τοὺς ὅρκους ἀνεκομίσθη.
καὶ αἰκισθεὶς ὑπ' αὐτῶν, ὡς ἡ φήμη λέγει, ἀπέθανε. τὰ
γὰρ βλέφαρα αὐτοῦ περιτεμόντες καὶ χρόνον τινὰ ἐν σκότει
καθείρξαντες, εἶτα εἰς σκεῦός τι σύμπηκτον κέντρα παντα-
χόθεν ἔχον ἐμβαλόντες αὐτὸν καὶ τρέψαντες πρὸς τὸν ἥλιον
οὕτως ὑπὸ κακοπαθείας καὶ ἀγρυπνίας μὴ δυνάμενόν πῃ
κλιθῆναι διὰ τὰ κέντρα διέφθειραν. ἃ πυθόμενοι οἱ Ῥω-
μαῖοι τοὺς πρώτους τῶν παρ' αὐτοῖς αἰχμαλώτων παρέδοσαν
τοῖς ἐκείνου παισὶ καὶ ἀνταικίσασθαι καὶ ἀνταποκτεῖναι.
a. u. τοὺς δ' ὑπάτους ἐς τὴν Λιβύην στρατεύσασθαι ἐψηφί-
504 (250) σαντο τόν τε Γάιον τὸν Ἀτίλιον τὸν τοῦ Ῥηγούλου ἀδελφὸν
καὶ τὸν Μάλλιον τὸν Λούκιον. οἳ ἐς τὴν Σικελίαν ἐλθόν-
τες τῷ Λιλυβαίῳ προσέβαλον καί τι μέρος τῆς τάφρου συγ-
χῶσαι εἰς τὴν τῶν μηχανημάτων προσαγωγὴν ἐπεχείρη-
σαν. καὶ οἱ Καρχηδόνιοι ὑπορύσσοντες τὸν χοῦν ὑφεῖλκον.
ἐπεὶ δ' ἠλαττοῦντο τῇ πολυχειρίᾳ, τεῖχος ἕτερον ἔνδον μη-
νοειδὲς ᾠκοδόμησαν. καὶ οἱ μὲν ὑπονόμους ὑπὸ τὸν κύκλον
εἰργάζοντο, ὅπως κατὰ τὸ διάκενον αὐτῶν ἱζήσαντος τοῦ
τείχους εἰσπέσωσιν· οἱ Καρχηδόνιοι δὲ ἀντορύσσοντες πολ-
λοὺς μὲν ἀγνοοῦντας τὸ γινόμενον ἐκδεχόμενοι ἔκτεινον, πολ-
λοὺς δὲ καὶ πῦρ ἐν φρυγάνοις εἰς τὰ ὀρύγματα ἐμβάλλοντες
ἔφθειρον. ἐπεὶ δέ τινες τῶν συμμάχων τῇ τε παρατάσει τῆς
πολιορκίας ἀχθόμενοι καὶ τῷ μὴ τὸν μισθὸν αὐτοῖς ἐντελῆ
καταβάλλεσθαι προδοῦναι τὸ χωρίον τοῖς Ῥωμαίοις διεκη-
ρυκεύοντο, ἐφώρασεν ὁ Ἀμίλκας τὸ βουλευόμενον, οὐκ ἐξέ-
φηνε δέ, ἵνα μὴ πολεμώσῃ αὐτούς· χρήματα δὲ τοῖς ἄρχου-
σιν αὐτῶν παρασχὼν καὶ τῷ πλήθει προσυποσχόμενος ἕτερα
οὕτως αὐτοὺς ᾠκειώσατο, ὥστε μηδ' ἀρνήσασθαι τὴν προδο-
σίαν, ἀλλὰ καὶ τοὺς τελευταίους πρέσβεις ἐπανιόντας ἀπώ-
σασθαι. οἳ πρὸς τοὺς ὑπάτους αὐτομολήσαντες γῆν τε ἐν
Σικελίᾳ καὶ ἕτερ' ἄττα ἔλαβον.

ἀκούσαντες δὲ ταῦτα οἱ οἴκοι Καρχηδόνιοι πέμπουσιν



τὸ ἕτερον μέρος τῆς οἰωνοσκοπικῆς Δίων Κάσσιος 32
Κοκκειανὸς παραδίδωσι λέγων, ὅτι κριθοφάγους ἡμέ- a. u. 505
ρους κατέχουσιν ὄρνιθας καὶ τιθέασιν ἔμπροσθεν αὐ- (249)
τῶν κριθάς, ὅτε μαντεύονται. εἰ μὲν οὖν ἐσθίοντες
οἱ ὄρνιθες οὐ πλήττουσι τοῖς ῥάμφεσι τὰς κριθὰς καὶ
ἀπορρίπτουσιν, ἀγαθὸν τὸ σημεῖον, εἰ δὲ οὕτω ποι-
οῦσιν, οὐκ ἀγαθόν. Io. Tzetz. Exeg. in Hom. Il.
p. 108, 2.

[Zonaras 8, 15 — vol. II, p. 217, 31 sqq.]

Ἀρδέβαν σὺν ναυσὶ πλείσταις εἰς τὸ Λιλύβαιον σῖτον ἀγού-
σαις καὶ χρήματα. καὶ ὃς χειμῶνα ἐπιτηρήσας εἰσέπλευσε.
κἀκ τούτου καὶ ἄλλοι συχνοὶ καταίρειν ὁμοίως ἐτόλμων· καὶ
οἱ μὲν ἐπετύγχανον, οἱ δὲ ἀπώλλυντο.

ἕως μὲν οὖν ἄμφω παρῆσαν οἱ ὕπατοι, ἰσοπαλεῖς οἱ
ἀγῶνες ἐγίνοντο· νόσου δὲ καὶ λιμοῦ τρυχόντων αὐτοὺς καὶ
τοῦ ἑτέρου οἴκαδε διὰ ταῦτα σὺν τοῖς ἀμφ' αὐτὸν στρατιώ-
ταις ἀναχωρήσαντος Ἀμίλκας θαρρήσας ἐπεξῄει καὶ τὰς μη-
χανὰς ἐνεπίμπρα καὶ τοὺς ἐπαμύνοντας αὐταῖς ἔφθειρε, καὶ
ἡ ἵππος αὐτοῦ ἐκ τοῦ Δρεπάνου ὁρμωμένη τά τε ἐπιτήδεια
κομίζεσθαι τοὺς Ῥωμαίους ἐκώλυε καὶ τὴν αὐτῶν συμμαχίδα
κατέτρεχε, καὶ ὁ Ἀρδέβας ποτὲ μὲν τῆς Σικελίας, ποτὲ δὲ
τῆς Ἰταλίας τὰ παράλια ἔκειρεν· ὅθεν οἱ Ῥωμαῖοι ἐν ἀπο-
ρίᾳ κατέστησαν. τέως μέντοι Λούκιος Ἰούνιος ἡτοίμαζε ναυ- a. u.
τικόν, Κλαύδιος δὲΠοῦλχρος εἰς τὸ Λιλύβαιον ἐπειχθεὶς 505 (249)
καὶ τριήρεις πληρώσας συνέλαβε δι' αὐτῶν Ἄννωνα τὸν Καρ-
χηδόνιον ἐκπλέοντα πεντήρει· καὶ παράδειγμα τοῖς Ῥωμαίοις
τῆς κατασκευῆς τῶν νεῶν ἐγένετο.

πολλάκις δὲ τοῦ ναυτικοῦ κινδυνεύοντος ἐβαρύνοντο οἱ
Ῥωμαῖοι τῇ συνεχεῖ τῶν νεῶν φθορᾷ· ἄνδρας γὰρ συχνοὺς
καὶ χρήματα πλεῖστα ἐν ταύταις ἀπώλλυσαν· οὐ μέντοι γε
καὶ ἐνέδοσαν, ἀλλὰ καί τινα φθεγξάμενον περὶ καταλλαγῶν
πρὸς Καρχηδονίους ἐν τῇ βουλῇ διεχρήσαντο καὶ λεχθῆναι
δικτάτωρα ἐψηφίσαντο. καὶ δικτάτωρ μὲν ὁ Κολλατῖνος ἐλέχθη,
ἱππάρχησε δέ γε ὁ Μέτελλος· οὐδὲν δὲ μνήμης ἔπραξαν
ἄξιον. ἐν ᾧ δ' ὁ Κολλατῖνος δικτάτωρ ἐλέγετο, ἐν τούτῳ

[Zonaras 8, 15 — vol. II, p. 218, 29 sqq.]

τὸν Ἔρυκα παρεστήσατο ὁ Ἰούνιος, καὶ ὁ Καρθάλων κατέσχεν Αἰγίθαλλον καὶ ἐζώγρησε τὸν Ἰούνιον.

a. u. 506 16. τῷ δ' ἑξῆς ἔτει Αὐρήλιος Γάιος καὶ Σερουίλιος
(248) Πούπλιος τὴν ἀρχὴν λαβόντες τό τε Λιλύβαιον καὶ τὸ Δρέπανον ἐλύπουν καὶ τοὺς Καρχηδονίους τῆς γῆς ἀπεῖργον καὶ τὴν αὐτῶν συμμαχίδα κατέκειρον. ὁ οὖν Καρθάλων πολυτρόπως ἐπιχειρήσας κατ' αὐτῶν, ὡς οὐδὲν ἤνυσεν, εἰς Ἰταλίαν ὥρμησεν, ἵν' οὕτω τοὺς ὑπάτους μεταγάγῃ ἐκεῖ ἢ τέως τὴν χώραν κακώσῃ καὶ πόλεις αἱρήσῃ. ἀλλ' οὐδ' ἐνταῦθά τι αὐτῷ προεχώρησε· τὸν γὰρ στρατηγὸν τὸν ἀστυνόμον μαθὼν πλησιάζοντα εἰς Σικελίαν ἀνέπλευσεν. ἔνθα τῶν μισθοφόρων στασιασάντων διὰ τὸν μισθὸν συχνοὺς μὲν ἐς νήσους ἐρήμους ἐκβιβάσας κατέλιπε, πολλοὺς δὲ καὶ ἐς τὴν Καρχηδόνα ἀπέστειλεν. ὃ γνόντες οἱ λοιποὶ ἠγανάκτησαν καὶ νεωτερίσειν ἔμελλον. ὧν Ἀμίλκας διαδεξάμενος τὸν Καρθάλωνα πολλοὺς μὲν νυκτὸς κατέκοψε, πολλοὺς δὲ καὶ κατεπόντωσεν. ἐν τοσούτῳ δ' οἱ Ῥωμαῖοι φιλίαν ἀίδιον πρὸς Ἱέρωνα διεπράξαντο καὶ προσαφῆκαν ὅσα παρ' αὐτοῦ ἐπετείως ἐλάμβανον.

a. u. 507 τῷ δ' ἑξῆς ἔτει τοῦ θαλαττίου πολέμου δημοσίᾳ μὲν οἱ
(247) Ῥωμαῖοι ἀπέσχοντο διὰ τὰς ἀτυχίας καὶ διὰ τὰ ἀναλώματα, ἰδίᾳ δέ τινες νῆας αἰτήσαντες, ὥστ' ἐκείνας μὲν ἀποκαταστῆσαι, τὴν λείαν δὲ οἰκειώσασθαι, ἄλλα τε τοὺς πολεμίους ἐκάκωσαν καὶ ἐς Ἵππωνα Λιβυκὴν πόλιν εἰσπλεύσαντες τά τε πλοῖα πάντα καὶ πολλὰ τῶν οἰκοδομημάτων κατέπρησαν. τῶν δ' ἐπιχωρίων τὸ στόμα τοῦ λιμένος διαλαβόντων ἁλύσεσιν ἐν περιστάσει ἐγένοντο, σοφίᾳ δὲ καὶ τύχῃ περιεγένοντο. σπουδῇ γὰρ ταῖς ἁλύσεσι προσπεσόντες, ἐπεὶ προσάψασθαι αὐτῶν ἔμελλον οἱ ἔμβολοι τῶν νηῶν, μετέστησαν ἐς τὰς πρύμνας οἱ τοῦ πληρώματος, καὶ οὕτως αἱ πρῷραι κουφισθεῖσαι ὑπερῆραν τὰς ἁλύσεις, αὖθις δ' ἐς τὰς πρῴρας αὐτῶν μεταπηδησάντων αἱ πρύμναι τῶν σκαφῶν ἐμετεωρίσθησαν. καὶ διεξέδραμον καὶ μετὰ τοῦτο περὶ τὸ Πάνορμον ναυσὶ Καρχηδονίους ἐνίκησαν.

οἱ δ' ὕπατοι, Μέτελλος μὲν Καικίλιος περὶ τὸ Λιλύβαιον ἦν, Νουμέριος δὲ Φάβιος τῷ Δρεπάνῳ προσήδρευε καὶ ἐπ-



ἡγεῖτο δεῖν (sc. Ἀμίλκας) τόν τι δι' ἀπορρήτων 33
πρᾶξαι βουλόμενον μηδενὶ αὐτὸ τὸ παράπαν ἐμφαίνειν· a. u. 510
οὐδένα γὰρ οὕτως ἰσχυρόφρονα εἶναι, ὡς ἀκούσαντά (244)
τι παρατηρῆσαι καὶ σιωπῆσαι αὐτὸ ἐθελῆσαι, ἀλλὰ καὶ πάνυ τοὐναντίον, ὅσῳ ἂν ἀπορρηθῇ τινὶ μὴ εἰπεῖν τι, τόσῳ μᾶλλον αὐτὸν ἐπιθυμεῖν αὐτὸ ἐκλαλῆσαι, καὶ οὕτως ἕτερον παρ' ἑτέρου τὸ ἀπόρρητον ὡς καὶ μόνον μανθάνοντα φημίζειν. M p. 540. Cf. Diod. 24, 7.

[Zonaras 8, 16 — vol. II, p. 220, 9 sqq.]

εβούλευσε τῇ νησῖδι τῇ Πελιάδι καλουμένῃ, προκατειλημμένῃ παρὰ Καρχηδονίων, στρατιώτας πέμψας νυκτός, οἳ τοὺς φρουροὺς κτείναντες τὴν νῆσον εἷλον. ὃ μαθὼν Ἀμίλκας ἕωθεν τοῖς διαβεβηκόσιν ἐπέθετο· οἷς οὐκ ἔχων ἀμῦναι ὁ Φάβιος τῷ Δρεπάνῳ προσέμιξεν, ὡς ἢ τὴν πόλιν δι' ἐρημίαν αἱρήσων ἢ τῆς νήσου τὸν Ἀμίλκαν ἀπάξων. καὶ ἠνύσθη τὸ ἕν· φοβηθεὶς γὰρ ὁ Ἀμίλκας ἀνεχώρησεν εἰς τὸ τεῖχος. καὶ ὁ Φάβιος τὴν Πελιάδα κατέσχε καὶ τὸ μεταξὺ ταύτης καὶ τῆς ἠπείρου στενὸν καὶ τεναγῶδες τυγχάνον συγχώσας ἠπείρωσε καὶ ῥᾷον προσεπολέμει τοῦ τείχους ἐκεῖ ὄντος ἀσθενεστέρου. καὶ οἱ Καρχηδόνιοι συχνὰ παρελύπουν αὐτοὺς εἰς Σικελίαν τε περιπλέοντες καὶ εἰς τὴν Ἰταλίαν περαιούμενοι. τοὺς δ' αἰχμαλώτους ἀλλήλων ἄνδρα ἀντ' ἀνδρὸς ἠλλάξαντο· τοὺς δὲ λοιπούς, ἐπεὶ μὴ ἦσαν ἰσοπληθεῖς, ἀργυρίου οἱ Καρχηδόνιοι ἐκομίσαντο.

ἔκτοτε δὲ διάφοροι μὲν ὑπάτευσαν, οὐδὲν δὲ ἱστορίας ἔπραξαν ἄξιον· μέγιστον γὰρ οἱ Ῥωμαῖοι ἐσφάλλοντο, ὅτι κατ' ἐνιαυτὸν ἄλλους, εἶθ' ἑτέρους ἄρχοντας ἔπεμπον, ἄρτι δὲ τὴν στρατηγίαν μανθάνοντας τῆς ἀρχῆς ἔπαυον, ὥσπερ εἰς ἄσκησιν σφᾶς, ἀλλ' οὐκ εἰς χρῆσιν αἱρούμενοι.

οἱ Γαλάται δὲ τοῖς Καρχηδονίοις συμμαχοῦντες καὶ μισοῦντες αὐτούς, ὅτι κακῶς μετεχειρίζοντο σφᾶς, φρουρίου τινὸς φυλακὴν ἐμπιστευθέντες τοῖς Ῥωμαίοις αὐτὸ προήκαντο ἐπὶ χρήμασι. μεταστάντας δὲ ἀπὸ τῶν Καρχηδονίων Γαλάτας καὶ ἄλλους τῶν σφῶν συμμάχων τινὰς οἱ Ῥωμαῖοι ἐπὶ μισθοφορᾷ προσελάβοντο μήπω πρότερον τρέφοντες ξε-

34 *Δίωνος ια' βιβλίῳ* "τὸν δῆμον ἐδείπνισεν. Bekk. Anecd. p. 133, 24.

35 *Δίων ια' βιβλίῳ* "σὺ μὲν καὶ τοῖς φίλοις τοῖς τι πλημμελήσασιν ἐπεξέρχῃ, ἐγὼ δὲ καὶ τοῖς ἐχθροῖς συγγινώσκω." ib. p. 171, 29.

36 *Δίωνος ιβ' βιβλίῳ* "ἐκεῖνος μὲν γὰρ ἀπαλλοτριωθῆναι ὑμῶν τρόπον τινὰ ἠδυνήθη." ib. p. 124, 4.

37 *Δίωνος ιβ' βιβλίῳ* "τεθνᾶσι δὲ οἱ μέν, οἱ δὲ ἑαλώκεσαν οἵ γε καὶ λόγου τινὸς ἄξιοι." ib. p. 133, 25.

[Zonaras 8, 16 — vol. II, p. 221, 6 sqq.]

*νικόν. τούτοις οὖν ἐπαιρόμενοι, καὶ ὅτι οἱ τὰς ναῦς ἔχοντες ἰδιῶται τὴν Λιβύην ἐπόρθησαν, οὐκέτι ἀμελεῖν τῆς θαλάσσης ἤθελον, ἀλλὰ καὶ αὖθις ναυτικὸν συνεστήσαντο.*

a. u. 17. *καὶ Λουτάτιος Κατύλος ὕπατος ᾑρέθη καὶ τούτῳ*
513 (241) *συνεξεπέμφθη Κύιντος Οὐαλέριος Φλάκκος ἀστυνομῶν. οἳ ἐς Σικελίαν ἐλθόντες καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν τῷ Δρεπάνῳ προσέβαλον καί τι τοῦ τείχους κατήρειψαν· καὶ εἷλον ἂν αὐτό, εἰ μὴ τοῦ ὑπάτου τρωθέντος περὶ ἐκεῖνον οἱ στρατιῶται ἀπησχολήθησαν. κἀν τούτῳ μαθόντες τοὺς πολεμίους οἴκοθεν ἥκειν ναυτικῷ πλήθει Ἄννωνος ναυαρχοῦντος πρὸς ἐκείνους ἐτράποντο. καὶ ἀντιπαραταξαμένων αὐτῶν ἄστρον τι λαμπαδῶδες ὕπερθεν τῶν Ῥωμαίων φανὲν ἐξ ἀριστερᾶς εἰς τοὺς Καρχηδονίους ἀρθὲν ἐγκατέσκηψεν. ἐγένετο δ' ἡ ναυμαχία καὶ ἐπ' ἀμφοῖν καρτερὰ δι' ἄλλα τε καὶ ἵνα οἱ μὲν Καρχηδόνιοι εἰς τελείαν ἀπόγνωσιν τοὺς Ῥωμαίους τοῦ ναυτικοῦ καταστήσωσιν, οἱ δ' ἵνα καὶ τὰς προτέρας ἀνακαλέσωνται συμφοράς. ὅμως δ' οὖν οἱ Ῥωμαῖοι τὴν νίκην ἤραντο· τὰ γὰρ τῶν Καρχηδονίων σκάφη φορτία φέροντα πρὸς τοῖς ἄλλοις καὶ σῖτον καὶ χρήματα ἐβαρύνοντο.*

*ὁ δ' Ἄννων διαφυγὼν εὐθὺς εἰς τὴν Καρχηδόνα ἠπείχθη. οἱ Καρχηδόνιοι δὲ θυμῷ ληφθέντες καὶ φόβῳ τὸν μὲν ἀν-*

---

35, 2 *ἐπεξέρχῃ* I. M. Stahl (Mus. Rhen. XXI, p. 311), *ἐξέρχῃ* L



[Zonaras 8, 17 — vol. II, p. 222, 1 sqq.]

*εσταύρωσαν, πρέσβεις δὲ πρὸς εἰρήνην τῷ Κατύλῳ πεπόμφασι. καὶ τῷ πρὸς βουλῆς ἦν τὸν πόλεμον καταλύσασθαι, ὅτι ἐπ' ἐξόδῳ οὔσης αὐτῷ τῆς ἀρχῆς οὔτε δι' ὀλίγου ἐξαιρήσειν τὴν Καρχηδόνα ἤλπιζεν οὔτε τοῖς διαδόχοις τὴν δόξαν τῶν ἑαυτοῦ πόνων καταλιπεῖν ἤθελε. διὸ ἀνακωχὴν ἐποιήσαντο καὶ χρήματα καὶ σῖτον καὶ ὁμήρους αὐτῷ δόντες, ἵν' ἐς τὴν Ῥώμην πρεσβεύσωνται ἐπὶ τῷ τῆς Σικελίας τε αὐτοὺς πάσης ἐκστῆναι Ῥωμαίοις καὶ πάσας τὰς πέριξ νήσους ἐκλιπεῖν καὶ μήτε τῷ Ἱέρωνι πολεμεῖν καὶ χρήματα τὰ μὲν ἅμα τῷ σπείσασθαι δοῦναι, τὰ δὲ καὶ ὕστερον, καὶ τοὺς μὲν ἐκείνων αὐτομόλους καὶ αἰχμαλώτους προῖκα ἐκπέμψαι, τοὺς δ' ἑαυτῶν πρίασθαι.*

*τοιαύτη μὲν οὖν ἡ σύμβασις ὡμολόγητο· μόνην γὰρ τὴν τοῦ ζυγοῦ ἀτιμίαν ὁ Ἀμίλκας παρῃτήσατο. καὶ ὁ μὲν ταῦτα συνθέμενος καὶ τοὺς στρατιώτας ἐκ τῶν τειχῶν ἐξαγαγὼν ἀπέπλευσεν οἴκαδε, πρὶν τοὺς ὅρκους ἐπενεχθῆναι, οἱ δ' ἐν τῇ Ῥώμῃ τήν τε νίκην διὰ βραχέος ἔμαθον καὶ ἐπήρθησαν ὡς παντάπασι κεκρατηκότες. καὶ τῶν πρέσβεων ἐλθόντων οὐκέτι κατέχειν ἑαυτοὺς ἠδύναντο καὶ τὴν Λιβύην ἕξειν ἅπασαν ἤλπιζον. διὸ οὐδὲ ταῖς τοῦ ὑπάταυ ὁμολογίαις ἐνέμειναν, ἀλλὰ καὶ χρήματα αὐτοὺς πολλῷ πλείω τῶν ὑπεσχημένων ἐπράξαντο· καὶ ἀπηγόρευσαν σφίσι μήτε τὴν Ἰταλίαν μήτε τὴν ἔξω συμμαχίδα σφῶν μακραῖς ναυσὶ παραπλεῖν ἢ μισθοφόροις τισὶν ἀπ' αὐτῶν κεχρῆσθαι.*

*ὁ μὲν οὖν πρῶτος τοῖς Καρχηδονίοις πόλεμος τοῖς τε Ῥωμαίοις εἰς τοῦτο κατέληξε τετάρτῳ ἔτει καὶ εἰκοστῷ, καὶ ἐπ' αὐτῷ ἤγαγεν ὁ Κατύλος τὰ ἐπινίκια, Κύιντος δὲ Λουτάτιος ὑπατεύσας ἀπῆλθεν εἰς Σικελίαν καὶ μετὰ τοῦ ἀδελφοῦ Κατύλου πάντα τὰ ἐκεῖ κατεστήσατο· καὶ τὰ ὅπλα τῶν ἐν αὐτῇ ἀφείλοντο. Σικελία μὲν οὖν οὕτως ὑπὸ Ῥωμαίων δεδούλωτο πλὴν τῆς ἀρχῆς τοῦ Ἱέρωνος, ἐκ δὲ τούτου πρὸς τοὺς Καρχηδονίους φιλία ἦν αὐτοῖς.*

*ἄμφω δ' αὖθις εἰς πολέμους ἑτέρους χωρὶς μετ' ὀλίγον κατέστησαν. τοῖς γὰρ Καρχηδονίοις οἵ τε περίλοιποι τῶν μισθοφορησάντων σφίσι καὶ τὸ δουλεῦον τὸ ἐν τῇ πόλει καὶ τῶν ὁμορούντων πολλοὶ πρὸς τὰς συμφορὰς αὐτῶν συνεπέ-*

[Zonaras 8, 17 — vol. II, p. 223, 10 sqq.]

θεντο. οἵ γε μὴν Ῥωμαῖοι ἐπικαλεσαμένων αὐτοὺς τῶν πολεμούντων ἐκείνοις οὔθ' ὑπήκουσαν, ἀλλὰ καὶ ἀντιπρεσβευσάμενοι καὶ μὴ δυνηθέντες καταλλάξαι αὐτοὺς καὶ τοὺς αἰχμαλώτους τῶν Καρχηδονίων ὅσους εἶχον ἀφῆκαν προῖκα καὶ σῖτον ἔπεμψαν καὶ μισθοφόρους ἐκ τῆς οἰκείας συμμαχίδος αὐτοῖς ἐπαγαγέσθαι ἐπέτρεψαν δόξαν ἐπιεικείας θηρώμενοι μᾶλλον ἢ τοῦ συμφέροντος αὐτοῖς προμηθούμενοι. ὅθεν πράγματα ἔσχον εἰσέπειτα· ὁ γὰρ Ἀμίλκας ἐκεῖνος ὁ Βαρχίδης, ἐπεὶ τοὺς ἐναντίους ἐνίκησεν, ἐπὶ μὲν τοὺς Ῥωμαίους καίπερ κάρτα μισῶν αὐτοὺς οὐκ ἐτόλμησε στρατεῦσαι, ἐς δὲ τὴν Ἰβηρίαν παρὰ γνώμην τῶν οἴκοι τελῶν ἀπῆρεν.

18. ἀλλὰ ταῦτα μὲν ἐγένετο ὕστερον, τότε δὲ καὶ οἱ Ῥωμαῖοι Φαλίσκοις ἐπολέμησαν, καὶ Μάλλιος Τουρκουᾶτος τὴν χώραν αὐτῶν ἐδῄωσε. καὶ συμμίξας αὐτοῖς ἐσφάλη μὲν τῷ ὁπλιτικῷ, τοῖς δ' ἱππεῦσιν ἐκράτησε. καὶ αὖθις αὐτοῖς μαχεσάμενος ἐνίκησε καὶ τά τε ὅπλα αὐτῶν καὶ τὴν ἵππον καὶ τὰ ἔπιπλα καὶ τὸ δουλεῦον καὶ τὸ ἥμισυ τῆς χώρας ἀφείλετο. ὕστερον δὲ ἡ μὲν ἀρχαία πόλις εἰς ὄρος ἐρυμνὸν ἱδρυμένη κατεσκάφη, ἑτέρα δ' ᾠκοδομήθη εὐέφοδος. μετὰ δὲ τοῦτο ἐπολέμησαν αὖθις πολέμους πρός τε Βοουίους καὶ πρὸς Γαλάτας ἐκείνοις πλησιοχώρους καὶ πρὸς Λιγύων τινάς. τοὺς μὲν οὖν Λίγυας Σεμπρώνιος Γράκχος μάχῃ νικήσας ἐκάκου, καὶ τοῖς Γαλάταις Πούπλιος Οὐαλέριος συμβαλὼν τὸ μὲν πρῶτον ἡττήθη, εἶτα πυθόμενος εἰς ἐπικουρίαν αὐτοῦ τινας ἐκ τῆς Ῥώμης ἥκειν, ὁμόσε αὖθις τοῖς Γαλάταις ἐχώρησεν, ἵν' ἢ καθ' ἑαυτὸν νικήσῃ ἢ ἀποθάνῃ· τοῦτο γὰρ μᾶλλον ἢ ζῶν αἰσχύνην ὄφλειν προείλετο· καί πως κατὰ τύχην ἐκράτησε.

a. u. τότε μὲν οὖν ταῦθ' οὕτως τοῖς Ῥωμαίοις συνήντησαν,
516 (238) καὶ Σαρδὼ παρὰ τῶν Καρχηδονίων ἀμαχεὶ χρήματά τε αὖθις ἔλαβον ἐγκαλέσαντες αὐτοῖς βλάπτειν σφῶν τοὺς πλέοντας· οὔπω γὰρ κρατυνθέντες οἱ Καρχηδόνιοι τὰς ἀπειλὰς αὐτῶν ἐδεδοίκεσαν· τῷ δ' ἑξῆς ἔτει Λούκιος Λέντουλος καὶ Κύιντος Φλάκκος ἐπὶ τοὺς Γαλάτας στρατεύσαντες, ἕως μὲν ὁμοῦ



οἱ γὰρ Λίγυες τὴν παραλίαν ἀπὸ Τυρσηνίδος μεχρὶ 44
τῶν Ἄλπεων καὶ ἄχρι Γαλατῶν νέμονται, ὥς φησι Δίων. Is. Tzetz. ad Lycophr. 1312.

ὅτι οἱ Ῥωμαῖοι τὸν Κλαύδιον, ἐπειδὴ πρὸς τοὺς 2
Κυρνίους συνθήκας ἐποιήσατο, πόλεμον ἀράμενοι καὶ a. u. 518 (236)

[Zonaras 8, 18 — vol. II, p. 224, 19 sqq.]

διῆγον, ἦσαν ἀνανταγώνιστοι, ἐπεὶ δὲ διχῇ πορθεῖν τινα a. u. 517 (237)
ἤρξαντο ὡς οὕτω πλείω λείαν περιβαλούμενοι, ἐς κίνδυνον τὸ τοῦ Φλάκκου κατέστη στρατόπεδον νυκτὸς κυκλωθέν. ἀλλὰ τότε μὲν οἱ βάρβαροι ἀνεκόπησαν, προσλαβόμενοι δὲ συμμάχους χειρὶ πολλῇ ἐπὶ τοὺς Ῥωμαίους αὖθις ἐχώρησαν. ἀπαντησάντων δὲ σφίσι Πουπλίου τε Λεντούλου καὶ Λικι- a. u. 518 (236)
νίου Οὐάρου ἤλπισαν αὐτοὺς διὰ τὸ πλῆθος τὸ σφέτερον καὶ ἄνευ μάχης καταπλήξειν· καὶ πέμψαντες τήν τε χώραν τὴν περὶ τὸ Ἀρίμινον ἀπῄτουν καὶ τῆς πόλεως ὡς αὐτῶν οὔσης ἐξοικισθῆναι ἐκέλευον. οἱ δ' ὕπατοι μήτε συμβαλεῖν θαρροῦντες δι' ὀλιγότητα μήτε τι προέσθαι τολμῶντες ἀνοχὰς ἔπραξαν, ὡς ἐς τὴν Ῥώμην πρεσβεύσωνται. οἱ δ' ἐπὶ τὴν βουλὴν ἐλθόντες τὰ αὐτὰ εἶπον. ὡς δ' οὐδενὸς οἱ πρέσβεις ὧν ᾔτουν ἐτύγχανον, εἰς τὸ στρατόπεδον ἀνεχώρησαν. καὶ εὗρον ἐφθαρμένα σφίσι τὰ πράγματα· τινὲς γὰρ τῶν συμμάχων αὐτῶν μεταγνόντες καὶ διὰ φόβον τοὺς Ῥωμαίους πεποιημένοι ἐτράποντο ἐπὶ τοὺς Βοουίους, καὶ συχνοὶ ἀπώλοντο ἀμφοτέρωθεν, κἀντεῦθεν ἀπῆλθον οἴκαδε οἱ λοιποί, καὶ οἱ Βοούιοι σπονδὰς ἐπὶ μέρει πολλῷ τῆς χώρας σφῶν ἐποιήσαντο.

ἤδη δὲ τῶν Γαλατικῶν λυθέντων πολέμων ὁ Λέντουλος ἐστράτευσεν ἐπὶ Λίγυας καὶ τοὺς προσπίπτοντας ἠμύνετο καί τινα ἐρύματα παρεστήσατο. Οὔαρος δὲ ἐπὶ Κύρνον ὁρμήσας καὶ μὴ δυνηθεὶς ἀπορίᾳ πλοίων περαιωθῆναι Κλαύδιόν τινα Κλινέαν σὺν δυνάμει προέπεμψε. κἀκεῖνος τοὺς Κυρνίους καταπλήξας ἐς λόγους ἦλθε καὶ ὡς αὐτοκράτωρ τυγχάνων ἐσπείσατο. Οὔαρος δὲ τῶν συνθηκῶν μὴ φροντίσας ἐπολέμησε τοῖς Κυρνίοις, ἕως αὐτοὺς ἐχειρώσατο. οἱ δὲ fr. 44, 2

44, 2, 2 Κυρνίους correxi e Zonara, Λίγυας L eclogarii errore ‖ ἐποιήσατο V, ἐποιήσαντο L ‖ ἀράμενοι et 3 χειρωσάμενοι

αὐτοὺς χειρωσάμενοι τὸ μὲν πρῶτον, ὡς καὶ ἐκείνου
τὸ παρασπονδηθέν, ἀλλ' οὐχ ἑαυτῶν ⟨τὸ⟩ αἰτίαμα ὄν,
ἔπεμψαν ἐκδιδόντες αὐτοῖς, μὴ προσδεξαμένων δὲ
σφῶν αὐτὸν ἐξήλασαν. V p. 593. Zonar. 8, 18 (vol. II,
p. 225, 20—22).

45 ὅτι οἱ Ῥωμαῖοι τοὺς Καρχηδονίους χρήματα ἐπι-
a. u. πραξάμενοι τὰς σπονδὰς ἀνενεώσαντο καὶ τὸ μὲν
519 (235) πρῶτον πρεσβείας αὐτῶν ἐλθούσης, ὅτι τε τῆς σφετέ-
ρας παρασκευῆς ᾔσθοντο καὶ ὅτι αὐτοὶ τῷ πρὸς τοὺς
ὁμόρους πολέμῳ ἔτι καὶ τότε κατείχοντο, μέτριον οὐδὲν
ἀπεκρίναντο, μετὰ δὲ τοῦτο Ἄννωνός τινος νέου τῇ
ἡλικίᾳ καὶ δεινοῦ ⟨τῇ⟩ παρρησίᾳ πεμφθέντος καὶ
ἄλλα τε πολλὰ ἀπαρακαλύπτως καὶ τέλος ὅτι "εἰ μὴ
βούλεσθε εἰρηνεῖν, ἀπόδοτε ἡμῖν καὶ Σαρδὼ καὶ Σι-
κελίαν· οὐ γὰρ πρόσκαιρόν τινα ἀνοχήν, ἀλλ' ἀίδιον
φιλίαν ἀπ' αὐτῶν ἐπριάμεθα" εἰπόντος ἠπιώτεροί τε
αἰσχυνθέντες ἐγένοντο ... U p. 378. Zonaras 8, 18
(vol. II, p. 225, 22—25).

[Zonaras 8, 18 — vol. II, p. 225, 20 sqq.]

Ῥωμαῖοι τὸ παρασπόνδημα ἀποπροσποιούμενοι
ἔπεμψαν αὐτοῖς ἐκδιδόντες τὸν Κλαύδιον· ὡς δ'
fr. 45, 1 οὐκ ἐδέχθη, ἐξήλασαν αὐτόν. ἐπὶ δὲ Καρχηδονίους
μέλλοντες στρατεύσειν ὡς τοῖς σφῶν ἐμπόροις λυ-
μαινομένους τοῦτο μὲν οὐκ ἐποίησαν, χρήματα δ'
ἐπιπραξάμενοι ἀνενεώσαντο τὰς σπονδάς. ἔμελλον
δὲ μηδ' ὣς ἐς μακρὰν αἱ συνθῆκαι μένειν. τὰ μὲν οὖν τῶν
Καρχηδονίων ἀνεβέβλητο, ἐπὶ δὲ τοὺς Σαρδονίους μὴ πει-
θομένους αὐτοῖς ἐστράτευσαν καὶ ἐνίκησαν. μετὰ ταῦτα δὲ
ἔπεισαν τοὺς Σαρδονίους οἱ Καρχηδόνιοι κρύφα τοῖς Ῥω-

V, ἀράμενον et χειρωσάμενον L ‖ 3 ἐκεῖνος L ‖ 4 ἑαυτὸν L ‖ ⟨τὸ⟩
inseruit V ‖ 45, 1, 7 ⟨τῇ⟩ inseruit Leunclavius ‖ 10 πρόσκαιρόν
Reiske, πρὸς καιρόν L ‖ 12 ἐγένοντο ...] lacunam statuit Reiske
vel pro τε legendum censuit ἅτε.



... δετο μὴ τὰ αὐτὰ ἀντιπάθωσιν, ὥστε καὶ πάνυ 2
ἀσμένως οἱ μὲν τὴν ἐκ τοῦ πρόσθεν εὐτυχίαν διασώ-
σασθαι, οἱ δ' ἐπὶ γοῦν τῶν ὑπαρχόντων σφίσι μεῖναι
αἱρούμενοι διεμέλλησαν καὶ ταῖς ἀπειλαῖς μηκέτι τὴν
εἰρήνην ἄγοντες τοῖς ἔργοις ἐπιδιασκοποῦντες περὶ
τῆς αὐτῆς ἀνέσχον, ὥσθ' ἅπασι δῆλον γενέσθαι, ὅτι
ὁποτέροις ἂν αὐτῶν προτέροις παρακινῆσαί τι συν-
ενέγκῃ, καὶ τοῦ πολέμου προκατάρξουσιν. ἐς γὰρ το-
σοῦτον οἱ πολλοὶ ταῖς ὁμολογίαις ἐμμένουσιν, ἐς ὅσον
⟨ἂν⟩ αὐτοῖς καὶ καθήκῃ· πρὸς δὲ δὴ τὸ μᾶλλόν σφισι
συμφέρον ἀσφαλὲς καὶ τὸ [μὴ] παρασπονδῆσαί τι νο-
μίζουσιν εἶναι. M p. 184.

[Zonaras 8, 18 — vol. II, p. 225, 30 sqq.]

μαίοις ἐπαναστῆναι. καὶ τούτοις οἱ Κύρνιοι προσαπέστησαν
καὶ οἱ Λίγυες οὐχ ἡσύχασαν.

τῷ δ' ἐπιγενομένῳ ἔτει τριχῇ τὰς δυνάμεις διελόμενοι a. u.
οἱ Ῥωμαῖοι, ἵν' ἅμα πολεμούμενοι πάντες μὴ συμβοηθοῖεν 520
ἀλλήλοις, Ποστούμιον μὲν Ἀλβῖνον εἰς τὴν Λιγυστικήν, (234)
Σπούριον δὲ Καρουίλιον ἐπὶ τοὺς Κυρνίους, ἐς δὲ τὴν Σαρδὼ
τὸν ἀστυνόμον Πούπλιον Κορνήλιον ἔπεμψαν. καὶ οἱ μὲν
ὕπατοι οὐκ ἀπόνως μέν, οὐ βραδέως δὲ τὰ προσταχθέντα
σφίσι κατέπραξαν· τοὺς δὲ Σαρδονίους μή τι φρονοῦντας
μέτριον ἰσχυρᾷ μάχῃ ὁ Καρουίλιος κατεστρέψατο· ὁ γὰρ
Κορνήλιος καὶ τῶν στρατιωτῶν πολλοὶ ὑπὸ νόσου ἐφθάρησαν.
ἐπεὶ δ' οἱ Ῥωμαῖοι ἐκ τῆς χώρας αὐτῶν ἀπηλλάγησαν, ἀπ-
έστησαν αὖθις οἱ Σαρδόνιοι καὶ οἱ Λίγυες. Κύιντος μὲν a. u.
οὖν Φάβιος Μάξιμος ἐπέμφθη πρὸς Λίγυας, ἐς δέ γε τὴν 521
Σαρδὼ Πομπώνιος Μάνιος. τούς γε μὴν Καρχηδονίους ὡς (233)
αἰτίους αὐτοῖς τῶν πολέμων ὄντας πολεμίους ἔκριναν καὶ
πέμψαντες πρὸς αὐτοὺς χρήματά τε ἀπῄτουν καὶ ἁπασῶν

2, 1 ante hoc fragm. quattuor paginae codici desunt, cf.
fr. 43, 22 ‖ 4 καὶ ταῖς ἀπ. B, αὐταῖς ἀπ. L ‖ 5 ἐπιδιασκο-
ποῦντες] ἔτι διασκ. B ‖ 6 τῆς αὐτῆς D, τοῦ αὐτοῦ L, τοῦ πρα-
κτέου? B ‖ 10 ⟨ἂν⟩ inseruit Mai ‖ 11 [μὴ] del. B

46 ὅτι πρέσβεις ποτὲ ἐπὶ κατασκοπῇ ⟨τῶν ἐν Ἰβηρίᾳ
a. u. ὑπατευόντων Μάρκου Πομπωνίου καὶ⟩ Γαΐου Παπι-
523
(231) ρίου καίπερ μηδὲν μηδέπω τῶν Ἰβηρικῶν σφισι προσ-
ηκόντων ἀπέστειλαν, καὶ αὐτοὺς ἐκεῖνος τά τε ἄλλα
ἐδεξιώσατο καὶ λόγοις ἐπιτηδείοις διήγαγεν εἰπὼν ἄλλα
τε καὶ ὅτι ἀναγκαίως τοῖς Ἴβηρσι πολεμεῖ, ἵνα τὰ
χρήματα, ἃ τοῖς Ῥωμαίοις ἔτι πρὸς τῶν Καρχηδονίων
ἐπωφείλετο, ἀποδοθῇ, διὰ τὸ μὴ δύνασθαι ἄλλοθέν
ποθεν αὐτὰ ἀπαλλαγῆναι, ὥστε τοὺς πρέσβεις ἀπορῆ-
σαι, ὅ,τι οἱ ἐπιτιμήσωσιν. M p. 184.

[Zonaras 8, 18 — vol. II, p. 226, 18 sqq.]

ἐκπλεῖν τῶν νήσων ἐπέταττον ὡς αὐτοῖς διαφερουσῶν. ἐκ-
φαίνοντες δὲ καὶ τὴν σφετέραν διάνοιαν δόρυ αὐτοῖς ἀπ-
έστειλαν καὶ κηρύκιον ἓν ἑλέσθαι κελεύοντες, ὁποῖον ἂν
ἐθελήσωσιν. οἱ δὲ μηδὲν ὑποπτήξαντες τά τε ἄλλα τραχύ-
τερον ἀπεκρίναντο καὶ τῶν πεμφθέντων σφίσιν αἱρεῖσθαι
μὲν εἶπον οὐδέτερον, δέχεσθαι δ' ἑτοίμως, ὁπότερον καταλεί-
ψουσιν. ἐντεῦθεν ἐμίσουν μὲν ἀλλήλους, ὤκνουν δὲ πολέ-
μου κατάρξασθαι.
a. u. κινηθέντων δ' αὖθις τῶν Σαρδονίων ἐπ' αὐτοὺς οἱ ὕπα-
522
(232) τοι ἄμφω ἐστρατεύσαντο Μᾶρκός τε Μαλλέολος καὶ Μᾶρκος
Αἰμίλιος. καὶ πολλὰ μὲν λάφυρα ἔλαβον, παρὰ δὲ τῶν
Κυρνίων προσσχόντες αὐτοῖς αὐτὰ ἀφῃρέθησαν. διὸ μετὰ
a. u. ταῦτα ἐπ' ἀμφοτέρους οἱ Ῥωμαῖοι ἐτράποντο. καὶ Μᾶρκος
523
(231) μὲν Πομπώνιος Σαρδόνας ἔφερε καὶ μαθὼν τοὺς πλείονας
αὐτῶν ἐς σπήλαια ὑλώδη καὶ δυσεξεύρετα καταδύντας, μὴ
δυνάμενός τε αὐτοὺς εὑρεῖν κύνας ἐκ τῆς Ἰταλίας μετεπέμ-
ψατο εὔρινας καὶ δι' ἐκείνων τὴν στίβον καὶ τῶν ἀνθρώ-
πων καὶ τῶν βοσκημάτων εὑρὼν πολλὰ ἀπετέμετο· Γάιος δὲ
Παπείριος ἐκ μὲν τῶν πεδίων τοὺς Κυρνίους ἀπήλασε, βι-
αζόμενος δὲ πρὸς τὰ ὄρη συχνοὺς ἐξ ἐνέδρας ἀπέβαλε,
πλείους τε ἂν ὕδατος ἀπορίᾳ ἀπώλεσεν, εἰ μή που ὕδωρ
ὀψέ ποτε ἀνεφάνη, καὶ ἔπεισε τοὺς Κυρνίους ὁμολογῆσαι.

• 46, 1 ⟨τῶν — καὶ⟩ supplevit Boissevain



ὅτι Ἴσσα ἡ νῆσος ἑκουσία ἑαυτὴν Ῥωμαίοις παρ- 47
έδωκεν. ἐπειδὴ γὰρ τότε πρῶτον πειρᾶσθαι σφῶν a. u.
ἔμελλον καὶ προσφιλεστέρους αὐτοὺς καὶ πιστοτέρους 524 (230)
τῶν ἤδη φοβερῶν ἐνόμιζον εἶναι, κρείττους ἐς τὸ
ἀφανὲς τοῦ προδήλου τῷ λογισμῷ γιγνόμενοι, ὅτι τὸ

[Zonaras 8, 19 — vol. II, p. 227, 11 sqq.]

19. κατὰ τοῦτον τὸν χρόνον καὶ Ἀμίλκας ὁ τῶν Καρ-
χηδονίων στρατηγὸς πρὸς Ἰβήρων νικηθεὶς ἔθανεν. ἀντι-
παραταξαμένου γὰρ σφίσιν ἁμάξας δᾴδων καὶ πίσσης μεστὰς
πρὸ τοῦ στρατοῦ τῶν Καρχηδονίων προήγαγον καὶ πλησιά-
σαντες ἀνῆψαν αὐτὰς καὶ τὰ ἕλκοντα αὐτὰς ὑποζύγια ἐπι-
σπέρχοντες οἴστρησαν. κἀκ τούτου συνταραχθέντων τῶν
ἐναντίων διασπασθέντων τε καὶ τραπομένων ἑπόμενοι κἀκεῖ-
νον καὶ ἄλλους πλείστους ἐφόνευσαν. καὶ ὁ μὲν ἐπὶ πλεῖ-
στον ἀνθήσας οὕτως ἐτελεύτησε, τελευτήσαντα δὲ αὐτὸν
Ἀσδρούβας ὁ γαμβρὸς διεδέξατο. καὶ τῆς Ἰβηρίας πολλὰ
προσεκτήσατο πόλιν τε ἐν αὐτῇ Καρχηδόνα ὁμώνυμον τῇ
πατρίδι ἔκτισε.
τῶν δέ γε Βοουίων καὶ τῶν ἄλλων Γαλατῶν πολλὰ μὲν
καὶ ἄλλα, πλείστους δὲ καὶ αἰχμαλώτους πωλούντων δεί-
σαντες οἱ Ῥωμαῖοι, μήποτε κατ' αὐτῶν τοῖς χρήμασι χρήσον-
ται, ἀπεῖπον μηδένα ἀνδρὶ Γαλάτῃ μήτ' ἀργύριον μήτε χρυ-
σίον διδόναι. ἐντεῦθεν οἱ Καρχηδόνιοι μαθόντες τοὺς ὑπά- a. u.
τους Μᾶρκον Αἰμίλιον καὶ Μᾶρκον Ἰούνιον εἰς τὴν Λιγυ- 524 (230)
στικὴν ἀπάραντας παρεσκευάζοντο εἰς τὴν Ῥώμην ἐλάσαι.
γνόντων δὲ τοῦτο τῶν ὑπάτων καὶ ἐπ' αὐτοὺς ἀθρόον
ὡρμηκότων ἐξεπλάγησαν καὶ ἀπήντησαν αὐτοῖς ὡς φίλιοι.
κἀκεῖνοι δὲ ὑπεκρίθησαν, ὅτι οὐκ ἐπ' ἐκείνους ἀπῄεσαν, ἀλλὰ
διὰ τῆς χώρας αὐτῶν ἐς τοὺς Λίγυας.
Ῥωμαῖοι δὲ τόν τε Ἰόνιον ἐπεραιώθησαν καὶ τῆς ἠπείρου
τῆς Ἑλληνικῆς ἥψαντο· πρόφασις δ' αὐτοῖς τοῦ πλοῦ ἐγένετο
ἥδε. Ἴσσα νῆσός ἐστιν ἐν τῷ Ἰονίῳ κόλπῳ κειμένη. fr. 47, 1
οἱ χοῦν ταύτης κάτοικοι Ἰσσαῖοι καλούμενοι ἐθε-

47, 1, 5 τῷ λογισμῷ Gros, I. M. Stahl, Mus. Rhen. XXI, p. 312 coll. Thucyd. 3, 83, 2, τῶν λογισμῶν L

μὲν ἐκ τοῦ ἤδη προσκεῖσθαί σφισιν ἀχθηδόνα, τὸ δὲ
ἐκ τοῦ προσδοκᾶσθαι ἐλπίδα χρηστὴν ἔφερεν. M ib.
Zonar. 8, 19 (vol. II, p. 228, 10–12).
2 ὅτι οἱ Ῥωμαῖοι τοὺς Ἰσσαίους προσχωρήσαντας
αὐτοῖς ἀνθυπουργεῖν τι εὐθὺς τούτοις προθύμως,
⟨ὡς⟩ τοῖς πρὸς ἑαυτοὺς ἐσπουδακόσι βοηθεῖν δοκεῖν,
καὶ τοὺς Ἀρδιαίους ἀμύνεσθαι, διότι τοὺς ἐκ τοῦ Βρεν-
τεσίου ἐκπλέοντας ἐκακούργουν, ἐθελήσαντες ἔπεμψαν
πρὸς Ἄγρωνα τοὺς μὲν παραιτούμενοι, τὸν δέ, ὅτι
3 μηδὲν προπαθὼν ἀδικοίη σφᾶς, αἰτιώμενοι. καὶ ἐκεῖ-
νον μὲν οὐκέτι περιόντα εὗρον, ἀλλά τι παιδίον, Πίν-
νην ὄνομα, καταλιπὼν ἐτεθνήκει· Τεύτα δὲ ἡ γυνὴ
αὐτοῦ, μητρυιὰ δὲ τοῦ Πίννου, ἐκράτει τῶν Ἀρδιαίων.
. . . ὑπὸ θρασύτητος οὖσα οὐδὲν μέτριον αὐτοῖς ἀπε-
κρίνατο, ἀλλ' οἷα γυνὴ πρὸς τῇ ἐμφύτῳ προπετείᾳ
καὶ ὑπὸ τῆς δυνάμεως, ἧς εἶχε, χαυνουμένη τοὺς μὲν
ἔδησε τῶν πρέσβεων, τοὺς δὲ καὶ ἀπέκτεινεν, ὅτι
4 ἐπαρρησιάσαντο. καὶ τότε μὲν ταῦτ' ἔπραξε καὶ φρό-
νημα ἀπ' αὐτῶν ὥσπερ τινὰ ἰσχὺν ἐν τῷ προχείρῳ
τῆς ὠμότητος ἐπιδεδειγμένη ἔλαβε· διήλεγξε δὲ δι'
ἐλαχίστου τὴν τοῦ γυναικείου γένους ἀσθένειαν ταχὺ

[Zonaras 8, 19 — vol. II, p. 228, 11 sqq.]

λονται τοῖς Ῥωμαίοις παραδεδώκασιν ἑαυτοὺς τῷ σφῶν
κρατοῦντι ἀχθόμενοι Ἀγρῶνι τῷ τῶν Ἀρδιαίων βασιλεῖ, γένους
fr. 47, 2 Ἰλλυρικοῦ. πρὸς ὃν οἱ ὕπατοι πρέσβεις ἔπεμψαν. ἐκεί-
47, 3 νου δὲ τεθνεῶτος ἐπὶ υἱῷ διαδόχῳ παιδὶ ἔτι ἡ ἐκείνου γυνή,
τοῦ δὲ παιδὸς μητρυιά, τὴν τῶν Ἀρδιαίων διεῖπεν
ἀρχήν. ἣ τοῖς πρέσβεσιν οὐδὲν μέτριον ἐχρημάτισε,

1, 7 ἔφερον L ‖ 2, 3 ⟨ὡς⟩ inser. Leunclavius ‖ 4 Ἀρδιαίους corr. V, Σαρδιαίους hic et infra L (sic etiam Zonarae codices) ‖ 3, 4 lacunam statuit U ‖ Σαρδιανῶν L ‖ 7 εἶχε Leunclavius, ἦρχε (εἶ suprascr.) L ‖ χαυνουμένη] κεχαυνωμένη Reiske



μὲν ὑπὸ βραχύτητος γνώμης ὀργιζομένη, ταχὺ δὲ καὶ
ὑπὸ δειλίας φοβουμένη. ἐπειδὴ ⟨γὰρ⟩ τάχιστα τὸν 5
πόλεμον τοὺς Ῥωμαίους ἐψηφίσθαι οἱ ἐπύθετο, κατ-
έπτηξε καὶ τούς τε ἄνδρας, οὓς εἶχεν αὐτῶν, ἀποδώ-
σειν ὑπέσχετο καὶ ἐπὶ τοῖς τετελευτηκόσιν ἀπελογεῖτο
λέγουσα ὑπὸ λῃστῶν τινων αὐτοὺς πεφονεῦσθαι. τῶν
τε Ῥωμαίων τὰ τῆς στρατείας διὰ τοῦτο ἐπισχόντων,
τοὺς δὲ αὐτόχειρας ἐξαιτησάντων κατεφρόνησέ τε αὖ-
θις, ὅτι μηδέπω τὰ δεινὰ αὐτῇ παρῆν, καὶ οὔτε τινὰ
ἐκδώσειν ἔφη καὶ ἐπὶ τὴν Ἴσσαν στράτευμα ἀπέστειλεν.
ἐπειδὴ δὲ τοὺς ὑπάτους παρόντας ᾔσθετο, κατέδεισεν 6
αὖ καὶ τοῦ θυμοῦ ὑφῆκε καὶ ἐς πᾶν ὁτιοῦν ἐπακοῦ-
σαι σφῶν ἑτοίμη ἐγένετο. οὐ μέντοι καὶ παντάπασιν
ἐσωφρονίσθη· τῶν γὰρ ὑπάτων πρὸς Κέρκυραν
περαιωθέντων ἀνεθάρσησε καὶ ἀποστᾶσα ἐπ' Ἐπί-
δαμνον ⟨καὶ Ἀπολλωνίαν⟩ στράτευμα ἀπέστειλε. τῶν
δὲ Ῥωμαίων τὰς πόλεις ῥυσαμένων καὶ πλοῖα αὐ-

[Zonaras 8, 19 — vol. II, p. 228, 18 sqq.]

παρρησιασαμένους δὲ τοὺς μὲν ἔδησε, τοὺς δὲ ἀπ-
έκτεινε. τῶν δὲ Ῥωμαίων πόλεμον ψηφισαμένων αὐτῇ fr. 47, 5
κατέπτηξε καὶ τούς τε σωζομένους τῶν πρέσβεων
ἀποδώσειν ὑπέσχετο καὶ τοὺς θανόντας ἔλεγεν ὑπὸ
λῃστῶν πεφονεῦσθαι. τῶν δὲ Ῥωμαίων τοὺς αὐτό-
χειρας ἐξαιτησαμένων οὔτε τινὰ ἐκδώσειν ἔφη καὶ
ἐπὶ τὴν Ἴσσαν ἔστειλε στράτευμα. εἶτα αὖθις δεί- fr. 47, 6
σασα Δημήτριόν τινα πρὸς τοὺς ὑπάτους ἔπεμψεν
ὡς ἑτοίμη πρὸς πᾶν ὑπακοῦσαι αὐτῶν. καὶ σπον-
δαὶ πρὸς τὸν πεμφθέντα ἐγένοντο τὴν Κέρκυραν

4, 5 ὀργιζομένη et 6 φοβουμένη D, ὀργιζομένην et φοβουμένην L, ὀργιζομένου et φοβουμένου St ‖ 5, 1 ⟨γὰρ⟩ inseruit R ‖ 6 ἐπισχόντων U, ἐπισχῶντος vel ἐπισχῶντες L ‖ 7 τε] μὲν Reiske ‖ 6, 2 ἐπακοῦσαι] ὑπακοῦσαι Herwerden ‖ 6 ⟨καὶ Ἀπολλωνίαν⟩ insertum e Zonara ‖ 7 ⟨τὰ⟩ πλοῖα R

τῆς μετὰ χρημάτων λαμβανόντων ἐμέλλησεν αὖθις
7 πειθαρχῆσαί σφισιν· ἐπεὶ δὲ ἀναβάντες ὑπὲρ τῆς θα-
λάσσης κακῶς περὶ τὸν Ἀτύριον λόφον ἀπήλλαξαν,
ἐπέσχεν ἐλπίσασα αὐτούς (ἤδη γὰρ καὶ χειμὼν ἦν)
ἀπαναστήσεσθαι. αἰσθομένη δὲ τὸν Ἀλβῖνον κατὰ χώ-
ραν μένειν καὶ τὸν Δημήτριον ἔκ τε τῆς ἐμπληξίας
ἐκείνης καὶ ἐκ τοῦ τῶν Ῥωμαίων φόβου μεθεστηκότα
καί τινας ἄλλους αὐτομολῆσαι πεπεικότα παντελῶς
κατέδεισε καὶ τὴν ἀρχὴν ἀφῆκεν. U p. 378. Zonar.
8, 19 (vol. II, p. 228, 14—229, 5).

[Zonaras 8, 19 — vol. II, p. 229, 12 sqq.]

αὐτοῖς παρασχόμενον. τῶν δὲ πρὸς τὴν νῆσον πε-
ραιωθέντων ἀνεθάρσησεν αὖθις, οἷα γυνὴ κούφην
ἔχουσα γνώμην καὶ εὐμετάβολον, καὶ πρὸς Ἐπίδα-
μνον καὶ Ἀπολλωνίαν ἐξέπεμψε στρατιάν. τῶν δὲ
Ῥωμαίων τάς πόλεις τε ῥυσαμένων καὶ πλοῖα αὐτῆς
κατασχόντων μετὰ χρημάτων ἐκ Πελοποννήσου
προσπλέοντα καὶ τὰ χωρία πορθησάντων τὰ πάραλα
fr. 47, 7 καὶ τοῦ Δημητρίου διὰ τὴν ἐμπληξίαν ἐκείνης πρὸς
Ῥωμαίους μεθεστηκότος καὶ ἄλλους αὐτομολῆσαι
πεπεικότος κατέδεισε καὶ ἀπέσχετο τῆς ἀρχῆς. καὶ
τὴν μὲν ὁ Δημήτριος ὡς τῷ παιδὶ ἐπιτροπεύσων εἰλήφει,
οἱ δὲ Ῥωμαῖοι διὰ ταῦτα παρὰ Κορινθίων ἐπῃνέθησαν καὶ
τοῦ Ἰσθμικοῦ μετέσχον ἀγῶνος, καὶ στάδιον ἐν αὐτῷ ὁ
Πλαῦτος ἐνίκησε. καὶ πρὸς Ἀθηναίους δὲ φιλίαν ἐπεποιή-
κεσαν καὶ τῆς πολιτείας σφῶν τῶν τε μυστηρίων μετέσχον
τὸ δ' Ἰλλυρικὸν ὄνομα πάλαι μὲν ἐν ἄλλοις ἐπεκέκλητο,
ὕστερον δὲ ἐς τὴν ἄνω μεταβέβηκεν ἤπειρον καὶ ὑπὲρ τὴν
Μακεδονίαν τήν τε Θρᾴκην τὴν ἐντὸς τοῦ Αἵμου καὶ τὴν
πρὸς τῇ Ῥοδόπῃ, καὶ ἔστιν ἐν τῷ μέσῳ τούτων τῶν ὀρῶν
καὶ τῶν Ἄλπεων τοῦ τε Αἴνου ποταμοῦ καὶ τοῦ Ἴστρου μέχρι
τοῦ Εὐξείνου πόντου καί πῃ καὶ ἐπέκεινα τοῦ Ἴστρου νέμεται.

7, 1 τῆς θαλάσσης] τὴν Σαλώνην Reiske ‖ 2 Ἀτύριον] Ἀν-
δήτριον Gros ‖ 5 τε R, τοῦ L



ἐπὶ Φαβίου Μαξίμου Βερουκώσου ἤτοι ἀκροχορδο- 48
νώδους Ῥωμαῖοι τοῦτο ἐποίησαν, Ἑλληνικὸν καὶ Γα- a. u. 526
λατικὸν ἀνδρόγυνον κρύψαντες ἐν μέσῃ τῇ ἀγορᾷ ἐκ (228)
χρησμοῦ τινος δειματωθέντες λέγοντος Ἕλληνα καὶ
Γαλάτην καταλήψεσθαι τὸ ἄστυ. Is. Tzetz. ad Lycophr.
603, 1056 ex Dione, ut coniecit Valesius; cf. Zonar.
8, 19 (vol. II, p. 229, 19 sqq.).

ὅτι χρησμός τις τῆς Σιβύλλης τοὺς Ῥωμαίους ἐδει- 49
μάτου φυλάξασθαι τοὺς Γαλάτας δεῖν κελεύων, ὅταν
κεραυνὸς εἰς τὸ Καπιτώλιον πλησίον Ἀπολλωνίου κα-
τασκήπτῃ. M p. 185.

ὅτι οἱ Γαλάται τοὺς Ῥωμαίους ἰδόντες τὰ ἐπιτη- 2
δειότατα τῶν χωρῶν προκατειληφότας ἠθύμησαν· πάν- a. u. 529
τες μὲν γὰρ ἄνθρωποι καὶ ἐπιτυχόντες, ὧν ἂν ὀριγνη- (225)
θῶσι πρῶτον, ἑτοιμότερον πρὸς τὰ λοιπὰ χωροῦσιν,

[Zonar. 8, 19 — vol. II, p. 229, 19 sqq.]

λογίου δέ ποτε τοῖς Ῥωμαίοις ἐλθόντος καὶ Ἕλ- cf. fr. 48
ληνας καὶ Γαλάτας τὸ ἄστυ καταλήψεσθαι Γαλάται
δύο καὶ Ἕλληνες ἕτεροι ἔκ τε τοῦ ἄρρενος καὶ τοῦ
θήλεος γένους ζῶντες ἐν τῇ ἀγορᾷ κατωρύγησαν,
ἵν' οὕτως ἐπιτελὲς τὸ πεπρωμένον γενέσθαι δοκῇ, καί τι
κατέχειν τῆς πόλεως κατορωρυγμένοι νομίζωνται.

μετὰ δὲ τοῦτο Σαρδόνιοι ἐν δεινῷ ποιούμενοι, ὅτι στρα-
τηγὸς Ῥωμαίων ἀεὶ καθειστήκει αὐτοῖς, ἐπανέστησαν· αὖθις
δὲ ἐδουλώθησαν.

20. Ἰνσοῦβροι δὲ Γαλατικὸν γένος συμμάχους ἐκ τῶν
ὑπὲρ τὰς Ἄλπεις ὁμοφύλων προσειληφότες ὅπλα τοῖς Ῥω-
μαίοις ἐπήνεγκαν· διὸ καὶ αὐτοὶ ηὐτρεπίζοντο. λῃσαμένων
δὲ τῶν βαρβάρων τινὰ τελευταῖον χειμῶνος μεγάλου νυκτὸς
συμβάντος ὑπετόπησαν τὸ θεῖον ἐναντιοῦσθαι αὐτοῖς καὶ
ἠθύμησαν καὶ καταπτήξαντες φυγῇ τὴν σωτηρίαν πορίσα- a. u.
σθαι ἐπεχείρησαν. καὶ ὁ Ῥήγουλος αὐτοὺς κατεδίωξε καὶ 529 (225)

49, 1, 3 κατασκήπτῃ] κατασκήψῃ Mai, B

καὶ διαμαρτόντες ἐς πάντα ἀπαμβλύνονται, τὸ δὲ δὴ Γαλατικὸν πλέον τι· ἢ κατὰ τοὺς ἄλλους ὀξύτατα μὲν ὧν ἂν ἐπιθυμήσωσιν ἀντιλαμβάνονται καὶ ἐρρωμενέστατα τῶν προχωρούντων αὐτοῖς ἀντέχονται, ἂν δ᾽ ἄρα τι καὶ βραχύτατον ἐπισυγκρούσωσιν, οὐδὲν οὐδ᾽ ἐς τὰ λοιπὰ ἐλπίζουσι, προχειροι μὲν ὑπ᾽ ἀνοίας πᾶν ὃ βούλονται προσδοκῆσαι, πρόχειροι δὲ ὑπὸ θυμοῦ
3 πᾶν ὃ ἂν ἐγχειρίσωνται ἐπεξελθεῖν ὄντες. καὶ ὀργῇ ἀκράτῳ καὶ ὁρμῇ ἀπλήστῳ χρῶνται καὶ δι᾽ αὐτὰ οὔτε τι διαρκὲς ἐν αὐτοῖς ἔχουσιν (ἀδύνατον γάρ ἐστιν ἐπὶ πολὺ τὸ προπετῶς θρασυνόμενον ἀνταρκέσαι), κἂν ἅπαξ ἀλλοῖόν τι παθῶσιν, οὔτ᾽ ἀναλαβεῖν ἑαυτοὺς ἄλλως τε καὶ δέους τινὸς προσγενομένου δύνανται καὶ ἐς ἀντίπαλον ἔκπληξιν τῆς πρόσθεν ἀδεοῦς τόλμης καθίστανται· δι᾽ ὀλίγου γὰρ πρὸς τὰ ἐναντιώτατα ὀξυρρόπως ἅτε μηδὲν ἐκ τοῦ λογισμοῦ ἐχέγγυον ἐς μηδέτερον αὐτῶν παρεχόμενοι φέρονται. M p. 185.

4 ὅτι Αἰμίλιος τοὺς Ἰνσούμβρους νικήσας τὰ ἐπινίκια

[Zonar. 8, 20 — vol. II, p. 230, 6 sqq.]

τοῖς ὀπισθοφυλακοῦσι προσμίξας ἡττήθη τε καὶ ἀπέθανεν· Αἰμίλιος δὲ λόφον τινὰ κατασχὼν ἡσύχαζεν. ἀντικατασχόντων δὲ καὶ τῶν Γαλατῶν ἕτερον ἐπί τινας μὲν ἡμέρας ἠρέμουν, ἔπειτα οἱ μὲν ὀργῇ τοῦ γεγονότος, αὐχήματι δὲ τῆς νίκης οἱ βάρβαροι καταδραμόντες ἀπὸ τῶν μετεώρων συνέβαλον. καὶ ἐπὶ πολὺ μὲν ἰσορρόπως ἐμάχοντο, τέλος δ᾽ οἱ Ῥωμαῖοι τῷ ἱππικῷ περισχόντες αὐτοὺς κατέκοψαν καὶ τὸ στρατόπεδον αὐτῶν εἷλον καὶ τὰ λάφυρα ἐκομίσαντο. καὶ μετὰ ταῦτα τοῖς τῶν Βοουίων ὁ Αἰμίλιος ἐλυμήνατο καὶ
fr. 49,4 τὰ ἐπινίκια ἤγαγε τούς τε πρώτους τῶν ἁλόντων

2, 9 βραχύτατον Tafel, B, παχύτατον L ‖ προσκρούσωσιν? B ‖ 12 ἐγχειρίσωνται B, ἐγχειρώσωνται L ‖ 3, 2 ἀκράτῳ et ἀπλήστῳ B, ἀκράτως et ἀπλήστως L ‖ 5 ἀλλοῖόν τι παθῶσιν Madvig, ἀλλοιωθῶσιν L



ἤγαγε καὶ ἐν αὐτοῖς τοὺς πρώτους τῶν ἁλόντων ἐς τὸ Καπιτώλιον ὡπλισμένους ἀνεκόμισεν ἐπισκώπτων σφίσιν, ὅτι ὀμωμοκότας αὐτοὺς ᾔσθετο μὴ πρότερον τοὺς θώρακας ἀποδύσεσθαι, πρὶν ἐς τὸ Καπιτώλιον ἀναβῆναι. M p. 186. Zonar. 8, 20 (vol. II, p. 230, 17—21).

ὅτι εἴ τι τῶν ἐν ταῖς πανηγύρεσι νομιζομένων καὶ 50
τὸ βραχύτατον ἡμαρτήθη, πάντως που καὶ δεύτερον καὶ τρίτον ἐπὶ πλεῖόν τε ἔτι, μέχρι περ καὶ ἀμέμπτως πάντα γεγονέναι σφίσιν ἔδοξεν, μιᾷ γέ τινι ἡμέρᾳ ἀνεωρτάζετο. M p. 186. Zonar. 8, 20 (vol. II, p. 230, 25 sqq.).

[Zonar. 8, 20 — vol. II, p. 230, 18 sqq.]

ὡπλισμένους ἐπὶ τὸ Καπιτώλιον ἀνεκόμισεν ἐπισκώπτων αὐτοῖς ὡς ὀμωμοκόσι μὴ πρότερον τοὺς θώρακας ἀποδύσασθαι, πρὶν ἀνελθεῖν εἰς τὸ Καπιτώλιον. ἐκ δὲ τούτου τήν τε τῶν Βοουίων ἅπασαν προσεκτήσαντο καὶ τὸν Ἠριδανὸν τότε πρῶτον ἐπὶ τοὺς Ἰνσούβρους διέβησαν καὶ τὴν χώραν αὐτῶν ἐπόρθουν.

Τεράτων δ᾽ ἐν τούτῳ γενομένων ἐς μέγα δέος οἱ ἐν τῇ Ῥώμῃ κατέστησαν· ποταμός τε γὰρ ἐν τῷ Πικηνῷ αἱματώδης ἐρρύη, κἀν τῇ Τυρσηνίδι καίεσθαι τοῦ οὐρανοῦ πολὺ ἔδοξε, καὶ ἐν τῷ Ἀριμίνῳ φῶς νύκτωρ ἡμέρᾳ προσεοικὸς ἔλαμψε, καὶ πολλαχόθι τῆς Ἰταλίας τρεῖς σελῆναι νυκτὸς ἐφαντάσθησαν, κἀν τῇ ἀγορᾷ γὺψ ἐφ᾽ ἡμέρας πλείονας ἐνιδρύθη. διά τε γοῦν τὰ τέρατα ταῦτα καὶ ὅτι τινὲς παρα- a. u.
νόμως ἔλεγον τοὺς ὑπάτους αἱρεθῆναι, μετεπέμψαντο αὐτούς. 531 (223)
δεξάμενοι δὲ τὰ γράμματα οἱ ὕπατοι οὐκ εὐθὺς αὐτὰ ἀνέγνων ἄρτι πρὸς πόλεμον καθιστάμενοι, ἀλλὰ προσυμβαλόντες ἐκράτησαν. μετὰ δὲ τὴν μάχην ἀναγνωσθείσης τῆς ἐπιστολῆς ὁ μὲν Φούριος ἑτοίμως ἐπείθετο, ὁ δέ γε Φλαμίνιος ἐπαιρόμενος τῇ νίκῃ τήν τε αἵρεσιν αὐτῶν ἀπεδείκνυ δι᾽ αὐτῆς ὀρθῶς ἔχουσαν καὶ διὰ τὸν πρὸς αὐτὸν φθόνον ἐνέκειτο καὶ τοῦ θείου τοὺς δυνατοὺς καταψεύδεσθαι. οὔτ᾽ οὖν ἀπαναστῆναι, πρὶν τὸ πᾶν καταστήσασθαι, ἤθελε καὶ διδάξειν καὶ τοὺς οἴκοι ἔφη μήτ᾽ ὄρνισι μήτ᾽ ἄλλῳ δή τινι

51 ὅτι Δημήτριος ἔκ τε τῆς τοῦ Πίννου ἐπιτροπεύ-
a. u. σεως καὶ ἐκ τοῦ τὴν μητέρα αὐτοῦ Τρίτευταν τῆς
535 (219) Τεύτας ἀποθανούσης γῆμαι ἐπαρθεὶς τοῖς τε ἐπιχω-

[Zonaras 8, 20 — vol. II, p. 231, 12 sqq.]

τοιούτῳ προσέχοντας ἀπατᾶσθαι. καὶ ὁ μὲν κατὰ χώραν μένειν ἤθελε καὶ τὸν συνάρχοντα κατέχειν ἐπειρᾶτο, Φούριος δὲ οὐκ ἐπείθετο. τῶν δὲ μετὰ τοῦ Φλαμινίου μελλόντων καταλειφθήσεσθαι φοβηθέντων, μὴ μονωθέντες πάθωσί τι παρὰ τῶν ἐναντίων, καὶ δεηθέντων ἡμέρας τινὰς προσμεῖναι, ἐπείσθη, οὐ μέντοι καὶ ἔργου ἥψατο. Φλαμίνιος δὲ περινοστῶν τὴν χώραν ἔτεμνε καὶ ἐρύματά τινα κατεστρέψατο τά τε λάφυρα πάντα τοῖς στρατιώταις, θεραπεύων αὐτούς, ἐχαρίσατο. ὀψὲ δ' οἴκαδε ἐπανελθόντες ὑπὸ μὲν τῆς γερουσίας αἰτίαν τῆς ἀπειθείας ἔσχον (διὰ γὰρ τὴν πρὸς τὸν Φλαμίνιον ὀργὴν ἠτίμασαν καὶ τὸν Φούριον), τὸ δὲ πλῆθος ἀντιφιλονεικῆσαν ὑπὲρ τοῦ Φλαμινίου ἐψηφίσαντο τὰ νική-
a. u. τήρια. καὶ ἀγαγόντες αὐτὰ ἐξέστησαν τῆς ἀρχῆς.
532 ἕτεροι δὲ ὕπατοι Κλαύδιος Μάρκελλος καὶ Γναῖος Σκι-
(222) πίων ἀνθαιρεθέντες ἐστράτευσαν ἐπὶ τοὺς Ἰνσούβρους· εἰρήνην γὰρ αὐτοῖς αἰτήσασιν οὐκ ἐψηφίσαντο. καὶ ἄμφω μὲν πρῶτον πολεμοῦντες τὰ πλείω ἐκράτουν, ἔπειτα τὴν συμμαχίδα λεηλατουμένην μαθόντες διῃρέθησαν. καὶ Μάρκελλος μὲν ἐπὶ τοὺς ληιζομένους τὴν σύμμαχον διὰ ταχέων ἐλθὼν οὐ κατέλαβε σφᾶς ἐκεῖ, φεύγοντας δ' ἐπεδίωξε καὶ ὑποστάντας ἐνίκησε, Σκιπίων δὲ κατὰ χώραν μείνας Ἀκέρας ἐπολιόρκει καὶ λαβὼν αὐτὰς ὁρμητήριον τοῦ πολέμου πεποίηκεν, οὔσας ἐπικαίρους καὶ εὐερκεῖς. κἀντεῦθεν ὁρμώμενοι τό τε Μεδιόλανον καὶ κωμόπολιν ἑτέραν ἐχειρώσαντο. ἁλόντων δὲ τούτων καὶ οἱ λοιποὶ Ἰνσοῦβροι ὡμολόγησαν αὐτοῖς χρή-
a. u. ματα καὶ μέρος τῆς γῆς δόντες.
533 εἶτα Πούπλιός τε Κορνήλιος καὶ Μᾶρκος Μινούκιος ἐπ'
(221) Ἴστρου ἐστράτευσαν καὶ πολλὰ τῶν ἐκεῖ ἐθνῶν τὰ μὲν πο-
534 (220) λέμῳ, τὰ δὲ ὁμολογίαις ὑπέταξαν. Λούκιος δὲ Οὐετούριος καὶ Γάιος Λουτάτιος ἦλθον μέχρι τῶν Ἄλπεων, ἄνευ δὲ μάχης πολλοὺς ᾠκειώσαντο. ὁ μέντοι τῶν Ἀρδιαίων ἄρχων
fr. 51 Δημήτριος, ὡς ἄνω που εἴρηται, τοῖς ἐπιχωρίοις



ρίοις ἐπαχθὴς ἦν καὶ τὰ τῶν πλησιοίκων ἐκακούργει. καὶ (ἐδόκει γὰρ τῇ τῶν Ῥωμαίων φιλίᾳ ἀποχρώμενος ἀδικεῖν αὐτούς) αἰσθόμενοι τοῦτο μετεπέμψαντο αὐτόν. ὡς δὲ οὐχ ὑπήκουσεν, ἀλλὰ καὶ τῆς συμμαχίδος σφῶν ἥπτετο, ἐστράτευσαν ἐπ' αὐτὸν ἐν τῇ Ἴσσῃ ὄντα. V p. 593. Zonar. 8, 20 (vol. II, p. 232, 15—22).

ὅτι οἱ Ῥωμαῖοι τὰ τοῦ πολέμου ἤκμαζον καὶ τῇ 52
πρὸς ἀλλήλους ὁμονοίᾳ ἀκριβῶς ἐχρῶντο, ὥσθ' ἅπερ τοῖς πολλοῖς ἐκ μὲν ἀκράτου εὐπραγίας ἐς θάρσος, ἐκ δὲ ἰσχυροῦ δέους ἐς ἐπιείκειαν φέρει, ταῦτά τε αὐτοῖς τότε διαλλαγῆναι· ὅσῳ γὰρ ἐπὶ πλεῖον εὐτύχησαν, ἐπὶ μᾶλλον ἐσωφρόνησαν, τὸ μὲν θράσος, οὗ τὸ ἀνδρεῖον μετέχει, πρὸς τοὺς ἀντιπάλους ἐνδεικνύμενοι, τὸ δὲ

[Zonaras 8, 20 — vol. II, p. 232, 16 sqq.]

ἐπαχθὴς ἦν καὶ τὰ τῶν πλησιοίκων ἐκακούργει καὶ
ἐδόκει τῇ Ῥωμαίων φιλίᾳ ἀποχρώμενος ἀδικεῖν. a. u.
αἰσθόμενοι δὲ τοῦτο οἱ ὕπατοι Αἰμίλιος Παῦλος 535
καὶ Μᾶρκος Λιούιος μετεπέμψαντο αὐτόν. ὡς δ' (219)
οὐχ ὑπήκουσεν, ἀλλὰ καὶ τῆς συμμαχίδος σφῶν ἥπτετο, ἐστράτευσαν ἐπ' αὐτὸν ἐν τῇ Ἴσσῃ ὄντα. καὶ προμαθόντες, ὅτι ὑφώρμει που τῶν κατάρσεων, μέρος τῶν νεῶν εἰς τὰ ἐπὶ θάτερα τῆς νήσου προσμῖξαι ἔπεμψαν. κἀκ τούτου τῶν Ἰλλυριῶν ἐπ' ἐκείνους ὡς καὶ μόνους ὄντας τραπομένων αὐτοὶ κατὰ σχολὴν προσπλεύσαντες ἐν ἐπιτηδείῳ τε ἐστρατοπεδεύσαντο καὶ προσπεσόντας σφίσιν αὐθημερὸν τοὺς ἐπιχωρίους ὀργῇ τῆς ἀπάτης ἀπεώσαντο. τοῦ δὲ Δημητρίου ἐς Φάρον ἑτέραν νῆσον διαφυγόντος καὶ ἐπ' ἐκείνην ἔπλευσαν καὶ τῶν ἀντικαταστάντων ἐκράτησαν καὶ τὴν πόλιν ἐκ προδοσίας εἷλον τοῦ Δημητρίου διαδράντος. ὃς τότε μὲν εἰς Μακεδονίαν μετὰ πολλῶν χρημάτων πρὸς Φίλιππον τὸν βασιλέα αὐτῆς ἐλθὼν ὑπ' ἐκείνου μὲν οὐκ ἐξεδόθη, πρὸς δὲ τοὺς Ἰλλυριοὺς ἐπανελθὼν συνελήφθη ὑπὸ Ῥωμαίων καὶ ἐδικαιώθη.

52, 1, 4 τε] δὲ Mai, γε Gros

ἐπιεικές, οὗ κ . . . , ἐν εὐτυχίᾳ κατ' ἀλλήλους παρεχόμε-
2 νοι· τήν τε γὰρ ἰσχὺν πρὸς μετριότητος ἐξουσίαν καὶ τὸ κόσμιον πρὸς ἀνδρείας ἀληθοῦς κτῆσιν ἐλάμβανον μήτε τὴν εὐπραγίαν ἐς ὕβριν μήτε τὴν ἐπιείκειαν ἐς δειλίαν ἐξάγοντες. οὕτω μὲν γάρ τό τε σωφρονοῦν ἐξ ἀνδρείας καὶ τὸ θαρσοῦν ἐκ θάρσους φθείρεσθαι, ἐκείνως δὲ τὸ μέτριον ὑπ' ἀνδρείας ἀσφαλέστερον καὶ τὸ εὐτυχοῦν ὑπ' εὐταξίας βεβαιότερον γίγνεσθαι ἐνόμιζον. καὶ διὰ τοῦτο καὶ τὰ μάλιστα τούς τε προσπεσόντας σφίσι πολέμους κράτιστα διήνεγκαν καὶ τὰ σφέτερα τά τε τῶν συμμάχων ἄριστα ἐπολίτευσαν. M p. 186.

3 ὅτι ὅσοι ἐντὸς τῶν Ἄλπεων ἐνέμοντο, τοῖς Καρχηδονίοις συνεπανέστησαν, οὐχ ὅτι τοὺς Καρχηδονίους ἀντὶ τῶν Ῥωμαίων ἡγεμόνας ἀνθῃροῦντο, ἀλλ' ὅτι τὸ μὲν ἄρχον σφῶν ἐμίσουν, τὸ δὲ ἀπείρατον ἠγάπων. ἕκαστον τῶν μὲν δὴ τότε ἐθνῶν σύμμαχον τοῖς Καρχηδονίοις ἐπὶ τοὺς Ῥωμαίους ὑπῆρξαν· πρὸς ἅπαντας δ' ὡς εἰπεῖν αὐτοὺς ἰσοστάσιος ὁ Ἀννίβας ἐγένετο· συνεῖναί τε γὰρ ὀξύτατα καὶ ἐκφροντίσαι πάνθ' ὅσα ἐνεθυμεῖτο (desunt 6—8 litterae) ἠδύνατο. καίτοι πέφυκεν ὡς πλήθει τὸ μὲν βέβαιον ἐκ βραδυτῆτος, τὸ
4 δ' ὀξύρροπον ἐκ τάχους διανοίας ὑπάρχειν. κ. . . . κ. . ώτατός τε γὰρ ἐκ τοῦ ὑπογυωτάτου καὶ διαρκέστατος ἐς τὸ φερεγγυώτατον ἦν· τό τε ἀεὶ παρὸν ἀσφαλῶς διετίθετο καὶ τὸ μέλλον ἰσχυρῶς προενόει, βουλευτής

1, 8 κ . . .] κ⟨οσμιότης⟩ vel κ⟨όσμος⟩ Herwerden ‖ εὐτυχίᾳ B, εὐψυχίᾳ L ‖ 2, 4 τό τε σωφρονοῦν B, τότε ἐσωφρόνουν L ‖ 3, 9 καίτοι — ὑπάρχειν Suidas v. ὡς ἐπίπαν et τρισκαιδεκάτῳ ‖ 4, 1 κ . . . . κ . . ωτατος] prima littera prorsus incerta: primum modo τη modo ψη cernere mihi videbar; post κ esse credidi; longe sane abest, ut sit τελεστικώτατος. Boissevain



τε τοῦ συνήθους ἱκανώτατος καὶ εἰκαστὴς τοῦ παραδόξου ἀκριβέστατος γενόμενος, ἀφ' ὧν τό τε ἤδη προσπῖπτόν οἱ ἑτοιμότατα καὶ δι' ἐλαχίστου καθίστατο καὶ τὸ μέλλον ἐκ πολλοῦ τοῖς λογισμοῖς προλαμβάνων
ὡς καὶ παρὸν διεσκόπει. κἀκ τούτου καὶ τοῖς καιροῖς 5
ἐπὶ πλεῖστον ἀνθρώπων καὶ τοὺς λόγους καὶ τὰς πράξεις ἐφήρμοζεν ἅτε καὶ ἐν τῷ ὁμοίῳ τό τε ὑπάρχον καὶ τὸ ἐλπιζόμενον ποιούμενος. ἠδύνατο δὲ ταῦθ' οὕτω πράττειν, ὅτι πρὸς τῇ τῆς φύσεως ἀρετῇ καὶ παιδείᾳ πολλῇ μὲν Φοινικικῇ κατὰ τὸ πάτριον, πολλῇ δὲ καὶ Ἑλληνικῇ ἤσκητο καὶ προσέτι καὶ μαντικῆς τῆς διὰ σπλαγχνων ἠπίστατο. M p. 187 et 3 πρὸς τῇ — ἠπίστατο V p. 593.

τοιοῦτος οὖν δή τις τὴν ψυχὴν γενόμενος ἀντίρ- 6
ροπον καὶ τὸ σῶμα τὰ μὲν φύσει, τὰ δὲ καὶ διαίτῃ παρεσκεύαστο, ὥσθ' ὅσα ἐνεχειρίζετο ῥᾳδίως κατεργάζεσθαι. κοῦφόν τε γὰρ καὶ ἐμβριθὲς ὅτι μάλιστα αὐτὸ εἶχε καὶ διὰ τοῦτο καὶ θεῖν καὶ συνίστασθαι ἱππεύειν τε ἀνὰ κράτος ἀσφαλῶς ἠδύνατο. καὶ οὔτε πλήθει ποτὲ τροφῆς ἐβαρύνετο οὔτε ἐνδείᾳ ἔκαμνεν, ἀλλ' ἐν ἴσῳ καὶ τὸ πλέον καὶ τὸ ἔλαττον ὡς καὶ αὔταρκες ἑκάτερον ἐλάμβανεν. ταῖς ⟨τε⟩ ταλαιπωρίαις ἰσχυρίζετο καὶ ταῖς ἀγρυπνίαις ἐρρώννυτο.

οὕτως οὖν δὴ καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος 7
ἔχων τοιᾷδε τῇ τῶν πραγμάτων διαχειρίσει ἐπίπαν

4, 5 ἱκανώτατος] Maius recte fortasse, quanquam aliud quid codex habere videtur, καιοτατος vel κακοτατος vel κωοτατος. littera ι ante κ non exstat, et ότατος est, non ώτατος. Boissevain ‖ 5, 7 aut μαντικὴν τὴν aut μαντικῆς τι τῆς scribendum aut ἠπίστατο in ἥψατο mutandum censet Reiske ‖ 8 ἠπίστατο] διεπεφύκει B ‖ 6, 4 ἐμβριθὲς] ἀβριθὲς vel οὐκ ἐμβριθὲς Reiske ‖ 9 ⟨τε⟩ inseruit V ‖ 10 καὶ B, κἂν L

ἐχρῆτο. τούς τε γὰρ πολλοὺς ἐς μόνον τὸ συμφέρον
σφίσι πιστοὺς ὁρῶν ὄντας αὐτός τε τοῦτον τὸν τρό-
πον αὐτοῖς προσεφέρετο καὶ ἐς ἐκείνους ταὐτὸν ὑπ-
ώπτευεν, ὥστε πλεῖστα μὲν ἀπατήσας τινὰς κατορθῶ-
8 σαι, ἐλάχιστα δὲ ἐπιβουλευθεὶς σφαλῆναι. καὶ πολέ-
μιον πᾶν τὸ πλεονεκτεῖν δυνάμενον καὶ ἐν τοῖς ὀθνεί-
οις καὶ ἐν τοῖς ὁμοφύλοις ὁμοίως ἡγούμενος οὐκ ἀν-
έμενε τοῖς ἔργοις τὴν διάνοιαν αὐτῶν ἐκμανθάνειν,
ἀλλ' ὡς καὶ βουλομένους σφᾶς ἀδικεῖν, ὅτε δύναιντο,
τραχύτατα μετεχειρίζετο, προποιῆσαί τέ τι μᾶλλον ἢ
προπαθεῖν ἄμεινον ἡγεῖτο καὶ ἐφ' ἑαυτῷ τοὺς ἄλλους,
9 ἀλλ' οὐκ ἐφ' ἑτέροις ἑαυτὸν εἶναι ἠξίου. τό τε σύμ-
παν εἰπεῖν, τῇ φύσει τῶν πραγμάτων, ἀλλ' οὐ τοῖς ἐς
φήμην αὐτῶν εὐδοκιμοῦσιν, ὁσάκις γε μὴ κατ' αὐτὸ
καὶ ἄμφω συνέπιπτε, προσέκειτο. καὶ μέντοι καὶ ἐτίμα
καθ' ὑπερβολὴν ὅτου δέοιτο· δούλους τε γὰρ τοῦ τοι-
ούτου τοὺς πλείστους ἡγεῖτο εἶναι καὶ κινδυνεύειν ἐπ'
αὐτῷ καὶ παρὰ τὸ συμφέρον σφίσιν ἐθέλοντας ἑώρα.
10 καὶ διὰ ταῦτα καὶ τῶν κερδῶν καὶ τῶν ἄλλων τῶν
ἡδίστων αὐτὸς μὲν πολλάκις ἀπείχετο, ἐκείνοις δὲ
ἀφθόνως μετεδίδου καὶ ἀπ' αὐτοῦ κοινωνοὺς σφᾶς
καὶ τῶν πόνων οὐκ ἀκουσίους ἐκτᾶτο. καὶ τούτοις μὲν
οὐχ ὅπως ἰσοδίαιτος, ἀλλὰ καὶ ἰσοκίνδυνος ἐγίγνετο
πάνθ' ὅσα ἀπῄτει παρ' αὐτῶν πρῶτος ἐκπονούμενος·
οὕτω γὰρ καὶ ἐκείνους ἀπροφασίστως καὶ προθύμως,
ἅτε μή τι τοῖς λόγοις αὐτοῦ προσέχοντος, σύμπαντά

---

8, 5 ὅτε V, ὅτι L ‖ δύναιντο B, ἐδύνατο L (εἴ τι δύναιντο iam coniecerat St) ‖ 9, 3 αὐτὸ V, αὐτὸν L ‖ 10, 8 μή τι et προσέχοντος I. M. Stahl, Mus. Rhen. XXI, p. 313, μήτε — προσέχοντας L, ἀτρεμῆ τε (= ἀτρεμέως) Reiske, ὡς χρησμοῖς τοῖς λόγοις (del. ἅτε μήτε) B, ἅτε μὴ κενοῖς τ. λ. (i. e. ἄνευ ἔργων) Herwerden



οἵ συμπράξειν ἐπίστευε· πρὸς δὲ δὴ τοὺς ἄλλους
πολλῷ τῷ φρονήματι ἀεὶ ἐχρῆτο· ὥστε τοὺς μὲν εὔ- 11
νοιαν αὐτοῦ, τοὺς δὲ δέος ἔκ τε τοῦ ὁμοδιαίτου καὶ
ἐκ τοῦ ὑπέρφρονος παμπληθεῖς ἔχειν. ἐξ οὗπερ καὶ
τὰ μάλιστα τό τε ὑπερέχον κολούειν καὶ τὸ ταπεινού-
μενον ἐξαίρειν καὶ τῷ μὲν ὄκνον, τῷ δὲ θάρσος, ἐλ-
πίδα ⟨τε καὶ⟩ ἀπόγνωσιν ὑπὲρ τῶν μεγίστων δι' ἐλα-
χίστου πᾶσιν οἷς ἐβούλετο ἐμποιεῖν ἠδύνατο.
καὶ ὅτι ταῦτ' οὐκ ἄλλως περὶ αὐτοῦ λέγεται, ἀλλ' 12
ἀληθῆ παραδέδοται, τεκμηριοῖ τὰ ἔργα. τῆς τε γὰρ
Ἰβηρίας πολλὰ διὰ βραχέος προσεκτήσατο καὶ τὸν
πόλεμον ἐκεῖθεν διὰ τῶν Γαλατῶν, οὐχ ὅτι ἀσπόνδων,
ἀλλὰ καὶ ἀγνώστων οἱ τῶν πλείστων ὄντων, ἐς τὴν
Ἰταλίαν ἐσήγαγε. τάς τε Ἄλπεις πρῶτος ἀνθρώπων
τῶν οὐκ Εὐρωπαίων, ὅσα γε ἡμεῖς ἴσμεν, σὺν στρατῷ
διέβη καὶ ἐπ' αὐτὴν τὴν Ῥώμην ἐπεστράτευσε τά τε
συμμαχικὰ αὐτῆς ὀλίγου πάντα, τὰ μὲν βίᾳ, τὰ δὲ καὶ
πείθων ἀπέρρηξε. καὶ ταῦτα μέντοι αὐτὸς καθ' ἑαυ- 13
τὸν ἄνευ τοῦ κοινοῦ τῶν Καρχηδονίων κατέπραξεν.
οὔτε γὰρ τὴν ἀρχὴν ὑπὸ τῶν οἴκοι τελῶν ἐξεπέμφθη
οὔθ' ὕστερον μεγάλης τινὸς βοηθείας παρ' αὐτῶν ἔτυχε·
τῆς γάρ τοι δόξης τῆς τε ὠφελείας οὐκ ἐλάχιστα ἀπο-
λαύσειν ἀπ' αὐτοῦ μέλλοντες μὴ ἐγκαταλιπεῖν αὐτὸν
δόξαι μᾶλλον ἢ συναίρεσθαι ἔν τινι ἰσχυρῶς ἠθέλη-
σαν. V p. 593.

[Zonaras 8, 21 — vol. II, p. 233, 7 sqq.]

21. τῷ δ' ἐχομένῳ ἔτει περιφανῶς οἱ Ῥωμαῖοι τοῖς Καρχηδο- a. u.
νίοις ἐξεπολεμώθησαν, καὶ ὁ πόλεμος οὗτος τῷ μὲν χρόνῳ πολὺ 536 (218)
ἐλάσσων τοῦ προτέρου συμβέβηκε, τοῖς δ' ἔργοις τοῖς τε παθήμασι
καὶ μείζων καὶ χαλεπώτερος. ἐπῆρε δὲ τοῦτον μάλιστα ὁ Ἀννίβας

---

11, 4 κολούειν V, κωλύειν L ‖ 6 ⟨τε καὶ⟩ inser. V

53 *Δίων δὲ Κοκκειανὸς τοὺς Ναρβωνησίους Βέβρυκας
λέγει γράφων οὕτω "τῶν πάλαι μὲν Βεβρύκων, νῦν
δὲ Ναρβωνησίων ἐστὶ τὸ Πυρήναιον ὄρος. τὸ δὲ ὄρος
τοῦτο χωρίζει Ἰβηρίαν καὶ Γαλατίαν.* Is. Tzetz. ad
Lycophr. 516. Zonar. 8, 21 (vol. II, p. 234, 16—20).

[Zonaras 8, 21 — vol. II, p. 233, 12 sqq.]

στρατηγῶν τῶν Καρχηδονίων. ὁ δ' Ἀννίβας οὗτος παῖς τοῦ
Ἀμίλκου τοῦ Βαρχίδου ἐγένετο καὶ ἐκ παίδων εὐθὺς ἐπὶ τοὺς
Ῥωμαίους ἠσκήθη. πάντας γὰρ τοὺς υἱεῖς ὁ Ἀμίλκας ὥσπερ
τινὰς σκύμνους ἐπ' αὐτοὺς τρέφειν ἔλεγεν, ἐκεῖνον δὲ πολὺ τῇ
φύσει προφέροντα ὁρῶν καὶ ὥρκωσε πολεμήσειν αὐτοῖς καὶ
διὰ τοῦτο τά τε ἄλλα καὶ τὰ πολέμια ἔτι μᾶλλον αὐτὸν ἐξ-
εδίδασκε πεντεκαιδεκαέτη ὄντα· ὅθεν οὐκ ἠδυνήθη θανόν-
τος αὐτῷ τοῦ πατρὸς τὴν στρατηγίαν διαδέξασθαι. ἐπεὶ δὲ
ὁ Ἀσδρούβας ἐτελεύτησεν, οὐκέτι ἐμέλλησεν, ἓξ τότε καὶ εἴ-
κοσιν ἐτῶν γεγονώς, ἀλλὰ τό τε στράτευμα ἐν τῇ Ἰβηρίᾳ
αὐτίκα προκατέλαβε καὶ στρατηγὸς ὑπ' αὐτῶν ἀναδειχθεὶς
διῳκήσατο καὶ παρὰ τῶν οἴκοι τελῶν βεβαιωθῆναι αὐτῷ τὴν
ἡγεμονίαν. πράξας δὲ ταῦτα προφάσεως εὐπρεποῦς ἐδεῖτο
εἰς τὴν κατὰ Ῥωμαίων ὁρμὴν καὶ ταύτην ἐποιήσατο τοὺς
ἐν τῇ Ἰβηρίᾳ Ζακυνθίους. οὗτοι γὰρ οὐ πόρρω τοῦ ποτα-
μοῦ οἰκοῦντες τοῦ Ἴβηρος, ἄνω τῆς θαλάσσης βραχύ, τοῖς
Ῥωμαίοις προσέκειντο, κἀκεῖνοι καὶ ἐτίμων αὐτοὺς καὶ ἐν
ταῖς πρὸς τοὺς Καρχηδονίους συνθήκαις ἐξαιρέτους ἐπεποι-
ήκεσαν. διὰ ταῦτ' οὖν ὁ Ἀννίβας πόλεμον ἤρατο πρὸς αὐ-
τοὺς εἰδώς, ὅτι ἢ ἐπικουρήσουσιν οἱ Ῥωμαῖοι τοῖς Ζακυν-
θίοις ἢ καί τι παθοῦσι τιμωρήσουσι. διά τε οὖν ταῦτα καὶ
ὅτι καὶ μέγαν πλοῦτον κεκτῆσθαι αὐτοὺς ἐγίνωσκεν, οὗ καὶ
μάλιστα ἔχρῃζε, καὶ δι' ἕτερα αἴτια κατὰ Ῥωμαίων αὐτῷ
συμβαλλόμενα τοῖς Ζακυνθίοις ἐπέθετο.

ἡ δ' Ἰβηρία, ἐν ᾗ οἱ Ζακύνθιοι οἰκοῦσι, καὶ ἡ προσ-
εχὴς αὐτῇ πᾶσα ἔν τε τῇ Εὐρώπῃ πρὸς δυσμάς ἐστι καὶ
ἐπὶ πολὺ μὲν παρὰ τὴν ἔσω θάλασσαν καὶ παρὰ τὰς Ἡρα-
κλείους στήλας τόν τε Ὠκεανὸν αὐτὸν προήκει καὶ προσέτι
καὶ τὴν ἤπειρον τὴν ἄνω διὰ πλείστου μέχρι τοῦ Πυρη-
fr. 53, 1 ναίου νέμεται. τὸ γὰρ ὄρος τοῦτο ἐκ τῆς θαλάσσης



[Zonaras 8, 21 — vol. II, p. 234, 16 sqq.]

*τῆς πάλαι μὲν Βεβρύκων, ὕστερον δὲ Ναρβωνησίων
ἀρξάμενον ἐς τὴν ἔξω τὴν μεγάλην διατείνει, πολλὰ
μὲν ἐντὸς αὐτοῦ καὶ σύμμικτα ἔθνη ἔχον, πᾶσαν δὲ
τὴν Ἰβηρίαν ἀπὸ τῆς προσοίκου Γαλατίας ἀφορίζον.*
οὔτε δ' ὁμόφωνοι ἦσαν οὔτε κοινῇ ἐπολιτεύοντο. ὅθεν οὐδὲ
εἰς ἓν ὄνομα ἐτέλουν· οἱ μὲν γὰρ Ῥωμαῖοι Ἱσπανούς, οἱ δ'
Ἕλληνες Ἴβηρας ἀπὸ τοῦ ποταμοῦ τοῦ Ἴβηρος αὐτοὺς
ἐπεκάλεσαν.

οἱ μὲν οὖν Ζακύνθιοι οὗτοι ἐπολιορκοῦντο καὶ ἔπεμ-
ψαν πρὸς τοὺς περιοίκους καὶ πρὸς τοὺς Ῥωμαίους ἐπικου-
ρίας δεόμενοι. ἀλλὰ τοὺς μὲν ὁ Ἀννίβας ἐκώλυσεν, οἱ δὲ
Ῥωμαῖοι πρέσβεις πρὸς ἐκεῖνον πέμψαντες μὴ πελάζειν τοῖς
Ζακυνθίοις ἐκέλευον, καὶ εἰ μὴ πείθοιτο, ἐς τὴν Καρχηδόνα
πλεῦσαι εὐθὺς καὶ κατηγορῆσαι αὐτοῦ ἐπηπείλησαν. ὁ δ'
Ἀννίβας ἐκ τῶν ἐπιχωρίων πέμψας τινὰς ὡς εὔνοιαν τη-
ροῦντας τοῖς πρέσβεσιν ἤδη πλησίον οὖσι παρεσκεύασε λέ-
γειν αὐτοῖς μὴ παρεῖναι τὸν στρατηγόν, πόρρω που ἐς ἄγνωστα
χωρία ἀποδημήσαντα. καὶ παρῄνουν ἀπαλλαγῆναι ὡς τά-
χιστα, πρὶν καταγγελθεῖεν, ὡς πάρεισιν, ἵνα μὴ διὰ τὴν ἀν-
αρχίαν τοῦ στρατηγοῦ μὴ παρόντος ἀπόλωνται. οἱ μὲν οὖν
πιστεύσαντες αὐτοῖς εἰς τὴν Καρχηδόνα ἀπῄεσαν· γενομένης
δ' ἐκκλησίας οἱ μὲν τῶν Καρχηδονίων εἰρήνην ἄγειν πρὸς
τοὺς Ῥωμαίους συνεβούλευον, οἱ δὲ τῷ Ἀννίβᾳ προσκείμενοι
τοὺς μὲν Ζακυνθίους ἀδικεῖν, τοὺς δὲ Ῥωμαίους τὰ μηδὲν
σφίσι προσήκοντα πολυπραγμονεῖν ἔλεγον. καὶ τέλος ἐπεκρά-
τησαν οἱ πολεμῆσαι σφᾶς ἀναπείθοντες.

ἐν τούτῳ δὲ ὁ Ἀννίβας σπουδῇ τὰς προσβολὰς τῆς τει-
χομαχίας ἐποιεῖτο. πολλῶν δὲ πιπτόντων καὶ πλειόνων τι-
τρωσκομένων ἐκ τῶν τοῦ Ἀννίβου καί ποτε τῶν Καρχηδο-
νίων κατασεισάντων τι τοῦ περιβόλου καὶ κατὰ τὸ ῥῆγμα
εἰσελθεῖν τολμησάντων ἐπεξέδραμον οἱ Ζακύνθιοι καὶ ἀπε-
σόβησαν σφᾶς· ὅθεν αὐτοὶ μὲν ἐπερρώσθησαν, οἱ Καρχη-
δόνιοι δὲ ἐνέδοσαν ἀθυμήσαντες. οὐκ ἀπέστησαν δέ, πρὶν
τὴν πόλιν ἑλεῖν καίτοι ἐπ' ὄγδοον μῆνα τῆς πολιορκίας
παραταθείσης· ἐν οἷς ἄλλα τε πολλὰ συνηνέχθη καὶ ἄτοπα
καὶ ὁ Ἀννίβας δεινῶς ἐτρώθη. ἥλω δὲ οὕτως. μηχάνημα

54 ὅτι ἡ μὲν εἰρήνη καὶ πορίζει χρήματα καὶ φυλάσσει, ὁ δὲ δὴ πόλεμος καὶ ἀναλίσκει καὶ διαφθείρει. M p. 188.

ὅτι πέφυκε πᾶν τὸ ἀνθρώπειον δεσπόζειν τε ἐπιθυμεῖν τῶν ὑπεικόντων καὶ τῇ παρὰ τῆς τύχης ῥοπῇ κατὰ τῶν ἐθελοδουλούντων χρῆσθαι. M ib.

2 ἀλλ' ὑμεῖς γε εἰδότες αὐτὰ καὶ πεπειραμένοι αὐτῶν ἐξαρκεῖν ὑμῖν πρὸς ἀσφάλειαν τήν τε ἐπιείκειαν καὶ τὴν φιλανθρωπίαν νομίζετε; καὶ ὅσα ἂν ἢ λαθόντες ἢ ἐξαπατήσαντες ἡμᾶς ἢ καὶ βιασάμενοι ἠδίκησαν, ἐν ἀμελείᾳ τίθεσθε μήτε παρορμᾶσθε μήτε προσαλλάτ-

[Zonaras 8, 21 — vol. II, p. 235, 3 sqq.]

τῷ τείχει προσήγαγον πολύ τε αὐτοῦ ὑπεραῖρον καὶ ὁπλίτας τοὺς μὲν ἐμφανεῖς ἔχον, τοὺς δὲ λανθάνοντας. τῶν οὖν Ζακυνθίων τοῖς δρωμένοις ὡς μόνοις οὖσι μαχομένων ἐρρωμενέστερον οἱ κεκρυμμένοι τὸ τεῖχος ὑπορύξαντες εἰσεβιάσαντο καὶ ἔνδον ἐγένοντο. τῷ γοῦν παραδόξῳ οἱ Ζακύνθιοι ἐκπλαγέντες εἰς τὴν ἀκρόπολιν ἀνέδραμον καὶ εἰς λόγους ἦλθον, εἴ πως ἐπιεικεῖ τινι ὁμολογίᾳ περισωθεῖεν. ὡς δ' οὐδὲν ὁ Ἀννίβας προΐσχετο μέτριον οὐδέ τις αὐτοῖς ὠφέλεια πρὸς τῶν Ῥωμαίων ἐγίνετο, ἐπισχεθῆναι τὰς προσβολὰς ἐξῃτήσαντο ὥς τι περὶ τῶν κατὰ σφᾶς βουλευσόμενοι· κἀν τούτῳ τὰ τιμιώτατα συμφορήσαντες τῶν χρημάτων ἐς πῦρ ἐνέβαλον, καὶ οἱ μὲν ἀπόμαχοι διεχειρίσαντο ἑαυτούς, οἱ δ' ἐν ἡλικίᾳ ἀθρόοι πρὸς τοὺς ἐναντίους ὡρμήκεσαν καὶ προθύμως ἀγωνιζόμενοι κατεκόπησαν.

22. καὶ δι' αὐτοὺς οἵ τε Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι ἐπολέμησαν. ὁ γὰρ Ἀννίβας καὶ συμμάχους συχνοὺς προσ-

54, 1, 2 ἀναλίσκει B, διαναλίσκει L ‖ 2, 1 ἀλλ' ὑμεῖς γε Boissevain; nam quae Maius dederat prima verba ἀλλ' ἡμῖν οἵ τε, hodie evanuerunt neque fortasse unquam fuerunt; ἀλλὰ μὴν Herwerden, quod probat Schenkl ‖ αὐτὰ] . . τὸ L ‖ 4 καὶ βιασάμενοι ἠδίκησαν ἐν ἀμελείᾳ Boissevain, καὶ . . . σ . . ενοι ἀδ . . . . . . ἐν ἀ . . ας α . . . τιθεσθαι L ‖ 5 παρορμᾶσθαι, προσαλλάττεσθαι, ἀμύνασθαι L, corr. Boissevain



τεσθε μήτε ἀμύνασθε; καὶ μέντοι καὶ ὅτι οὐδέποτε ἐλογίσασθε τοῦθ' ὅτι τὰ τοιαῦτα πρὸς μὲν ἀλλήλους ὀρθῶς ὑμῖν ἔχει ποιεῖν, πρὸς δὲ δὴ Καρχηδονίους αἰσχρῶς καὶ κακῶς. τοῖς μὲν γὰρ πολίταις καὶ πράως καὶ πολιτικῶς χρῆσθαι δεῖ, κἂν παραλόγως τις σωθῇ, ἡμέτερόν ἐστιν, τοῖς δὲ δὴ πολεμίοις τραχέως· οὐ γὰρ ἐξ ὧν ἂν σφαλῶμεν φεισάμενοι αὐτῶν, ἀλλ' ἐξ ὧν ἂν κρατήσωμεν κολούσαντες αὐτοὺς σωθησόμεθα. M p. 188.

ὅτι ὁ μὲν πόλεμος καὶ τὰ οἰκεῖά τισι σώζει καὶ τὰ 3
ἀλλότρια προσκτᾶται, ἡ δ' εἰρήνη οὐχ ὅπως τὰ πορισθέντα δι' ἐκεῖνον, ἀλλὰ καὶ ἑαυτὴν προσαπόλλυσιν. M p. 188 et 541.

ὅτι αἰσχρόν ἐστι πρὸς τὰ ἔργα πρὸ τῶν λόγων 4
⟨τῶν⟩ περὶ αὐτῶν χωρεῖν, ἐν ᾧ κατορθώσαντες μὲν εὐτυχηκέναι μᾶλλον ἢ καλῶς βεβουλεῦσθαι δόξετε, σφαλέντες δὲ τὴν σκέψιν ἀπρονοήτως, ὅτε οὐδὲν ὄφελος, πεποιῆσθαι. καὶ μέντοι καὶ ἐκεῖνο τίς οὐκ οἶδεν, ὅτι τὸ μὲν ἐπιτιμῆσαί τι καὶ κατηγορῆσαί τινων προσπολεμησάντων ποτὲ ἡμῖν ῥᾷστόν που καὶ παντός ἐστι, τὸ δ' αὖ τῇ πόλει συμφέρον οὐ πρὸς ὀργὴν ὧν πεποιήκασί τινες, ἀλλὰ πρὸς τὸ χρήσιμον αὐτῆς εἰπεῖν

[Zonaras 8, 21 sqq. — vol. II, p. 236, 11 sqq.]

λαβὼν εἰς τὴν Ἰταλίαν ἠπείγετο. πυθόμενοι δὲ ταῦθ' οἱ Ῥωμαῖοι συνῆλθον εἰς τὸ συνέδριον, καὶ ἐλέχθη μὲν πολλά, Λούκιος δὲ Κορνήλιος Λέντουλος ἐδημηγόρησε καὶ εἶπε μὴ μέλλειν, ἀλλὰ πόλεμον κατὰ τῶν Καρχηδονίων ψηφίσασθαι, καὶ διχῇ διελεῖν καὶ τοὺς ὑπάτους καὶ τὰ στρατεύματα, καὶ τοὺς μὲν εἰς τὴν Ἰβηρίαν, τοὺς δὲ εἰς τὴν Λιβύην πέμψαι,

2, 7 ἐλογίσασθαι L, corr. Boissevain ‖ 10 τις] τι L ‖ 11 τραχέως? Boissevain, αν . . λως L ‖ 4, 2 ⟨τῶν⟩ inseruit Herwerden ‖ 4 ὅτε B, ἅτε L ‖ 5 πεποιῆσθαι corr. Herwerden; πεποιεῖσθαι L

5 τῇ τοῦ συμβούλου τάξει προσήκει; μὴ παρόξυνε πρότερον ἡμᾶς, ὦ Λέντουλε, μηδ' ἀνάπειθε πολεμῆσαι, πρὶν ὅτι καὶ συνοίσει τοῦθ' ἡμῖν ἐπιδεῖξαι σκοπῶν τά τε ἄλλα καὶ μάλισθ' ὅτι οὐχ ὁμοίως ἐνταυθοῖ τε περὶ τῶν τοῦ πολέμου πραγμάτων λέγεται καὶ ἐν αὐτοῖς τοῖς ἔργοις πράττεται. M p. 189.

6 συχνοὺς γὰρ αἱ συμφοραὶ διορθοῦσι, καὶ πολλοὶ καλῶς αὐταῖς χρησάμενοι κρεῖττον ἀπαλλάσσουσι τῶν εὖ καὶ τελείως πραττόντων καὶ δι' αὐτὸ καὶ ὑβριζόντων· δοκεῖ γάρ πως ἡ κακοπραγία μέρος οὐκ ἐλάχιστον ἔχειν ὠφελείας, ὅτι μήτε ἐκφρονεῖν τοὺς ἀνθρώπους μήτε ἐξυβρίζειν ἐᾷ. κράτιστον μὲν γάρ ἐστι φύσει πρὸς πάντα τὰ ἀμείνονα τετράφθαι, καὶ τῆς ἐπιθυμίας μέτρον μὴ τὴν ἐξουσίαν, ἀλλὰ τὸν λογισμὸν ποιεῖσθαι· ἂν δέ τις ἀδυνατῇ στέργειν τὸ κρεῖττον, λυσιτελεῖ αὐτῷ καὶ ἄκοντι σωφρονεῖν, ὥστε ἐν εὐδαιμονίᾳ καὶ τὸ μὴ πάντα εὖ πράττειν τίθεσθαι. M p. 542.

7 φυλάξασθαι χρὴ μὴ καὶ αὖθίς τι τῶν ὁμοίων παθεῖν· ὅπερ που καὶ μόνον ἄν τις ἐκ τῶν συμφορῶν ὠφεληθείη· αἱ μὲν γὰρ εὐπραγίαι σφάλλουσιν ἔστιν ὅτε τοὺς ἀπερισκέπτως τι δι' αὐτὰς ἐλπίσαντας ὡς καὶ αὖθις κρατήσοντας, τὰ δὲ δὴ πταίσματα ἀναγκάζει πάντα τινὰ ἐξ αὐτῶν ὧν πεπείραται καὶ τοῦ μέλλοντος ἀσφαλῶς προορᾶσθαι. M p. 189 et 542.

[Zonaras 8, 21 — vol. II, p. 236, 17 sqq.]

ἵν' ὑπὸ τὸν αὐτὸν χρόνον ἥ τε χώρα αὐτῶν πορθῆται καὶ οἱ σύμμαχοι κακουργῶνται καὶ μήτε τῇ Ἰβηρίᾳ βοηθῆσαι δύνωνται μήτ' ἐκεῖθεν αὐτοὶ ἐπικουρηθῶσι. πρὸς ταῦτα Κύιντος Φάβιος Μάξιμος ἀντέθετο, μὴ οὕτως ἐκ παντὸς

5, 5 τοῦ B, γε L



ὅτι οὐκ ἔστι σμικρὸν οὔτε πρὸς τὴν παρὰ τῶν θεῶν εὔνοιαν οὔτε πρὸς τὴν παρὰ τῶν ἀνθρώπων εὐδοξίαν τὸ μὴ δοκεῖν πολεμοποιεῖν, ἀλλ' ἀναγκάζεσθαι τοὺς ὑπάρξαντας ἀμύνασθαι. M p. 189. 8

τοιούτων δή τινων ἐπ' ἀμφότερα λεχθέντων ἔδοξέ σφισι παρασκευάζεσθαι μὲν ὡς καὶ πολεμήσουσι, μὴ μέντοι τοῦτο ψηφίσασθαι, ἀλλὰ πρέσβεις ἐς τὴν Καρχηδόνα πέμψασι τοῦ Ἀννίβου κατηγορῆσαι, καὶ εἰ μὲν μὴ ἐπαινοῖεν τὰ πραχθέντα ὑπ' αὐτοῦ, δικάσαι, εἰ δ' ἐς ἐκεῖνον ἀναφέροιεν αὐτά, ἐξαίτησιν αὐτοῦ ποιήσασθαι, κἂν μὲν ἐκδῶσιν αὐτόν, εἰ δὲ μή, τὸν πόλεμόν σφισιν ἐπαγγεῖλαι. M p. 190. Zonar. 8, 22 (vol. II, p. 236, 27 — 237, 5). 9

[Zonaras 8, 22 — vol. II, p. 236, 22 sqq.]

τρόπου τὸν πόλεμον δεῖν ψηφίσασθαι, ἀλλὰ πρεσβείᾳ χρήσασθαι πρότερον, κἂν μὲν πείσωσιν, ὅτι οὐδὲν ἀδικοῦσιν, ἡσυχίαν ἄγειν, ἂν δ' ἀδικοῦντες ἁλῶσι, τότε πολεμῆσαι αὐτοῖς, ἵνα καὶ τὴν αἰτίαν τοῦ πολέμου ἐς αὐτοὺς ἀπωσώμεθα.
αἱ μὲν οὖν ἀμφοῖν δόξαι τοιαῦται ἦσαν ὡς ἐν κε- fr. 54, 9
φαλαίῳ εἰπεῖν, τῇ δὲ βουλῇ παρασκευάζεσθαι μὲν ἔδοξε πρὸς τὴν μάχην, πρέσβεις δὲ εἰς τὴν Καρχηδόνα στεῖλαι καὶ τοῦ Ἀννίβου κατηγορῆσαι, καὶ εἰ μὲν μὴ ἐπαινοῖεν τὰ πραχθέντα, δικάσαι, εἰ δ' εἰς ἐκεῖνον αὐτὰ ἀναφέροιεν, ἐξαιτήσασθαι αὐτόν, κἂν μὴ ἐκδῶσι, τὸν πόλεμον ἐπαγγεῖλαι αὐτοῖς.

τῶν γοῦν πρέσβεων ἀπελθόντων οἱ Καρχηδόνιοι τὸ ποιητέον ἐσκόπουν. καί τις Ἀσδρούβας, εἷς τῶν ὑπὸ τοῦ Ἀννίβου προπαρεσκευασμένων, συνεβούλευσε σφίσι χρῆναι τήν τε ἀρχαίαν ἐλευθερίαν ἀνακτήσασθαι καὶ τὴν ἐκ τῆς εἰρήνης δουλείαν ἀποτρίψασθαι καὶ χρήμασι καὶ δυνάμεσι καὶ συμμάχοις συγκεκροτημένοις, ἐπαγαγὼν ὅτι "κἂν τῷ Ἀννίβᾳ μόνῳ ὅσα βούλεται πρᾶξαι ἐπιτρέψητε, καὶ τὰ προσήκοντα

8, 1 οὐκ ἔστι B, οὐκέτι L ‖ 3 εὐδοξίαν B, εὐδοκίαν L

10 ὅτι ὡς οὐδὲν σαφὲς οἱ Καρχηδόνιοι τοῖς πρέσβεσιν ἀπεκρίναντο, ἀλλὰ καὶ ἐν ὀλιγωρίᾳ αὐτοὺς ἐποιοῦντο, ὁ Φάβιος ὁ Μᾶρκος τάς τε χεῖρας ὑπὸ τὸ ἱμάτιον ὑπέβαλε καὶ ὑπτιάσας αὐτὰς ἔφη "ἐγὼ μὲν ἐνταῦθ', ὦ Καρχηδόνιοι, καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην φέρω, ὑμεῖς δ' ὁπότερον αὐτῶν βούλεσθε, ἄντικρυς ἕλεσθε." ἀποκριναμένων δὲ πρὸς τοῦτο καὶ τότε αὐτῶν αἱρεῖσθαι μὲν μηδέτερον, δέχεσθαι δὲ ἑτοίμως ὁπότερον ἂν σφισι καταλίπωσι, τὸν πόλεμον αὐτοῖς ἐπήγγειλεν. M p. 190. Zonar. 8, 22 (vol. II, p. 237, 22—30).

[Zonaras 8, 22 — vol. II, p. 237, 13 sqq.]

ἔσται καὶ οὐδὲν αὐτοὶ πονήσετε." τοιαῦτα δὲ αὐτοῦ εἰπόντος Ἄννων ὁ μέγας ἐναντιούμενος τοῖς τοῦ Ἀσδρούβου λόγοις γνώμην εἰσήνεγκε μήτε ῥᾳδίως μήτε μικρῶν καὶ ἀλλοτρίων ἐγκλημάτων ἕνεκα τὸν πόλεμον ἐφ' ἑαυτοὺς ἐπισπάσασθαι, παρὸν τὰ μὲν λῦσαι, τὰ δὲ ἐς τοὺς δράσαντας αὐτὰ τρέψαι. καὶ ὁ μὲν ταῦτα εἰπὼν ἐπαύσατο, τῶν δὲ Καρχηδονίων οἱ μὲν πρεσβύτεροι καὶ τοῦ πρὶν μεμνημένοι πολέμου αὐτῷ συνετίθεντο, οἱ δ' ἐν ἡλικίᾳ καὶ μάλισθ' ὅσοι τὰ
fr. 54,10 τοῦ Ἀννίβου ἔπραττον ἰσχυρῶς ἀντέλεγον. ὡς δ' οὐδὲν σαφὲς ἀπεκρίναντο καὶ ἐν ὀλιγωρίᾳ τοὺς πρέσβεις εἶχον, ὁ Μᾶρκος ὁ Φάβιος τὰς χεῖρας ὑπὸ τὰ ἱμάτια ὑποβαλὼν καὶ ὑπτιάσας αὐτὰς ἔφη "ἐγὼ μὲν ἐνταῦθ', ὦ Καρχηδόνιοι, καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην φέρω, ὑμεῖς δ' ὁπότερον αὐτῶν βούλεσθε ἕλεσθε." ἀποκριθέντων δὲ μηδέτερον μὲν αἱρεῖσθαι, δέχεσθαι δ' ἑτοίμως ὁπότερον καταλείψουσιν, ἐπήγγειλεν αὐτοῖς αὐτίκα τὸν πόλεμον.

οὕτω μὲν οὖν καὶ διὰ ταῦτα οἵ τε Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι τὸ δεύτερον ἐπολέμησαν. καὶ τὸ δαιμόνιον τὰ γενησόμενα προεσήμηνεν. ἐν γὰρ τῇ Ῥώμῃ ἀνθρωπίνως ἐλά-

10, 1 πρεσβεῦσιν L ‖ 3 ὁ Μᾶρκος] fortasse ὁ Μάξιμος Willems, le sénat II, p. 503, nr. 3, n. 1 ‖ 9 αὐτοῖς αὐτίκα Zonaras 8, 22



ὅτι οἱ Ῥωμαῖοι Ναρβωνησίους πρὸς συμμαχίαν ἐκάλουν· οἱ δὲ οὔτε τι πρὸς τῶν Καρχηδονίων κακὸν οὔτ' αὖ πρὸς τῶν Ῥωμαίων ἀγαθόν, ὥστε τοῖς μὲν πολεμῆσαι, τοῖς δὲ ἀμῦναι, πεπονθέναι πώποτε ἔφασαν καὶ πάνυ δι' ὀργῆς αὐτοὺς ἔσχον ἐπικαλοῦντές σφισιν, ὅτι πολλὰ καὶ δεινὰ τοὺς ὁμοφύλους αὐτῶν ἐδεδράκεσαν. M p. 190. 55

ὅτι ἀπὸ τοιαύτης φησὶν ὁ Δίων ἐκεῖθεν ἤδη προσδοκίας Ῥωμαίους καὶ Καρχηδονίους καθίστασθαι μέγιστον τῇ γνώμῃ τὸ διάφορον ἐς τὴν τοῦ πολέμου διαχείρισιν εἰληφότας. τό τε γὰρ εὔελπι πρὸς εὐθυμίαν πάντας ἀνθρώπους ἄγον καὶ προθυμοτέρους τε 56

[Zonaras 8, 22 sq. — vol. II, p. 238, 2 sqq.]

λησε βοῦς, καὶ ἕτερος ἐν τῇ τῶν Ῥωμαίων πανηγύρει ἐξ οἰκίας εἰς τὸν Τίβεριν ἑαυτὸν ἔρριψε καὶ ἐφθάρη, κεραυνοί τε πολλοὶ ἐφέροντο, καὶ αἷμα τὸ μὲν ἐξ ἀγαλμάτων ὤφθη, τὸ δὲ ἐξ ἀσπίδος στρατιώτου ἐρρύη, ἑτέρου τε ξίφος ἐξ αὐτοῦ τοῦ στρατοπέδου λύκος ἥρπασε. τῷ δ' Ἀννίβᾳ θηρία πολλὰ καὶ ἄγνωστα τὸν Ἴβηρα διαβαίνοντι προκαθηγήσατο, καὶ ὄψις ὀνείρου ἐφάνη. ἔδοξε γάρ ποτε τοὺς θεοὺς ἐν ἐκκλησίᾳ καθημένους μεταπέμψασθαί τε αὐτὸν καὶ στρατεῦσαι ὅτι τάχιστα εἰς τὴν Ἰταλίαν προστάξαι καὶ λαβεῖν παρ' αὐτῶν τῆς ὁδοῦ ἡγεμόνα καὶ ἀμεταστρεπτὶ ὑπ' αὐτοῦ κελευσθῆναι ἕπεσθαι· μεταστραφῆναι δὲ καὶ ἰδεῖν χειμῶνα μέγαν χωροῦντα καὶ δράκοντα αὐτῷ ἐπακολουθοῦντα ἀμήχανον καὶ θαυμάσαι ἐρέσθαι τε τὸν ἀγωγόν, τί ταῦτα εἶεν· καὶ τὸν εἰπεῖν "ὦ Ἀννίβα, ταῦτα συμπορθήσοντά σοι τὴν Ἰταλίαν ἔρχεται."

23. ταῦτα τῷ μὲν Ἀννίβᾳ χρηστὴν ἐλπίδα, τοῖς δὲ Ῥωμαίοις δεινὴν ἐνεποίει ἐκφόβησιν. διχῇ δὲ τὰς δυνάμεις οἱ Ῥωμαῖοι διελόντες καὶ τοὺς ὑπάτους, Σεμπρώνιον μὲν Λόγγον ἐς Σικελίαν ἔπεμψαν, ἐς δὲ τὴν Ἰβηρίαν Σκιπίωνα

55, 1, 1 Ἀρβωνησίους L ‖ 5 ὀργῆς B, ὀργὴν L ‖ 56, 1, 2 ἀντικαθίστασθαι? B

αὐτοὺς καὶ ἐχεγγυωτέρους πρὸς πίστιν τοῦ κρατήσειν παρέχεται, καὶ τὸ δύσελπι ἔς τε ἀθυμίαν καὶ ἐς ἀπόγνωσιν ἐμβαλὸν καὶ τὴν ῥώμην τῆς εὐψυχίας ἀφαιρεῖται. M p. 191.

2 οἷά που οὖν φιλεῖ τά τε διὰ πλείστου καὶ τὰ ἐν ἀγνωσίᾳ ὄντα πολλοὺς ἐκταράσσειν, δέος τοῖς Ἴβηρσιν οὐκ ἐλάχιστον ἐνεποίει. τὸ γάρ τοι πολὺ τοῦ ὁμίλου τὸ μὴ ἀπ᾽ οἰκείας τινὸς αἰτίας, ἀλλ᾽ ἐν συμμαχίας λόγῳ στρατευόμενον ἐπὶ τοσοῦτον ἔρρωται, ἐφ᾽ ὅσον ἂν ὠφεληθήσεσθαί τι ἀκινδύνως ἐλπίσωσιν· ὅταν δὲ δὴ ἐγγὺς τῶν ἀγώνων γένωνται, τάς τε ἐλπίδας τῶν κερδῶν ἐξίστανται καὶ τὰς πίστεις τῶν ὑποσχέσεων

[Zonaras 8, 23 — vol. II, p. 238, 23 sqq.]

Πούπλιον. ὁ δὲ Ἀννίβας εἰς τὴν Ἰταλίαν ὡς τάχιστα ἐπιθυμῶν εἰσβαλεῖν σπουδῇ ἐχώρει καὶ πᾶσαν τὴν Γαλατίαν τὴν μεταξὺ τοῦ Πυρηναίου καὶ τοῦ Ῥοδανοῦ οὖσαν ἀμαχεὶ διῆλθε. καὶ μέχρι μὲν τοῦ ποταμοῦ τοῦ Ῥοδανοῦ οὐδεὶς εἰς χεῖρας ἧκεν αὐτῷ, ἐκεῖ δ᾽ ὁ Σκιπίων ἐπεφάνη καίπερ μὴ παρούσης αὐτῷ τῆς δυνάμεως. ὅμως μετὰ τῶν ἐπιχωρίων καὶ τῶν αὐτοῖς προσοίκων τά τε πλοῖα τὰ ἐν τῷ ποταμῷ προδιέφθειρε καὶ τὸ ῥεῦμα αὐτοῦ διὰ φυλακῆς ἐποιήσατο. ὁ οὖν Ἀννίβας ἔτριψε μέν τινα χρόνον καὶ σχεδίας καὶ σκάφη ἄλλα τε καὶ μονόξυλα κατασκευάζων, ἔφθη δ᾽ οὖν ὑπὸ πολυχειρίας τὰ πρὸς περαίωσιν ἀναγκαῖα πάντα, πρὶν τῷ Σκιπίωνι τὸ οἰκεῖον ἀφικέσθαι στράτευμα, προετοιμασάμενος. καὶ τὸν ἀδελφὸν Μάγωνα σὺν τοῖς ἱππεῦσι καὶ ψιλοῖς τισιν, ᾗ σκεδάννυται ὁ ποταμὸς ἐπὶ πολὺ καὶ νήσοις διαλαμβάνεται, διαβησόμενον ἔπεμψεν, αὐτὸς δὲ κατὰ τὸν ἐμφανῆ πόρον ἐχώρει δῆθεν, ἵν᾽ οἱ Γαλάται ἀπατηθεῖεν πρὸς αὐτὸν ἀντιταττόμενοι καὶ ἀμελέστερον ἐν ἄλλοις τοῦ ποταμοῦ τὴν φυλακὴν θῶνται· ὃ καὶ γέγονε. καὶ ὁ Μάγων

---

2, 1 διὰ πλείστου B, διαπλη⟨κτικὰ⟩ Mai ‖ 6 ἂν ὠφελ. B, ἀντωφ. L



ἐγκαταλείπουσι. καὶ τὸ μὲν πλεῖστον ταῖς γνώμαις, ὡς καὶ πάντῃ πάντως κατορθώσοντας, λαβεῖν· εἰ δ᾽ οὖν τι καὶ σφαλεῖεν, ἐλάχιστον αὐτὸ πρὸς ἃ ἀντήλπιζον νομίζειν. M p. 191. Cf. Zonaras 8, 23 (vol. II, p. 240, 1).

ὅτι ἐπεὶ τῷ πλήθει τοῦ στρατοῦ τοῦ Ἀννίβου 3
οὐδὲν τῶν παρασκευαζομένων ἐξήρκει, . . . καί τινος a. u. 536
αὐτῷ διὰ τοῦτο γνώμην δόντος ταῖς τῶν ἐναντίων (218)
σαρξὶ τοὺς στρατιώτας σιτίζειν, τὸ μὲν πρᾶγμα οὐκ ἐδυσχέραινε, φοβεῖσθαι δὲ ἔφη, μήποτε τοιούτων σω-

[Zonaras 8, 23 — vol. II, p. 239, 14 sqq.]

διέβη τὸν ποταμόν, ὁ δὲ Ἀννίβας καὶ οἱ περὶ αὐτὸν κατὰ τὸν πόρον ἐπεραιοῦντο. καὶ γενόμενοι κατὰ τὸ μέσον ἠλάλαξαν, καὶ οἱ σαλπιγκταὶ δὲ συνήχησαν· καὶ ὁ Μάγων κατὰ νώτου τοῖς ἀνθεστηκόσι προσέπεσε· καὶ οὕτως οἵ τε ἄλλοι καὶ οἱ ἐλέφαντες ἀκινδύνως ἐπεραιώθησαν. ἄρτι δὲ περαιωθέντων αὐτῶν καὶ τῷ Σκιπίωνι ἡ οἰκεία ἀφίκετο δύναμις. πέμψαντες οὖν εἰς προσκοπὴν ἱππέας ἀμφότεροι τοιούτῳ τέλει τῆς ἱππομαχίας ἐχρήσαντο, ὁποῖον ὁ σύμπας ἔσχηκε πόλεμος· οἱ γὰρ Ῥωμαῖοι καὶ ἔλαττον τὴν πρώτην ἐνεγκάμενοι καὶ συχνοὺς ἀποβαλόντες ἐνίκησαν.

ἐντεῦθεν Ἀννίβας ἀπιέναι πρὸς Ἰταλίαν σπεύδων, ὑποπτεύων δὲ τὰς ἐπιτομωτέρας τῶν ὁδῶν, ἐκείνας μὲν παρεξῆλθεν, ἑτέραν δὲ πορευθεὶς ἰσχυρῶς ἐπόνησε. τά τε γὰρ ὄρη ἐκεῖνα ἀποτομώτατά ἐστι καὶ ἡ χιὼν πολλὴ γενομένη καὶ τὰς φάραγγας ὑπ᾽ ἀνέμων πληρώσασα καὶ ὁ κρύσταλλος ἰσχυρότατα παγεὶς δεινῶς σφᾶς ἐταλαιπώρησε· καὶ πολλοὶ τῶν αὐτοῦ στρατιωτῶν ὑπό τε τοῦ χειμῶνος καὶ ὑπὸ σιτοδείας ἀπώλοντο, πολλοὶ δὲ καὶ οἴκαδε ἀνεχώρησαν. ἔχει δὲ λόγος, ὅτι καὶ αὐτὸς ἀνέστρεψεν ἄν, εἰ μὴ πλείων καὶ ἀπορωτέρα ἡ προδιηνυσμένη ὁδὸς τῆς λειπομένης ἐτύγχανε. διὰ μὲν δὴ τοῦτο οὐκ ἀπετράπετο, ἐξαπίνης δὲ ἐκτὸς τῶν Ἄλπεων ἐκφανεὶς θαῦμα καὶ δέος τοῖς Ῥωμαίοις ἐνέβαλε.

---

2, 10 κατορθώσοντας B, κατορθώσαντας L

μάτων ἀπορήσαντες ἐπ' ἀλληλοφαγίαν τράπωνται. M p. 191. Cf. Zonar. 8, 23 (vol. II, p. 240, 1).

4 ὅτι Ἀννίβας πρὶν ἔργου ἔχεσθαι συγκαλέσας τοὺς στρατιώτας παρήγαγε τοὺς αἰχμαλώτους, οὓς κατὰ τὴν ὁδὸν εἰλήφει, καὶ ἐπύθετο αὐτῶν, πότερα δεδέσθαι ⟨τε⟩ ἐν πέδαις καὶ δουλεύειν κακῶς ἢ μονομαχῆσαι ἀλλήλοις, ὥστ' ἀφεθῆναι προῖκα τοὺς νικήσαντας, ἐθέλοιεν. ἐπειδή τε τοῦθ' εἵλοντο, συνέβαλεν αὐτοὺς καὶ μαχεσαμένων σφῶν εἶπεν "εἶτ' οὐκ αἰσχρόν, ὦ ἄνδρες στρατιῶται, τούτους μὲν τοὺς ὑφ' ἡμῶν ἑαλωκότας οὕτω πρὸς τὴν ἀνδρείαν ἔχειν, ὥστε καὶ ἀποθανεῖν ἀντὶ τοῦ δουλεῦσαι ἐπιθυμῆσαι, ἡμᾶς δ' ὀκνῆσαι πόνον τινὰ καὶ κίνδυνον ὑπὲρ τοῦ μὴ ὑπακούειν ἑτέρων καὶ προσέτι καὶ ἄρχειν ἄλλων ὑποστῆναι;" M p. 192. Zonar. 8, 23 (vol. II, p. 240, 14—21).

[Zonaras 8, 23 — vol. II, p. 240, 8 sqq.]

καὶ ὁ μὲν προεχώρει τὰ ἐν ποσὶ προσποιούμενος, Σκιπίων
δὲ τὸν μὲν ἀδελφὸν Γάιον Σκιπίωνα ὑποστρατηγοῦντα αὐτῷ
εἰς τὴν Ἰβηρίαν ἔπεμψεν ὡς καταληψόμενον αὐτὴν ἢ τὸν
Ἀννίβαν ἐπανάξοντα, αὐτὸς δ' ἐπὶ τὸν Ἀννίβαν ἤλασε. καὶ
ἡμέρας μέν τινας ἐπέσχον, ἔπειτα ἄμφω πρὸς τὴν μάχην
fr. 56,4 ὥρμησαν. πρὶν δὲ δὴ ἔργου ἔχεσθαι, συγκαλέσας
τοὺς στρατιώτας ὁ Ἀννίβας παρήγαγε τοὺς αἰχμαλώτους, οὓς κατὰ τὴν ὁδὸν εἰλήφει, καὶ ἤρετο αὐτούς, πότερον δεδέσθαι καὶ δουλεύειν κακῶς βούλοιντο ἢ μονομαχῆσαι ἀλλήλοις, ὥστ' ἀφεθῆναι προῖκα τοὺς νικήσαντας. καὶ ὡς τὸ δεύτερον εἵλοντο, συνέβαλεν αὐτούς. καὶ μαχεσαμένων ἐδημηγόρησε τοὺς οἰκείους στρατιώτας ἐπιρρωννὺς καὶ παραθήγων εἰς πόλεμον· τοῦτο δ' ἑτέρωθεν καὶ ὁ Σκιπίων ἐποίησεν. εἶτα συνῆλθον μὲν ὡς ὅλοις τοῖς στρατοπέδοις μαχούμενοι, ὁ Σκι-

4, 4 ⟨τε⟩ inseruit B ‖ 12 καὶ ἄρχειν B, κατάρχειν L



ὅσα ἐλαττωθέντες ποτὲ ὑπὸ τῶν πολεμίων ἐπάθομεν, ταῦτα νικήσαντες αὐτοὺς ἀντιδράσομεν· εὖ γὰρ ἴστε, κρατήσαντες μὲν πάντων ὧν λέγω τευξόμεθα, κρατηθέντες δὲ οὐδὲ τὴν διαφυγὴν ἀσφαλῆ σχήσομεν· τοῦ τε γὰρ κρατήσαντος τὸ πᾶν παραχρῆμα φίλιόν ἐστι, κἂν μισοῦν αὐτὸ τυγχάνῃ, καὶ τὸ νικηθὲν οὐδεὶς οὐδὲ τῶν οἰκείων ἔτι θεραπεύει. M p. 543 et inde a τοῦ κρατήσαντος p. 192. 5

ὅτι τὸ ἅπαξ προσπταῖσαν πρός τινας ἀεί τε δυσωπεῖται σφᾶς καὶ θαρρεῖν οὐκέτι τολμᾷ. M p. 192. 6

ἄτοπον γάρ τι καὶ δειλὸν καὶ ἄπιστον φύσει πᾶν τὸ Γαλατικὸν γένος ἐστίν. ὥσπερ γὰρ ἑτοίμως θρασύνεται πρὸς τὰς ἐλπίδας, οὕτως ἑτοιμότερον φοβηθὲν 7

[Zonaras 8, 23 sq. — vol. II, p. 240, 24 sqq.]

πίων δέ, προσυμμίξας τῷ ἱππικῷ καὶ ἡττηθεὶς συχνούς τε ἀποβαλὼν καὶ αὐτὸς τρωθείς, ἀποθανών τ' ἄν, εἰ μή περ αὐτῷ Σκιπίων ὁ υἱὸς καίπερ ὢν ἑπτακαιδεκαέτης ἐπήμυνε, κατέδεισε, μὴ καὶ τῷ πεζῷ σφαλῇ, καὶ αὐτίκα τε ἐπανήγαγε καὶ τῆς νυκτὸς ὑπεχώρησεν.

24. Ἀννίβας δὲ μεθ' ἡμέραν τὴν ἀποχώρησιν αὐτοῦ μαθὼν πρὸς τὸν Ἠριδανὸν ἦλθε καὶ μήτε σχεδίας ἢ πλοῖα εὑρὼν (ἐνεπέπρηστο γὰρ παρὰ τοῦ Σκιπίωνος) τὸν μὲν ἀδελφὸν Μάγωνα σὺν τοῖς ἱππεῦσι διανήξασθαι καὶ ἐπιδιῶξαι τοὺς Ῥωμαίους ἐκέλευσεν, αὐτὸς δὲ ἄνω πρὸς τὰς πηγὰς χωρήσας τοῦ ποταμοῦ τοὺς ἐλέφαντας κατὰ τὸν ἐπίρρουν διαβῆναι προσέταξε. καὶ οὕτω τοῦ ὕδατος περὶ τοῖς ὄγκοις τῶν ζῴων ἐμποδιζομένου καὶ σκεδαννυμένου ῥᾶον κάτω σφῶν διεπεραιώθη. καταληφθεὶς οὖν ὁ Σκιπίων κατὰ χώραν ἔμεινε καὶ ἐμαχέσατ' ἄν, εἰ μὴ νυκτὸς οἱ Γαλάται οἱ μετ' αὐτοῦ ηὐτομόλησαν. ὁ δ' οὖν Σκιπίων ἐπὶ τούτῳ τα-

5, 2 ἀντιδράσομεν B, ἀποδράσομεν L ‖ 7 ἐπιθεραπεύει L ‖ 7, 1 ἄτοπον] τι π. ν Boissevain ex codice enotavit, ἄτοπον scripsit, quod voculae ὅτι ante γὰρ locus non est

ἐκπλήττεται· πιστότερον τ' οὐδὲν τοῖς Καρχηδονίοις ⟨ὂν⟩ τοὺς ἄλλους ἀνθρώπους ἐκδιδάξει τε μηδέποτε ἐς τὴν Ἰταλίαν ἐμβάλλειν τολμῆσαι. M p. 192. Cf. Zonar. 8, 24 (vol. II, p. 241, 10).

8 ὅτι πολλὰ τέρατα τὰ μὲν ὡς ἀληθῶς συμβάντα, τὰ δὲ καὶ ⟨μάτην⟩ θρυλούμενα ἐλογοποιήθη· ὅταν γάρ τινες ἰσχυρῶς φοβηθῶσιν καί σφισι καὶ ἐκεῖν⟨α..... γενόμενα ἀπο⟩δειχθῇ, πολλάκις ἕτερ⟨α αὖ προσ⟩φαντάζεται· κἂν ἅπαξ τι καὶ ἐκείνων πιστευθῇ, προπετῶς ἤδη καὶ τἆλλα.......⟨ἐθύοντο⟩ οὖν αἱ θυσίαι καὶ τἆλλα ὅσα οἱ ἄνθρωποι πρός τε τὴν τοῦ παρόντος δεινοῦ σφισιν ἄκεσιν καὶ πρὸς τὴν τοῦ ὑποπτευομένου διάφευξιν εἰώθασι ποιεῖν, ἐγίγνετο. ἀλλὰ (καὶ γὰρ φιλεῖ τὸ ἀνθρωπίνον γένος τοῖς τοιούτοις παρὰ τὸ κρεῖττον ἐλπίζοντες πιστεῦσαι) καὶ τότε, εἰ καὶ μᾶλλον διὰ τὸ τοῦ προσδοκωμένου κινδύνου μέγεθος ἐνόμιζον, ὅτι καὶ τὸ τραχύτατον αὐτοῖς συμπέσοι, ὅμως ἤλπιζον ⟨μὴ⟩ ἡττηθήσεσθαι (M p. 192).

[Zonaras 8, 24 — vol. II, p. 241, 12 sqq.]

ραχθεὶς καὶ ὑπὸ τοῦ τραύματος ταλαιπωρήσας ὑπὸ νύκτα αὖθις ἐξανέστη καὶ ἐπὶ μετεώρου τὸ τάφρευμα ἐποιήσατο· δίωξις δὲ αὐτοῦ οὐκ ἐγένετο. μετὰ δὲ τοῦτο ἀφίκοντο καὶ οἱ Καρχηδόνιοι καὶ τὸν ποταμὸν διὰ μέσου ποιησάμενοι ἐστρατοπεδεύσαντο.

ὁ μὲν οὖν Σκιπίων διά τε τὸ τραῦμα καὶ διὰ τὰ συμβεβηκότα ἀνεῖχε καὶ δύναμιν μετεπέμπετο, Ἀννίβας δὲ πολλὰ πειράσας παρακινῆσαι πρὸς μάχην αὐτόν, ἐπεὶ οὔτε τοῦτ'

7, 4 οὐδὲν τοῖς............τοὺς L, Καρχηδονίοις suppl. et ⟨ὂν⟩ inseruit Boissevain ‖ 8, 3 ἐκεῖνα] εκειν (desunt 23 litterae) δειχθῇ, suppl. Boissevain ‖ 5 προπετῶς ἤδη καὶ .λλ... ....δ ν........ο.π... οὖν L ‖ 7 οἱ ἄνθρωποι] ἀ̅ν̅οι L ‖ 8 τὴν τοῦ ὑποπτευομένου διάφευξιν Boissevain coll. Thucyd. 3,23,5; Dio 40, 32, 3 ‖ 9 ἀλλὰ καὶ γὰρ — παρὰ] haec sunt incertissima



[Zonaras 8, 24 — vol. II, p. 241, 20 sqq.]

ἠδυνήθη καὶ τροφῆς ἐσπάνισε, φρουρίῳ προσέβαλεν, ἐν ᾧ σῖτος πολὺς τῶν Ῥωμαίων ἔκειτο. καὶ μηδὲν περαίνων τὸν φρούραρχον διέφθειρε χρήμασι κἀκεῖνό τε προδοθὲν ἔλαβε καὶ τὰ ἄλλα σχεῖν τὰ μὲν ὅπλοις, τὰ δὲ χρυσίῳ ἐπήλπισε. κἂν τούτῳ ὁ Λόγγος τὴν Σικελίαν τῷ ὑποστρατήγῳ πιστεύσας πρὸς τὸν Σκιπίωνα κεκλημένος ἀφίκετο. καὶ οὐ πολλῷ ὕστερον ὑπὸ φιλοτιμίας, καὶ ὅτι τινὰς κατατρέχοντας τὴν χώραν ἐκράτησεν, εἰς παράταξιν ὥρμησε. καὶ ἐσφάλη ἐνέδραις περιπεσών· καὶ τοῦ Ἀννίβου ἐπεξελθόντος μετὰ τῶν πεζῶν καὶ τῶν ἐλεφάντων οἱ μετ' αὐτοῦ ἐτράπησαν εἰς φυγήν, καὶ πολλοὶ διεφθάρησαν φόνῳ, πολλοὶ δὲ καὶ εἰς τὸν ποταμὸν ἀπερισκέπτως ἐμπεσόντες ἐπνίγησαν, ὡς ὀλίγους μετὰ τοῦ Λόγγου περισωθῆναι. νικήσας μέντοι ὁ Ἀννίβας οὐκ ἔχαιρεν, ὅτι στρατιώτας τε πολλοὺς καὶ τοὺς ἐλέφαντας πλὴν ἑνὸς ὑπὸ τοῦ χειμῶνος καὶ τῶν τραυμάτων ἀπέβαλεν.

ἀνοχὴν οὖν ἄσπονδον ποιησάμενοι πρὸς τὴν συμμαχίδα σφῶν ἑκάτεροι ἐχώρησαν κἀν ταῖς πόλεσιν αὐτῶν ἐχείμαζον. καὶ τοῖς μὲν Ῥωμαίοις ἄφθονα ἐφοίτα τὰ ἐπιτήδεια, ὁ δ' Ἀννίβας οὐκ ἀρκούμενος τοῖς παρὰ τῶν συμμάχων διδομένοις ταῖς τε κώμαις καὶ ταῖς πόλεσι τῶν Ῥωμαίων προσπίπτων τὰ μὲν ἐκράτει, τὰ δ' ἀπεκρούετο. καί ποτε τῷ ἱππικῷ ὑπὸ τοῦ Λόγγου νικηθεὶς ἐτρώθη. θαρσήσαντες οὖν ἐκ τούτου τινὲς τῶν Ῥωμαίων καὶ καθ' ἑαυτοὺς προσβάλλοντι αὐτοῖς ἐπεξῆλθον. κἀκείνους τε ἔφθειρε καὶ τοῦ χωρίου ὁμολογίᾳ ἐκράτησε· καὶ αὐτὸ μὲν κατέσκαψε, τῶν δ' αἰχμαλώτων τοὺς μὲν Ῥωμαίους ἀπέκτεινε, τοὺς δ' ἄλλους ἀφῆκε. τοῦτο δὲ καὶ ἐφ' ἅπασι τοῖς ζωγρουμένοις ἐποίει τὰς πόλεις δι' αὐτῶν οἰκειούμενος. ἀμέλει καὶ τῶν λοιπῶν Γαλατῶν πολλοὶ καὶ Λιγύων καὶ Τυρσηνῶν τοὺς Ῥωμαίους τοὺς παρ' αὐτοῖς ὄντας οἱ μὲν φονεύσαντες, οἱ δὲ ἐκδόντες μετέστησαν.

ἐς δὲ τὴν Τυρσηνίδα τῷ Ἀννίβᾳ πορευομένῳ ὁ Λόγγος ἐπέθετο χειμῶνος πολλοῦ γενομένου. πεσόντων δὲ ἀμφοτέροις πολλῶν ὁ Ἀννίβας ἐς τὴν Λιγυστικὴν ἐλθὼν ἐνδιέτριψεν. ὑποπτεύων δὲ καὶ τοὺς σφετέρους οὐδενὶ ῥᾳδίως ἐπίστευεν, ἀλλὰ τὴν ἐσθῆτά τε μεταβάλλων καὶ κόμαις χρώ-

[Zonaras 8, 24 sq. — vol. II, p. 242, 31 sqq.]

μενος περιθέτοις τήν τε διάλεξιν ἄλλοτε ἄλλην ποιούμενος (ᾔδει γὰρ πλείους καὶ τὴν τῶν Λατίνων) καὶ νύκτωρ καὶ μεθ' ἡμέραν πολλὰ ἐπεσκόπει ἤκουέ τε πλεῖστα ὡς οὐκ Ἀννίβας καί τινα ὡς ἕτερός τις ἐφθέγγετο.

25. ἐν μὲν οὖν τῇ Ἰταλίᾳ ταῦτα ἐγένετο, ὁ δ' ἕτερος Σκιπίων ὁ Γάιος εἰς τὴν Ἰβηρίαν παρέπλευσε καὶ τὰ παραθαλάσσια αὐτῆς μέχρι τοῦ Ἴβηρος πάντα καὶ τῶν ἄνω συχνὰ τὰ μὲν βίᾳ, τὰ δ' ἑκόντα προσείληφε καὶ τὸν Βάννωνα μάχῃ νικήσας ἐζώγρησεν. ὁ δὲ τοῦ Ἀννίβου ὅμαιμων Ἀσδρούβας μαθὼν ταῦτα διέβη τὸν Ἴβηρα καὶ τῶν μεταστάντων τινὰς ὑπηγάγετο· τοῦ δὲ Σκιπίωνος ἐπελθόντος αὐτῷ ἀνεχώρησεν.

a. u. 537 (217) οἱ δ' ἐν τῇ Ῥώμῃ τὸν Φλαμίνιον καὶ τὸν Γέμινον ὑπάτους αὖθις εἵλοντο. Ἀννίβας δ' ἄρτι τοῦ ἔαρος ἐπιστάντος, ὡς ἔγνω τὸν Φλαμίνιον μετὰ Σερουιλίου Γεμίνου χειρὶ πολλῇ ἐπ' αὐτὸν ἰόντα, πρὸς ἐξαπάτην αὐτῶν ἐτράπη, καὶ πλαττόμενος ἐνδιατρίψειν ἐκεῖ καὶ μάχην συνάψειν, ἐπεὶ νομίσαντες αὐτὸν οἱ Ῥωμαῖοι κατὰ χώραν μένειν ἀμελῶς τῶν ὁδῶν ἔσχον, ἐπὶ τοῦ στρατοπέδου τοὺς ἱππέας κατέλιπεν, αὐτὸς δ' ὑπὸ νύκτα ἄρας τά τε στενόπορα μεθ' ἡσυχίας διῆλθε καὶ πρὸς Ἀρήτιον ἠπείγετο· καὶ οἱ ἱππεῖς δέ, ἐπεὶ πολὺ προῆλθεν, ἀπῄεσαν αὐτῷ ἐφεπόμενοι. οἱ δ' ὕπατοι γνόντες ἠπατημένοι, Γέμινος μὲν αὐτοῦ ὑπέμεινε τούς τ' ἀφεστηκότας κακώσων καὶ κωλύσων ἐπικουρῆσαι Καρχηδονίοις, Φλαμίνιος δὲ μόνος ἐδίωκεν, ἵν' αὐτοῦ μόνου τὸ ἔργον τῆς νίκης, ὡς ᾤετο, γένηται. καὶ τὸ Ἀρήτιον προκατέλαβεν· ὁ γὰρ Ἀννίβας συντομωτέραν τραπόμενος δυσόδοις ἐνέτυχε καὶ ἀνθρώπους συχνοὺς καὶ πολλὰ ὑποζύγια καὶ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀπέβαλεν. ὀψὲ δ' οὖν πρὸς τὸ Ἀρήτιον ἐλθὼν καὶ εὑρὼν ἐκεῖ τὸν Φλαμίνιον κατεφρόνησεν αὐτοῦ καὶ μάχῃ μὲν οὐ συνέβαλε (τὸ γὰρ χωρίον ἀνεπιτήδειόν οἱ ἐδόκει), πεῖραν δὲ αὐτοῦ ποιούμενος ἔκειρε τὴν χώραν. κἂν τούτῳ ἐπεκδραμόντων τῶν Ῥωμαίων ἐπανήγαγεν, ἵνα φοβεῖσθαι δόξῃ. τῆς δὲ νυκτὸς ἐξαναστὰς ἐπιτήδειόν τι χωρίον πρὸς τὴν μάχην εὑρὼν ἔμεινε. καὶ τοῦ μὲν πεζοῦ τὸ πλεῖον κατὰ τὰ ὄρη λογᾶν ἔταξε, τὸ δ' ἱππικὸν σύμπαν



[Zonaras 8, 25 — vol. II, p. 244, 9 sqq.]

ἔξω τῶν στενῶν ἀφανῶς ἐφεδρεύειν ἐκέλευσε καὶ αὐτὸς ἐπὶ τοῦ γηλόφου μετ' ὀλίγων ἐστρατοπεδεύσατο. ὁ δὲ Φλαμίνιος ἐν φρονήματι ὢν καὶ ἐπὶ μετεώρου σὺν ὀλίγοις αὐτὸν ἰδὼν τήν τε λοιπὴν στρατιὰν πόρρω ποι πεπομφέναι νομίσας ῥᾳδίως μεμονωμένον αἱρήσειν ἤλπισε καὶ ἐς τὸ στενὸν ἀπερισκέπτως εἰσῆλθε κἀνταῦθα (ὀψὲ γὰρ ἦν) ηὐλίσατο. καὶ ὑπὸ μέσας νύκτας ὑπὸ καταφρονήσεως αὐτοὺς ἀφυλάκτως καθεύδοντας πανταχόθεν ὁμοῦ περιέσχον οἱ Καρχηδόνιοι καὶ πόρρωθεν ἀκοντίοις καὶ σφενδόναις καὶ τοξεύμασι τοὺς μὲν εὐναζομένους ἔτι, τοὺς δὲ τὰ ὅπλα λαμβάνοντας ἔκτεινον αὐτοὶ μή τι δεινὸν ἀντιπάσχοντες. οἱ γὰρ Ῥωμαῖοι μηδενὸς αὐτοῖς συμπλεκομένου, σκότους τε καὶ ὁμίχλης οὔσης οὐκ εἶχον τῇ σφετέρᾳ χρήσασθαι ἀρετῇ. τοσοῦτος δ' ἐγένετο θόρυβος καὶ τοιαύτη ταραχώδης ἔκπληξις κατέσχεν αὐτούς, ὡς μηδὲ τῶν σεισμῶν τῶν τότε γενομένων αἰσθέσθαι, καίπερ πολλὰ μὲν οἰκοδομήματα κατερράγη, πολλὰ δὲ καὶ τῶν ὀρῶν τὰ μὲν διέσχε, τὰ δὲ καὶ συνέπεσεν, ὡς καὶ τὰς φάραγγας ἐμφράξαι, καὶ ποταμοὶ δὲ τῆς ἀρχαίας ἐξόδου ἀποκλεισθέντες ἄλλην ἐτράποντο. τοιοῦτοι μὲν σεισμοὶ τὴν Τυρσηνίδα κατέσχον, οὐ μέντοι καὶ οἱ μαχόμενοι ἐν ἐννοίᾳ σφῶν ἐγένοντο. αὐτός τε οὖν ὁ Φλαμίνιος καὶ ἄλλοι παμπληθεῖς ἔπεσον, συχνοὶ δὲ ἐπί τινα λόφον ἀνέβησαν· ἐπεὶ δ' ἡμέρα ἐγένετο, εἰς φυγὴν ὥρμησαν καὶ καταληφθέντες τά τε ὅπλα καὶ ἑαυτοὺς ἐπ' ἀδείᾳ παρέδοσαν. ὅ γε μὴν Ἀννίβας βραχὺ τῶν ὁμωμοσμένων ἐφρόντισε, πάντων δὲ τῶν ἐν τῷ στρατοπέδῳ ἁλόντων τὸ μὲν ὑπήκοον τό τε συμμαχικὸν τῶν Ῥωμαίων ἀφῆκεν, αὐτοὺς δὲ ἐκείνους δήσας ἐφύλασσε. πράξας δὲ ταῦτα ἐπὶ τὴν Ῥώμην ἠπείγετο καὶ μέχρι μὲν Ναρνίας τήν τε γῆν τέμνων καὶ τὰς πόλεις προσαγόμενος πλὴν Σπωλητίου προῆλθε, Γάιόν τε ἐνταῦθα Κεντήνιον στρατηγὸν ἐνεδρεύοντα περισχὼν ἔφθειρεν· ὡς δὲ τῷ Σπωλητίῳ προσβαλὼν ἀπεκρούσθη καὶ τὴν τοῦ Ναείρου γέφυραν καθῃρημένην εἶδε καὶ περὶ τοὺς ἄλλους ποταμούς, οὓς ἀναγκαῖον ἦν διελθεῖν, τοῦτο γεγονὸς ἐπύθετο, τῆς μὲν ἐπὶ τὴν Ῥώμην ὁρμῆς ἐπέσχεν, ἐς δὲ τὴν Καμπανίαν ἐτράπετο τήν τε χώραν ἀρίστην καὶ τὴν πόλιν τὴν Καπύην μεγίστην οὖσαν

9 ὅτι οἱ ⟨Ῥωμαῖοι⟩ δικτάτωρα τὸν Φάβιον ἀνειπόντες, ἀγαπῶντες, εἰ αὐτοί γε περιεγένοντο, οὐδὲ τοῖς συμμάχοις βοήθειαν ἀπέστειλαν οὐδεμίαν οὐδὲ ....., πυθόμενοι δὲ τὸν Ἀννίβαν τῆς τε ἐπὶ τὴν Ῥώμην ὁδοῦ ἀποτετράφθαι καὶ ἐς Καμπανίαν ὡρμῆσθαι, τότε δὴ καὶ ἐκείνοις ιωπως (?) μήτε ἑκούσιοι μήτε βιασθέντες μετάστασιν ἐς ἀσφάλειαν ἐποιήσαντο. M p. 193. Zonar. 8, 25 (vol. II, p. 245, 25—30).

[Zonaras 8, 25 — vol. II, p. 245, 19 sqq.]

ἀκούων ἐνόμιζεν, εἰ σφᾶς προκαταλάβοι, καὶ τἆλλα δι' ὀλίγου προσκτήσασθαι.

οἱ δ' ἐν τῇ Ῥώμῃ πυθόμενοι περὶ τῆς ἥττης ἤλγησαν καὶ δι' ἐκείνους καὶ δι' ἑαυτοὺς ὀδυρόμενοι καὶ ἐν ἀπόρῳ ἦσαν τάς τε γεφύρας τοῦ Τιβέριδος πλὴν μιᾶς καθεῖλον
fr. 56,9 καὶ τὰ τείχη πολλαχῇ πεπονηκότα σπουδῇ ἐπεσκεύαζον. δικτάτωρά τε προχειρίσασθαι βουληθέντες αὐτοὶ ἐν ἐκκλησίᾳ αὐτὸν ἀνεῖπον. ἀγαπῶντες δέ, εἰ αὐτοὶ μόνοι σωθεῖεν, οὐκ ἔστειλαν τοῖς συμμάχοις βοήθειαν. πυθόμενοι δὲ τὸν Ἀννίβαν ἐς Καμπανίαν ὁρμηθῆναι τότε καὶ τοῖς συμμάχοις ἐπικουρῆσαι ἔγνωσαν. τῷ δ' Ἀννίβᾳ τὸν δικτάτωρα τὸν Φάβιον καὶ τὸν ἵππαρχον τὸν Μᾶρκον τὸν Μινούκιον ἀντικατέστησαν. οἳ ἐπ' ἐκεῖνον ἐλθόντες ἐς μὲν χεῖρας αὐτῷ οὐκ ᾔεσαν, παρεπόμενοι δὲ ἐπετήρουν, εἴ που καιρὸς μάχης παραπέσοι· ἀποκινδυνεῦσαι γὰρ ὁ Φάβιος κατεπτηχόσι στρατιώταις καὶ ἡττημένοις πρὸς πλείους καὶ νενικηκότας οὐκ ἤθελε καὶ ἅμα, ὅσῳ μᾶλλον τὴν χώραν κακώσειαν, τοσούτῳ θᾶσσον ἀπορῆσαι τροφῆς αὐτοὺς ἤλπισε. τοιούτοις χρώμενος λογισμοῖς οὔτ' ἄλλῃ χώρᾳ ἐπήμυνεν οὔτε τῇ Καμπανίᾳ. κατέκλεισεν οὖν διὰ ταῦτα πᾶν τὸ πολέμιον εἰς τὴν Καμπανίαν· περισχὼν γὰρ αὐτοὺς ἁπανταχόθεν οὐκ εἰδότας ἐν φυλακῇ ἐποιήσατο. αὐτὸς μὲν γὰρ κἀκ τῆς θαλάσσης καὶ ἐκ τῆς συμμαχίδος τῶν ἐπιτηδείων εὐπόρει, ἐκείνοις δὲ μόνα τὰ ἐκ

9, 1 ⟨Ῥωμαῖοι⟩ inseruit Boissevain



ὅτι ὁ Φάβιος δι' ἀσφαλείας μᾶλλον ἢ διὰ κινδύ- 10
νων προσήδρευέ οἱ οὐδὲ πεῖραν λαβεῖν ἀνδρῶν χειροτεχνῶν τοῦ πολέμου ὄντων ἐτόλμα καὶ ἐν πολλῇ περι-

[Zonaras 8, 25 sq. — vol. II, p. 246, 14 sqq.]

τῆς γῆς, ἣν ἔκειρον, ὑπάρχοντα ᾔδει. καὶ διὰ τοῦτο ἀνεῖχε καὶ τῆς μελλήσεως οὐκ ἐφρόντιζε. διὸ καὶ παρὰ τῶν πολιτῶν αἰτίαν εἶχεν, ὡς καὶ μελλητὴς ἐπονομασθῆναι.

26. ὁ δ' Ἀννίβας, ἐπεὶ πρὸς χειμῶνα ἐγίνετο καὶ οὔτε κατὰ χώραν χειμάσαι σπάνει τῶν ἀναγκαίων ἠδύνατο καὶ πολλαχῇ πειράσας ἐξιέναι τῆς Καμπανίας κεκώλυτο, τοιοῦτόν τι ἐμηχανήσατο. τοὺς αἰχμαλώτους πάντας, ἵνα μή τις αὐτῶν διαφύγῃ καὶ τὸ γινόμενον γνωρίσῃ τοῖς Ῥωμαίοις, κατέσφαξε· καὶ τὰς ἐν τῷ στρατοπέδῳ βοῦς ἀθροίσας δᾷδας τοῖς αὐτῶν προσέδησε κέρασι καὶ πρὸς τὰ κατὰ τοὺς Σαυνίτας ὄρη ὑπὸ νύκτα χωρήσας τάς τε δᾷδας ἀνῆψε καὶ τὰς βοῦς ἐπετάραξεν. οἰστρηθεῖσαι δ' ἐκεῖναι διὰ τὸ πῦρ καὶ τὴν ἔλασιν πολλαχῇ τὴν ὕλην ἐνέπρησαν κἀκ τούτου ῥᾳδίαν παρέσχον αὐτῷ τὴν ὑπέρβασιν. οἱ γὰρ ἐν τῷ πεδίῳ Ῥωμαῖοι καὶ οἱ ἐν τοῖς μετεώροις ἐνέδρας πτοηθέντες οὐκ ἐκινήθησαν. καὶ οὕτως ὁ Ἀννίβας διῆλθε καὶ ἐς τὴν Σαυνῖτιδα ἐκομίσθη.

ὁ οὖν Φάβιος μεθ' ἡμέραν τὸ γενόμενον γνοὺς κατεδίωξε καὶ τούς τε καταλελειμμένους ἐν τῇ ὁδῷ, ἵνα σφᾶς εἵρξωσι, τρεψάμενος καὶ τοὺς βοηθήσαντας αὐτοῖς κρατήσας ἐστρατοπεδεύσατο μὲν οὐ πόρρω τῶν πολεμίων, οὐ μέντοι καὶ ἐς χεῖρας ἐκείνοις ἦλθεν, ἀλλ' ἀποσκίδνασθαί τε αὐτοὺς καὶ προνομεύειν ἐκώλυεν, ὥστε τὸν Ἀννίβαν ἀπορήσαντα τὸ μὲν πρῶτον ἐπὶ τὴν Ῥώμην ὁρμῆσαι· ὡς δ' οὐκ ἐμάχετο, δι' ἡσυχίας δὲ παρηκολούθει ὁ Φάβιος, αὖθις ὑπ-
έστρεψεν εἰς τὸ Σαύνιον. καὶ ὁ Φάβιος αὐτῷ ἐφεπό- fr. 56,10
μενος δι' ἀσφαλείας προσήδρευε προμηθούμενος μήτε τῶν οἰκείων ἀποβαλεῖν τινας καὶ αὐτὸς μὲν τῶν ἀναγκαίων ἐν εὐπορίᾳ τυγχάνων, ἐκείνῳ δὲ τῶν ὅπλων ἐκτὸς

10, 2 οὐδὲ Boissevain, οὔτε L ‖ πεῖραν λαβεῖν Boissevain coll. Dio 40, 45

ωπῇ τὴν τῶν στρατιωτῶν σωτηρίαν ἄλλως τε ⟨καὶ⟩ διὰ τὴν τῶν πολιτῶν ὀλιγανθρωπίαν ἐποιεῖτο, συμφορὰν οὐ τὸ μὴ φθεῖραι τὰ τῶν ἐναντίων, ἀλλὰ τὸ τῶν
11 οἰκείων ἀποβαλεῖν μεγάλην εἶναι νομίζων· ἐκείνους μὲν γὰρ τῇ περιουσίᾳ τοῦ πλήθους κἂν ἀνακινδυνεῦσαί ποτε σφαλέντας ἡγεῖτο, αὐτοῦ δ' εἰ καὶ τὸ βραχύτατον πταίσειεν, ⟨ἐν⟩ παντὶ κακοῦ, οὐ πρὸς τὸν ἀριθμὸν τῶν τότε ἀποθανόντων, ἀλλὰ πρὸς τὸ μέγεθος τῶν πρὶν παθημάτων γενήσεσθαι ἐλογίζετο· ἐν μὲν γὰρ ἀκεραίοις τοῖς πράγμασι καὶ τὰ δεινότατα ῥᾳδίως πολλάκις τοὺς ἀνθρώπους ὑφίστασθαι, τοὺς δὲ προκεκμηκότας καὶ τὰ βραχύτατα κακοῦν ἔλεγεν. καὶ διὰ τοῦτο καὶ τοῦ υἱέος συμβουλεύοντός ποτε αὐτῷ ἀποκινδυνεῦσαι καί τι τοιοῦτον εἰπόντος, ὅτι οὐκ ἂν πλείους ἑκατὸν ἀνδρῶν ἀπόλοιντο, οὔτε ἐπείσθη καὶ προσανήρετο αὐτόν, εἰ καὶ αὐτὸς ἂν ἐθελήσειεν τῶν ἑκατὸν ἀνδρῶν γενέσθαι. M p. 193 et postrema p. 544. Zonar. 8, 26 (vol. II, p. 247, 13—15).

12 ὅτι οἱ Καρχηδόνιοι οὐχ ὅπως αὐτεπάγγελτοί τι τῷ Ἀννίβᾳ ἔπεμψαν, ἀλλ' ἐν γέλωτί τε αὐτὸν ἐποιοῦντο, ὅτι τε εὖ πράττειν καὶ ὅτι πολλὰ κατορθοῦν ἀεί ποτε γράφων σφίσι καὶ χρήματα καὶ στρατιώτας παρ' αὐτῶν ᾔτει, λέγοντες μηδὲν ὁμολογεῖν τὰς αἰτήσεις αὐτοῦ

[Zonaras 8, 26 — vol. II, p. 247, 17 sqq.]

οὐδὲν προσεῖναι ὁρῶν καὶ μηδ' οἴκοθεν προσιοῦσαν ἐπικου-
fr. 56,12 ρίαν. οἱ γὰρ Καρχηδόνιοι καὶ ἐν γέλωτι αὐτὸν ἐποιοῦντο γράφοντα εὖ πράττειν καὶ πολλὰ κατορθοῦν καὶ στρατιώτας παρ' αὐτῶν αἰτοῦντα καὶ χρήματα,

10, 4 ⟨καὶ⟩ inseruit B ‖ 11, 2 περιουσίᾳ B, παρουσίᾳ L ‖ 3 αὐτοῦ] αὐτὸς B, Herwerden ‖ 4 ⟨ἐν⟩ inser. B ‖ 6 ἐν μὲν γὰρ ἀ. τοῖς Herwerden, τοῖς μὲν γὰρ ἀκ. L



ταῖς κατορθώσεσι· τοὺς γὰρ κρατοῦντας προσήκειν καὶ τῷ παρόντι στρατεύματι ἀρκεῖσθαι καὶ χρήματα οἴκαδε πέμπειν, ἀλλ' οὐχ ἕτερα πρὸς ἑαυτῶν προσεπαιτεῖν. M p. 194. Zonar. 8, 26 (vol. II, p. 247, 18—25).

ἔγκλημα γὰρ ἔχω, οὐχ ὅτι προπετῶς ἐς τὰς μάχας 13
χωρῶ, οὐδ' ὅτι διὰ κινδύνων στρατηγῶ, ἵνα πολλοὺς μὲν τῶν στρατιωτῶν ἀποβαλών, πολλοὺς δὲ καὶ τῶν πολεμίων ἀποκτείνας αὐτοκράτωρ τε ὀνομασθῶ καὶ τὰ ἐπινίκια πέμψω, ἀλλ' ὅτι βραδύνω καὶ ὅτι μέλλω καὶ ὅτι τῆς σωτηρίας ὑμῶν ἰσχυρῶς ἀεὶ προορῶμαι. M p. 542.

πῶς μὲν γὰρ οὐκ ἄτοπον, τά τε ἔξω καὶ τὰ πόρρω 14
πραττόμενα προθυμεῖσθαι ἡμᾶς κατορθῶσαι πρὸ τοῦ τὴν πόλιν αὐτὴν ἐπανορθῶσαι; πῶς δ' οὐ σχέτλιον, τῶν πολεμίων σπουδάζειν κρατῆσαι πρὸ τοῦ τὰ σφέτερα εὖ θέσθαι. M p. 543.

[Zonaras 8, 26 — vol. II, p. 247, 21 sqq.]

λέγοντες μὴ συμφωνεῖν τὰς αἰτήσεις ταῖς κατορθώσεσι. τοὺς γὰρ νικῶντας προσήκειν καὶ τῷ παρόντι ἀρκεῖσθαι στρατεύματι καὶ χρήματα στέλλειν οἴκαδε, ἀλλ' οὐ προσαιτεῖν.

ἕως μὲν οὖν ἐνεδήμει ὁ Φάβιος, δεινὸν οὐδὲν τοῖς Ῥωμαίοις ἐγένετο, ὡς δ' ἐκεῖνος ἐς τὴν Ῥώμην ἀπῆρε κατά τι δημόσιον, ἔπταισαν. ὁ γὰρ Ῥοῦφος ὁ ἵππαρχος φρόνημα κενὸν ὑπὸ νεότητος ἔχων καὶ τῶν πολεμικῶν σφαλμάτων ἀπερίοπτος ὢν καὶ τῇ μελλήσει τοῦ Φαβίου ἀχθόμενος, ἐπεὶ τὴν προστασίαν τῆς στρατιᾶς μόνος ἔσχε, τῶν μὲν ἐντολῶν τοῦ δικτάτωρος ὠλιγώρησεν, ὁρμήσας δ' εἰς παράταξιν τὸ μὲν πρῶτον νικᾶν ἔδοξεν, εἶτα ἡττήθη. κἂν πανσυδὶ διεφθάρη, εἰ μή τινες Σαυνιτῶν κατὰ τύχην τοῖς Ῥωμαίοις ἐπίκουροι ἀφικνούμενοι δόξαν τοῖς Καρχηδονίοις παρέσχον προσιέναι τὸν Φάβιον. ἀναχωρησάντων οὖν διὰ τοῦτο κε-

13, 4 τε B, δὲ L

15 ὅτι Ἀννίβας ἤτοι χαριζόμενος τῷ Φαβίῳ ὡς καὶ
ἐπιτηδείῳ σφίσιν ὄντι ἢ καὶ ἐπὶ διαβολῇ αὐτοῦ οὐδὲν
τῶν προσηκόντων οἱ κατέδραμεν. καὶ διὰ τοῦτ᾽ ἀντι-
δόσεως τῶν αἰχμαλώτων τοῖς Ῥωμαίοις πρὸς τοὺς
Καρχηδονίους, ὥσθ᾽ ὁποτέρων ⟨ἂν⟩ πλείους εὑρεθῶσιν,
ἀπολυτρωθῆναι σφᾶς, γενομένης, καὶ τῶν Ῥωμαίων
μὴ βουληθέντων αὐτοὺς ἐκ τοῦ δημοσίου λυτρώσα-
σθαι, τὰ χωρία ὁ Φάβιος ἀποδόμενος τὰ λύτρα αὐτοῖς
16 ἐχαρίσατο. καὶ διὰ τοῦτο αὐτὸν ⟨μὲν⟩ οὐκ ἔπαυσαν,
τῷ δὲ ἱππάρχῳ τὴν αὐτήν οἱ ἐξουσίαν ἔδωκαν, ὥστ᾽
ἀμφοτέρους ἅμα ἀπὸ τῆς ἴσης ἄρχειν. καὶ ὁ ⟨μὲν⟩
Φάβιος οὐδεμίαν ὀργὴν οὔτε τοῖς πολίταις οὔτε τῷ
Ῥούφῳ ἔσχε· τῶν τε γὰρ ἀνθρωπίνων πραγμάτων
συνεγίνωσκεν αὐτοῖς καὶ ἀγαπητὸν ἐποιεῖτο, εἰ καὶ
ὁπωσοῦν περιγένοιντο. τὸ γὰρ κοινὸν σώζεσθαι καὶ
κρατεῖν, ἀλλ᾽ οὐκ αὐτὸς εὐδοξεῖν ἤθελεν τήν τε ἀρε-
τὴν οὐκ ἐν τοῖς ψηφίσμασιν, ἀλλ᾽ ἐν τῇ ἑκάστου ψυχῇ
εἶναι καὶ τὸ κρεῖττον τό τε χεῖρον οὐκ ⟨ἀπὸ⟩ δόγματός

[Zonaras 8, 26 — vol. II, p. 248, 6 sqq.]

κρατηκέναι ἐνόμισε καὶ ἐς τὴν Ῥώμην τὸ ἔργον μεγαλύνων καὶ τὸν δικτάτωρα προσδιαβάλλων ἐπέστειλεν ὀκνηρὸν καὶ μελλητὴν αὐτὸν καλῶν καὶ τὰ τῶν ἐναντίων φρονοῦντα.

οἱ δ᾽ ἐν τῇ Ῥώμῃ νενικηκέναι τὸν Ῥοῦφον ὄντως ἐνό-
μισαν καὶ οἷα παρὰ δόξαν θαρσήσαντες καὶ ἐπῄνουν αὐτὸν
καὶ ἐτίμων καὶ τὸν Φάβιον ἐν ὑποψίᾳ σχόντες διὰ ταῦτα
καὶ ὅτι τὰ ἐν Καμπανίᾳ χωρία αὐτοῦ οὐκ ἐδῄωσαν, μικροῦ
καὶ τῆς ἀρχῆς ἂν παρέλυσαν. ἀλλ᾽ ἐκεῖνον μὲν χρήσιμον
fr. 56,16 νομίζοντες εἶναι οὐκ ἔπαυσαν, τῷ δ᾽ ἱππάρχῳ τὴν αὐτὴν
ἐξουσίαν προσένειμαν, ὥστ᾽ ἄμφω ἀπὸ τῆς ἴσης
ἄρχειν. δοξάντων δὲ τούτων ὁ μὲν Φάβιος οὔτε

15, 5 ⟨ἂν⟩ inser. B ‖ 16, 1 ⟨μὲν⟩ inser. V ‖ 3 ⟨μὲν⟩ inser. B ‖ 5 πραγμάτων ⟨ἔμπειρος ὢν⟩ συνεγίνωσκεν? B ‖ 10 ⟨ἀπὸ⟩ ins. V



τινι, ἀλλ᾽ ἐκ τῆς αὐτοῦ ἐκείνου ἐπιστήμης ἢ ἀμαθίας
ὑπάρχειν ἐνόμιζεν. ὁ δὲ δὴ Ῥοῦφος οὐδὲ ἐν τῷ πρὶν 17
ὀρθῶς φρονῶν τότε δὴ καὶ μᾶλλον ἐπεφύσητο καὶ
κατέχειν ἑαυτὸν ἅτε καὶ τῆς ἀπειθαρχίας ἆθλον τὴν
πρὸς τὸν δικτάτωρα ἰσομοιρίαν προσλαβὼν οὐκ ἠδύ-
νατο, ἀλλ᾽ ἡμέραν ἠξίου παρ᾽ ἡμέραν ἢ καὶ πλείους
ἐναλλὰξ μόνος ἄρχειν. ὁ δὲ Φάβιος φοβηθείς, μή τι
κακὸν σφᾶς, εἰ πάσης τῆς δυνάμεως ἐγκρατὴς γένοιτο,
ἐξεργάσαιτο, πρὸς οὐδέτερον αὐτῷ συνήνεσεν, ἀλλ᾽
ἐνείματο τὸ στράτευμα, ὥστε ἐν ὁμοίῳ τοῖς ὑπάτοις
καὶ ἐκείνους ἰδίαν ἑκάτερον ἰσχὺν ἔχειν. καὶ παρα-
χρῆμα ⟨ὁ Ῥοῦφος⟩ ἀπεστρατοπεδεύσατο, ἵνα καὶ τῷ
ἔργῳ διάδηλος, ὅτι αὐτὸς καθ᾽ ἑαυτόν, ἀλλ᾽ οὐχ ὑπὸ
τῷ δικτάτωρι ἄρχοι, γένοιτο. V p. 597. Zonar. 8, 26
(vol. II, p. 248, 17—30).

ὅτι τοῖς πολλοῖς σύνηθες τοῖς ἀρχομένοις συμφέ- 18
ρεσθαι ῥᾳδίως· ἄλλως τε καὶ ἐπὶ διαβολῇ τῶν εὐδο-

[Zonaras 8, 26 — vol. II, p. 248, 19 sqq.]

τοῖς πολίταις οὔτε τῷ Ῥούφῳ ἔσχεν ὀργήν, ὁ δὲ Ῥοῦφος οὐδὲ πρὶν ὀρθῶς φρονῶν τότε μάλιστα ἐπ-εφύσητο καὶ κατέχειν ἑαυτὸν οὐκ ἠδύνατο, ἀλλ᾽ ἡμέραν ἠξίου παρ ἡμέραν ἢ καὶ πλείους ἐφεξῆς ἐναλλὰξ μόνος ἄρχειν. δείσας δ᾽ ὁ Φάβιος, μή τι κακὸν ἐξεργάσηται, εἰ πάσης τῆς δυνάμεως γένοιτο ἐγκρατής, πρὸς οὐδέτερον αὐτῷ συνήνεσεν, ἀλλ᾽ ἐνείματο τὸ στρατόπεδον, ὥστε τοῖς ὑπάτοις ἐπ᾽ ἴσης ἰδίαν ἑκάτερον τὴν ἰσχὺν ἔχειν. καὶ παραχρῆμα ὁ Ῥοῦφος ἀπεστρατοπεδεύσατο, ἵνα διάδηλος ᾖ, ὅτι καθ᾽ ἑαυτὸν ἄρχει, ἀλλ᾽ οὐχ ὑπὸ τῷ δικτάτωρι. ὁ οὖν

17, 1 ἐνόμιζεν V, νομίζων L ‖ 8 συνήνεσαν L ‖ 11 ⟨ὁ Ῥοῦφος⟩ inserui e Zonara ‖ ἀπεστρατοπεδεύσατο corr. R e Zonara, ἀπεστρατοπεδεύσαντος L ‖ 18, 1 ἀρχομένοις ἰσχύειν συναίρεσθαι? B ‖ 2 καὶ ⟨ὅτε⟩ ἐπὶ B

κιμούντων προστίθενται, διότι τὸ μὲν ἄρτι προφαινόμενον συναύξειν, τὸ δὲ ὑπερέχον ἔτι καθαιρεῖν πεφύκασι· τοῖς μὲν γὰρ ἐκ πλείονος σφῶν προφέρουσιν οὐκ ἄν τις ἐξαίφνης παρισωθείη, τὸ δ' ἀδόκητον αὐξηθὲν ἐλπίδα καὶ ἐκείνοις ἐς τὴν ὁμοίαν εὐτυχίαν φέρει. M p. 194.

19 ὅτι ὁ Ῥοῦφος ἰσομοιρίαν λαχὼν τῷ δικτάτωρι καὶ
ἡττηθεὶς ὑπὸ Καρχηδονίων μετεβάλετο (σωφρονίζουσι
γάρ πως τοὺς μὴ πάνυ ἀνοήτους αἱ συμφοραί) καὶ
ἐθελοντὴς τὴν ἡγεμονίαν ἀφῆκε. καὶ αὐτὸν ἰσχυρῶς
ἐπὶ τούτῳ πάντες ἐπῄνεσαν· οὐ γὰρ ὅτι μὴ κατ' ἀρχὰς
τὸ δέον ἔγνω, μεμπτὸς ἐνομίζετο, ἀλλ' ὅτι μὴ κατώ-
20 κνησε μετανοῆσαι, καλῶς ἤκουε. τὸ μὲν γὰρ ἀπὸ
πρώτης εὐθὺς τὰ προσήκοντά τινα ἑλέσθαι εὐτυχίας
ἔργον ἡγοῦντο εἶναι, τὸ δὲ ἐκ τῆς πείρας τῶν πραγμάτων τὰ βελτίω μαθόντα μὴ αἰσχυνθῆναι μεταθέσθαι μεγάλως ἐπῄνουν· ⟨ὥστε⟩ καὶ ἐκ τούτου δειχθῆναι σαφῶς, ὅσον ἀνὴρ ἀνδρὸς ἀρετή τε ἀληθὴς δοκήσεως διαφέρει· ἃ γοῦν φθόνῳ καὶ διαβολῇ πρὸς τῶν πολιτῶν ὁ Φάβιος ἀφῃρέθη, ταῦτα παρ' ἑκόντος τοῦ συν-

[Zonaras 8, 26 — vol. II, p. 248, 30 sqq.]

Ἀννίβας τοῦτο αἰσθόμενος ἐς μάχην αὐτὸν ὑπηγάγετο, ὡς ἐπὶ καταλήψει χωρίου προσελθών· καὶ περιστοιχισάμενος ἐξ ἐνέδρας εἰς κίνδυνον κατέστησεν, ὡς πανστρατιᾷ ἐξελεῖν, εἰ μὴ ὁ Φάβιος κατὰ νώτου αὐτῷ προσπεσὼν ἐκώλυσε.

fr. 56,19 παθὼν οὖν τοῦτο ὁ Ῥοῦφος μετεβάλετο καὶ τὸ στράτευμά τε τὸ περίλοιπον εἰς τὸν Φάβιον εὐθὺς ἤγαγε καὶ τὴν ἀρχὴν παραδέδωκεν οὐδ' ἀνέμεινε τὸν δῆμον ἀναψηφίσασθαι, ἀλλ' ἐθελοντὴς τὴν ἡγεμονίαν, ἣν παρ' αὐτοῦ μόνος ἱππάρχων ἔλαβεν, ἀφῆκε. καὶ αὐτὸν ἐπὶ τούτῳ πάντες ἐπῄνεσαν. καὶ

20, 5 ⟨ὥστε⟩ inseruit B



άρχοντος καὶ δεομένου γε ἀνεκτήσατο. M p. 194. Zonar. 8, 26 (vol. II, p. 249, 3—10).

ὅτι ὁ αὐτὸς μέλλων ἐκ τῆς ἀρχῆς ἀπαλλαγήσεσθαι 21
τοὺς ὑπάτους μετεπέμψατο καὶ ἐκείνην τε αὐτοῖς παρέδωκε καὶ προσπαρῄνεσε πάνθ' ὅσα πραχθῆναι ἐχρῆν ἀφθονώτατα· τήν τε γὰρ σωτηρίαν τῆς πόλεως προετίμα τοῦ μόνος γε δοκεῖν καλῶς ἄρχειν, καὶ οὐκ ἐξ ὧν ἂν ἔπταισαν ἰδιογνωμονήσαντες, ἀλλ' ἐξ ὧν κατώρθωσαν πεισθέντες αὐτῷ μᾶλλον ἐπαινεθήσεσθαι προσεδόκησε. καὶ οἱ ὕπατοι δὲ οὐδὲν θρασέως κατὰ τὴν τοῦ Φαβίου ὑποθήκην ἔπραξαν, ἀλλ' ἐν ἀμείνονι τὸ μή τι καταπρᾶξαι τοῦ καὶ σφαλῆναι τιθέμενοι κατὰ χώραν πάντα τὸν τῆς ἡγεμονίας χρόνον ἔμειναν. M p. 195. Zonar. 8, 26 (vol. II, p. 249, 11—16).

[Zonaras 8, 26 — vol. II, p. 249, 9 sqq.]

ὁ Φάβιος αὐτίκα μηδὲν ἐνδοιάσας πᾶσαν ἐδέξατο,
καὶ ὁ δῆμος αὐτὸ ἀπεδέξατο. καὶ μετὰ ταῦτα αὐτός fr. 56,21
τε ἀσφαλέστατα προέστη τοῦ στρατεύματος καὶ μέλλων ἀπαλλαγήσεσθαι τῆς ἀρχῆς τοὺς ὑπάτους μετεπέμψατο καὶ τὸ στράτευμα σφίσι παρέδωκε καὶ πάνθ' ὅσα πραχθῆναι ἐχρῆν, παρῄνεσεν ἀφθονώτατα. κἀκεῖνοι θρασέως οὐδέν, ἀλλὰ κατὰ τὴν ὑποθήκην τοῦ Φαβίου ἅπαντα ἔπραξαν, καίπερ ὁ Γέμινος καὶ προκατωρθώκει τι. τὸ γὰρ ναυτικὸν τῶν Καρχηδονίων ἰδὼν ὁρμῆσαν μὲν ἐπὶ τὴν Ἰταλίαν, διὰ δὲ τὴν ἀντιπαρασκευὴν αὐτῶν μὴ προσμίξαν αὐτῇ ἐπεκπλεύσας τά τε τῶν Κυρνίων καὶ τὰ τῶν Σαρδονίων ἐν τῷ παράπλῳ ἐβεβαιώσατο καὶ ἐς τὴν Λιβύην ἐκβὰς ἐλεηλάτησε τὴν παραλίαν αὐτῆς. ταῦτα μὲν ἔπραξεν, οὐ μέντοι δι' αὐτὰ ἐπεφύσητο, ὥστε πρὸς τὸν Ἀννίβαν διακινδυνεῦσαι, ἀλλὰ ταῖς ἐντολαῖς τοῦ Φαβίου ἐνέμεινεν. ὅθενπερ καὶ αἱ πόλεις οὐκέθ' ὁμοίως τοῖς Καρχηδονίοις προσετίθεντο. ἐφοβοῦντο γάρ, μὴ ὁ Ἀννίβας τῆς Ἰταλίας ἐκπέσῃ, καὶ κακόν τι αὐτοὶ ὑπὸ Ῥωμαίων ἅτε προσοίκων πάθωσι. καὶ οἱ μὲν πλείους τὸ

22 οἱ γὰρ Ἰάπυγες καὶ Ἄπουλοι περὶ τὸν Ἰόνιον κόλπον οἰκοῦσιν. Ἀπούλων δὲ ἔθνη κατὰ τὸν Δίωνα Πευκέτιοι, Πεδίκουλοι καὶ Δαύνιοι καὶ Ταραντῖνοι καὶ Κάνναι. Διομήδους πεδίον ἔστι περὶ τὴν Ἀπουλίαν τῶν Δαυνίων. ἡ δὲ Μεσσαπία καὶ Ἰαπυγία ὕστερον Σαλεντία, εἶτα Καλαβρία ἐκλήθη. ἡ δὲ Ἀργύριππα πόλις τοῦ Διομήδους μετεκλήθη Ἀπούλοις Ἄρποι. Is. Tzetz. ad Lycophr. v. 603 et 852. Cf. Zonaras 9, 1 (vol. II, p. 251, 5 sqq.).

[Zonaras 8, 26 sq. — vol. II, p. 249, 29 sqq.]

ἀποβησόμενον ἐσκόπουν, ὀλίγοι δὲ πρὸς τοὺς Ῥωμαίους αὖθις μετέστησαν, καὶ ἀναθήματά τινες αὐτοῖς ἔπεμψαν. καὶ τοῦ Ἱέρωνος πολλὰ πεπομφότος σῖτον καὶ Νίκης ἄγαλμα οἱ Ῥωμαῖοι μόνα ἔλαβον καίπερ ἐν ἀχρηματίᾳ ὄντες, ὥστε τὸ ἀργυροῦν νόμισμα ἀμιγὲς καὶ καθαρὸν γινόμενον πρότερον χαλκῷ προσμῖξαι.

9, 1. ταῦτα ἐν τῇ Ἰταλίᾳ τότε ἐπράχθη· καί τινες δοῦλοι συνωμοσίαν ἐπὶ τῇ Ῥώμῃ πεποιηκότες προκατελήφθησαν· κατάσκοπός τέ τις ἁλοὺς ἐν αὐτῇ τὰς χεῖρας ἀπεκόπη καὶ ἀφείθη, ἵνα τοῖς Καρχηδονίοις γένηται τοῦ πάθους αὐτάγγελος. ἐν δὲ τῇ Ἰβηρίᾳ ναυμαχίᾳ πρὸς τῇ τοῦ Ἴβηρος ἐκβολῇ ὁ Σκιπίων ἐνίκησεν· ἰσοπαλῶς γὰρ ἀγωνιζομένων τὰ ἱστία τῶν νεῶν ὑπετέμετο, ὅπως ἀπογνόντες προθυμότερον ἀγωνίσωνται. καὶ τήν τε χώραν ἐπόρθησε καὶ τείχη συχνὰ ἐχειρώσατο καὶ διὰ τοῦ ἀδελφοῦ Πουπλίου Σκιπίωνος πόλεις τῶν Ἰβήρων προσεκτήσατο. Ἄβελος γάρ τις Ἴβηρ δοκῶν μὲν τοῖς Καρχηδονίοις πιστός, τὰ τῶν Ῥωμαίων δὲ θεραπεύων ἀνέπεισε τὸν φρουροῦντα τοὺς τῶν Ἰβήρων ὁμήρους οἴκαδε αὐτοὺς ἀποπέμψαι, ἵν' ἐς εὔνοιαν τάχα ὑπ' αὐτῶν αἱ πόλεις ὑπαχθῶσι· καὶ παραλαβὼν σφᾶς, ἅτε καὶ τῆς ἐπινοίας εἰσηγητὴς γεγονώς, πρὸς τοὺς Σκιπίωνάς τε πρότερον πέμψας καὶ κοινολογησάμενος περὶ ὧν ἠξίου, ἔπειτα νυκτὸς ὑπεκκομίζων αὐτοὺς ἑάλω δῆθεν. καὶ οὕτως ἐκείνων τε ἐγκρατεῖς ἐγένοντο οἱ Ῥωμαῖοι καὶ τὰς πατρίδας αὐτῶν ἀνακομισθέντων οἴκαδε κατεκτήσαντο.



ὕστερον ἀντετάξατο Ῥωμαίοις ἐν ταῖς Κάνναις, 23
Ῥωμαίων ὄντων στρατηγῶν Παύλου καὶ Τερεντίου. a. u. 538
αἱ Κάνναι πεδιάδες δέ εἰσι τῆς Ἀργυρίππας, (216)
οὗ Διομήδης ἔκτισε τὴν πόλιν Ἀργύριππαν,
τουτέστιν Ἄργος Ἵππειον τῇ γλώσσῃ τῶν Ἑλλήνων.
αἱ πεδιάδες αὗται δὲ τυγχάνουσι Δαυνίων
τῶν Ἰαπύγων ὕστερον, ἔπειτα Σαλαντίων,
τὰ νῦν δὲ πᾶσι Καλαυρῶν τὴν κλῆσιν λεγομένων.
τῶν Καλαυρῶν μεσόριον αὗτε καί Λογγιβάρδων,
οὗπερ ὁ μέγας πόλεμος ἐκείνοις ἀνέρραγη.

Tzetz. hist. 1, 757—767. Cf. Zonaras 9, 1 (vol. II, p. 251, 3 sqq.).

ὅτι περὶ μαντικῆς καὶ ἀστρονομίας φησὶν ὁ Δίων 24
"ἐγὼ μέντοι οὔτε περὶ τούτων οὔτε περὶ τῶν ἄλλων ⟨τῶν⟩ ἐκ μαντικῆς προλεγομένων τισὶ συμβαλεῖν ἔχω· τί γάρ που καὶ βούλεται προσημαίνειν, εἴ γε πάντως τέ τι ἔσται καὶ μηδεμία ἂν αὐτοῦ ἀποτροπὴ μήτ' ἀνθρωπίνῃ περιτεχνήσει μήτ' αὖ θείᾳ προνοίᾳ γένοιτο; ταῦτα μὲν οὖν ὅπῃ ποτὲ ἑκάστῳ δοκεῖ νομιζέσθω." M p. 195. Cf. Zonaras 9, 1 (vol. II, p. 250, 28 et p. 251, 13).

[Zonaras 9, 1 — vol. II, p. 250, 26 sqq.]

ἐν μὲν οὖν τούτοις εὐτύχουν, σφοδρᾷ δ' αὖ περιέπεσον a. u. 538
συμφορᾷ, ἧς οὔτε πρόσθεν οὐθ' ὕστερον δεινοτέρᾳ οὐδεμιᾷ. (216)
προηγήσατο δὲ ταύτης καί τινα τέρατα καὶ τὰ τῆς Σιβύλλης λόγια, ἥτις πρὸ τοσούτων ἐτῶν τὴν συμφορὰν αὐτοῖς ἐ αντεύσατο. θαυμαστὸν δὲ καὶ τὸ τοῦ Μάρκου προμάντευμα · χρησμολόγος γάρ τις καὶ οὗτος γενόμενος ἐν τῷ Διομηδείῳ πεδίῳ πταίσειν αὐτούς, ἅτε καὶ Τρῶας τὸ ἀρχαῖον ὄντας, ἐφοίβασε. τοῦτο δ' ἐν Ἀπουλίᾳ τῇ Δαυνίων ἐστὶ καὶ τὸ ὄνομα ἀπὸ τῆς τοῦ Διομήδους κατοικήσεως, ἣν ἐκεῖ ἀλητεύσας ἐποιή-

24, 3 ⟨τ ῶν⟩ inseruit B

25 ὅτι ἦρχον Παῦλος καὶ Τερέντιος ἄνδρες οὐχ ὁμοιό-
τροποι, ἀλλ' ἐξ ἴσου τῷ διαφόρῳ τοῦ γένους καὶ τὰ
ἤθη διαλλάττοντες. ὁ μὲν εὐπατρίδης τε ἦν καὶ παι-
δείᾳ ἐκεκόσμητο τό τε ἀσφαλὲς πρὸ τοῦ προπετοῦς
προετίμα καί πῃ καὶ ἐκ τῆς αἰτίας, ἣν ἐπὶ τῇ προ-
τέρᾳ ἀρχῇ εἰλήφει, κεκολουσμένος οὐκ ἐθρασύνετο,
ἀλλ' ὅπως μὴ καὶ αὖθίς τι δεινὸν πάθοι μᾶλλον ἢ
26 ὅπως ἀποτολμήσας τι κατορθώσειε ⟨ἐσκόπει⟩. Τερέν-
τιος δὲ ἔν τε τῷ ὁμίλῳ ἐτέθραπτο καὶ ἐν θρασύτητι
βαναυσικῇ ἤσκητο καὶ διὰ ταῦτ' ἔς τε τἆλλ' ἐξεφρόνει
καὶ τὸ κράτος ἑαυτῷ τοῦ πολέμου προσυπισχνεῖτο
τοῖς τε εὐπατρίδαις πολὺς ἐνέκειτο καὶ τὴν ἡγεμονίαν
μόνος πρὸς τὴν τοῦ συνάρχοντος ἐπιείκειαν ἔχειν
ἡγεῖτο. ⟨ἦλθον οὖν ἄμφω ἐς τὸ στρατόπεδον εὐκαι-

[Zonaras 9, 1 — vol. II, p. 251, 7 sqq.]

σατο, ἔσχηκεν. ἐν γὰρ τῷ πεδίῳ ἐκείνῳ καὶ αἱ Κάνναι, ἔνθα τότε ἐδυστύχησαν, παρά τε τῷ Ἰονίῳ κόλπῳ καὶ περὶ τὰς τοῦ Αὐφιδίου ἐκβολάς εἰσιν. ἡ δὲ Σίβυλλα φυλάττεσθαι μὲν τὸ χωρίον παρῄνεσεν, οὐ μέντοι καὶ πλεῖόν τι γενήσεσθαι ἔφη, οὐδ' εἰ διὰ πάσης αὐτὸ ποιήσαιντο φυλακῆς.

τοιαῦτα μὲν οὖν ἦσαν τὰ χρησμῳδήματα, τὰ δὲ τοῖς
fr. 56,25 Ῥωμαίοις συμβάντα οὕτως ἐγένετο. ἦρχον μὲν Παῦλος Αἰμίλιος καὶ Τερέντιος Οὐάρρων, ἄνδρες οὐχ ὁμοιότροποι· ὁ μὲν γὰρ εὐπατρίδης ἦν καὶ παιδείᾳ κεκόσμητο καὶ τὸ ἀσφαλὲς προετίμα τοῦ προπετοῦς, Τερέντιος δὲ ἐν τῷ ὁμίλῳ ἐτέθραπτο καὶ ἐν βαναυσικῇ θρασύτητι ἤσκητο καὶ τἆλλα τε ἐξεφρόνει καὶ τὴν ἡγεμονίαν μόνος ἔχειν ἡγεῖτο διὰ τὴν τοῦ συνάρχοντος ἐπιείκειαν. ἦλθον οὖν ἄμφω εἰς τὸ στρατόπεδον εὐκαιρότατα· οὔτε γὰρ τροφὴ ἔτι ἦν τῷ

26, 1 κατορθώσει ⟨ἐσκόπει⟩ Herwerden, κατορθώσειεν ⟨ἐσκόπει⟩ Schenkl, κατορθώσῃ . . . L ‖ 7 ⟨ἦλθον — νῦν δὲ⟩ inserta sunt e Zonara, vol. II, p. 251, 21 sqq.



ρότατα· οὔτε γὰρ τροφὴ ἔτι ἦν τῷ Ἀννίβᾳ καὶ τὰ τῶν
Ἰβήρων ἐκεκίνητο τά τε τῶν συμμάχων αὐτοῦ ἠλλο-
τριοῦτο. καὶ εἴ γε καὶ τὸ βραχύτατον ἐπεσχήκεσαν, 27
ἀπόνως ἐκράτησαν ἄν· νῦν δὲ⟩ τὸ τοῦ Τερεντίου ἀπε-
ρίσκεπτον καὶ τὸ τοῦ Παύλου ἐπιεικές, βουλομένου
μὲν ἀεὶ τὰ προσήκοντα, συγχωροῦντος δὲ τὰ πολλὰ τῷ
συνάρχοντι (δεινὴ γάρ ἐστιν ἐλαττωθῆναι θράσους
πραότης) ἥττησεν αὐτούς. M p. 196. Zonaras 9, 1
(vol. II, p. 251, 14—27).

[Zonaras 9, 1 — vol. II, p. 251, 23 sqq.]

Ἀννίβᾳ, καὶ τὰ τῶν Ἰβήρων κεκίνητο, τά τε τῶν συμμάχων αὐτοῦ ἠλλοτριοῦτο· καὶ εἴ γε καὶ τὸ βραχύτατον ἐπεσχήκεσαν, ἀπόνως ἐκράτησαν ἄν. νῦν δέ γε τοῦ Τερεντίου τὸ ἀπερίοπτον καὶ τὸ τοῦ Παύλου ἐπιεικὲς ἥττησεν αὐτούς. ὁ γὰρ Ἀννίβας ἐπεχείρησε μὲν καὶ παραχρῆμα πρὸς μάχην αὐτοὺς ὑπαγαγέσθαι καὶ σὺν ὀλίγοις προσπελάσας αὐτῶν τῷ ἐρύματι, ἐπεὶ ἐκδρομὴ ἐγένετο, ἑκὼν ὑπεχώρησεν, ὅπως δεδιέναι νομισθεὶς ἐπισπάσαιτο μᾶλλον αὐτοὺς εἰς παράταξιν· τοῦ δὲ Παύλου τοῖς οἰκείοις στρατιώταις ἐπισχόντος τὴν δίωξιν ὁ Ἀννίβας προσεποιήσατο φοβεῖσθαι καὶ τῆς νυκτὸς ἀνασκευασάμενος ὡς ἀπιὼν σκεύη τε συχνὰ κατέλιπεν ἐν τῷ χαρακώματι καὶ τὰ λοιπὰ ἀμελέστερον κομίζεσθαι ἐνετείλατο, ἵνα τῶν Ῥωμαίων ἐφ' ἁρπαγὴν αὐτῶν τραπομένων ἐπίθηται σφίσι. καὶ εἰς ἔργον ἂν τὸ βούλευμα ἤγαγεν, εἰ μὴ ὁ Παῦλος καὶ ἄκοντας κατεσχήκει τοὺς στρατιώτας καὶ τὸν Τερέντιον.

ὁ οὖν Ἀννίβας καὶ τούτου διαμαρτὼν νυκτὸς πρὸς τὰς Κάννας ἀφίκετο. καὶ γνοὺς τὸ χωρίον καὶ πρὸς ἐνέδρας καὶ πρὸς παράταξιν ἐπιτήδειον ἐστρατοπεδεύσατο. καὶ προήροσε πάντα τὸν τόπον ὑπόψαμμον ὄντα, ἵνα κονιορτὸς ἐν τῇ μάχῃ ἀρθῇ· τὸν γὰρ ἄνεμον, ὃς ἐν θέρει ἐκεῖσε περὶ τὴν μεσημβρίαν εἰώθει γίνεσθαι, κατὰ νώτου ἔχειν ἐμηχα-

26, 9 ἠλλοτριοῦτο] ἠλλοτρίωτο Naber ‖ 27, 1 ἐπεσχήκεσαν] ὑπέστησαν Naber coll. Thuc. 4, 54

28 ὅτι ἐν τῇ συμπλοκῇ τοῦ πολέμου οὐδ' οἱ πάνυ θαρσοῦντες ἐλαφροτέραν τὴν ἐλπίδα τοῦ φόβου πρὸς τὸ ἄδηλον αὐτῆς εἶχον, ἀλλὰ καὶ ὅσῳ μᾶλλον ἡγοῦντο νικήσειν, τόσῳ μᾶλλον ἐδέδισαν, μή πῃ καὶ σφαλῶσι· τοῖς μὲν γὰρ ἀγνοοῦσί τι οὐδέν ἐστι φοβερὸν ἐκ τῆς ἀπονοίας ὑπομένειν, τὸ δὲ ἐκ λογισμοῦ θαρσοῦν (desunt paginae 6). M p. 196.

29 τούτου ῥαγέντος τότε δὲ πολέμου τοῦ φρικώδους
σεισμὸς ἐγένετο δεινός, ὡς ὄρη διαστῆναι,
ἐξ οὐρανοῦ δ' ἐχύθησαν ὄμβροι μεγάλων λίθων.
οἱ δὲ θερμῶς μαχόμενοι τούτων οὐδὲν ἐπέγνων.
τέλος τοσοῦτο πέπτωκε πλῆθος ἀνδρῶν Ῥωμαίων,
ὡς τὸν Ἀννίβαν στρατηγὸν πέμψαι τῇ Σικελίᾳ
τοὺς δακτυλίους στρατηγῶν καὶ τῶν λοιπῶν ἐνδόξων
μεδίμνοις τε καὶ χοίνιξι πολλοῖς ἐμμετρηθέντας,

[Zonaras 9, 1 — vol. II, p. 252, 15 sqq.]

νήσατο. οἱ δ' ὕπατοι ἕωθεν κενὸν ἀνδρῶν ἰδόντες αὐτοῦ τὸ χαράκωμα πρῶτον μὲν ἐπέσχον ἐνεδρεύεσθαι δόξαντες, εἶτα μεθ' ἡμέρας πρὸς τὰς Κάννας ἀφίκοντο. καὶ παρὰ τῷ ποταμῷ ἑκάτερος ἰδίᾳ ηὐλίσατο· οὐκ ὄντες γὰρ ὁμοήθεις τὴν πρὸς ἀλλήλους συνουσίαν ἐξέκλινον. καὶ ὁ μὲν Παῦλος ἡσύχαζεν, ὁ δέ γε Τερέντιος ἤθελε συμβαλεῖν· ἀμβλυτέρους δὲ τοὺς στρατιώτας ὁρῶν ἀνεκόπτετο. ὁ δὲ Ἀννίβας καὶ ἄκοντας αὐτοὺς εἰς μάχην παρακινῶν τῆς τε ὑδρείας εἶργε καὶ ἀποσκεδάννυσθαι σφᾶς ἐκώλυε καὶ τὰ σώματα τῶν φονευομένων ἄνω πρὸ τῶν ταφρευμάτων ἐνέβαλλεν, ὅπως σφίσι τὸ ποτὸν δυσχεραίνηται. κἀντεῦθεν καὶ οἱ Ῥωμαῖοι πρὸς παράταξιν ὥρμησαν. τοῦτο δὲ προγνοὺς ὁ Ἀννίβας λόχους μὲν ὑπὸ τοὺς ὄχθους ἐκάθισε, τὴν δὲ λοιπὴν στρατιὰν συνέταξε καί τινας ψευδαυτομολῆσαι, ὅταν σημήνῃ, ἐκέλευσε, τὰς μὲν ἀσπίδας καὶ τὰ δόρατα καὶ τὰ μείζω τῶν ξιφῶν ἀπορρίψαντας, τὰ δ' ἐγχειρίδια κρύφα φέροντας, ἵνα δεξα-

28, 4 ἐδέδισαν Naber, ἐδεδίεσαν L



τὰς εὐγενεῖς καὶ πρώτας δὲ γυναῖκας τῶν Ῥωμαίων
ὀδυρομένας προσδραμεῖν ναοῖς τοῖς ἐν τῇ Ῥώμῃ
καὶ ταῖς τριξὶν ταῖς ἑαυτῶν καθαίρειν ἕδη τούτων,
ὕστερον καὶ μιγῆναι δὲ καὶ δούλοις καὶ βαρβάροις
λειψανδρησάσης παντελῶς τῆς Ῥωμαΐδος χώρας,
ὅπως μὴ πρόρριζον αὐτῶν ἐκθαμνισθῇ τὸ γένος.
τότε δ' ἡ Ῥώμη παντελῶς πάντων ἀνῃρημένων
ἄκλειστος ἵστατο πολλοῖς ἡμεροδρόμοις κύκλοις.
οἱ γέροντες δ' ἑζόμενοι τοῖς ταύτης προπυλαίοις
τὴν συμφορὰν ὠδύροντο τὴν ὑπερπαθεστάτην,
τοὺς παριόντας ἤροντο, μή πού τις ζῶν ἐλείφθη.

Tzetz. hist. 1, 767—785 (cf. fragm. 56, 23). Cf. Zonaras 9, 1 (vol. II, p. 253, 20 sqq. et p. 254, 16).

[Zonaras 9, 1 — vol. II, p. 253, 2 sqq.]

μένων αὐτοὺς τῶν ἀντικαθεστηκότων ὡς ἀόπλους ἐπίθωνται αὐτοῖς ἀπροσδοκήτως.

οἱ δὲ δὴ Ῥωμαῖοι ἰδόντες πρωΐθεν τοὺς περὶ τὸν Ἀννίβαν παρατεταγμένους ὡπλίζοντό τε καὶ παρετάττοντο. καὶ οἱ σαλπιγκταὶ ἀμφοτέρους ἐξώτρυναν, καὶ τὰ σημεῖα ἤρθη, καὶ συμπεσόντες πολυτρόπως ἠγωνίσαντο. καὶ μέχρι τῆς μεσημβρίας οὐδετέροις τὸ κράτος ἀπονενέμητο· ἐπεὶ δὲ τὸ πνεῦμα ἐπῆλθε, καὶ οἱ ψευδαυτόμολοι δεχθέντες ὡς ὅπλων γυμνοὶ ὄπισθεν τῶν Ῥωμαίων ἐγένοντο, ἵνα μὴ σφίσιν ἐπιτεθῶσι δῆθεν οἱ Καρχηδόνιοι, τότε καὶ οἱ λόχοι ἑκατέρωθεν ἐπανέστησαν, καὶ ὁ Ἀννίβας κατὰ πρόσωπον σὺν τοῖς ἱππεῦσι προσέμιξε, καὶ οἵ τε πολέμιοι τοὺς Ῥωμαίους πανταχόθεν ἐθορύβουν, καὶ ὁ ἄνεμος ὅ τε κονιορτὸς ἐς τὰς ὄψεις αὐτῶν βιαίως ἐμπίπτων ἐτάραττε καὶ τὸ ἆσθμα γινόμενον συνεχὲς ἐκ τοῦ καμάτου ἀπέφραττεν, ὥστ' ἀπεστερημένοι μὲν τῆς ὄψεως, ἀπεστερημένοι δὲ καὶ φωνῆς φύρδην καὶ ἐν οὐδενὶ κόσμῳ ἐφθείροντο. καὶ τοσοῦτον ἔπεσε πλῆθος, ὥστε τὸν Ἀννίβαν τῶν μὲν ἐκ τοῦ ὁμίλου μηδὲ πειραθῆναι ἐξευρεῖν ἀριθμόν, περὶ δὲ τῶν ἱππέων καὶ τῶν ἐκ τῆς βουλῆς ἀριθμὸν μὲν μὴ γράψαι τοῖς οἴκοι Καρχηδονίοις, διὰ

30 ὅτι ὁ Σκιπίων πυθόμενός τινας παρασκευάζεσθαι τῶν Ῥωμαίων τήν τε Ῥώμην ἐγκαταλιπεῖν καὶ τὴν Ἰταλίαν ὅλην ὡς τῶν Καρχηδονίων ἐσομένην ἐπέσχεν αὐτοὺς ξιφήρης ἐς τὴν κατάλυσιν, ἐν ᾗ ἐκοινολογοῦντο, ἐξαίφνης ἐσπηδήσας, καὶ αὐτός τε ὀμόσας πάντα τὰ προσήκοντα καὶ λόγῳ καὶ ἔργῳ πράξειν καὶ ἐκείνους ὁρκώσας ὡς παραχρῆμα ἀπολουμένους, ἂν μὴ τὰ πιστὰ

31 αὐτῷ παράσχωνται. καὶ οἱ μὲν ἐκ τούτου συμφρονήσαντες πρὸς τὸν ὕπατον ἔγραψαν, ὅτι σώζοιντο· ἐκεῖνος δὲ ἐς μὲν τὴν Ῥώμην οὔτ' ἔγραψε παραχρῆμα οὔτ' ἄγγελον ἀπέστειλεν, ἐς δὲ τὸ Κανύσιον ἐλθὼν τά τε

[Zonaras 9, 1 sq. — vol. II, p. 253, 24 sqq.]

δὲ τῶν δακτυλίων ἐνδείξασθαι τοῦτον· χοίνιξι γὰρ σφᾶς ἀπομετρήσας ἀπέστειλε. μόνοι γὰρ οἱ βουλευταὶ καὶ οἱ ἱππεῖς δακτυλίοις ἐκέχρηντο. συχνοὶ δ' οὖν ὅμως καὶ τότε διέφυγον καὶ ὁ Τερέντιος· ὁ γὰρ Παῦλος ἀπέθανεν. ὁ δ' Ἀννίβας οὐκ ἐπεδίωξεν οὐδ' εἰς τὴν Ῥώμην ἠπείχθη. δυνάμενος γὰρ ἢ παντὶ τῷ στρατεύματι ἢ καὶ μέρει τούτου πρὸς τὴν Ῥώμην παραυτίκα ὁρμῆσαι καὶ ταχέως διαπολεμῆσαι οὐκ ἐποίησε τοῦτο καίτοι τοῦ Μαάρβου συναινοῦντος τοῦτο ποιῆσαι. διὸ καὶ αἰτίαν ἔσχεν ὡς νικᾶν μὲν δυνάμενος, χρῆσθαι δὲ ταῖς νίκαις οὐκ ἐπιστάμενος. ἐπεὶ δὲ τότε ἐμέλλησαν, οὐκέτι οὐδ' αὖθις ἠπείχθησαν. διὸ καὶ ὁ Ἀννίβας ὡς ἁμαρτὼν μετεμέλετο συνεχῶς ἀναβοῶν "ὦ Κάνναι Κάνναι."

2. οἱ δὲ δὴ Ῥωμαῖοι παρὰ βραχὺ κινδυνεύσαντες ἀπολέσθαι ἀντεπεκράτησαν διὰ τοῦ Σκιπίωνος. ὃς υἱὸς μὲν ἦν τοῦ Πουπλίου

fr. 56, 31 τοῦ ἐν τῇ Ἰβηρίᾳ καὶ τὸν πατέρα, ὅτε ἐτρώθη, περιέσωσε, τότε δὲ στρατευόμενος εἰς τὸ Κανύσιον ἔφυγε καὶ ὕστερον εὐδοκίμησε. παρ' ἑκόντων γὰρ τῶν συμφυγόντων εἰς τὸ Κανύσιον τὴν ἡγεμονίαν λαβὼν τά τε ἐκεῖ κατεστήσατο καὶ τοῖς πλησιοχώροις φρουρὰς ἔπεμψε καὶ πάντα καλῶς ἐβούλευσέ τε καὶ ἔπραξεν.

31, 1 παράσχωνται] παράσχονται L



ἐνταῦθα κατεστήσατο καὶ τοῖς πλησιοχώροις φρουρὰς ὡς ἐκ τῶν παρόντων ἔπεμψεν, προσβάλλοντάς τε τῇ πόλει ἱππέας ἀπεκρούσατο. τό τε σύνολον οὔτ' ἀθυμήσας οὔτε καταπτήξας, ἀλλ' ἀπ' ὀρθῆς τῆς διανοίας ὥσπερ μηδενός σφισι δεινοῦ συμβεβηκότος πάντα τὰ πρόσφορα τοῖς παροῦσι καὶ ἐβούλευσε καὶ ἔπραξεν. V p. 598. Zonar. 9, 2 (vol. II, p. 254, 7—15).

[Zonaras 9, 2 — vol. II, p. 254, 16 sqq.]

οἱ δ' ἐν τῇ Ῥώμῃ τὴν ἧτταν μὲν ἤκουσαν, οὐ μὴν καὶ ἐπίστευον. πιστεύσαντες δ' ἐπένθουν καὶ συνιόντες εἰς τὸ συνέδριον μή τι πράσσοντες ἀπηλλάσσοντο. ὀψὲ δ' οὖν ὁ Φάβιος γνώμην ἔδωκε, κατασκόπους πέμψαι τοὺς ἀγγελοῦντας τὸ γεγονὸς καὶ τί ὁ Ἀννίβας πράττει, αὐτοὺς δὲ μὴ κλαίειν, σιγῇ δὲ βαδίζειν, ἵν' ἐν καιρῷ τὰ προσήκοντα γίνοιτο, δύναμίν τε συλλέξαι, ὅσην ἂν δύναιντο, καὶ τοὺς περιοίκους ἐπικαλέσασθαι. μετὰ δὲ ταῦτα ὡς τὸν Ἀννίβαν ἐν τῇ Ἀπουλίᾳ ὄντα ἔμαθον καὶ γράμματα παρὰ τοῦ Τερεντίου ἐδέξαντο, ὅτι περιείη καὶ ὅσα πράττοι, μικρὸν ἀνεθάρσησαν. καὶ δικτάτωρ μὲν Μᾶρκος Ἰούνιος, ἵππαρχος δὲ Τιβέριος Σεμπρώνιος Γράκχος ἐλέχθησαν. καὶ παραχρῆμα τῶν τε πολιτῶν οὐ τοὺς ἡβῶντας μόνον, ἀλλὰ καὶ παρηβηκότας ἤδη κατέλεξαν καὶ δεσμώτας ἐπ' ἀδείᾳ καὶ δούλους ἐπ' ἐλευθερίᾳ λῃστάς τέ τινας προσελάβοντο καὶ τοὺς συμμάχους προσπαρεκάλουν ἀναμιμνήσκοντες, εἴ τί που εὐηργέτηντο καὶ προσυπισχνούμενοι δώσειν τοῖς μὲν σῖτον, τοῖς δὲ ἀργύρια, ὅπερ οὔπω πρόσθεν ἐποίησαν· καὶ ἐς τὴν Ἑλλάδα πεπόμφασιν ἢ πείσοντές τινας συμμαχῆσαι αὐτοῖς ἢ μισθωσόμενοι.

Ἀννίβας δὲ συνεστηκέναι τοὺς Ῥωμαίους καὶ παρασκευάζεσθαι μαθὼν ἐν ταῖς Κάνναις διέτριβε τὴν ἐξ ἐπιδρομῆς ἅλωσιν ἀπεγνωκώς· καὶ τῶν αἰχμαλώτων τὸ μὲν συμμαχικὸν ἄνευ λύτρων ἀφῆκεν, ὡς καὶ πρότερον, τοὺς δὲ Ῥωμαίους ἐτήρει ἀποδόσθαι ἐλπίζων αὐτούς, ἵν' ἑαυτὸν εὐπορώτερον ἐντεῦθεν ποιήσῃ, τοὺς δὲ Ῥωμαίους ἀπορωτέρους. ἐπεὶ δὲ μηδεὶς ἐξ αὐτῶν ἀφίκετο τοὺς αἰχμαλώτους ζητῶν, ἐκέλευσεν

[Zonaras 9, 2 — vol. II, p. 255, 17 sqq.]

αὐτοῖς πέμψαι τινὰς οἴκαδε ἐπὶ λύτρα προομόσαντας ἐπανήξειν. ὡς δὲ οὐδ᾽ οὕτω λύσασθαι σφᾶς ἠθέλησαν, τοὺς μὲν λόγου τινὸς ἀξίους εἰς τὴν Καρχηδόνα ἀπέστειλε, τῶν δ᾽ ἄλλων τοὺς μὲν αἰκισάμενος ἀπέκτεινε, τοὺς δὲ μονομαχῆσαι ἠνάγκασε τοὺς φίλους καὶ τοὺς συγγενεῖς ἀλλήλοις συμβαλών. οἱ δὲ πεμφθέντες ἐπὶ τὰ λύτρα ἐπανελθόντες, ἵν᾽ εὐορκήσωσι, φυγόντες δὲ μετὰ τοῦτο ἄτιμοι ὑπὸ τῶν τιμητῶν ἐγένοντο καὶ ἑαυτοὺς κατεχρήσαντο.

*Μάγωνα* δὲ τὸν ἀδελφὸν ὁ *Ἀννίβας* ἀγγελοῦντα τοῖς Καρχηδονίοις ἔπεμψε τὰ γενόμενα καὶ χρήματα παρ᾽ αὐτῶν καὶ δυνάμεις αἰτήσοντα. καὶ ὁ μὲν ἀπελθὼν τούς τε δακτυλίους ἠρίθμησε καὶ ἐπὶ μεῖζον ἐξῆρε δὴ τὸ κατόρθωμα, καὶ ἐψηφίσθη πάντα, ὅσα ᾐτήσατο (τῷ γὰρ *Ἄννωνι* τἀναντία λέγοντι καὶ καταλύσασθαι τὸν πόλεμον, ἕως καθυπέρτεροι δοκοῦσι, συμβουλεύοντι οὐκ ἐπείσθησαν), οὐ μέντοι τὰ ψηφισθέντα καὶ εἰς ἔργον ἤγαγον, ἀλλ᾽ ἐμέλλησαν. *Ἀννίβας* δ᾽ ἐν τούτῳ εἰς τὴν Καμπανίαν προυχώρησε καὶ πόλισμά τι εἷλε Σαυνιτικὸν καὶ ἐπὶ *Νέαν* ὥρμησε πόλιν προπέμψας μετὰ τῆς λείας ὀλίγους τινάς. πρὸς οὓς ὡς μόνους ὄντας τῶν τῆς πόλεως ἐκδραμόντων ἐπεφάνη αὐτὸς ἀπροσδόκητος καὶ συχνοὺς ἀπέκτεινε, τὴν δὲ πόλιν οὐχ εἷλεν οὔτ᾽ ἐπὶ πολὺ ταύτῃ προσήδρευσεν. οἱ γὰρ τὴν *Καπύην* οἰκοῦντες Καμπανοὶ οἱ μὲν τῇ Ῥωμαίων φιλίᾳ ἐνέμειναν, οἱ δὲ πρὸς τὸν *Ἀννίβαν* ἀπέκλιναν. ἐπεὶ δ᾽ ἐν ταῖς *Κάνναις* εὐτύχησε, καί τινες ἄνδρες αὐτῶν ἁλόντες ἀφείθησαν, τὸ μὲν πλῆθος ὥρμησε μεταστῆναι πρὸς τὸν *Ἀννίβαν*, οἱ δὲ δυνατοὶ χρόνον μέν τινα ἐπέσχον, εἶτ᾽ ἐπ᾽ αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν συνηγμένους ἐν τῷ βουλευτηρίῳ πάντας ἂν κατεχρήσατο, εἰ μή τις ἐκ τοῦ πλήθους τὸ μέγεθος συνιδὼν τοῦ κακοῦ κατηγόρησε μὲν τῶν βουλευτῶν ὡς πάντως φθαρῆναι ἀξίων, ἔφη δὲ πρότερον ἄλλους ἀντ᾽ ἐκείνων ἀνθελέσθαι προσήκειν· τὴν γὰρ πόλιν μὴ δύνασθαι μὴ προβουλευόντων τινῶν σώζεσθαι. πεισθέντων δὲ τῶν ἐν τῇ *Καπύῃ* ἐκβάλλων ἕνα ἕκαστον ἐκ τοῦ συνεδρίου ἠρώτα τὸ πλῆθος, ὅντινα αὐτοῦ ἀνθαιρεῖται· καὶ οὕτω μὴ δυνηθέντων αὐτῶν ἑτέρους δι᾽ ὀλίγου ἀνθελέσθαι πάντας ἐκείνους ὡς ἀναγκαίους ἀφῆκε. καὶ καταλ-



ὅτι τοὺς *Νουκερίνους* καθ᾽ ὁμολογίαν ὥστε μεθ᾽ 32
ἑνὸς ἱματίου ἕκαστον ἐκ τῆς πόλεως ἐκχωρῆσαι λαβὼν *Ἀννίβας*, ἐπειδὴ ἐγκρατὴς αὐτῶν ἐγένετο, τοὺς μὲν βουλευτὰς ἐς βαλανεῖα ἀποκλείσας ἀπέπνιξεν, τοῖς δὲ ἄλλοις ἀπελθεῖν δῆθεν ὅποι βούλοιντο δοὺς πολλοὺς καὶ ἐκείνων ἐν τῇ ὁδῷ ἐφόνευσεν. οὐ μέντοι αὐτῷ ἐλυσιτέλησε· φοβηθέντες γὰρ καὶ οἱ λοιποί, μὴ τὰ ὅμοια πάθωσιν, οὐ συνέβαινον αὐτῷ καὶ ἀντεῖχον ἐφ᾽ ὅσον ἐξήρκουν. V p. 598. Zonar. 9, 2 (vol. II, p. 257, 7—15).

ὅτι ὁ *Μάρκελλος* καὶ ἀνδρείᾳ καὶ σωφροσύνῃ τῇ 33

[Zonaras 9, 2 — vol. II, p. 256, 27 sqq.]

λαγέντες ἀλλήλοις ἐσπείσαντο τῷ *Ἀννίβᾳ*. καὶ ὃς διὰ ταχέων ἀπαναστὰς ἐκ τῆς *Νεαπόλεως* ἦλθεν εἰς τὴν *Καπύην* καὶ διαλεχθεὶς αὐτοῖς ἄλλα τε πολλὰ εἶπεν ἐπαγωγὰ καὶ τὴν ἡγεμονίαν σφίσι τῆς *Ἰταλίας* δώσειν ὑπέσχετο, ἵν᾽ ἐν ἐλπίσι γενόμενοι ὡς καὶ ἑαυτοῖς πονήσοντες προθυμότερον ἀγωνίσωνται.

μεταστάσης δὲ τῆς *Καπύης* καὶ ἡ ἄλλη *Καμπανία* κεκίνητο· καὶ οἱ Ῥωμαῖοι τὴν ἀπόστασιν αὐτῆς μαθόντες ἤχθοντο. ὅ γε μὴν *Ἀννίβας* ἐπὶ *Νουκερίνους* ἐστράτευσεν. οἱ δὲ πολιορκούμενοι τὴν ἄχρηστον σφῶν ἡλικίαν ἀπορίᾳ τροφῶν ἐξεώσαντο· οὓς ὁ *Ἀννίβας* οὐ προσήκατο, ἀλλὰ καὶ εἰς τὴν
πόλιν ἀπιοῦσι μόνον ἀσφάλειαν ἔδωκε. διὸ καὶ οἱ λοιποὶ fr. 56, 32
μεθ᾽ ἑνὸς ἱματίου ἐκχωρῆσαι τοῦ ἄστεος ὡμολόγησαν. ἐπεὶ δ᾽ ἐγκρατὴς αὐτῶν ἐγένετο, τοὺς μὲν βουλευτὰς ἐς βαλανεῖα κατακλείσας ἀπέπνιξε, τοῖς δ᾽ ἄλλοις ἀπελθεῖν εἰπών, ὅπῃ βούλοιντο, πολλοὺς ἐν τῇ ὁδῷ κἀκείνων ἐφόνευσε. συχνοὶ δ᾽ οὖν αὐτῶν καὶ περιεγένοντο εἰς ὕλας προκαταφυγόντες. ἐκ τούτου δὲ οἱ λοιποὶ φοβηθέντες οὐ συνέβαινον ἔτι αὐτῷ, ἀλλ᾽ ἀντεῖχον, ἕως ἠδύναντο. καὶ οἱ *Νωλανοὶ* βουλευό-

32, 5 ὅποι V, ὅπῃ L

τε δικαιοσύνῃ πολλῇ ἐχρήσατο, παρὰ δὲ δὴ τῶν ἀρχομένων οὐ πάντα ἀκριβῶς οὐδὲ χαλεπῶς ἀπῄτει, ἀλλ' ἐπιμέλειαν ⟨μέν⟩, ὅπως καὶ ἐκεῖνοι τὰ δέοντα πράττωσιν, ἐποιεῖτο, τοῖς δὲ ἁμαρτάνουσί τι αὐτῶν συγγνώμην κατὰ τὸ ἀνθρώπινον ἔνεμε καὶ οὐκ ὠργίζετο ἔτι, εἰ μὴ ὅμοιοι αὐτῷ εἶεν. V p. 601.

34 ὅτι ἐν τῇ Νώλῃ πολλῶν τοὺς ἁλόντας τε ἐν ταῖς Κάνναις καὶ ἀφεθέντας ὑπὸ τοῦ Ἀννίβου διὰ φόβου τε ἐχόντων ὡς καὶ τὰ ἐκείνου φρονοῦντας καὶ θανατῶσαι βουλομένων ἀντέστη. καὶ μετὰ τοῦτο τὴν ὑποψίαν, ἣν ἐς αὐτοὺς εἶχεν, ἀποκρυψάμενος οὕτω σφᾶς μετεχειρίσατο, ὥστε τά τε ἑαυτοῦ ἀνθελέσθαι καὶ χρησιμωτάτους καὶ τῇ πατρίδι καὶ τοῖς Ῥωμαίοις γενέσθαι. V p. 601. Cf. Zonaras 9, 2 (vol. II, p. 257, 17 sqq.).

35 ὅτι ὁ αὐτὸς Μάρκελλος τῶν ἱππέων τινὰ τῶν Λευκανῶν αἰσθόμενος ἐν ἔρωτι γυναικὸς ὄντα συνεχώρησεν αὐτῷ καὶ ἐν τῷ στρατοπέδῳ αὐτὴν ἔχειν, ὅτι κράτιστα ἐμάχετο, καίπερ ἀπαγορεύσας μηδεμίαν ἐς τὸ τάφρευμα γυναῖκα ἐσιέναι. V p. 601.

36 ὅτι τὰ αὐτὰ ἐποίησε ⟨τοὺς Ἀκερανοὺς⟩ καὶ τοῖς Νουκερίνοις, πλὴν καθ' ὅσον ἐς φρέατα τοὺς βουλευτὰς καὶ οὐκ ἐς βαλανεῖα ἐνέβαλεν. V p. 601. Zonar. 9, 2 (vol. II, p. 257, 20—22).

37 ὅτι ὁ Φάβιος τοὺς πολίτας ⟨τοὺς⟩ ἐν ταῖς πρὶν μάχαις ζωγρηθέντας τοὺς μὲν ἄνδρα ἀντ' ἀνδρὸς ἐκομίσατο, τοὺς δὲ καὶ χρημάτων ἀπολύσασθαι συνέθετο. μὴ δεξαμένης δὲ τῆς βουλῆς τὸ ἀνάλωμα, ὅτι μηδὲ τὴν λύσιν αὐτῶν συνεπῄνεσε, τά τε ἑαυτοῦ χωρία, ὥσπερ εἶπον, ἀπεκήρυξε καὶ ἐκ τῆς τιμῆς σφῶν τὰ λύτρα αὐτοῖς ἐχαρίσατο. V p. 601.

[Zonaras 9, 2 — vol. II, p. 257, 16 sqq.]

μενοι προσχωρῆσαι αὐτῷ, ἐπεὶ τὸ εἰς ἐκείνους εἶδον πραχθέν, ἐπηγάγοντο λάθρᾳ τὸν Μάρκελλον καὶ τὸν Ἀννίβαν προσβαλόντα τῇ πόλει μετὰ ταῦτα ἀπώσαντο. ἀποκρουσθεὶς δὲ fr. 55,36 τῆς Νώλης Ἀκερανοὺς εἷλε λιμῷ ἐπὶ ταῖς αὐταῖς τοῖς Νουκερίνοις συνθήκαις καὶ τὰ αὐτὰ εἰργάσατο καὶ

[Zonaras 9, 2 sq. — vol. II, p. 257, 21 sqq.]

αὐτούς. εἶτα καὶ ἐπὶ Βασιλίνας ἐστράτευσεν, ἐν ᾧ Ῥωμαῖοί τε καὶ συμμάχων ὡσεὶ χίλιοι συγκατέφυγον. οἳ τοὺς ἐπιχωρίους προδοῦναι σφᾶς μελετήσαντας ἀπέκτειναν καὶ τὸν Ἀννίβαν πολλάκις ἀπώσαντο καὶ πρὸς λιμὸν γενναίως διεκαρτέρησαν· ἐπιλειπούσης δὲ τῆς τροφῆς αὐτοὺς ἐπ' ἀσκοῦ τινα διὰ τοῦ ποταμοῦ πρὸς τὸν δικτάτωρα ἔπεμψαν· ὁ δὲ πίθους ἀλεύρων πλήρεις ἐνέβαλεν εἰς τὸν ποταμὸν νυκτὸς ἐντειλάμενος αὐτοῖς παρατηρεῖν ἐν τῷ σκότει τὸ ῥεῦμα. καὶ χρόνον μέν τινα ἐλάνθανεν οὕτως τὰς τροφὰς αὐτοῖς χορηγῶν, ἔπειτα πίθου τινὸς προσραγέντος ποι καὶ συντριβέντος ἔγνων οἱ Καρχηδόνιοι τὸ γινόμενον καὶ ἁλύσεσι τὸν ποταμὸν διειλήφασιν. ὡς δὲ τῷ λιμῷ καὶ τοῖς τραύμασι συχνοὶ διεφθάρησαν, τὸ ἕτερον τῆς πόλεως μέρος ἐξέλιπον κἀν τῷ λοιπῷ διεκαρτέρουν τὴν γέφυραν διακόψαντες. εἶτα σπέρμα γογγυλίδος ἀπὸ τοῦ τείχους εἴς τι χωρίον ἔξωθεν αὐτοῦ κατέβαλον. ἐποίησαν δὲ τοῦτο, ἵνα καταπλήξωσι τοὺς πολεμίους ὡς καὶ ἐπὶ πολὺ ἀνταρκέσοντες. ὅθεν ὁ Ἀννίβας ἄφθονον αὐτοὺς ἔχειν τὴν τροφὴν οἰηθεὶς καὶ ἐπὶ τῇ καρτερίᾳ θαυμάσας εἰς ὁμολογίαν προεκαλέσατο καὶ χρημάτων ἀπέδοτο σφᾶς. ἐλύσαντο γὰρ αὐτοὺς οἱ ἔξω Ῥωμαῖοι ἀσμένως, ἀλλὰ μὴν καὶ ἐτίμησαν.

3. ἐν ᾧ δὲ ταῦτα ἐγένετο, καὶ ἐκ Δελφῶν οἱ πεμφθέν-

33, 3 ἀλλ' V in versione latina, quem secutus est R, οὐδὲ L ‖ 4 ⟨μὲν⟩ ins. V in versione latina ‖ 34, 2 Ἀννίβαλ L ‖ φόβου R, φόβον L ‖ 3 φρονοῦντας Reiske, φρονούντων L ‖ 5 εἶχεν Reiske, εἶχον L ‖ οὕτω V, οὐ L ‖ 6 ἀνθελέσθαι Herwerden, ἀνελέσθαι L ‖ 36, 1 ⟨τοὺς Ἀκερανοὺς⟩ cum Bekkero inserui e Zonara; ὅτι ⟨καὶ Ἀκερανοὺς ἑλὼν ἐπὶ ταῖς αὐταῖς τοῖς Νουκερίνοις συνθήκαις⟩ τὰ αὐτὰ κτλ. suppl. V

37, 1 ⟨τοὺς⟩ inseruit B ‖ 4 δεξαμένης V, δεξάμενος L

[Zonaras 9, 3 — vol. II, p. 258, 15 sqq.]

τες ἀνεκομίσθησαν λέγοντες τὴν Πυθίαν χρῆσαι αὐτοῖς παύσασθαι τῆς ῥᾳθυμίας καὶ τῷ πολέμῳ προσέχειν. ἐντεῦθεν ἀνερρώσθησαν. καὶ κατέλαβον τὸν Ἀννίβαν καί οἱ παρεστρατοπεδεύσαντο, ὅπως τὰ πραττόμενα παρ' αὐτοῦ παρατηρῶσι. καὶ ὅ γε Ἰούνιος ὁ δικτάτωρ τὰ τοῖς Καρχηδονίοις παραγγελλόμενα καὶ τοὺς Ῥωμαίους ποιεῖν ὁμοίως ἐκέλευε. καὶ σῖτα καὶ ὕπνον ἐν τῷ αὐτῷ καιρῷ ᾑροῦντο καὶ τὰς φυλακὰς ὁμοίως ἐπεσκόπουν καὶ τἄλλα ἐπ' ἴσης ἔπραττον. καταμαθὼν οὖν τοῦτο ὁ Ἀννίβας χειμέριον ἐτήρησε νύκτα καὶ τοῖς μὲν τῶν στρατιωτῶν ἐπέξοδον ἀφ' ἑσπέρας ἀνεῖπε, τοῦ δὲ Ἰουνίου τὸ αὐτὸ ποιήσαντος ἐκ διαδοχῆς ἄλλοτε ἄλλους αὐτῷ προσβάλλειν ἐκέλευσεν, ἵν' ἐν συνεχεῖ πόνῳ ἐκ τῆς ἀγρυπνίας καὶ τοῦ χειμῶνος εἴησαν· αὐτὸς δὲ μετὰ τῶν λοιπῶν ἀνεπαύετο. ἐπεὶ δ' ἡμέρα ἐπιλάμψειν ἔμελλε, τὸ στράτευμά τε δῆθεν ἀνεκαλέσατο καὶ τῶν Ῥωμαίων τὰ ὅπλα ἀποθεμένων καὶ πρὸς ἀνάπαυλαν τραπομένων ἐπῆλθεν αὐτοῖς ἄφνω καὶ συχνοὺς ἀπέκτεινε καὶ τὸ τάφρευμα ἐκλειφθὲν εἷλε.

τὰ δ' ἐν τῇ Σικελίᾳ καὶ τῇ Σαρδοῖ ἐκινεῖτο, οὐ μέντοι
a. u. 539 (215) καὶ ἐπιστροφῆς τινος παρὰ τῶν Ῥωμαίων ἔτυχον. ὕπατοι δὲ ὅ τε Γράκχος ὁ ἵππαρχος καὶ Ποστούμιος Ἀλβῖνος ᾑρέθησαν. καὶ ὁ μὲν Ἀλβῖνος μετὰ παντὸς τοῦ στρατοῦ ὑπὸ τῶν Βοουΐων ἐφθάρη δι' ὄρους ὑλώδους πορευόμενος καὶ ἐνεδρευθείς· οὗ τὴν κεφαλὴν ἀποτεμόντες οἱ βάρβαροι καὶ ἐκκαθάραντες καὶ περιχρυσώσαντες πρὸς τὰ ἱερὰ αὐτῶν ἀντὶ φιάλης ἐκέχρηντο. γεγόνασι δὲ τότε τέρατα· βοῦς τε γὰρ ἵππον τέτοκε καὶ ἐν θαλάσσῃ ἐξέλαμψε πῦρ. οἱ δ' ὕπατοι Γράκχος καὶ Φάβιος στρατοπεδευσάμενοι τόν τε Ἀννίβαν ἐν Καπύῃ ὄντα ἐπετήρουν, ὅ,τι πράσσει, καὶ διεπέμποντο ἑκασταχόσε τοῖς τε συμμάχοις ἐπήμυνον καὶ τοὺς ἀφεστηκότας οἰκειοῦσθαι ἐπειρῶντο τά τε τῶν ἀνθισταμένων ἐκάκουν. ὁ δ' Ἀννίβας ἕως μὲν τῆς τροφῆς ἐνδεῶς ηὐπόρει καὶ διακινδυνεύων, σωφρόνως μετὰ τοῦ στρατοῦ διῆγεν, ὡς δὲ τὴν Καπύην ἔλαβον καὶ πολλοῖς ἐπιτηδείοις ἐν ῥᾳστώνῃ διεχείμασαν, τήν τε ἰσχὺν τῶν σωμάτων μὴ πονούμενοι καὶ τὴν ῥώμην τῆς γνώμης ὑπὸ τῆς εὐθυμίας ἠλαττώθησαν καὶ τὴν



[Zonaras 9, 3 — vol. II, p. 259, 25 sqq.]

πάτριον ἀμείψαντες δίαιταν μετέμαθον ἡττᾶσθαι μαχόμενοι. ἐπεὶ δὲ ὁ πόλεμος ἤδη ἐπέκειτο, ἐς ὄρη μετέστη καὶ ἐγύμναζε τὸ στράτευμα. οἱ δ' οὐχ οἷοί τε δι' ὀλίγου ῥωσθῆναι γεγόνασι. βοηθείας δὲ αὐτῷ οἴκοθεν ἄλλης τε καὶ ἐλεφάντων ἐλθούσης ἀνεθάρσησε. καὶ ἐπὶ τὴν Νῶλαν ὡς αἱρήσων αὐτὴν ἢ τόν γε Μάρκελλον τὴν Σαυνῖτιδα πορθοῦντα ταύτης ἀπάξων ὥρμησεν. ὡς δ' οὐδὲν ἐπέραινε, τῆς μὲν πόλεως ἀπέστη, τὴν δὲ χώραν ἔκειρε, μέχρις οὗ μάχῃ κατὰ τὸ ἰσχυρὸν ἡττήθη, ἐφ' ᾧ καὶ ἤλγησε. πολλοὶ μὲν γὰρ Ἴβηρες, πολλοὶ δὲ καὶ τῶν Λιβύων ἐγκατέλιπον αὐτὸν καὶ πρὸς τοὺς Ῥωμαίους ηὐτομόλησαν, ὃ οὔπω πρῴην ἔπαθε. καταγνοὺς δ' ἐκ τούτου καὶ ἑαυτοῦ καὶ τῶν στρατιωτῶν πᾶσαν τὴν γῆν ἐκείνην ἐξέλιπε καὶ εἰς τὴν Καπύην ἀνεχώρησεν· εἶτα κἀκεῖθεν μετέστη.

οἱ δὲ Σκιπίωνες τόν τε Ἴβηρα ποταμὸν διέβησαν καὶ a. u. 537
τὴν χώραν ἐπόρθουν καὶ πόλεις προσηγάγοντο καὶ τὸν Ἀσ- (217)
δρούβαν διὰ ταῦτα σπουδῇ ἐπελθόντα μάχῃ ἐνίκησαν. οἱ Καρχηδόνιοι δὲ ταῦτα μαθόντες καὶ νομίσαντες πλείονος τὸν Ἀσδρούβαν ἢ τὸν Ἀννίβαν δεῖσθαι βοηθείας καὶ φοβηθέντες, μὴ καὶ ἐς τὴν Λιβύην οἱ Σκιπίωνες διαβῆναι ἐπιχειρήσωσι, τῷ μὲν Ἀννίβᾳ βραχεῖαν δύναμιν ἔπεμψαν, τὴν πλείστην δὲ μετὰ τοῦ Μάγωνος εἰς τὴν Ἰβηρίαν τάχιστα ἀπεστάλκασι κελεύσαντες μετὰ τὴν τῆς Ἰβηρίας κατάστασιν τὸν μὲν ἐπὶ τῇ τῶν ἐκεῖ φυλακῇ καταμεῖναι, τὸν δὲ Ἀσδρούβαν ἐπὶ τὴν Ἰταλίαν σὺν δυνάμει σταλῆναι. ὃ γνόντες οἱ a. u.
Σκιπίωνες οὐκέτ' ἐμαχέσαντο, ἵνα μὴ κρατήσας ἴσως ὁ Ἀσ- 538 (216)
δρούβας εἰς τὴν Ἰταλίαν ἐπειχθῇ. ὡς δὲ τὸ τῶν Ῥωμαίων φίλιον ἐκάκουν οἱ Καρχηδόνιοι, Πούπλιος μὲν ὁμόσε τοῖς προσπεσοῦσιν αὐτῷ τῶν ἐναντίων ἐχώρησέ τε καὶ ἐπεκράτησε, Γναῖος δὲ τοὺς ἀποχωροῦντας σφῶν ἐκ τῆς μάχης ὑπολαβὼν προσδιέφθειρεν. ἐκ δὲ τῆς συμφορᾶς ταύτης καὶ ὅτι καὶ πόλεις συχναὶ πρὸς τοὺς Ῥωμαίους μεθίσταντο καὶ τῶν Λιβύων τινὲς αὐτοῖς προσεχώρησαν, πλέον ἢ διενοεῖτο ὁ Ἀσδρούβας κατέμεινεν. οἱ δὲ Σκιπίωνες εἰς τὴν Ἰταλίαν εὐθὺς τοὺς προσχωρήσαντας ἔστειλαν, αὐτοὶ δὲ τὰ ἐν τῇ Ἰβηρίᾳ καθίστων καὶ τοὺς τῶν Ζακυνθίων ὑπηκόους τοὺς

[Zonaras 9, 3 sq. — vol. II, p. 261, 2 sqq.]

καὶ τοῦ πολέμου καὶ τῆς συμφορᾶς αἰτίους αὐτοῖς γενομέ-
νους ἑλόντες τό τε πόλισμα κατέσκαψαν καὶ τοὺς ἀνθρώ-
πους ἐπώλησαν καὶ τὴν Ζάκυνθον μετὰ τοῦτο κομισάμενοι
τοῖς ἀρχαίοις πολίταις ἀπέδοσαν. τοσαύτῃ τε ἀκριβείᾳ περὶ
τὴν λείαν ἐχρήσαντο, ὡς μηδὲν οἴκοι πέμψαι· τοῖς μὲν γὰρ
συστρατευομένοις ἐπέτρεπον τοῦτο ποιεῖν, αὐτοὶ δὲ ἀστραγά-
λους τοῖς τέκνοις ἔπεμψαν. ὅθεν ἡ γερουσία παραιτουμέ-
νου τοῦ Γναίου, ἵν' ἀπελθὼν οἴκαδε προῖκα τῇ θυγατρὶ
ἐρανίσῃ ὡραίᾳ οὔσῃ ἀνδρός, ἐψηφίσαντο ἐκ τοῦ δημοσίου
προῖκα δοθῆναι αὐτῇ.

4. ἐν δὲ τῷ αὐτῷ καιρῷ καὶ ἡ Σικελία καὶ ἡ Σαρδὼ
ἄντικρυς ἐπολεμώθησαν. καὶ τὰ μὲν ἐν ταύταις δι' ὀλίγου
κατέστη, καὶ ὁ Ἀσδρούβας ἐπικουρῶν αὐταῖς ἑάλω, καὶ τὴν
a. u. 539 νῆσον μικροῦ πᾶσαν ἀνεκτήσατο Μάλλιος Τορκουᾶτος. καὶ
(215) τότε μὲν τὰ ἐν τῇ Σικελίᾳ ἡσύχασε, μετὰ δὲ ταῦτα ἐταράχθη.
ὁ δὲ τῆς Μακεδονίας βασιλεὺς Φίλιππος φανερώτατος τῶν
Καρχηδονίων ἐγένετο σπουδαστής. τῆς γὰρ Ἑλλάδος προσ-
επάρξαι θέλων συνθήκας πρὸς τὸν Ἀννίβαν ἔθετο, ὥστε
κοινῇ πολεμῆσαι, καὶ τὴν μὲν Ἰταλίαν τοὺς Καρχηδονίους
λαβεῖν, τὴν δ' Ἑλλάδα καὶ τὴν Ἤπειρον μετὰ τῶν νήσων
ἐκεῖνον. ἡ μὲν οὖν ὁμολογία ἐπὶ τούτοις ἐγένετο, τοῦ κή-
ρυκος δὲ τοῦ ὑπὸ τοῦ Φιλίππου πεμφθέντος πρὸς τὸν Ἀν-
νίβαν ἁλόντος ἔμαθον οἱ Ῥωμαῖοι τὸ γινόμενον καὶ παρα-
χρῆμα στρατηγὸν ἐπ' αὐτὸν Μᾶρκον Οὐαλέριον Λαουίνιον
ἔστειλαν, ὅπως περὶ τοῖς οἴκοι δείσας κατὰ χώραν μείνῃ.
a. u. 540 καὶ ἔσχεν οὕτως· προῆλθε μὲν γὰρ μέχρι τῆς Κερκύρας ὁ
(214) Φίλιππος ὡς ἐς τὴν Ἰταλίαν πλευσόμενος, μαθὼν δὲ τὸν
Λαουίνιον εἰς τὸ Βρεντέσιον ἤδη παρόντα οἴκαδε ἀνεκομίσθη.
τοῦ Λαουινίου δὲ μέχρι τῆς Κερκύρας πλεύσαντος εἰς τοὺς
τῶν Ῥωμαίων συμμάχους ὥρμησε, καὶ εἷλεν Ὤρικον Ἀπολ-
λωνίαν τ' ἐπολιόρκει. ἐπιστρατεύσας δ' αὖθις αὐτῷ Λαουί-
νιος καὶ Ὤρικον ἀνεκτήσατο καὶ τὴν Ἀπολλωνίαν ἐρρύσατο.
κἀντεῦθεν ὁ Φίλιππος τὰς ναῦς, αἷς ἐκέχρητο, καταπρήσας
πεζῇ ἐπ' οἴκου ἀνεχώρησεν.

a. u. 540 οἱ δ' ἐν τῇ Ῥώμῃ ὑπάτους εἵλοντο τὸν Φάβιον καὶ τὸν
(214) Μάρκελλον. οἳ τὸν μὲν Ἀννίβαν τὴν νῦν Καλαβρίαν κα-



ὁ Ἀρχιμήδης ὁ σοφὸς μηχανητὴς ἐκεῖνος 38
τῷ γένει Συρακούσιος ἦν γέρων γεωμέτρης
χρόνους τε ἑβδομήκοντα καὶ πέντε παρελαύνων,
ὅστις εἰργάσατο πολλὰς μηχανικὰς δυνάμεις
καὶ τῇ τρισπάστῳ μηχανῇ χειρὶ λαιᾷ καὶ μόνῃ
πεντεμυριομέδιμνον καθείλκυσεν ὁλκάδα.
καὶ τοῦ Μαρκέλλου στρατηγοῦ ποτε δὲ τῶν Ῥωμαίων
τῇ Συρακούσῃ κατὰ γῆν προσβάλλοντος καὶ πόντον
τινὰς μὲν πρῶτον μηχαναῖς ἀνείλκυσεν ὁλκάδας
καὶ πρὸς τὸ Συρακούσιον τεῖχος μετεωρίσας
αὐτάνδρους πάλιν τῷ βυθῷ κατέπεμπεν ἀθρόως.
Μαρκέλλου δ' ἀποστήσαντος μικρόν τι τὰς ὁλκάδας
ὁ γέρων πάλιν ἅπαντας ποιεῖ Συρακουσίους
μετεωρίζειν δύνασθαι λίθους ἁμαξιαίους
καὶ τὸν καθένα πέμποντα βυθίζειν τὰς ὁλκάδας.

[Zonaras 9, 4 — vol. II, p. 262, 12 sqq.]

λουμένην καὶ τὰ περὶ αὐτὴν περιπορευόμενον τῷ Γράκχῳ
τῷ πρὸ αὐτῶν ἄρξαντι ἐπέταξαν· καὶ ὃς Ἄννωνα περὶ Βε-
νεβεντὸν ἀπαντήσαντά οἱ ἐκ Βρεττίων ἐτρέψατο κἀντεῦθεν
προϊὼν τόν τε Ἀννίβαν παρεφύλαττε καὶ τὰ τῶν ἀφεστηκό-
των ἐπόρθει πόλεις τέ τινας ἀνεσώσατο· αὐτοὶ δὲ οἱ ὕπα-
τοι πρὸς τὴν Καμπανίαν ἐτράποντο, ἵν' αὐτὴν χειρωσάμενοι
μηδὲν κατόπιν πολέμιον ὑπολίπωσιν οὕτω τε ἐπὶ τὸν Ἀν-
νίβαν χωρήσωσιν. εἶτα διαιρεθέντες Φάβιος μὲν τά τε ἐκεί-
νων τά τε τοῦ Σαυνίου κατέτρεχε, Μάρκελλος δὲ εἰς τὴν
Σικελίαν ἐπεραιώθη καὶ τὰς Συρακούσας ἐπολιόρκει προσ-
χωρησάσας μὲν αὐτῷ, εἶτ' ἀποστάσας δόλῳ τινῶν ὑπὸ ψευ-
δοῦς ἀγγελίας. καὶ δι' ἐλαχίστου ἂν αὐτὰς ἐχειρώσατο καὶ
κατὰ γῆν καὶ κατὰ θάλασσαν ἅμα προσβαλὼν τῷ τείχει, εἰ
μὴ ὁ Ἀρχιμήδης μηχαναῖς ἐπὶ πλεῖστον αὐτοὺς ἐποίησεν cf. fr. 56,38
ἀντισχεῖν. καὶ λίθους γὰρ καὶ ὁπλίτας μηχανήμασιν ἀπαρ-
τῶν καθίει τε ἐξαπιναίως αὐτοὺς καὶ ἀνέσπα δι' ὀλίγου.
ταῖς δὲ ναυσὶ καὶ ταῖς πυργοφόροις ἑτέρας ἐπιρρίπτων ἀν-
εῖλκέ τε αὐτὰς καὶ μετεωρίζων ἀθρόως ἠφίει, ὥστε ἐμπι-

ὡς Μάρκελλος δ' ἀπέστησε βολὴν ἐκείνας τόξου,
ἑξάγωνόν τι κάτοπτρον ἐτέκτηνεν ὁ γέρων,
ἀπὸ δὲ διαστήματος συμμέτρου τοῦ κατόπτρου
μικρὰ τοιαῦτα κάτοπτρα θεὶς τετραπλᾶ γωνίαις
κινούμενα λεπίσι τε καί τισι γιγγλυμίοις
μέσον ἐκεῖνο τέθεικεν ἀκτίνων τῶν ἡλίου
μεσημβρινῆς καὶ θερινῆς καὶ χειμεριωτάτης.
ἀνακλωμένων δὲ λοιπὸν εἰς τοῦτο τῶν ἀκτίνων
ἔξαψις ἤρθη φοβερὰ πυρώδης ταῖς ὁλκάσι,
καὶ ταύτας ἀπετέφρωσεν ἐκ μήκους τοξοβόλου.
οὕτω νικᾷ τὸν Μάρκελλον ταῖς μηχαναῖς ὁ γέρων.
ἔλεγε δὲ καὶ δωριστί, φωνῇ Συρακουσίᾳ·
"πᾶ βῶ, καὶ χαριστίωνι τᾶν γᾶν κινήσω πᾶσαν"
οὗτος κατὰ Διόδωρον τῆς Συρακούσης ταύτης
προδότου πρὸς τὸν Μάρκελλον ἀθρόως γενομένης,
εἴτε κατὰ τὸν Δίωνα Ῥωμαίοις πορθηθείσης,
Ἀρτέμιδι τῶν πολιτῶν τότε παννυχιζόντων,
τοιουτοτρόπως τέθνηκεν ὑπό τινος Ῥωμαίου.

[Zonaras 9,4 — vol. II, p. 263, 1 sqq.]

πτούσας εἰς τὸ ὕδωρ ῥύμῃ βαπτίζεσθαι. καὶ τέλος σύμπαν τὸ ναυτικὸν τῶν Ῥωμαίων παραδόξως κατέπρησε. κάτοπτρον γάρ τι πρὸς τὸν ἥλιον ἀνατείνας τήν τε ἀκτῖνα αὐτοῦ ἐς αὐτὸ εἰσεδέξατο καὶ τὸν ἀέρα ἀπ' αὐτῆς τῇ πυκνότητι καὶ τῇ λειότητι τοῦ κατόπτρου πυρώσας φλόγα τε μεγάλην ἐξέκαυσε καὶ πᾶσαν αὐτὴν ἐς τὰς ναῦς ὑπὸ τὴν τοῦ πυρὸς ὁδὸν ὁρμούσας ἐνέβαλε καὶ πάσας κατέκαυσεν. ἀπογνοὺς οὖν ὁ Μάρκελλος τὴν πόλιν αἱρήσειν διὰ τὸ τοῦ Ἀρχιμή-

---

38, 17 ἑξάγωνον κτλ.] quae vv. 119—127 de speculis causticis narravit Tzetzes, haec non e Dione, sed e mechanographis, quorum v. 151 mentionem fecit, fluxisse putat Haupt, Hermes XIV, p. 439; sed coll. Zonar. haec quoque Dionis esse iudicat Baumgarten, Ueber die Quellen des Cassius Dio fuer die aeltere roemische Geschichte, p. 22.



ἦν κεκυφὼς διάγραμμα μηχανικόν τι γράφων,
τὶς δὲ Ῥωμαῖος ἐπιστὰς εἷλκεν αἰχμαλωτίζων.
ὁ δὲ τοῦ διαγράμματος ὅλος ὑπάρχων τότε,
τίς ὁ καθέλκων οὐκ εἰδὼς ἔλεγε πρὸς ἐκεῖνον·
"ἀπόστηθι, ὦ ἄνθρωπε, τοῦ διαγράμματός μου."
ὡς δ' εἷλκε τοῦτον συστραφεὶς καὶ γνοὺς Ῥωμαῖον
εἶναι,
ἐβόα· "τί μηχάνημά τις τῶν ἐμῶν μοι δότω."
ὁ δὲ Ῥωμαῖος πτοηθεὶς εὐθὺς ἐκεῖνον κτείνει,
ἄνδρα σαθρὸν καὶ γέροντα, δαιμόνιον τοῖς ἔργοις.
ἐθρήνησε δὲ Μάρκελλος τοῦτο μαθὼν εὐθέως
λαμπρῶς τε τοῦτον ἔκρυψεν ἐν τάφοις τοῖς πατρῴοις
σὺν τοῖς ἀρίστοις πολιτῶν καὶ τοῖς Ῥωμαίοις πᾶσι,
τὸν δὲ φονέα τοῦ ἀνδρὸς οἶμαι πελέκει κτείνει.
ὁ Δίων καὶ Διόδωρος γράφει τὴν ἱστορίαν.

Tzetzes Hist. 2, 103—149. Cf. Zonaras 9, 4 (vol. II, p. 262).

[Zonaras 9, 4 sq. — vol. II, p. 263, 10 sqq.]

δους εὐμήχανον λιμῷ αὐτοὺς κατασχεῖν ἐκ προσεδρείας διεμελέτησε. καὶ ταύτας μὲν τῷ Πούλχρῳ ἐπέτρεψεν, αὐτὸς δ' ἐπὶ τοὺς συναποστάντας σφίσιν ἐτράπετο· καὶ τοῖς μὲν γνωσιμαχοῦσι συγγνώμην ἔνεμε, τοὺς δ' ἀνθισταμένους μετεχειρίζετο χαλεπῶς καὶ συχνὰς μὲν τῶν πόλεων βίᾳ, τινὰς δὲ καὶ προδοσίᾳ ᾕρει. ἐν τούτοις δ' Ἱμίλκων ἐκ Καρχηδόνος σὺν στρατῷ ἧκε, τὸν Ἀκράγαντά τε κατέσχε καὶ τὴν Ἡράκλειαν καὶ πρὸς Συρακούσας ἐλθὼν ἡττήθη τε καὶ ἀντεπεκράτησε καὶ τοῦ Μαρκέλλου ἐξαπίνης αὐτῷ προσπεσόντος αὖθις ἐνικήθη.

5. ἐντεῦθεν ὁ Μάρκελλος ταῖς Συρακούσαις ἐφήδρευεν.
ὁ δ' Ἀννίβας ἐν τῇ Καλαβρίᾳ διέτριβεν. οἱ μέντοι Ῥωμαῖοι a. u. 542
πολλὰ αὖθις καὶ δυσχερῆ πεπόνθασιν· οἵ τε γὰρ ὕπατοι (212)
πρὸς τῇ Καπύῃ ἔπταισαν, καὶ ὁ Γράκχος ἐν τῇ Λευκανίᾳ ἀπώλετο, καὶ οἱ Ταραντῖνοι καὶ ἄλλαι πόλεις ἀπέστησαν, καὶ

39 κάτοπτρα γὰρ ᾄδεται χαλκεῦσαι πυρφόρα ὁ Πρόκλος καὶ ταῦτα ἐκ τοῦ τείχους τῶν πολεμίων νεῶν ἀπαιωρῆσαι κατέναντι, τούτοις δὲ τῶν τοῦ ἡλίου ἀκτίνων προσβαλουσῶν πῦρ ἐκεῖθεν ἐκκεραυνοῦσθαι καταφλέγον τὸν νηΐτην τῶν ἐναντίων στρατὸν καὶ τὰς νῆας αὐτάς, ὃ πάλαι τὸν Ἀρχιμήδην ἐπινοῆσαι ὁ Δίων ἱστόρησε, τῶν Ῥωμαίων τότε πολιορκούντων Συράκουσαν. Zonar. 14, 3 (vol. III, p. 261, 20—27).

[Zonaras 9, 5 — vol. II, p. 263, 26 sqq.]

ὁ Ἀννίβας κατεπτηχὼς πρότερον ἐν τῇ Ἰταλίᾳ τε ἔμεινε καὶ ἐπὶ τὴν Ῥώμην ἐστράτευσε, καὶ οἱ Σκιπίωνες ἄμφω διώλοντο. ἐπαρθεὶς οὖν ἐπὶ τούτοις ὁ Ἀννίβας ἐπεχείρησε τῇ Καπύῃ βοηθῆσαι. καὶ ἦλθε μέχρι Βενεβεντοῦ· τὸν δὲ Κλαύδιον εἰς τὴν Λευκανίαν ἐκ τοῦ Σαυνίου διὰ τὸν τοῦ Γράκχου θάνατον ἀπεληλυθέναι πυθόμενος καὶ φοβηθείς, μή τινα αὐτῆς σφετερίσηται, οὐκέτι περαιτέρω προεχώρησεν, ἐπ' ἐκεῖνον δ' ἐτράπετο. τῶν Σκιπιώνων δὲ θανόντων πᾶσα ἡ Ἰβηρία τετάρακτο, καὶ οἱ μὲν ἑκουσίως πρὸς τοὺς Καρχηδονίους ἀπέκλινον, οἱ δὲ καὶ ἀναγκαζόμενοι, εἰ καὶ ὕστερον αὖθις πρὸς τοὺς Ῥωμαίους ἀπένευσαν.

ὁ δὲ Μάρκελλος ἐπεὶ μηδὲν προσβάλλων ταῖς Συρακούσαις ἐπέραινε, τοιοῦτόν τι ἐπενόησεν. ἦν τι τοῖς Συρακουσίοις τοῦ τείχους ἐπίμαχον, ὃ Γαλεάγραν ὠνόμαζον, ὃ πρὶν μὲν ἐλάνθανε τοιοῦτον ὄν, τότε δὲ ἐφωράθη. τηρήσας οὖν τοὺς Συρακουσίους παννυχίδα τῇ Ἀρτέμιδι ἄγοντας πανδημεὶ ἐκέλευσε στρατιώταις τισὶ κατ' ἐκεῖνο τὸ χωρίον ὑπερβῆναι τὸ τεῖχος. κἀκ τούτου πύλαι τέ τινες ὑπ' αὐτῶν ἀνεῴχθησαν, καὶ εἰσελθόντων καὶ ἑτέρων ἅμα πάντες ἀπὸ σημείου καὶ οἱ ἔσω καὶ οἱ ἔξω συνεβόησαν καὶ τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουσαν, καὶ οἱ σαλπιγκταὶ προσεπήχησαν, ὥστε ἀθρόαν τὴν ἔκπληξιν τοῖς Συρακουσίοις μηδ' ἄλλως εὖ ἔχουσιν ὑπὸ μέθης συμβῆναι, καὶ τὴν πόλιν ἁλῶναι πλὴν τῆς Ἀχραδίνης καὶ τῆς Νήσου καλουμένης. ὁ οὖν Μάρκελλος τά τε ἑαλωκότα διήρπασε καὶ τοῖς μὴ ἁλοῦσι προσέβαλε καὶ σὺν πόνῳ μὲν καὶ χρόνῳ, ὅμως δ' οὖν καὶ



[Zonaras 9, 5 — vol. II, p. 264, 27 sqq.]

τῶν λοιπῶν τῆς Συρακούσης ἐκράτησεν. ἐγκρατεῖς δὲ τούτων οἱ Ῥωμαῖοι γενόμενοι ἄλλους τε πολλοὺς καὶ τὸν Ἀρχιμήδην ἀπέκτειναν. διάγραμμα γάρ τι διαγράφων καὶ ἀκούσας τοὺς πολεμίους ἐφίστασθαι "πὰρ κεφαλάν" ἔφη "καὶ cf. fr. 56, 38
μὴ παρὰ γραμμάν." ἐπιστάντος δὲ αὐτῷ πολεμίου βραχύ τε ἐφρόντισε καὶ εἰπὼν "ἀπόστηθι, ἄνθρωπε, ἀπὸ τῆς γραμμῆς" παρώξυνέ τε αὐτὸν καὶ κατεκόπη.

ὁ μὲν οὖν Μάρκελλος τὰς Συρακούσας ἑλὼν καὶ τῆς a. u. 543
ἄλλης Σικελίας τὰ πλείω προσαγαγόμενος καὶ ἐπῃνεῖτο με- (211)
γάλως καὶ ὕπατος ἀποδέδεικτο. προεβάλοντο μὲν γὰρ τὸν Τορκουᾶτον, ὅς ποτε τὸν υἱὸν ἀπέκτεινεν· ἐπεὶ δ' ἐκεῖνος cf. fr. 32, 7
ἀπηνήνατο εἰπὼν ὡς "οὔτ' ἂν ἐγὼ τὰ ὑμέτερα ἁμαρτήματα οὔτ' ἂν ὑμεῖς τὴν ἐμὴν ἀκρίβειαν ἐνέγκοιτε," τὸν Μάρκελλον καὶ Λαουίνιον τὸν Οὐαλέριον ἐχειροτόνησαν.

6. ἀπελθόντος δὲ τοῦ Μαρκέλλου ἐκ Σικελίας δύναμιν ἱππέων ἐς αὐτὴν ὁ Ἀννίβας ἀπέστειλε, καὶ ἑτέραν οἱ Καρχηδόνιοι ἔπεμψαν· καὶ μάχαις τισὶν ἐνίκησαν καὶ πόλεις προσεποιήσαντο· καὶ εἴ γε μὴ Κορνήλιος Δολοβέλλας στρατηγὸς ἐπελήλυθε, πᾶσαν τὴν Σικελίαν ἐχειρώσαντο ἄν.

καὶ ἡ Καπύη δὲ τότε ἑάλω παρὰ Ῥωμαίων καίτοι τοῦ Ἀννίβου ἐς τὴν Ῥώμην ὁρμήσαντος, ἵν' ἀπὸ τῆς Καπύης τοὺς πολιορκοῦντας αὐτὴν ἀπάξῃ, καὶ διὰ τῶν Λατίνων ἐλάσαντος καὶ πρὸς τὸν Τίβεριν ἐλθόντος καὶ πορθοῦντος τὰ πρὸ τοῦ ἄστεος. οἱ γὰρ ἐν τῇ Ῥώμῃ ἐφοβήθησαν μέν, ἐψηφίσαντο δὲ τὸν ἕτερον τῶν ὑπάτων ἐν Καπύῃ μεῖναι, τὸν δ' ἕτερον αὐτοῖς ἐπαμῦναι. καὶ Κλαύδιος μὲν ἐν τῇ Καπύῃ κατέμεινεν (ἐτέτρωτο γάρ), Φλάκκος δὲ πρὸς τὴν Ῥώμην ἠπείχθη.

τοῦ δ' Ἀννίβου τάς τε καταδρομὰς ἐν τοῖς ὀφθαλμοῖς αὐτῶν ἀεὶ ποιουμένου καὶ πολλὰ δεινὰ δρῶντος τὸν μὲν ἄλλον χρόνον ἠγάπων, εἰ τά γε ἐντὸς τῶν τειχῶν περισώσαιντο, ἐπεὶ δὲ καὶ τῇ πόλει καὶ τοῖς στρατοπέδοις ἅμα προσβαλεῖν ἔμελλεν, ἀνερρίψαντο, τὸ τοῦ λόγου, κύβον καὶ ἐπεξέδραμον. καὶ ἀκροβολιζομένων ἤδη χειμὼν ἐξ αἰθρίας ἐξαίσιος ἐπεγένετο cf. fr. 56, 40
μετὰ πνεύματος ἀμηχάνου βροντῶν τε καὶ χαλάζης καὶ ἀστραπῶν, ὥστ' ἄμφω ἀγαπητῶς ὡς ἐκ συνθή-

40 τοιαύτης τοτε συμφορᾶς τὴν Ῥώμην κατασχούσης
Ἀννίβας κατημέλησε ταύτην ἐγκατασκάψαι
νίκαις καὶ πότοις καὶ τρυφαῖς φανεὶς ἀμβλὺς πρὸς τοῦτο,
ἔστ' ἂν συνήχθη στράτευμα Ῥωμαίων τοῖς Ῥωμαίοις.
a. u. 543 τότε τριττῶς ἀπείρχθη δὲ πρὸς Ῥώμην ἐξορμήσας.
(211) αἴφνης ἐκ τῆς αἰθρίας γὰρ χάλαζα σφοδροτάτη
καὶ γνόφος ἐγγιγνόμενος εἶργε πορείας τοῦτον.

Tzetz. hist. 1, 786—792. Cf. Zonaras 9, 6 (vol. II, p. 266, 4).

[Zonaras 9, 6 — vol. II, p. 266, 7 sqq.]

ματος ἀναφυγεῖν, ὅθεν ὥρμησαν. ἄρτι τε τὰ ὅπλα κατετίθεντο καὶ αἰθρία ἐγένετο. ὁ γοῦν Ἀννίβας καίτοι οὐκ ἀθεεὶ λογισάμενος παρὰ τὸν τῆς συνόδου καιρὸν συνενεχθῆναι τὰ γεγονότα ὅμως οὐκ ἀπέστη τῆς πολιορκίας, ἀλλὰ καὶ αὖθις μετὰ τοῦτο συμβαλεῖν ἐπεχείρησεν. ὡς δὲ καὶ τότε τὰ αὐτὰ συνέβη, κατέδεισε. καὶ προσεκπλαγείς, ὅτι ἐν τηλικούτῳ κινδύνῳ ὄντες οὔτε τῆς Καπύης ἀπέστησαν καὶ ἐς τὴν Ἰβηρίαν καὶ στρατιώτας καὶ στρατηγὸν πέμψειν ἔμελλον καὶ ὅτι χρημάτων δεηθέντες ἐπώλησαν ἄλλα τε καὶ τὸ χωρίον, ἐν ᾧ ἐστρατοπεδεύετο, δημόσιον ὄν, καὶ ἀπογνοὺς ἀπανέστη πολλάκις ἀναβοήσας "ὦ Κάνναι Κάνναι." καὶ οὐδὲ τῇ Καπύῃ ἔτ' ἐπικουρῆσαι ἠθέλησεν.

οἱ δὲ καίπερ ἐν ἀσθενεστάτοις ὄντες ὅμως ἀπογνόντες ὡς οὐ τευξόμενοι συγγνώμης παρὰ Ῥωμαίων ἀντεῖχον καὶ τῷ Ἀννίβᾳ ἐπέστειλαν βοηθήσειν αὐτοῖς ἀξιοῦντες. συλληφθέντες δὲ οἱ τῶν ἐπιστολῶν κομισταὶ παρὰ τοῦ Φλάκκου (ὁ γὰρ Κλαύδιος ἔφθη τεθνηκὼς ἐκ τοῦ τραύματος), τὰς χεῖρας ἀπετμήθησαν. οὓς ἰδόντες οἱ Καμπανοὶ δεινῶς κατεπλάγησαν καὶ ὅ,τι πράξουσιν ἐβουλεύοντο. λεχθέντων δὲ πολλῶν Ἰούβιός τις Οὐίριος ἐν τοῖς πρώτοις αὐτῶν ὢν καὶ τῆς ἀποστάσεως αἰτιώτατος "μία ἡμῖν ἐστιν" ἔφη "καταφυγὴ καὶ ἐλευθερία ὁ θάνατος. καί μοι ἀκολουθήσατε οἴκαδε· ἔχω γάρ τι φάρμακον παρεσκευασμένον." καὶ ὁ μὲν



Δίων ἐν Ῥωμαϊκοῖς ιε' "ἔκ τε γὰρ τῆς ἀπὸ τοῦ 41
πάνυ ἀρχαίου ἀξιώσεως καὶ ἐκ τῆς παλαιᾶς πρὸς τοὺς Ῥωμαίους φιλίας οὐκ ἤνεγκαν δικαιωθέντες, ἀλλ' ἐπεχείρησαν καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου καὶ οἱ Συρακόσιοι τοῦ Μαρκέλλου κατηγορῆσαι. καὶ ἐδικαιώθησαν ἐν τῷ συνεδρίῳ." Suidas v. ἐδικαιώθησαν, Etym. M p. 316, 9. Cramer. Anecd. Paris. vol. IV, p. 168, 14, ubi rectius Συρακόσιοι quam apud ceteros Συρακούσιοι, ut Bekk. Anecd. p. 119, 21: Δίων ἐν ιε' βιβλίῳ "μὴ οἱ Συρακούσιοι νεωτερίσωσί τι, τὴν βοήθειαν ἀπογνόντες." Zonar. 9, 6 (vol. II, p. 267, 11—14).

[Zonaras 9, 6 — vol. II, p. 267, 1 sqq.]

παραλαβὼν τοὺς αὐτῷ πεισθέντας ἑκούσιος ἀπέθανε σὺν αὐτοῖς, καὶ οἱ λοιποὶ τὰς πύλας τοῖς Ῥωμαίοις ἀνέῳξαν· ὁ δὲ Φλάκκος τά τε ὅπλα αὐτῶν καὶ τὰ χρήματα πάντα ἀφείλετο καὶ τῶν ἀνδρῶν τῶν κορυφαίων τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἐς τὴν Ῥώμην ἔπεμψε, μόνων δ' ἀπέσχετο τῶν ἐκ τοῦ ὁμίλου περιλειφθέντων ἐπὶ τῷ καὶ ἄρχοντα αὐτοὺς Ῥωμαῖον λαμβάνειν καὶ μήτε βουλὴν ἔχειν μήτε σύνοδον ποιεῖσθαι.

ὕστερον δὲ καὶ ἄλλα τινὰ προσεπῶφλον κατηγορῆσαι
τοῦ Φλάκκου τολμήσαντες. ἐπεχείρησαν δὲ καὶ οἱ Καμ- fr. 56, 41
πανοὶ τοῦ Φλάκκου κατηγορῆσαι καὶ τοῦ Μαρκέλλου οἱ Συρακούσιοι ὑπατεύοντος ἤδη. καὶ ἀπελογήσατο· οὐ γὰρ ἠθέλησε πρᾶξαί τι τῶν τῇ ἀρχῇ προσηκόντων, πρὶν ἀπολογήσασθαι. οἱ Συρακούσιοι δὲ καταστάντες εἰς λόγους οἰκονομικώτερον τῇ διαλέξει ἐχρήσαντο οὐκ εἰς κατηγορίαν τοῦ Μαρκέλλου, ἀλλ' εἰς ἱκετείαν τραπέντες καὶ ἀπολογίαν τοῦ μὴ ἑκόντες ἀποστῆναι Ῥωμαίων καὶ συγγνώμης τυχεῖν ἀξιοῦντες. καὶ ταῦτα λέγοντες εἰς τὴν γῆν πεσόντες ὠλοφύροντο. καὶ διαγνώμης γενομένης ἔδοξε τὸν Μάρκελλον μὲν μηδὲν ἀδικεῖν, τοὺς μέντοι Συρακουσίους φιλανθρωπίας τινὸς ἀξίους εἶναι οὐκ ἐξ ὧν ἐποίησαν, ἀλλ' ἐξ ὧν εἰπόν τε καὶ ἱκέτευσαν. τοῦ δὲ Μαρκέλλου παραιτη-

42 ὅτι οἱ Ῥωμαῖοι διεκηρυκεύσαντο τῷ Ἀννίβᾳ ἀνταπόδοσιν τῶν αἰχμαλώτων ἀξιοῦντες γενέσθαι, οὐκ ἀντηλλάξαντο δὲ αὐτοὺς καίπερ καὶ ἐκείνου Καρθάλωνα ἐπ' αὐτὸ τοῦτο ἀντιπέμψαντος· ἐπειδὴ γὰρ οὐκ ἐδέξαντο αὐτὸν ἔσω τοῦ τείχους ὡς πολέμιον, οὐδὲ ἐς λόγους αὐτοῖς ἐλθεῖν ἠθέλησεν, ἀλλ' εὐθὺς δι' ὀργῆς ἀνέστρεψεν. U p. 379. Zonaras 9, 6 (vol. II, p. 268, 9—14).

[Zonaras 9, 6 — vol. II, p. 267, 25 sqq.]

σαμένου τὸ ἀπελθεῖν εἰς Σικελίαν τὸν Λαουίνιον ἔπεμψαν. καὶ οἱ μὲν Συρακούσιοι οὕτως τινὸς συγγνώμης ἔτυχον, οἱ δὲ Καμπανοὶ ὑπ' ἀπαιδευσίας θρασύτερον τῇ κατηγορίᾳ χρησάμενοι καὶ ἐπετιμήθησαν μηδὲ παρόντος τοῦ Φλάκκου, ἀλλά τινος τῶν ὑπεστρατηγηκότων αὐτῷ ἀπολογησαμένου.

ἁλούσης δὲ τῆς Καπύης καὶ τἆλλα τὰ πέριξ πολίσματα τοῖς Ῥωμαίοις προσκεχωρήκασι πλὴν Ἀτελανῶν· οὗτοι γὰρ ἐκλιπόντες τὴν πόλιν αὐτῶν πανδημεὶ πρὸς τὸν Ἀννίβαν ἐχώρησαν. καὶ ἡ ἄλλη δὲ Ἰταλία ἡ τὰ τῶν Καρχηδονίων φρονοῦσα ἠλλοιοῦτο, καὶ περιιόντες οἱ ὕπατοι προσεποιοῦντο αὐτήν. Ταραντῖνοι δὲ φανερῶς μὲν οὐδέπω τὰ τῶν Ῥωμαίων ᾑροῦντο, λάθρᾳ δὲ τοῖς Καρχηδονίοις ἤχθοντο.

fr 56,42 οἱ δ' ἐν τῇ Ῥώμῃ διεκηρυκεύσαντο τῷ Ἀννίβᾳ ἀνταπόδοσιν τῶν αἰχμαλώτων ποιήσασθαι. οὐ κατηλλάξαντο δὲ αὐτούς, ἐπεὶ οὐκ ἐδέξαντο τὸν Καρθάλωνα τοῦ τείχους ἐντὸς ὡς πολέμιον· οὐδ' ἐς λόγους γὰρ αὐτοῖς ἐλθεῖν ἠθέλησεν, εὐθὺς δὲ ὠργισμένος ἀνέστρεψε.

τότε μέντοι καὶ ὁ Λαουίνιος τοὺς Αἰτωλοὺς συμμαχοῦντας Φιλίππῳ προσηταιρίσατο καὶ τὸν Φίλιππον μέχρι Κερκύρας προχωρήσαντα αὖθις ἐξεφόβησεν, ὥστε καὶ ἐς τὴν Μακεδονίαν τάχει ἐπανελθεῖν.

---

42, 2 οὐκ ἀντηλλάξαντο Reiske, οὐ κατηλλάξαντο L et Zonaras ‖ 4 ἐπειδὴ γὰρ R, ἐπειδὴ δὲ L ‖ 5 ὡς πολέμιον U, κατὰ τὸ πολέμιον L



ὅτι ὁ Σκιπίων ὁ τὸν πατέρα τρωθέντα σώσας, ὁ 43
στρατηγός, ἦν καὶ φύσεως ἀρετῇ κράτιστος καὶ παιδείᾳ λογιμώτατος, τό τε φρόνημα καὶ τὸ τῆς γνώμης καὶ τὸ τῶν λόγων, ὁπότε γε καὶ τούτου ἔδει, μέγιστον εἶχε καὶ αὐτὸ καὶ ἐν τοῖς ἔργοις οὐχ ἥκιστα ἐβεβαίου, ὥστε καὶ μεγαλόφρων καὶ μεγαλοπράγμων οὐκ

[Zonaras 9, 7 — vol. II, p. 268, 19 sqq.]

7. οἱ δὲ ἐν τῇ Ῥώμῃ Γάιον Κλαύδιον Νέρωνα εἰς τὴν Ἰβηρίαν μετὰ στρατιωτῶν ἔπεμψαν. καὶ ὃς παρεκομίσθη τῷ a. u.
ναυτικῷ μέχρι τοῦ Ἴβηρος, ἔνθα καὶ τὰ λοιπὰ στρατεύματα 544 (210)
εὑρηκὼς ἐπῆλθε τῷ Ἀσδρούβᾳ, πρὶν γνωσθῆναι, ὅτι πάρεστι. καὶ περιστοιχισάμενος αὐτὸν ἠπατήθη. ἰδὼν γὰρ ὁ Ἀσδρούβας, ὡς ἀπείληπται, προεκηρυκεύσατο πρὸς τὸν Νέρωνα, ὥστε τὴν Ἰβηρίαν πᾶσαν ἀφεθεὶς ἐκλιπεῖν. ὡς δ' ἐκεῖνος ἀσμένως τοὺς λόγους ἐδέξατο, ἀναβαλλόμενος, ἵνα τὰς συνθήκας τῇ ὑστεραίᾳ ποιήσηται, ὑπεξέπεμψε τῆς νυκτὸς ἄλλους ἄλλῃ τῶν ὀρῶν. διεξελθόντων δ' ἐκείνων ἅτε μὴ φυλακῆς οὔσης παρὰ τῶν Ῥωμαίων διὰ τὰς τῶν σπονδῶν ἐλπίδας ἦλθε μὲν τῇ ἐπιούσῃ ἐς λόγους τῷ Νέρωνι, κατέτριψε δὲ πᾶσαν αὐτήν, πρίν τι ἐπικυρωθῆναι. καὶ ἄλλους αὖθις τῆς νυκτὸς ὁμοίως ἀπέπεμψε. τοῦτο δὲ καὶ ἐν ἄλλαις τισὶν ἡμέραις ὁμοίως πεποίηκεν ἀμφισβητῶν τινα ἐν τῇ συμβάσει. προελθόντων δὲ τῶν πεζῶν ἁπάντων τέλος καὶ αὐτὸς σὺν τοῖς ἱππεῦσι καὶ τοῖς ἐλέφασιν ὑπεξεχώρησε. καὶ διασωθεὶς φοβερὸς αὖθις τῷ Νέρωνι ἐγένετο.

μαθόντες δὲ ταῦτα οἱ ἐν τῇ Ῥώμῃ τοῦ Νέρωνος μὲν κατέγνων, ἄλλῳ δέ τινι τὴν ἡγεμονίαν ἐψηφίσαντο ἐγχειρίσαι. ἀπορούντων οὖν, τίνα ἂν ἀποστείλωσιν (οὐ γὰρ τοῦ τυχόντος ἀνδρὸς ἐδεῖτο τὰ πράγματα, καὶ πολλοὶ διὰ τὸ τῶν Σκιπιώνων πάθος ἐξίσταντο) ὁ Σκιπίων ἐκεῖνος ὁ Πού- fr. 56,43
πλιος ὁ τὸν πατέρα τρωθέντα σώσας ἑαυτὸν ἐθελοντὴς εἰς τὴν στρατείαν ἐπέδωκεν. ἦν δὲ καὶ ἀρετῇ κράτιστος καὶ παιδείᾳ λογιμώτατος. καὶ παραχρῆμα μὲν ᾑρέθη· μεταμέλον δὲ οὐ πολλῷ ὕστερον διά τε τὴν ἡλικίαν αὐτοῦ (τέταρτον γὰρ καὶ εἰκοστὸν ἔτος τῆς ζωῆς ἦγε)

ἐκ κενοῦ αὐχήματος, ἀλλ' ἐξ ἐχεγγύου διανοίας δοκεῖν
44 εἶναι. διά τε οὖν ταῦτα καὶ διότι καὶ τὸ θεῖον ἀκρι-
βῶς ἤγαλλεν, ἐχειροτονήθη. οὐδὲν γὰρ οὔτ' οὖν δη-
μόσιον οὔτ' ἰδιωτικόν, πρὶν ἔς τε τὸ Καπιτώλιον ἀνα-
βῆναι καὶ χρόνον τινὰ ἐνδιατρῖψαι, ἐνεχειρίζετο. καὶ
διὰ τοῦτο φήμην ἔλαβεν ἐκ τοῦ Διὸς ἐς δράκοντα ἐν
τῇ ⟨πρὸς τὴν⟩ μητέρα αὐτοῦ συνουσίᾳ μεταβαλόν-
τος γεγεννῆσθαι. καί τινας καὶ ἐκ τούτου πολλοῖς
ἐλπίδας ἐς αὐτὸν ἐνεποίει. V p. 601. Zonaras 9, 7
(vol. II, p. 269, 16–19).

45 ὅτι ὁ Σκιπίων καὶ μὴ ἐννόμου ἡγεμονίας λαβὼν
a. u. ὄνομα ἐξ ὧν ἐχειροτονήθη, τὸ στρατόπεδον προσφιλὲς
544 (210) ἐποιήσατο καὶ ἤσκησεν ἐξηργηκότας ἐκ τῆς ἀναρχίας
καὶ ἀνεκτήσατο κατεπτηχότας ἐκ τῶν συμφορῶν. τόν
τε Μάρκιον οὐχ, οἷά που φιλοῦσιν οἱ πολλοί, ἀνεπι-
τήδειον ἡγήσατο, ὅτι εὐδοκιμηκὼς ἦν, ἀλλὰ καὶ ἐν
τοῖς λόγοις καὶ ἐν τοῖς ἔργοις ἀεὶ ἐσέμνυνε· καὶ γὰρ
ἦν οἷος οὐκ ἐκ τῆς τοῦ πέλας διαβολῆς καὶ καθαιρέ-
σεως, ἀλλ' ἐκ τῆς οἰκείας ἀρετῆς αὔξεσθαι θέλειν. καὶ
διὰ τοῦτό γε οὐχ ἥκιστα τοὺς στρατιώτας ᾠκειώσατο.
V p. 602.

[Zonaras 9, 7 — vol. II, p. 269, 22 sqq.]

καὶ ὅτι καὶ ἡ οἰκία αὐτοῦ διὰ τὸν τοῦ πατρὸς καὶ τοῦ θείου ὄλεθρον ἐπένθει, ἦλθεν αὖθις εἰς τὸ κοινὸν καὶ ἐδημηγόρησε καὶ οἷς εἶπε καταιδέσας τοὺς τῆς βουλῆς τὴν μὲν ἀρχὴν οὐκ ἀφῃρέθη, Μᾶρκος δὲ Ἰούνιος ἀνὴρ γηραιὸς προσεπέμφθη αὐτῷ.

---

43, 7 *δοκεῖν*] ἐδόκει Reiske ‖ 44, 2 *οὐδὲν γὰρ οὔτ' οὖν*] οὐδὲν γὰρ οὖν οὔτε St ‖ 3 *ἰδιωτικὸν* V, *ἴδιον* L ‖ 5 τοῦ V, τοι L ‖ 6 ⟨πρὸς⟩ inseruit V ‖ ⟨τὴν⟩ inseruit B ‖ μεταβαλόντος V, μεταβαλλόντος (sic) L ‖ 45, 5 *Μάρκιον*] Μᾶρκος Ἰούνιος Zonaras ‖ 6 ἡγήσατο B, εἰργάσατο L ‖ 9 θέλειν St, θέλων L



[Zonaras 9, 7 — vol. II, p. 269, 27 sqq.]

τοῖς Ῥωμαίοις δὲ μετὰ ταῦτα τὰ πράγματα οὐκ ἀταλαιπώρως ἐχώρησεν εἰς τὸ βέλτιον. ὁ γὰρ Μάρκελλος, ἐπειδὴ κατηγορηθεὶς ἀπελύθη, ὥρμησεν ἐπὶ τὸν Ἀννίβαν καὶ τὰ μὲν πλεῖστα δι' ἀσφαλείας ἐποιεῖτο δεδιὼς πρὸς ἀπονενοημένους διακινδυνεῦσαι· εἰ δέ ποτε ἠναγκάσθη προσμῖξαι, κρείττων ἐκ φρονήσεως εὐτολμίᾳ κεκραμένης ἐγένετο. ὁ οὖν Ἀννίβας διά τε ταῦτα καὶ ὅτι αἱ πόλεις αἱ συμμαχοῦσαι αὐτῷ αἱ μὲν ἐγκαταλελοίπεσαν αὐτόν, αἱ δὲ διενοοῦντο, καὶ δι' ἕτερ' ἄττα κακῶσαι τὰ χωρία, ἃ μὴ κατέχειν οἷος ἦν, ἐπεχείρησε. καὶ πολλοῖς ἐλυμήνατο, καὶ πλείους διὰ τοῦτο ἀφίσταντο.

περὶ δὲ Σαλπίαν πόλιν τοιόνδε τι συνέπεσε. δύο ἄνδρες τὰ πράγματα αὐτῶν εἶχον διάφοροί τε ἀλλήλοις ἦσαν. καὶ Ἀλίνιος μὲν τὰ τῶν Καρχηδονίων ἐφρόνει, Πλαύτιος δὲ τὰ τῶν Ῥωμαίων, ὃς καὶ διειλέχθη τῷ Ἀλινίῳ περὶ προδοσίας τῆς εἰς Ῥωμαίους. μηνύσαντός τε εὐθὺς ἐκείνου τῷ Ἀννίβᾳ ταῦτα ἐς δίκην ὑπήχθη ὁ Πλαύτιος. βουλευομένου δὲ τοῦ Ἀννίβου μετὰ τῶν συνέδρων, ὅπως αὐτὸν κολάσει, ἐτόλμησεν ἐπ' ὄψει αὐτοῦ τῷ Ἀλινίῳ πέλας που ὄντι περὶ προδοσίας αὖθις εἰπεῖν. ἀναβοήσαντος δ' ἐκείνου "ἴδε ἴδε, καὶ νῦν μοι περὶ αὐτοῦ τούτου λαλεῖ," οὐκ ἐπίστευσεν ὁ Ἀννίβας διὰ τὸ ἄτοπον, ἀλλὰ καὶ ὡς συκοφαντούμενον αὐτὸν ἀπέλυσεν. ἀφεθέντος δὲ ὡμονόησαν ἄμφω καὶ στρατιώτας παρὰ τοῦ Μαρκέλλου ἐπαγαγόμενοι τήν τε φρουρὰν τῶν Καρχηδονίων κατέκοψαν καὶ τὴν πόλιν τοῖς Ῥωμαίοις παρέδοσαν.

καὶ οὕτω μὲν ἐν τῇ Ἰταλίᾳ ἔσχον τοῖς Καρχηδονίοις τὰ πράγματα· καὶ οὐδ' ἡ Σικελία ἦν εὐνοοῦσα αὐτοῖς, ἀλλὰ τῷ ὑπάτῳ τῷ Λαουινίῳ προσεχώρουν. ἡγεῖτο μὲν γὰρ τῶν ἐν τῇ Σικελίᾳ Καρχηδονίων Ἄννων, συνεστρατεύετο δὲ αὐτῷ καὶ Μουτίνας. ὃς συνὼν τῷ Ἀννίβᾳ πρῴην καὶ φθονηθείς, ὅτι μεγάλα ἔργα ἀρετῆς ἐπεδείκνυτο, ἐς Σικελίαν ἐπέμφθη. ὡς οὖν κἀκεῖ λαμπρῶς ἱππάρχει, φθόνον καὶ πρὸς τοῦ Ἄννωνος ὦφλε καὶ διὰ τοῦτο τῆς ἱππαρχίας ἐπαύθη. περιαλγὴς γοῦν διὰ ταῦτα γενόμενος πρὸς τοὺς Ῥωμαίους ἀπέκλινε. καὶ πρῶτον μὲν προδοσίαν Ἀκράγαντος συνέπραξε

46 ὅτι στάσεως γενομένης τῶν στρατιωτῶν ὁ Σκιπίων
a. u. συχνὰ μὲν τοῖς στρατιώταις διέδωκε, συχνὰ δὲ καὶ ἐς
545 (209) τὸ δημόσιον ἀπέδειξε. τῶν τε αἰχμαλώτων ἐς τὸ ναυ-

[Zonaras 9, 7 sq. — vol. II, p. 271, 5 sqq.]

σφίσιν, εἶτα καὶ τἆλλα συγκατειργάσατο, ὥστε πᾶσαν αὖθις τὴν Σικελίαν ὑπ᾽ αὐτοὺς ἄνευ μεγάλου πόνου γενέσθαι.

a. u. 8. ὁ δὲ Φάβιος καὶ ὁ Φλάκκος ἄλλας τε πόλεις πολλὰς
545 (209) καὶ τὸν Τάραντα, τοῦ Ἀννίβου κατέχοντος αὐτόν, ἐχειρώσαντο. κελεύσαντες γάρ τισι τὴν Βρεττίαν κατατρέχειν, ἵν᾽ ὁ Ἀννίβας εἰς ἐπικουρίαν αὐτῆς ἀπάρῃ ἐκ Τάραντος, ἐπεὶ τοῦτο ἐγένετο, Φλάκκος μὲν ἐκεῖνον ἐπετήρει, Φάβιος δὲ ἐν τούτῳ νυκτὸς τῷ Τάραντι ταῖς τε ναυσὶν ἅμα καὶ τῷ πεζῷ προσβαλὼν τῇ τε προσβολῇ καὶ προδοσίᾳ εἷλε τὴν πόλιν. ὁ οὖν Ἀννίβας διὰ τὴν ἀπάτην ἀχθόμενος ἀντεπιβουλεῦσαι τῷ Φαβίῳ ἐσπούδασε. καὶ ἐπιστολὴν αὐτῷ ἐκ Μεταποντίου ὡς παρὰ τῶν ἐπιχωρίων ἐπὶ προδοσίᾳ τῆς πόλεως ἔπεμψεν ἐλπίσας ἀπερισκέπτως αὐτὸν προσιόντα ἐνεδρεύσειν. καὶ ὃς ὑπετόπησε τὸ πραττόμενον καὶ παραβαλὼν τὰ γράμματα ταῖς ἐπιστολαῖς, ἃς τοῖς Ταραντίνοις ποτὲ ἐγεγράφει, κατεφώρασεν ἐκ τῆς αὐτῶν ὁμοιότητος τὸ ἐπιβούλευμα.

Σκιπίων δὲ τὸν ἄλλον χρόνον, εἰ καὶ τιμωρῆσαι τῷ πατρὶ καὶ τῷ θείῳ ἐγλίχετο καὶ τῆς τοῦ πολέμου δόξης ὠρέγετο, ἀλλ᾽ οὐκ ἠπείγετο διὰ τὸ πλῆθος τῶν ἐναντίων. ἐπεὶ δ᾽ ᾔσθετο αὐτοὺς χειμάζοντας πόρρω ποι, ἐκείνους μὲν εἴα, ἐς δὲ τὴν Καρχηδόνα τὴν ταύτῃ ὥρμησεν· οὐ μέντοι τις τὸ παράπαν τὴν ὁρμὴν αὐτοῦ ἔγνωκε, πρὶν πρὸς αὐτῇ τῇ Καρχηδόνι γενέσθαι· καὶ ἔλαβε σὺν πόνῳ τὴν πόλιν.

ἁλούσης δὲ τῆς Καρχηδόνος στάσις μεγίστη μικροῦ τῶν
fr. 56,46 στρατιωτῶν ἐγένετο ἄν. τοῦ γὰρ Σκιπίωνος στέφανον ὑποσχομένου δώσειν τῷ πρώτῳ τοῦ τείχους ἐπιβάντι δύο ἄνδρες, ὁ μὲν Ῥωμαῖος, ὁ δ᾽ ἐκ τῶν συμμάχων, περὶ αὐτοῦ ἠμφισβήτησαν. διαφερομένων δ᾽ ἐκείνων καὶ τὸ ἄλλο πλῆθος ἐθορυβήθη, καὶ ἐπὶ πλεῖστον ἐταράχθησαν, ὥστε καὶ δεινόν τι δρᾶσαι, εἰ μὴ ὁ Σκιπίων καὶ ἄμφω ἐστεφάνωσε
fr. 56,46 καὶ συχνὰ μὲν τοῖς στρατιώταις διέδωκε, συχνὰ δὲ καὶ τοῖς δημοσίοις προσένειμε καὶ τοὺς ἐκεῖ κατ-



τικὸν κατέταξεν καὶ τοὺς ὁμήρους προῖκα πάντας τοῖς οἰκείοις ἀπέδωκε. καὶ αὐτῷ διὰ τοῦτο πολλοὶ μὲν δῆμοι, πολλοὶ δὲ καὶ δυνάσται, ἄλλοι τε καὶ Ἰνδίβολις
καὶ Μανδόνιος Ἰλεργητανοὶ προσεχώρησαν. τό τε τῶν 47
Κελτιβήρων ἔθνος πλεῖστόν τε καὶ ἰσχυρότατον τῶν περιχώρων ὃν ὧδε προσέθετο. παρθένον ἐν τοῖς αἰχμαλώτοις ἐπιφανῆ κάλλει λαβὼν ὑπωπτεύθη μὲν ἄλλως ἔσεσθαι αὐτῆς ἐν ἔρωτι, μαθὼν δέ, ὅτι Ἀλλουκίῳ τινὶ τῶν ἐν τέλει Κελτιβήρων ἐνηγγύηται, μετεπέμψατό τε αὐτὸν αὐτεπάγγελτος καὶ τὴν παῖδα αὐτῷ παρέδωκε μετὰ τῶν λύτρων, ἅπερ οἱ προσήκοντες αὐτῆς ἐκεκομίκεσαν. κἀκ τοῦ ἔργου τούτου καὶ ἐκείνους καὶ τοὺς ἄλλους ἀνηρτήσατο. V p. 602. Zonar. 9, 8 (vol. II, p. 272, 10—22).

[Zonaras 9, 8 — vol. II, p. 272, 12 sqq.]

εχομένους ὁμήρους προῖκα πάντας τοῖς οἰκείοις ἀπέδωκεν. ὅθεν πολλοὶ μὲν δῆμοι, πολλοὶ δὲ καὶ δυνάσται αὐτῷ προσεχώρησαν, καὶ τὸ τῶν Κελτιβή-
ρων ἔθνος πρὸς τοῖς λοιποῖς. παρθένον γὰρ ἐν fr. 56,47
τοῖς αἰχμαλώτοις λαβὼν κάλλει ἐπιφανῆ ἐνομίσθη μὲν ἔσεσθαι αὐτῆς ἐν ἔρωτι, μαθὼν δέ, ὅτι τινὶ τῶν ἐν τέλει Κελτιβήρων ἐνηγγύηται, μετεπέμψατο αὐτὸν καὶ τὴν νεᾶνιν αὐτῷ παραδέδωκε προσεπιδοὺς καὶ τὰ λύτρα, ἃ οἱ προσήκοντες αὐτῇ προσεκόμισαν. κἀκ τούτου καὶ ἐκείνους καὶ τοὺς λοιποὺς ἀνηρτήσατο.

μαθὼν δὲ τὸν Ἀσδρούβαν τὸν τοῦ Ἀννίβου ἀδελφὸν σπουδῇ ἐπιόντα καὶ ἀγνοοῦντα ἔτι τὴν τῆς πόλεως ἅλωσιν καὶ μηδὲν προσδοκῶντα κατὰ τὴν πορείαν πολέμιον προσ-

46, 6 Ἰνδίβολις] Ἰνδίβιλις apud Zonaram (vol. II, p. 280, 8) ‖ 47, 1 Ἰλεργητανοὶ St, Ἰλεργητῶν Polyb. 10, 19, Ἰαγερτανοὶ L ‖ 5 ἄλλως] αὐτὸς Reiske ‖ αὐτῆς R, αὐτὸς L ‖ 6 ἐνηγγύηται scripsi, ἠγγύηται St, ἐγγύηται L, ἐγγεγύηται R

48 ὅτι ὁ *Σκιπίων* δεινὸς μὲν ἦν ἐν ταῖς στρατηγίαις, ἐπιεικὴς δὲ ἐν ταῖς ὁμιλίαις, καὶ ἐς μὲν τοὺς ἀνθισταμένους αὐτῷ φοβερός, ἐς δὲ τοὺς ὑπείκοντας φιλάνθρωπος. καὶ προσέτι καὶ ἐκ τῆς τοῦ πατρὸς τοῦ τε θείου δόξης πλεῖστον ἐς πίστιν ὧν ἐποίει, τῷ δοκεῖν ἀπ᾽ ἀρετῆς ἐκ γένους, ἀλλ᾽ οὐκ ἐκ τοῦ προστυχόντος εὐδοκιμεῖν ἴσχυε. τότε δὲ καὶ μᾶλλον ἐπί τε τῷ τάχει τῆς νίκης, καὶ ὅτι καὶ ὁ *Ἀσδρούβας* ἐς τὴν μεσόγειαν ἀνεχώρησεν, μάλιστα δὲ ὅτι καὶ ἐθείασεν εἴτ᾽ οὖν παρὰ δαιμονίου τινὸς μαθὼν εἴτε κατὰ τύχην, ὅτι ἐν τῇ τῶν πολεμίων στρατοπεδεύσοιτο, ὃ καὶ ἐγένετο, πάντες μὲν αὐτὸν ὡς καὶ κρείττονα σφῶν ὄντα ἐτίμων, οἱ δὲ Ἴβηρες καὶ βασιλέα μέγαν ὠνόμαζον. V p. 605. Zonar. 9, 8 (vol. II, p. 272, 29—273, 4).

[Zonaras 9, 8 — vol. II, p. 272, 26 sqq.]

ἀπήντησεν αὐτῷ καὶ ἐν τῷ στρατοπέδῳ αὐτοῦ κρατήσας
fr. 56,48 ἐνηυλίσατο καὶ πολλοὺς τῶν ἐκεῖ προσεποιήσατο. ἦν μὲν γὰρ ἐν ταῖς στρατηγίαις δεινός, ἐν δὲ ταῖς ὁμιλίαις ἐπιεικὴς καὶ ἐς μὲν τοὺς ἀνθισταμένους φοβερός, ἐς δὲ τοὺς ὑπείκοντας καὶ μάλα φιλάνθρωπος. μάλιστα δ᾽ ὅτι καὶ ἐθείασε προειπών, ὡς ἐν τῇ τῶν πολεμίων στρατοπεδεύσοιτο, πάντες ἐτίμων αὐτόν· οἱ δ᾽ Ἴβηρες καὶ βασιλέα μέγαν ὠνόμαζον.

ὁ δ᾽ *Ἀσδρούβας* ἀπελπίσας τὴν Ἰβηρίαν ἀπᾶραι πρὸς
a. u. 546 (208) τὴν Ἰταλίαν ἐβούλετο. καὶ ἐν τῷ χειμῶνι συσκευασάμενος ὁ μὲν ὥρμητο, οἱ δὲ συστράτηγοι αὐτοῦ κατὰ χώραν μείναντες ἀσχολίαν τῷ *Σκιπίωνι* παρεῖχον, ὥστε μὴ τὸν *Ἀσδρούβαν* ἐπιδιῶξαι μήτε τοῖς ἐν τῇ Ἰταλίᾳ Ῥωμαίοις ἐπικουφίσαι τὸν πόλεμον γενομένῳ ἐκεῖ ἢ πρὸς τὴν Καρχηδόνα πλεῦσαι.

---

48, 4 προσέτι καὶ ⟨πρότερον μὲν⟩ Reiske, quod infra sequitur τότε δὲ ‖ 6 προστυχόντος] παρατυχόντος Herwerden coll. Thucyd. 1, 22 ‖ 12 κρείττονα V, κρείττων L ‖ 13 μέγαν R e Zonara, μέγα L ‖ ὀνομάζων L, corr. V



ὅτι ὁ τῶν Ἰβήρων βασιλεὺς ἁλοὺς ὑπὸ *Σκιπίωνος* 49 τὰ Ῥωμαίων εἵλετο ἑαυτόν τε καὶ τὴν οἰκείαν ἐπικράτειαν διδοὺς ὁμήρους τε παρέχειν ἕτοιμος ὤν. ὁ δὲ *Σκιπίων* τὴν συμμαχίαν τοῦ ἀνδρὸς ἀποδεξάμενος ὁμήρων οὐκ ἔφη δεῖσθαι· τὸ γάρ τοι πιστὸν ἐν τοῖς οἰκείοις ἔχειν ὅπλοις. M p. 545.

[Zonaras 9, 8 — vol. II, p. 273, 11 sqq.]

ὁ δὲ *Σκιπίων* τὸν μὲν *Ἀσδρούβαν* οὐκ ἐπεδίωξε, πέμψας δὲ δρομοκήρυκας τὴν πρόσοδον αὐτοῦ τοῖς ἐν τῇ Ῥώμῃ δι᾽ αὐτῶν προεκήρυξεν, αὐτὸς δὲ τῶν ἐν χερσὶν εἴχετο. καὶ ὁρῶν τοὺς ἐναντίους πολλαχῇ τῆς χώρας ὄντας ἐδεδίει, μή τισιν αὐτῶν προσμίξας εἰς ἓν ἅπαντας συναγάγῃ ἀλλήλοις ἐπικουρήσοντας. αὐτὸς μὲν οὖν ἐστράτευσεν ἐπ᾽ *Ἀσδρούβαν* τὸν *Γίσγωνος*, *Σιλανὸν* δὲ ἐς Κελτιβηρίαν ἐπὶ *Μάγωνα* καὶ *Λούκιον Σκιπίωνα* τὸν ἀδελφὸν ἐς Βαστιτανίαν ἔπεμψεν. ὃς ἐκείνην τε πολέμῳ κατέσχε καὶ τὸν *Μάγωνα* ἐνίκησε καὶ φεύγοντι αὐτῷ πρὸς τὸν *Ἀσδρούβαν* ἐπακολουθήσας ἦλθε πρὸς τὸν *Σκιπίωνα* μήπω μηδὲν διαπεπραγμένον.

ἐλθόντων οὖν τοῦ τε *Μάγωνος* πρὸς τὸν *Ἀσδρούβαν* καὶ τοῦ *Λουκίου* πρὸς τὸν ἀδελφὸν τὸν *Σκιπίωνα* τὰ μὲν πρῶτα τῷ ἱππικῷ καταθέοντες εἰς τὰ πεδία διεμάχοντο, εἶτα καὶ ὅλῳ τῷ στρατεύματι ἀντιπαρετάσσοντο, οὐ μὴν καὶ ἐμάχοντο. καὶ ἐπὶ πλείους ἡμέρας τοῦτο ἐγίνετο· συμβολῆς δέ ποτε γενομένης οἵ τε σύμμαχοι τῶν Καρχηδονίων καὶ αὐτοὶ ἐκεῖνοι ἡττήθησαν, καὶ τὸ ἔρυμα αὐτῶν παρὰ τῶν Ῥωμαίων ἑάλω, καὶ τοῖς ἐν αὐτῷ ἐπιτηδείοις οἱ Ῥωμαῖοι ἐχρήσαντο· ὃ πρὸ τριῶν ἡμερῶν ὁ *Σκιπίων*, ὡς λόγος ἐστίν, ἀπεφοίβασεν. ἐπιλιπόντων γὰρ αὐτοῖς τῶν πρὸς τροφὴν προεῖπεν, ὅθεν δ᾽ ἠγνόηται, ὡς "κατὰ τήνδε τὴν ἡμέραν τοῖς τῶν πολεμίων χρησόμεθα." μετὰ ταῦτα δὲ τοῖς περιλειφθεῖσι τῶν ἐναντίων τὸν *Σιλανὸν* καταλιπὼν αὐτὸς πρὸς τὰς ἄλλας ἀπῄει πόλεις καὶ πολλὰς προσηγάγετο. καταστήσας δὲ τὰ ἑαλωκότα αὐτὸς μὲν ἐκεῖ διεχείμασε, τὸν δὲ *Λούκιον* τὸν ὁμαίμονα ἐπὶ Ῥώμην ἀπέστειλε καταγγελοῦντά τε τὰ γενόμενα καὶ τοὺς αἰχμαλώτους κομίσοντα καὶ ὅπως οἱ ἐν τῇ Ῥώμῃ φρονοῦσι περὶ αὐτοῦ πολυπραγμονήσοντα.

[Zonaras 9, 9 — vol. II, p. 274, 14 sqq.]

9. οἱ δ' ἐν τῇ Ἰταλίᾳ καὶ ἐκ νόσου ἐπόνησαν καὶ μάχαις ἐταλαιπώρησαν Τυρσηνῶν νεωτερισάντων τινῶν. μεῖζον δὲ τῶν ἄλλων αὐτοὺς ἐλύπησεν, ὅτι τὸν Μάρκελλον ἀπέβαλον.
a. u. 546 (208) ἐπιστρατεύσαντες γὰρ κατὰ τοῦ Ἀννίβου τυγχάνοντος ἐν Λοκροῖς καὶ ἄμφω οἱ ὕπατοι περιστοιχισθέντες ἐξ ἐνέδρας ὁ μὲν Μάρκελλος αὐτίκα ἀπώλετο, Κρισπῖνος δὲ τρωθεὶς ἀπέθανεν οὐ μετὰ πολύ. εὑρηκὼς δὲ τὸ τοῦ Μαρκέλλου σῶμα ὁ Ἀννίβας καὶ τὸν δακτύλιον αὐτοῦ εἰληφώς, ᾧ ἐκεῖνος τὰς γραφὰς ἐπεσφράγιζε, γράμματα ἐς τὰς πόλεις ὡς παρ' ἐκείνου στελλόμενα ἔπεμπε καὶ ὅσα ἐβούλετο διεπράττετο, μέχρις οὗ τοῦτο γνοὺς ὁ Κρισπῖνος ἀντιπαρήγγειλεν αὐτοῖς φυλάσσεσθαι· ὅθεν ἀντιπεριέστη τῷ Ἀννίβᾳ τὸ πρᾶγμα. ἐπεὶ γὰρ τοῖς ἐν τῇ Σαλπίᾳ δι' αὐτομόλου δῆθεν ἦν ἐπιστείλας, ὡς ὁ Μάρκελλος νυκτὸς προσήει τοῖς τείχεσι, τῇ τε τῶν Λατίνων κεχρημένος φωνῇ σὺν ἄλλοις ἐπισταμένοις αὐτήν, ἵνα Ῥωμαῖοι δόξωσιν εἶναι. μαθόντες δὲ οἱ Σαλπηνοὶ τὴν ἐπιτέχνησιν αὐτοῦ ἀντετεχνήσαντο πιστεύειν ὄντως προσιέναι τὸν Μάρκελλον καὶ ἀνασπάσαντες τὸν καταρράκτην εἰσήγαγον ὅσους αὐτοῖς ἱκανοὺς ἔδοξεν εἶναι κατεργασθῆναι παρ' αὐτῶν, καὶ πάντας ἀπέκτειναν. ὁ δὲ Ἀννίβας ἀπῆρεν αὐτίκα μαθὼν τοὺς Λοκροὺς πολιορκουμένους ὑπὸ Ῥωμαίων ἐκ Σικελίας ἐπιπλευσάντων.

καὶ Πόπλιος δὲ Σουλπίκιος μετὰ Αἰτωλῶν καὶ συμμάχων ἑτέρων πολλὰ τῆς Ἀχαΐας ἐπόρθησε. τοῦ δὲ Φιλίππου τοῦ Μακεδόνος τοῖς Ἀχαιοῖς συμμαχήσαντος παντελῶς ἂν τῆς Ἑλλάδος ἐξηλάθησαν οἱ Ῥωμαῖοι, εἰ μὴ τοῦ κράνους τοῦ Φιλίππου περιρρυέντος οἱ Αἰτωλοὶ τοῦτο ἔσχον, καὶ φήμης εἰς τοὺς Μακεδόνας γενομένης, ὡς τέθνηκε, στάσις τε γέγονεν ἐκεῖ καὶ ἐφοβήθη, μὴ τῆς βασιλείας στερηθῇ, καὶ πρὸς Μακεδονίαν ἠπείχθη. ἐντεῦθεν οἱ Ῥωμαῖοι τῇ Ἑλλάδι προσέμειναν καί τινων ἐκράτησαν πόλεων.

a. u. 547 (207) τῷ δ' ἐπιόντι ἔτει ὡς ὁ Ἀσδρούβας ἠγγέλλετο προσιών, οἱ ἐν τῇ Ῥώμῃ τὰς δυνάμεις τε ἤθροιζον καὶ τοὺς συμμάχους σφῶν μετεπέμποντο ὑπάτους Κλαύδιόν τε Νέρωνα καὶ Λιούιον τὸν Μᾶρκον ἑλόμενοι. καὶ Νέρωνα μὲν ἐπὶ τὸν Ἀννίβαν, Λιούιον δὲ ἐπὶ τὸν Ἀσδρούβαν ἔπεμψαν. ὃς αὐτῷ



[Zonaras 9, 9 — vol. II, p. 275, 24 sqq.]

πρὸς τῇ Σένᾳ τῇ πόλει ἀπήντησεν· οὐ μέντοι καὶ εἰς χεῖρας εὐθὺς ἦλθον. ἐπὶ πολλὰς δὲ ἡμέρας κατὰ χώραν ἔμεινεν· ἀλλ' οὐδὲ ὁ Ἀσδρούβας τὴν μάχην κατήπειξεν, ἡσύχαζε δὲ τὸν ἀδελφὸν ἀναμένων. ὁ Νέρων δὲ καὶ ὁ Ἀννίβας εἰς Λευκανίαν ἐστρατοπεδεύοντο, καὶ οὐδέτερος πρὸς παράταξιν ὥρμησεν, ἄλλως δὲ ἐς χεῖρας ἀλλήλοις ᾔεσαν. καὶ ὁ Ἀννίβας πυκνὰ μετανίστατο, καὶ ὁ Νέρων ἀκριβῶς αὐτὸν παρετήρει. κρείττων οὖν ἀεὶ αὐτοῦ γινόμενος καὶ τὰ γράμματα τὰ παρὰ τοῦ Ἀσδρούβα αὐτῷ πεμφθέντα ἑλὼν τοῦ μὲν Ἀννίβου κατεφρόνησε, δείσας δέ, μὴ τὸν Λιούιον ὁ Ἀσδρούβας τῷ πλήθει καταβιάσηται, μέγα πρᾶγμα ἐτόλμησε. καὶ κατέλιπε μὲν μοῖραν ἐκεῖ ἀποχρῶσαν εἴργειν τὸν Ἀννίβαν, εἴ πῃ κινηθείη, ἐντειλάμενος πάντα ποιεῖν, ἵνα καὶ αὐτὸς νομίζοιτο ἐνδημεῖν, τὸ δὲ καθαρώτατον τοῦ στρατοῦ ἀπολέξας ὥρμησεν ὡς πόλει τινὶ πλησιοχώρῳ προσμίξων, οὐδ' ᾔδει τις τὴν διάνοιαν αὐτοῦ. καὶ ἠπείχθη ἐπὶ τὸν Ἀσδρούβαν καὶ ἀφίκετο νυκτὸς πρὸς τὸν συνάρχοντα καὶ ἐν τῇ ταφρείᾳ τῇ αὐτοῦ κατεσκήνωσε. καὶ παρεσκευάζοντο ἄμφω, ἵν' αἰφνίδιον αὐτῷ συνεπίθωνται. οὐκ ἔλαθον δέ, ἀλλ' ἐτεκμήρατο τὸ γεγενημένον ὁ Ἀσδρούβας ἀπὸ τῶν παραγγέλσεων διττῶν γινομένων· ἰδίᾳ γὰρ ἕκαστος τῶν ὑπάτων παρήγγελλέ τι τοῖς ἑαυτοῦ. ὑποπτεύσας οὖν ἡττῆσθαι τὸν Ἀννίβαν καὶ ἀπολέσθαι (περιόντος γὰρ ἐκείνου οὐκ ἂν ἐπ' αὐτὸν ὁρμῆσαι τὸν Νέρωνα ἐλογίζετο) ἔγνω πρὸς τοὺς Γαλάτας ἀπαναχωρῆσαι καὶ ἐκεῖ τὰ περὶ τὸν ἀδελφὸν ἀκριβώσασθαι καὶ οὕτω κατὰ σχολὴν πολεμῆσαι.

καὶ ὁ μὲν παραγγείλας τῷ στρατεύματι ἀναστῆναι νυκτὸς ἀπῆρεν, οἱ δ' ὕπατοι ἐκ τοῦ θορύβου ὑπώπτευσαν τὸ γινόμενον, οὐ μέντοι εὐθὺς ἐκινήθησαν διὰ τὸ σκότος. ἅμα δ' ἠοῖ τούς τε ἱππέας προέπεμψαν ἐπιδιῶξαι αὐτοὺς καὶ αὐτοὶ εἵποντο. καὶ τοῦ Ἀσδρούβου τοῖς ἱππεῦσιν ἀντιταξαμένου ὡς μόνοις οὖσιν οἱ ὕπατοι ἐπελθόντες τροπὴν αὐτοῦ ἐποιήσαντο καὶ φεύγουσιν ἐπακολουθήσαντες πολλοὺς ἐφόνευσαν. καὶ οὐδ' οἱ ἐλέφαντες αὐτοῖς ἐβοήθησαν· ὅτι γὰρ αὐτῶν τινες τραυματισθέντες κακὰ πλείω τοὺς ἐπιτεταγμένους σφίσιν ἔδρων ἢ οἱ πολέμιοι, παρήγγειλεν ὁ Ἀσδρούβας τοῖς

[Zonaras 9, 9 sq. — vol. II, p. 277, 1 sqq.]

ἐπ' αὐτῶν καθημένοις τοὺς τιτρωσκομένους τῶν θηρίων παραυτίκα σφάζειν· ῥᾷστα δὲ σιδηρίῳ τινὶ ὑπὸ τὸ οὖς νυττόμενοι ἐκτιννύοντο. καὶ ἐκεῖνοι μὲν ὑπὸ τῶν Καρχηδονίων, οἱ ἄνδρες δὲ ὑπὸ τῶν Ῥωμαίων ἐφθείροντο. ἔπεσον δὲ τοσοῦτοι, ὥστε τοὺς Ῥωμαίους διακορεῖς τοῦ φόνου γενομένους μὴ θελῆσαι τοὺς ἄλλους ἐπιδιῶξαι. φθείραντές τε ἄλλους πολλοὺς καὶ τὸν Ἀσδρούβαν καὶ λάφυρα πλεῖστα λαβόντες καὶ Ῥωμαίους αἰχμαλώτους ἐς τετρακισχιλίους ἐν τῷ στρατοπέδῳ εὑρόντες ἱκανῶς τὴν Καννηίδα συμφορὰν ἀνειληφέναι ἐνόμισαν.

πραχθέντων δὲ τούτων ὁ μὲν Λιούιος κατὰ χώραν ἔμεινεν, ὁ δὲ Νέρων ἑκταῖος εἰς τὴν Ἀπουλίαν ἐπανελήλυθε λαθὼν μέχρι τότε, ὡς ἀπεδήμησε. καὶ τῶν ἁλόντων τινὰς ἐς τὸ Ἀννίβου στρατόπεδον ἔπεμψε τὰ πεπραγμένα δηλώσοντας καὶ τὴν κεφαλὴν τοῦ Ἀσδρούβου πλησίον που ἀνεσταύρωσε. μαθὼν οὖν ἐκεῖνος τόν τε ἀδελφὸν ἡττημένον καὶ τεθνηκότα καὶ τὸν Νέρωνα νενικηκότα καὶ ἐπανήκοντα πολλὰ μὲν ὠλοφύρατο, πολλάκις δὲ καὶ τὴν τύχην καὶ τὰς Κάννας ἀνεκάλεσε. καὶ ἐς τὴν Βρεττίαν ἀνεχώρησε κἀκεῖ διῆγεν ἡσυχάζων.

a. u. 10. ὁ δὲ Σκιπίων μέχρις ἂν πάντα τὰ ἐν τῇ Ἰβηρίᾳ
548
(206) καταστήσῃ, ἄρχειν τῶν ἐκεῖ προσετάχθη. καὶ πρῶτον μὲν ἐς τὴν Λιβύην δύο πεντήρεσιν ἔπλευσε, καὶ ὁ τοῦ Γίσγωνος Ἀσδρούβας ἐκεῖ κατὰ τύχην αὐτῷ συγκατῆρε. δεξιουμένου οὖν καὶ ἄμφω τοῦ Σύφακος (ἔνσπονδος γὰρ τοῖς Καρχηδονίοις ἐγένετο μέρους τῆς Λιβύης βασιλεύων) καὶ καταλλάσσοντος σφᾶς ὁ Σκιπίων οὐκ ἰδίαν ἔχθραν ἔχειν εἶπεν οὔτε μὴν ὑπὲρ τῶν κοινῶν δύνασθαι καθ' ἑαυτὸν καταλύσασθαι.

ἐπανῆλθεν οὖν αὖθις· καὶ Ἰλιτεργίταις ἐπολέμησεν, ὅτι τοὺς πρὸς αὐτοὺς καταφυγόντας Ῥωμαίους μετὰ τὸν τῶν Σκιπιώνων θάνατον τοῖς Καρχηδονίοις ἐξέδωκαν. καὶ οὐ πρότερον τῆς πόλεως αὐτῶν ἐκράτησε, πρὶν αὐτὸς τοῦ τείχους ἐπιβῆναι ἐτόλμησε καὶ ἐτρώθη. αἰδεσθέντες γὰρ οἱ στρατιῶται καὶ δείσαντες περὶ ἐκείνῳ τότε προσέβαλον προθυμότατα. καὶ κρατήσαντες τοὺς μὲν ἀνθρώπους πάντας



[Zonaras 9, 10 — vol. II, p. 278, 12 sqq.]

ἀπέκτειναν, τὴν δὲ πόλιν κατέπρησαν ἅπασαν. καὶ τῷ φόβῳ τούτῳ πολλοὶ μὲν ἑκόντες αὐτῷ προσεχώρησαν, πολλοὶ δὲ καὶ βίᾳ κεχείρωντο· τινὲς δὲ πολιορκούμενοι τάς τε πόλεις ἑαυτῶν ἔκαιον καὶ τοὺς οἰκείους ἐφόνευον, ἐπὶ δὲ τούτοις καὶ ἑαυτούς.

τὰ πλείω δὲ καταστρεψάμενος ὁ Σκιπίων εἰς Καρχηδόνα ἀνέζευξεν· ἔνθα τῷ τε πατρὶ καὶ τῷ θείῳ ἐπιταφίους ἀγῶνας ὁπλομαχίας ἔθετο. ὅτε πολλοὶ μὲν καὶ ἕτεροι ἠγωνίσαντο, καὶ ἀδελφοὶ δὲ δύο περὶ βασιλείας διαφερόμενοι καίτοι τοῦ Σκιπίωνος συναλλάξαι αὐτοὺς σπουδάσαντος· καὶ ὁ πρεσβύτερος τὸν νεώτερον καίτοι ἰσχυρότερον ὄντα ἀπέκτεινεν.

ἠρρώστησε δὲ μετέπειτα ὁ Σκιπίων, κἀν τούτῳ ἐνεωτέρισαν οἱ Ἴβηρες. στράτευμα γὰρ τοῦ Σκιπίωνος περὶ Σογκρῶνα χειμάζον ἐκινήθη καὶ πρῴην οὐκ εὐπειθὲς ὄν, οὐ μὴν φανερὰν ἀποστασίαν ἐπιδειξάμενον· τότε δ' αἰσθόμενον τὸν Σκιπίωνα κάμνοντα, ἐπεὶ καὶ ἡ μισθοφορὰ αὐτοῖς ἐβραδύνθη, ἀναφανδὸν ἀπέστησαν καὶ τοὺς χιλιάρχους σφῶν ἀπελάσαντες ὑπάτους ἑαυτοῖς κεχειροτονήκασιν· ἦσαν δὲ ὡς ὀκτακισχίλιοι. γνόντες οὖν ταῦτα οἱ Ἴβηρες ἀφίσταντο προχειρότερον καὶ τὴν συμμαχίδα τῶν Ῥωμαίων ἐκάκουν. καὶ ὁ Μάγων ἐκλιπεῖν ἤδη τὰ Γάδειρα βουληθεὶς οὔτ' ἐξέλιπε καὶ εἰς τὴν ἤπειρον διαβαίνων πολλὰ ἐκακούργει.

μαθὼν δὲ ταῦθ' ὁ Σκιπίων πέμψας πρὸς τὸ ἀποστατῆσαν στρατόπεδον ἐπέστειλεν αὐτοῖς συγγνωμονῶν δῆθεν, ὅτι διὰ ἔνδειαν τῶν ἀναγκαίων ἐνεωτέρισαν, καὶ μηδὲν ὑποπτεῦσαι διὰ τοῦτο ἀξιῶν, ἐπαινῶν δὲ καὶ τοὺς τὴν ἀρχὴν ἀναδεξαμένους αὐτῶν, ἵνα μηδὲν δεινὸν ἢ πάθωσιν ἢ δράσωσι διὰ ἀναρχίαν. τοιαῦτα τοῦ Σκιπίωνος γράψαντος οἱ στρατιῶται μαθόντες, ὅτι περιείη καὶ οὐδ' ὀργίζοιτο σφίσιν, οὐδὲν ἔτι διεκίνησαν. ὡς δ' ἀνερρώσθη, τραχὺ μὲν οὐδὲ τότε αὐτοῖς ἐπηπείλησε, πέμψας δὲ τήν τε τροφὴν ἀποδώσειν ὑπέσχετο καὶ πάντας πρὸς αὐτὸν ἀφικέσθαι ἐκάλεσεν, ὡς ἂν βούλωνται, ἢ ἀθρόοι ἢ ἐν μέρει κατὰ διαδοχάς. οἱ δέ γε στρατιῶται κατ' ὀλίγους ἀπελθεῖν οὐκ ἐθάρσησαν, ὁμοῦ δ' ἀπῆλθον. καὶ ὁ Σκιπίων ἔξω τοῦ τείχους αὐτοὺς αὐλί-

50 *Δίων ἐν τῷ ιϛ΄ "πάντες ἀποθανεῖν ἐστε ἄξιοι, οὐ μέντοι καὶ ἐγὼ πάντας ὑμᾶς θανατώσω, ἀλλ᾽ ὀλίγους μέν, οὓς καὶ συνείληφα ἤδη, δικαιώσω, τοὺς δὲ ἄλλους ἀφίημι."* Suidas v. *ἐδικαιώθησαν*, Etym. M. p. 316, 9. Cramer. Anecd. Paris. vol. IV, p. 168. Zonar. 9, 10 (vol. II, p. 280, 1—3).

51 *ὕστερον δὲ φθονούμενος τοῖς Σικελοῖς Ἀννίβας*
*ἐν σίτου χρείᾳ γεγονὼς καὶ μὴ στελλόντων τούτων*
*ὁ πρὶν γενναῖος νικητὴς λιμῷ νενικημένος*
*φυγὰς ὑπὸ Σκηπίωνος γίνεται τοῦ Ῥωμαίου*
*καὶ Σικελοῖς παραίτιος δεινῆς πανολεθρίας.*

Tzetz. hist. 1, 793—797.

[Zonaras 9, 10 — vol. II, p. 279, 21 sqq.]

*σασθαι (πρὸς ἑσπέραν γὰρ ἦν) διετάξατο καὶ παρέσχεν αὐτοῖς ἀφθόνως τὰ ἐπιτήδεια. καὶ οἱ μὲν ἐστρατοπεδεύοντο, αὐτὸς δὲ τοὺς θρασυτάτους αὐτῶν εἰς τὴν πόλιν εἰσελθεῖν κατεσκεύασε καὶ τῆς νυκτὸς αὐτοὺς κατασχὼν ἔδησεν. ἅμα δ᾽ ἡμέρᾳ ὡς ἔξω ποι στρατεύσων πάντα τὸν αὐτοῦ στρατὸν προεξέπεμψεν. εἶτα τοὺς ἄρτι ἐλθόντας εἴσω τοῦ τείχους ἄνευ τῶν ὅπλων ἐκάλεσεν, ἵν᾽ αὐτῷ συστρατεύσωνται, λαβόντες τὸ σιτηρέσιον. καὶ οὕτως εἰσελθόντων αὐτῶν ἐσήμηνε τοῖς ἐκκεχωρηκόσιν ὥσπερ εἶχον ἐπανελθεῖν. καὶ περισχὼν αὐτοὺς πολλὰ καὶ ὠνείδισε καὶ ἠπείλησε καὶ τέλος*
fr. 56,50 *"πάντες μέν" ἔφη "θανεῖν ἐστε ἄξιοι, οὐ μέντοι πάντας θανατώσω αὐτός, ἀλλ᾽ ὀλίγους, οὓς καὶ ἤδη συνείληφα, δικαιώσω, τοὺς δὲ ἄλλους ἀφίημι." ταῦτα εἰπὼν εἰς τὸ μέσον τοὺς δεδεμένους παρήγαγε καὶ σταυροῖς προσδήσας καὶ αἰκισάμενος ἀπέκτεινεν. ὡς δέ τινες τῶν παρεστηκότων ἀγανακτήσαντες ἐθορύβησαν, συχνοὺς καὶ ἐκείνων ἐκόλασε. καὶ μετὰ τοῦτο τὴν μισθοφορὰν τοῖς ἄλλοις δοὺς ἐπὶ τὸν Ἰνδίβιλιν καὶ ἐπὶ τὸν Μανδόνιον ἐστράτευσε. καὶ μὴ τολμώντων ἐκείνων συμμῖξαι αὐτῷ αὐτὸς ἐπέθετο καὶ ἐνίκησεν.*



*ταῦτα μὲν οὖν οὗτοι περὶ Γυμνησίων νήσων· Δίων* 52
*δὲ ὁ Κοκκειανὸς ταύτας φησὶ πλησίον εἶναι τοῦ Ἴβηρος ποταμοῦ, πλησίων τῶν Εὐρωπαίων Ἡρακλείων στηλῶν, ἃς νήσους Ἕλληνες μὲν καὶ Ῥωμαῖοι κοινῶς Γυμνησίας φασίν, Ἴβηρες δὲ Οὐαληρίας ἤτοι ὑγιεινάς.* Is. Tzetzes ad Lycophr. 633. Cf. Zon. 9, 10 (vol. II, p. 280, 24—30).

*ὅτι ὁ Μασινίσσας ἄλλως μὲν ἐν τοῖς κράτιστος* 53
*ἀνὴρ ἦν, τά τε πολέμια καὶ τοῖς βουλεύμασι καὶ τῇ χειρὶ ἄριστα ἐξειργάζετο καὶ ἐς πίστιν οὐχ ὅτι τῶν ὁμοφύλων (ἄπιστοι [τε] γὰρ οὗτοί γε ὡς πλήθει εἰσίν),*

[Zonaras 9, 10 sq. — vol. II, p. 280, 11 sqq.]

*ὁμολογησάντων δ᾽ ἐκείνων καὶ τῆς ἄλλης Ἰβηρίας τὰ πλείω αὖθις ἐδουλώθη, καὶ ὁ Μάγων τὰ Γάδειρα ἐξέλιπε, καὶ ὁ Μασινίσσας τοῖς Ῥωμαίοις προσεχώρησεν. οἱ Καρχηδόνιοι γὰρ τελευτήσαντος Ἀσδρούβα τοῦ Ἀννίβου ὁμαίμονος ἐψηφίσαντο τῆς μὲν Ἰβηρίας ἐκστῆναι, τὰ δὲ ἐν τῇ Ἰταλίᾳ ἀνακτήσασθαι· καὶ ἔπεμψαν ἀργύριον τῷ Μάγωνι, ἵν᾽ ἐπικουρικὸν ἀθροίσας στρατεύσηται ἐπ᾽ αὐτήν. καὶ ὃς πρὸς τὴν Ἰταλίαν αὖθις ὁρμήσας ἀφίκετο πρὸς τὰς Γυμνησίας νήσους. καὶ τῆς μὲν μείζονος ἥμαρτε μὴ δυνηθεὶς εἰς αὐτὴν κατᾶραι (οἱ γὰρ ἐπιχώριοι πόρρωθεν ἐς τὰς ναῦς ἐσφενδόνων κράτιστοι τοῦτο ποιεῖν ὄντες), εἰς δὲ τὴν μικροτέραν προσ-*
*ορμισάμενος ἐκεῖ διὰ τὸν χειμῶνα κατέμεινεν. αἱ νῆσοι δ᾽* fr. 56,52
*αὗται τῇ περὶ τὸν Ἴβηρα ἠπείρῳ ἐπίκεινται· εἰσὶ δὲ τρεῖς, ἃς Ἕλληνες μὲν καὶ Ῥωμαῖοι κοινῇ Γυμνησίας καλοῦσιν, Οὐαλερίας δὲ καὶ Ὑασούσας οἱ Ἴβηρες, ἰδίᾳ δ᾽ ἑκάστην, τὴν μὲν Ἔβεσον, τὴν δὲ μείζω, μικροτέραν δὲ τὴν τρίτην φερωνυμώτατα. τὰ Γάδειρα δὲ οἱ Ῥωμαῖοι κατέσχον.*

11. *ὁ δὲ Μασινίσσας ἀνὴρ ἦν ἐν τοῖς κρατίστοις* fr. 56,53
*ἐξεταζόμενος· καὶ χειρὶ γὰρ καὶ βουλεύμασιν ἀρι-*

---

53, 1 *κράτιστος* B, *κρατίστοις* L ‖ 4 [*τε*] del. Reiske ‖ *οὗτοι* V, *οὕτω* L

ἀλλὰ καὶ τῶν πάνυ μέγα ἐπ' αὐτῇ φρονούντων προέφερεν. V p. 605. Zonar. 9, 11 (vol. II, p. 280, 31 — 281, 1).

54 ὅτι τῆς Σοφωνίδος ἰσχυρῶς ἤρα Μασινίσσας, ἡ τό ⟨τε⟩ κάλλος ἐπιφανὲς εἶχε (καὶ γὰρ τῇ συμμετρίᾳ τοῦ σώματος καὶ τῷ ἄνθει τῆς ὥρας ἤκμαζεν) καὶ παιδείᾳ πολλῇ καὶ γραμμάτων καὶ μουσικῆς ἤσκητο· ἀστεία τε καὶ αἱμύλος ἦν καὶ τὸ σύμπαν οὕτως ἐπαφρόδιτος, ὥστε καὶ ὀφθεῖσα ἢ καὶ ἀκουσθεῖσα μόνον πάντα τινὰ καὶ τὸν πάνυ δυσέρωτα κατεργάσασθαι. V p. 605. Zonar. 9, 11 (vol. II, p. 281, 11—15).

55 .... μέντοι καὶ ἠθέλησε τοῦτον τίσασθαι· προϋποπτευθεὶς γὰρ ἔφυγε καὶ ἐς τὴν Λιβύην ἐλθὼν πολλὰ

[Zonaras 9, 11 — vol. II, p. 280, 32 sqq.]

στος ἐτύγχανε τὰ πολέμια. πρὸς δὲ τοὺς Ῥωμαίους ἐκ τῶν Καρχηδονίων ἐξ αἰτίας τοιᾶσδε μετήνεκτο. ὁ Ἀσδρούβας ὁ τοῦ Γίσγωνος φίλος τε ἦν αὐτῷ καὶ Σοφωνίδα τὴν ἑαυτοῦ θυγατέρα αὐτῷ ἐνηγγύησε. τῷ Σύφακι δὲ συγγενόμενος καὶ τὰ τῶν Ῥωμαίων αὐτὸν φρονοῦντα αἰσθόμενος οὐκέτι τὰ ὡμολογημένα πρὸς τὸν Μασινίσσαν ἐφύλαξεν, ἀλλὰ θέλων τοῖς Καρχηδονίοις τὸν Σύφακα προσποιήσασθαι οὐκ ἐλαχίστης δυνάμεως ἄρχοντα τήν τε ἀρχὴν αὐτῷ συγκατέπραξεν, ἢ τῷ Μασινίσσᾳ προσῆκε, τοῦ πατρὸς αὐτοῦ τότε
fr. 56, 54 θανόντος, καὶ τὴν Σοφωνίδα συνῴκισεν. ἡ δὲ τό τε κάλλος ἐπιφανὴς ἦν καὶ παιδείᾳ πολλῇ καὶ γραμμάτων καὶ μουσικῆς ἤσκητο, ἀστεία τε καὶ αἱμύλος ἦν καὶ οὕτως ἐπαφρόδιτος, ὡς ὀφθεῖσα ἢ καὶ ἀκουσθεῖσα μόνον καὶ τὸν πάνυ δυσέρωτα κατεργάσασθαι.

ὁ μὲν οὖν Σύφαξ διὰ ταῦτα τοῖς Καρχηδονίοις προσέθετο, καὶ ὁ Μασινίσσας τὰ τῶν Ῥωμαίων ἀνθείλετο καὶ

54, 2 ⟨τε⟩ inseruit B e Zonara ‖ 55, 2 ἔφυγε] sc. Masinissa, cf. Liv. 28, 16



μὲν καθ' ἑαυτόν, πολλὰ δε καὶ μετ⟨ὰ τ⟩ῶν Ῥωμαίων καὶ τὸν Σύφακα καὶ τοὺς Καρχηδονίους ἐλύπησεν. ὁ Σκιπίων δὲ ἐπειδὴ πάντα τὰ ἐντὸς τοῦ Πυρηναίου τὰ μὲν βίᾳ, τὰ δὲ καὶ ὁμολογίᾳ προσεποιήσατο, τὸν στόλον τὸν ἐς τὴν Λιβύην ἡτοιμάζετο, ὥσπερ οἱ ἐφεῖτο· καὶ γὰρ τοῦτο καίτοι πολλῶν ἀντιλεγόντων ἐπετράπη τότε καὶ τῷ Σύφακι συγγενέσθαι ἐκελεύσθη. κἂν ἐξειργαστό τι τοῦ φρονήματος τοῦ ἑαυτοῦ ἄξιον· ἢ γὰρ 56
Καρχηδόνα εἷλεν ἂν τὸν πόλεμον αὐτῇ περιστήσας ἢ τὸν Ἀννίβαν ἐκ τῆς Ἰταλίας ἐξήγαγεν, ὅπερ ὕστερον ἔπραξεν, εἰ μὴ οἱ ἐν οἴκῳ Ῥωμαῖοι τὰ μὲν φθόνῳ αὐτοῦ, τὰ δὲ καὶ φόβῳ ἐμποδὼν ἐγένοντο· τό τε γὰρ νέον πᾶν μειζόνων ἀεὶ ἐπορέγεσθαι καὶ τὸ κατορθοῦν πολλάκις ἄπληστον τῆς εὐπραγίας εἶναι νομίζοντες χαλεπώτατα ἂν ἡγοῦντο νεανίσκου ψυχὴν αὐχήματι προ ...... οὐκ ἐκείνῳ πρός τε δυναστείαν καὶ δόξαν, 57
ἀλλ' ἑαυτοῖς πρός τε ἐλευθερίαν καὶ σωτηρίαν συμφέρῃ χρῆσθαι, κατέλυον αὐτόν, καὶ ὃν αὐτοὶ προῆγον ἐς τὰ πράγματα ἐν χρείᾳ αὐτοῦ γενόμενοι, τοῦτον ἐθελονταὶ καθῄρουν, ὅτι μείζων τῆς κοινῆς ἀσφαλείας ἐγεγόνει· καὶ τοῦτο οὐκέτι ὅπως Καρχηδονίους παντε-

[Zonaras 9, 11 — vol. II, p. 281, 18 sqq.]

χρησιμώτατος αὐτοῖς διὰ πάντων ἐγένετο· Σκιπίων δὲ fr. 56, 55
πάντα τὰ ἐντὸς τοῦ Πυρηναίου τὰ μὲν βίᾳ, τὰ δὲ ὁμολογίᾳ προσποιησάμενος ἐς τὴν Λιβύην στείλασθαι ἡτοιμάζετο. οἱ δ' ἐν τῇ Ῥώμῃ τὰ μὲν φθόνῳ fr. 56, 56
τῶν κατορθωμάτων αὐτοῦ, τὰ δὲ φόβῳ, μὴ ὑπερφρονήσας τυραννήσῃ, ἀνεκαλέσαντο αὐτὸν δύο τῶν fr. 56, 58
στρατηγῶν διαδόχους αὐτῷ πέμψαντες.

55, 7 οἱ ἐφεῖτο D, εἰ ἠφίετο L ‖ 56, 3 Ἀννίβαλ L ‖ 9 προ...] desunt versus quattuor

λῶς δι' αὐτοῦ καταπολεμήσουσιν, ἀλλ' ὅπως μὴ ἑαυ-
τοῖς τύραννον αὐθαίρετον ἐπασκήσουσιν ἐσκόπουν.
58 τῶν οὖν στρατηγῶν δύο αὐτῷ διαδόχους πέμψαντες
ἀνεκάλεσαν αὐτόν. καὶ τὰ μὲν ἐπινίκια οὐκ ἐψηφί-
σαντό οἱ, ὅτι ἰδιώτης τε ὢν ἐστράτευτο καὶ ἐπ' οὐδε-
μιᾶς ἐννόμου ἡγεμονίας ἐξήταστο, βοῦς μέντοι ἑκατὸν
λευκοὺς ἐν τῷ Καπιτωλίῳ θῦσαι καὶ πανήγυρίν τινα
ἐπιτελέσαι τήν τε ὑπατείαν ἐς τὸ τρίτον ἔτος αἰτῆσαι
ἐπέτρεψαν· αἱ γὰρ ἐς νέωτα ἀρχαιρεσίαι . . . . . . ἐγεγό-
νεσαν.

59 ἐν δὲ τοῖς αὐτοῖς τούτοις χρόνοις καὶ ὁ Σουλπίκιος
a. u. μετὰ τοῦ Ἀττάλου Ὠρεὸν μὲν προδοσίᾳ, Ὀποῦντα δὲ
547 (207) ⟨κατὰ τὸ⟩ ἰσχυρὸν ἔλαβεν· ὁ γὰρ Φίλιππος οὐκ ἠδυ-
νήθη σφίσι διὰ ⟨ταχέων⟩ καίπερ ἐν Δημητριάδι ὢν
ἐπαμῦναι, ἐπειδὴ οἱ Αἰτωλοὶ τὰς διόδους προκατέσχον.
60 ὀψὲ ⟨δέ ποτε ἐπελθών⟩ καὶ καταλαβὼν τὸν Ἄτταλον
τὴν λείαν τὴν ἐκ τῆς Ὀποῦντος διατιθέμενον (ἐκείνῳ
μὲν γὰρ αὕτη, τοῖς δὲ δὴ Ῥωμαίοις ἡ ἐκ τοῦ Ὠρεοῦ
ἐγένετο) ἐς τὰς ναῦς αὐτὸν κατήραξεν, ὥστε τὸν Ἄτ-
ταλον διά τε τοῦτο καὶ διὰ Προυσίαν τὸν Βιθυνῶν
βασιλέα ἐσβαλόντα τε ἐς τὴν χώραν αὐτοῦ καὶ πορ-

[Zonaras 9, 11 — vol. II, p. 281, 25 sqq.]

fr. 56,59 καὶ ὁ μὲν οὕτω τῆς ἀρχῆς ἐπαύθη, ὁ δέ γε Σουλ-
πίκιος μετὰ τοῦ Ἀττάλου κατὰ τὸν αὐτὸν χρόνον
Ὠρεὸν μὲν προδοσίᾳ, Ὀποῦντα δὲ ἰσχύϊ κατέσχεν.
ὁ γὰρ Φίλιππος οὐκ ἠδυνήθη αὐτοῖς ἐπαμῦναι διὰ
ταχέων, τὰς διόδους προκατασχόντων τῶν Αἰτωλῶν.
fr. 56,60 ὀψὲ δέ ποτε ἐπελθὼν εἰς τὰς ναῦς αὐτοῦ τὸν Ἄτ-

---

57, 7 καταπολεμήσουσιν et 8 ἐπασκήσουσιν D, καταπολεμήσωσιν et ἐπασκήσωσιν L ‖ 58, 3 ἐστράτευτο BD, ἐστρατεύετο L ‖ 4 ἡγεμονείας L ‖ 6 ὑπατίαν L



θοῦντα αὐτὴν ἀποπλεῦσαι κατὰ τάχος οἴκαδε. ὁ μέν-
τοι Φίλιππος οὐχ ὅσον οὐκ ἐπήρθη τούτῳ, ἀλλὰ καὶ
σπείσασθαι τοῖς Ῥωμαίοις ἠθέλησε, καὶ μάλισθ' ὅτι
καὶ ὁ Πτολεμαῖος πρέσβεις ἐκ τῆς Αἰγύπτου πέμπων
συνήλλαττεν αὐτούς. καί τινων λόγων σφίσι γενομέ- 61
νων . . . . . . εἰρήνην οὐκέτι ᾔτησεν, ἀλλὰ . . . . . . δ⟨ὲ Αἰ⟩-
τωλοὺς ἀπὸ τῆς συμμαχίας τῆς τῶν Ῥωμαίων ϱ . . . τινι
ἀποσπάσας φίλους ἐποιήσατο. οὐ μέντοι καὶ ἐπράχθη
τι μνήμης ἄξιον οὔθ' ὑπ' ἐκείνου οὔτε ὑπ' ἄλλων τι-
νῶν, οὔτε τότε οὔτε ἐν τῷ ὑστέρῳ ἔτει, ἐν ᾧ Λούκιός a. u. 548
τε Οὐετούριος καὶ Καικίλιος Μέτελλος ὑπάτευσαν, καί- (206)
περ σημείων πολλῶν καὶ δυσχερῶν τοῖς Ῥωμαίοις γε-
νομένων· ἀρνίον τε γὰρ ἀρρενόθηλυ ἐγεννήθη, καὶ 62
σμῆνος ὑ . . . . . . . . . ετιον ὤφθη, κατά τε τῶν θυρῶν
τοῦ ναοῦ τοῦ Διὸς τοῦ Καπιτωλίου ὄφεις δύο κατώ-
λισθον, καὶ ἱδρῶτι πολλῷ αἵ τε θύραι τοῦ Ποσειδω-
νίου καὶ ὁ βωμὸς ἐρρύη, ἔν τε Ἀντίῳ στάχυες αἱμα-
τώδεις θερίζουσί τισιν ὤφθησαν, καὶ ἑτέρωθι γυνὴ
κέρατα ἔχουσα ἀνεφάνη, κεραυνοί τε ἐς ναοὺς πολ-
λοὶ . . . Fragmenta Parisina, quae e codice rescripto
decimi fere saeculi primus edidit Frid. Haase in Mus.
Rhen. a. 1839 p. 458 sqq. — Zonaras 9, 11 (vol. II,
p. 281, 19 — 282, 6).

[Zonaras 9, 11 — vol. II, p. 282, 2 sqq.]

ταλον καταφυγεῖν ἐβιάσατο. ὁ μέντοι Φίλιππος
σπείσασθαι τοῖς Ῥωμαίοις ἠθέλησε. καί τινων λό-
γων αὐτοῖς γενομένων τὰ μὲν τῆς εἰρήνης ἀφείθη,
τοὺς δ' Αἰτωλοὺς ἀπὸ τοῦ συμμαχεῖν τοῖς Ῥωμαί-
οις μεταθέμενος φίλους ἑαυτοῦ ἐποιήσατο.

---

61, 1 γενομένων] desunt versus quattuor ‖ 5 ἐκείνου D, ἐκείνων L

63 ὅτι *Λικίνιος Κράσσος* ὑπό τε ἐπιεικείας καὶ κάλ-
a. u. λους πλούτου τε, ἀφ' οὗπερ καὶ πλούσιος ἐπωνομάσθη,
549 (205) ὅτι τε ἀρχιερεὺς ἦν, ἔμελλεν ἐν τῇ Ἰταλίᾳ ἀκλήρωτος
μένειν. V p. 605. Zonaras 9, 11 (vol. II, p. 282,
11 sq.).

64 ὅτι τοῦ *Πυθίου* κελεύσαντος τοῖς Ῥωμαίοις τῷ ἀρίστῳ τῶν πολιτῶν ἐπιτρέψαι τὴν θεὸν τὴν ἐκ *Πεσσινοῦντος* κομιζομένην ἐς τὸ ἄστυ *Πούπλιον Σκιπίωνα*, παῖδα τοῦ *Γναίου* τοῦ ἐν τῇ Ἰβηρίᾳ τελευτήσαντος ὄντα, ἁπάντων προέκριναν καὶ προετίμησαν. αἴτιον δὲ ὅτι ἄλλως τε . . . . . καὶ εὐσεβὴς καὶ δίκαιος ἐνομίζετο. ὃς ταύτην τότε ἐς τὴν πόλιν καὶ τὸ παλάτιον μετὰ τῶν ἐπιφανεστάτων γυναικῶν ἀνήγαγεν. V p. 606.

[Zonaras 9, 11 — vol. II, p. 282, 7 sqq.]

ὁ δ' *Ἀννίβας* τέως ἡσυχίαν ἦγεν ἀγαπῶν, εἰ τὰ ὑπάρχοντά οἱ διασώσαιτο. καὶ οἱ ὕπατοι νομίζοντες αὐτὸν καὶ ἄνευ μάχης ἐκτρυχωθῆναι ἀνεῖχον.

fr. 56,63 τῷ δ' ἐπιόντι ἔτει ὅ τε *Σκιπίων* ὁ *Πούπλιος* καὶ *Λι-*
a. u. *κίνιος Κράσσος* ὑπάτευσαν. καὶ ὁ μὲν ἐν τῇ Ἰταλίᾳ
549 (205) ἔμεινεν, ὁ δὲ *Σκιπίων* εἰς *Σικελίαν* ἀπελθεῖν καὶ εἰς *Λιβύην*
προσετέτακτο, ἵνα εἰ μὴ τὴν *Καρχηδόνα* αἱρήσει, τόν γε *Ἀννίβαν* ἀπὸ τῆς Ἰταλίας τέως ἀνθελκύσῃ. οὔτε δὲ στράτευμα ἀξιόλογον οὔτε πρὸς τριήρεις ἀνάλωμα ἔλαβε διὰ τὰς ἀριστείας φθονούμενος· μόλις δὲ καὶ τὰ πάνυ ἀναγκαῖα παρέσχον αὐτῷ. καὶ ὁ μὲν σὺν τῷ ναυτικῷ τῶν συμμάχων καί τισιν ἐθελονταῖς ἐκ τοῦ δήμου ἀπῆρεν, ὁ δὲ *Μάγων* ἐκ τῆς νήσου παραπλεύσας εἰς τὴν *Λιγυστικὴν* ἀπέβη. ὁ *Κράσσος* δ' ἐν τῇ *Βρεττίᾳ* τῷ *Ἀννίβᾳ* προσήδρευεν. ὁ μέντοι *Φίλιππος* κατηλλάγη Ῥωμαίοις· *Πούπλιον* γὰρ *Σεμπρώνιον*

64, 6 post ἄλλως τε lacunam statuit St, ἄλλως τε in ἁγνός τε vel ἁπλοῦς τε mutandum censuit Reiske



ὅτι πυθόμενοι τὰ τῶν *Λοκρῶν* οἱ Ῥωμαῖοι καὶ νο- 65
μίσαντες αὐτὰ ὀλιγωρίᾳ τοῦ *Σκιπίωνος* συμβεβηκέναι χαλεπῶς τε ἔφερον καὶ ἐβουλεύσαντο εὐθὺς ὑπὸ ὀργῆς τῆς τε ἡγεμονίας αὐτὸν παῦσαι καὶ ἐπὶ δίκην ἀνακαλέσαι προσπαροξυνθέντες, ὅτι τῇ τε Ἑλληνικῇ διαίτῃ ἐχρῆτο καὶ ὅτι ἱμάτιον ἀνεβάλλετο, ὅτι τε ἐς παλαίστραν παρέβαλλεν. ἔτι δὲ τοῖς στρατιώταις ἁρπάξειν τὰ τῶν συμμάχων ἐπιτρέπειν ἐλέγετο, τόν τε πλοῦν τὸν ἐπὶ *Καρχηδόνα* διατρίβειν ἐπίτηδες, ὅπως ἐπὶ πλεῖον ἄρξειεν, ὑπωπτεύετο. μέγιστον δὲ ἐναγόντων τῶν ἀπ' ἀρχῆς οἱ φθονούντων μεταπέμψασθαι αὐτὸν ἤθελον. καὶ τοῦτο μὲν διὰ τὸ πλῆθος μεγάλην εὔνοιαν αὐτοῦ πρὸς τὰς ἐλπίδας ἔχον οὐκ ἐγένετο. V p. 606. Zonar. 9, 11 (vol. II, p. 282, 25—283, 9).

[Zonaras 9, 11 — vol. II, p. 282, 23 sqq.]

εἰς *Ἀπολλωνίαν* ἐλθόντα σὺν πολλῇ δυνάμει αἰσθόμενος ἀσμένως ἐσπείσατο.

*Σκιπίων* δ' ὁ ὕπατος εἰς *Σικελίαν* κατάρας παρεσκευά- cf. fr 56,65
ζετο μὲν ὡς ἐς *Λιβύην* πλεύσων, οὐκ ἠδυνήθη δὲ μήτε δύναμιν ἐντελῆ καὶ αὐτὴν ἀσυγκρότητον ἔχων. διὸ πάντα τὸν χειμῶνα ἐκεῖ διήγαγε τοὺς σὺν αὐτῷ ἐξασκῶν καὶ ἄλλους προσκαταλέγων. μέλλοντι δὲ περαιώσασθαι ἀγγελία αὐτῷ ἐκ Ῥηγίου ἧκε τὴν πόλιν τῶν *Λοκρῶν* τινας προδώσειν. τοῦ γὰρ φρουράρχου καταβοήσαντες καὶ μηδεμιᾶς ἐκδικίας παρὰ τοῦ *Ἀννίβου* τυχόντες πρὸς τοὺς Ῥωμαίους ἀπέκλιναν. δύναμιν οὖν πέμψας ἐκεῖ πολλὰ τῆς πόλεως νυκτὸς μετὰ τῶν προδιδόντων κατέλαβε. τῶν δὲ *Καρχηδονίων* εἰς τὴν ἄκραν συνειληθέντων καὶ τὸν *Ἀννίβαν* μετακαλεσαμένων κατὰ τάχος ἐξανήχθη καὶ ὁ *Σκιπίων* καὶ πλησιάσαντα τῇ πόλει αἰφνιδίῳ ἐπεκδρομῇ ἀπεώσατο. εἶτα λαβὼν τὴν ἀκρόπολιν καὶ ἐπιτρέψας τὴν πᾶσαν πόλιν δύο χιλιάρ-

65, 7 ἔτι δὲ Reiske, ὅτι τε L

66 . . . σχόντες στρατόπεδόν τε ἐν ἐπιτηδείῳ ἐποιήσαντο
a. u. καὶ πᾶν αὐτὸ σταυρώμασι περιέφραξαν χάρακας ἐπ'
550 (204) αὐτὸ τοῦτ' ἐνεγκάμενοι. ἄρτι τε κατεσκεύαστο, καὶ
δράκων παρ' αὐτὸ μέγας διὰ τῆς ἐπὶ τὴν Καρχηδόνα
φερούσης ὁδοῦ παρείρπυσεν, ὥστε καὶ ἐκ τούτου τὸν
Σκιπίωνα κατὰ τὴν περὶ τούτων . . . ἑαυτοῦ φήμην ἐπι-

[Zonaras 9, 11 sq. — vol. II, p. 283, 8 sqq.]

χοις ἀνέπλευσεν. οὐκ ἠδυνήθη μέντοι τῇ Λιβύῃ προσπλεῦσαι. οὕτω δ' οἱ Καρχηδόνιοι τὴν ὁρμὴν αὐτοῦ ἔδεισαν, ὥστε χρήματα μὲν τῷ Φιλίππῳ στεῖλαι, ἵν' εἰς τὴν Ἰταλίαν στρατεύσῃ, καὶ τῷ Ἀννίβᾳ καὶ σῖτον πέμψαι καὶ στρατιώτας καὶ ναῦς τῷ Μάγωνι καὶ χρήματα, ἵνα τὸν Σκιπίωνα κωλύσῃ περαιωθῆναι. ἐκ δὲ σημείων τινῶν νίκην οἱ Ῥωμαῖοι λαμπρὰν ἐλπίσαντες τήν τε ἐν τῇ Λιβύῃ στρατιὰν τῷ Σκιπίωνι καὶ δύναμιν ἄλλην, ὡς ἂν ἐθελήσῃ, καταλέξασθαί οἱ
a. u. ἐπέτρεψαν. τῶν γὰρ ὑπάτων Μᾶρκον μὲν Κέθηγον τῷ Μά-
550 (204) γωνι, Πούπλιον δὲ Σεμπρώνιον τῷ Ἀννίβᾳ ἀντέταξαν.

12. οἱ δέ γε Καρχηδόνιοι δείσαντες τὸν Μασινίσσαν, μὴ Σκιπίωνι πρόσθηται, ἔπεισαν τὸν Σύφακα τὴν ἀρχὴν αὐτῷ ἀποδοῦναι ὡς καὶ αὖθις αὐτὴν ἀνακτησόμενον. ὁ οὖν Μασινίσσας ὑπώπτευε μὲν τὸ πραττόμενον, κατηλλάγη δὲ δῆθεν, ἵνα πιστὸς νομισθεὶς μέγα τι σφῆλαι αὐτοὺς δυνηθῇ· μᾶλλον γὰρ ὑπὲρ τῆς Σοφωνίδος ἢ τῆς βασιλείας ὠργίζετο. διὸ καὶ τοῖς Ῥωμαίοις προσέκειτο ὑποκρινόμενος τὰ τῶν Καρχηδονίων αἱρεῖσθαι. ὁ δέ γε Σύφαξ τὰ τῶν Λιβύων πράττων ἐπλάττετο Ῥωμαίοις ἔνσπονδος εἶναι καὶ στείλας πρὸς τὸν Σκιπίωνα παρῄνει μὴ ποιήσασθαι τὴν διάβασιν. ἀκούσας δὲ ταῦτα δι' ἀπορρήτων ὁ Σκιπίων, ἵνα μὴ γνῶσιν οἱ στρατιῶται, τόν τε κήρυκα αὐθημερὸν ἀπέπεμψε μηδενὶ ἄλλῳ προσομιλήσαντα καὶ τὸ στράτευμα συγκαλέσας ἐπέσπευδε τὴν διάβασιν ἔτι τοὺς Καρχηδονίους ἀπαρασκεύους λέγων εἶναι καὶ πρότερον μὲν τὸν Μασινίσσαν, τότε δὲ καὶ τὸν Σύφακα μετακαλεῖσθαι αὐτοὺς καὶ χρονίζουσιν ἐγκαλεῖν. ταῦτα εἰπὼν μηδὲν ἔτι μελλήσας ἐξανήχθη· καὶ πρὸς τὸ ἀκρωτήριον τὸ καλούμενον Ἀπολλώ-



θαρσήσαντα προθυμότερον τήν τε χώραν πορθῆσαι
καὶ ταῖς πόλεσι προσμίξαι. καί τινας καὶ εἷλεν αὐτῶν· 67
οἵ τε Καρχηδόνιοι μηδέπω . φ . . . . . παρεσκευασμένοι ἡσύχαζον, καὶ ὁ Σύφαξ ⟨τῇ γ⟩ε μ⟨ὲν δόξῃ φίλ⟩ος αὐτῶν ἦν, τῷ δὲ ἔργῳ ἐκ μέσου εἱστήκει· κελ⟨εύων γὰρ⟩ πρὸς τὸν Σκιπίωνα καταλλαγὰς αὐτοῖς ⟨ποιεῖσθαι οὐκ⟩ ἠβούλετο κρατήσαντας τοὺς ἑτέρο⟨υς τῶν τε ἑτέρων⟩ ἅμα καὶ ἑαυτοῦ δεσπότας γενέσθα⟨ι, ἀλλ' ἔτι ἀντιπάλο⟩υς ὅτι μάλιστα ἀλλήλοις ὄντας ⟨ἑαυτῷ⟩ διαλλάξαι.
ἐγκειμένου δ' οὖν τῇ χώρᾳ τοῦ Σκι⟨πίωνος Ἄννων ὁ 68
ἵππαρ⟩χος ἦν δὲ ⟨υἱὸς τοῦ Ἀρδρούβου⟩ . . . φ . ξ . . εινος μὲν τὸν . . . . . . . . . . . . . . . . . διεστ . . . . ἀνεπείσθη πρὸς ⟨τοῦ Μασινίσσου⟩ . . . . . . . χω . . . . Καρχηδονίοις . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . ν πολεμικῶν ομ . . . ρίας ἐν π . . . . . . νε . . . ε . φ . . . σιν ἐπιστεύετο, κἀκ τούτου προ⟨πέμψας ὁ Σκιπίων ἱππέας⟩ τινὰς ἐκ τῆς συμβουλίας ⟨τοῦ Μασινίσσου⟩ . . . . . . . . ἐνήδρευσεν ἐς χωρία ἐπιτήδ⟨εια, οὗ⟩ ἔμελλον . . . χα καταδρομὴν ποιούμενοι

[Zonaras 9, 12 — vol. II, p. 284, 10 sqq.]

νιον προσορμίσας τὰς ναῦς ἐστρατοπεδεύσατο καὶ τὴν fr. 56, 66.67
χώραν ἐπόρθει προσέμισγέ τε ταῖς πόλεσι καὶ εἷλέ
τινας. ἐγκειμένων δὲ τῶν Ῥωμαίων τῇ χώρᾳ, Ἄν- fr. 56, 68
νων ὁ ἵππαρχος υἱὸς ὢν τοῦ Ἀσδρούβου τοῦ Γίσγωνος ἀνεπείσθη πρὸς τοῦ Μασινίσσου ἐπιθέσθαι αὐτοῖς. ὁ οὖν Σκιπίων ἱππέας πέμψας τινὰς χωρία πρὸς καταδρομὴν ἐπιτήδεια ἐλῄζετο, ἵν' ὑποφεύγοντες ἐπισπάσωνται τοὺς ἐπι-
διώκοντας. τῶν οὖν Καρχηδονίων ἐπισπομένων fr. 56, 69
αὐτοῖς κατὰ τὰ ξυγκείμενα τραπομένοις ὁ Μασι-

68, 3 ἀνεπείσθη (ἀνεπίσθη L) ⟨κατὰ χωρία Καρχηδονίοις ἀνεπιτήδεια ἐπιθέσθαι τοῖς Ῥωμαίοις⟩ supplevit Haase probabiliter e Zonara

69 ὑποφεύ⟨γειν⟩. ἐπι......τοὺς ἐπιδιῶξαι σφᾶς ἐθελή-
σοντας. γενομένου δὲ τούτου καὶ τῶν Καρχηδονίων ἐπεξελ⟨θόντων⟩ τε ἐκε⟨ίνοις⟩ καὶ δι᾽ ⟨ὀλίγ⟩ου κατὰ τὸ συγκείμενον τρ⟨απομ⟩ένοις ἀνὰ κράτος ἐπισπομένων ὅ τε Μασινίσσας μετὰ τῶν ἀμφ᾽ αὐτὸν ἱππέων ὑπολειφθεὶς κατὰ νώ⟨του τοῖς⟩ διώκουσιν ἐγένετο, καὶ ὁ Σκιπίων ἐξαναστὰς ἐ⟨κ τοῦ λόχου⟩ ἐ⟨πι⟩ὼν ἀπήντησεν αὐτοῖς, ὥστ᾽ ἀμφιβόλους ⟨δί⟩χα ἀποληφθέντας καὶ ἀποθανεῖν πολλοὺς καὶ ἁλῶναι.......δ.ε.
70 καὶ τὸν Ἄννωνα. πυθόμενος δὲ τοῦτο ὁ Ἀσδρούβας
τὴν μητέρα τοῦ Μασινίσσου συνέλαβε. καὶ ἐκεῖνοι μὲν ἀνταπεδόθησαν· ὁ δὲ δὴ Σύφαξ εὖ τε εἰδώς, ὅτι ὁ Μασινίσσας οὐ Καρχηδονίοις μᾶλλόν τι ἢ καὶ αὐτῷ πολεμήσει, καὶ φοβηθείς, μὴ ἐν ἐρημίᾳ συμμάχων, ἄν τι ἐκεῖνοι ἐγκαταλειφθέντες ὑπ᾽ αὐτοῦ πάθωσι, γένηται, τήν τε προσποίητον πρὸς τοὺς Ῥωμαίους φιλίαν ἀπεῖπε καὶ τοῖς Καρχηδονίοις φανερῶς συνήρ⟨ατο⟩·
71 οὐ μέντοι γε καθαρῶς, ὥστε καὶ ἀνθίστασθαί σφισιν,
ἀλλὰ ἀδεῶς ἐκεῖνοι καταθέοντες λείαν τε πολλὴν ἦγον

[Zonaras 9, 12 — vol. II, p. 284, 19 sqq.]

νίσσας τε κατὰ νώτου γενόμενος μετὰ τῶν ἀμφ᾽ αὐτὸν ἐπέθετο τοῖς διώκουσι, καὶ ὁ Σκιπίων ἐκ τοῦ λόχου ἐπεκδραμὼν προσέμιξεν αὐτοῖς. καὶ πολλοὶ μὲν ἐφθάρησαν, πολλοὶ δὲ καὶ ἑάλωσαν καὶ ὁ Ἄν-
fr. 56,70 νων αὐτός. διὸ ὁ Ἀσδρούβας τὴν μητέρα τοῦ Μα-
σινίσσου συνέλαβε· καὶ ἀνταπεδόθησαν. ὁ δὲ Σύ-
fr. 56,71 φαξ τῆς πρὸς Ῥωμαίους φιλίας τὴν δόκησιν ἀπει-
πὼν φανερῶς τοῖς Καρχηδονίοις συνήρατο. οἱ δὲ Ῥωμαῖοι καὶ ἐληΐζοντο τὴν χώραν καὶ συχνοὺς τῶν

---

70, 8 συνήρ⟨ατο⟩ D e Zonara, συνήρ⟨ετο⟩ B, συνῆρ⟨εν⟩ Haasius



καὶ συχνοὺς τῶν ἐκ τῆς Ἰταλίας ὑπὸ τοῦ Ἀννίβου πρότερον ἐς τὴν Λιβύην πεμφθέντων ἐκομίσαντο, καταφρονήσαντές τε αὐτῶν διὰ ταῦτα καὶ ἐπὶ τὴν Οὐτίκην
ἐπεστράτευσαν. ἰδόντες οὖν τοῦτο ὅ τε Σύφαξ καὶ ὁ 72
Ἀσδρούβας καὶ δείσαντες περὶ αὐτῆς οὐκέτ᾽ ἐκαρτέρησαν, ἀλλ᾽ ἀντεπελθόντες ἔλυσαν τὴν πολιορκίαν μὴ τολμησάντων αὐτῶν καὶ πρὸς ἀμφοτέρους ἅμα ἀγωνίσασθαι. καὶ οἱ μὲν ἐκ τούτου κατὰ χώραν ἐχείμασαν τὰ ἐπιτήδεια τὰ μὲν αὐτόθεν ⟨λαμβάνοντες, τὰ δὲ ἐκ⟩ τῆς Σικελίας τῆς τε Σαρδοῦς μ⟨εταπεμπόμενοι· αἱ γὰρ⟩ νῆές σφισιν αἱ τὰ λάφυρα ⟨ἐς τὴν Ἰταλίαν ἄγουσαι
καὶ⟩ τροφὴν ἂν ἐπῆγον. ἐν δὲ τῇ ⟨Ἰταλίᾳ κατὰ τὸν 73
πρὸς Ἀννίβαν⟩ πόλεμον οὐδὲν μέγα ἐπράχθη. Π⟨ούπλιος γὰ⟩ρ Σεμπρώνιος μάχῃ τινὶ βραχείᾳ νικηθεὶς ⟨ὑπὸ τ⟩οῦ Ἀννίβου ἀντεπεκράτησεν αὐτοῦ, ὁ δὲ δὴ Λιο⟨ύιος καὶ⟩ ὁ Νέρων τιμητεύσαντες τοῖς τε Λατίνοις το⟨ῖς προ⟩λιποῦσι τὴν συστρατείαν καὶ διπλοῦν ἀποδι⟨δόναι⟩ πλῆθος τῶν στρατιωτῶν προσταχθεῖσι διδό⟨ναι ἀπ⟩ογραφὰς ἐπήγγειλαν, ὅπως καὶ ἄλλοι χρήμα⟨τά σφ⟩ισι συνεσφέρωσι, καὶ τοὺς ἄλας ἀτελεῖς μέχρι
τότ⟨ε ὄντ⟩ας ὑποτελεῖς ἐποίησαν· τοῦτο δὲ οὐκ ἄλλων 74
⟨ἕνεκ⟩α, ἀλλ᾽ ὅτι ὁ Λιούιος ἔπραξέ τε αὐτὸ ἀμυνόμενος το⟨ὺς πολί⟩τας ἐπὶ τῇ καταψηφίσει καὶ ἐπίκλησιν ἀπ᾽ αὐτο⟨ῦ ἔλαβε⟩· Σαλινάτωρ γὰρ ἐπωνομάσθη. διά τε οὖν τοῦτο ⟨περιβ⟩όητοι οἱ τιμηταὶ οὗτοι ἐγέ-

[Zonaras 9, 12 — vol. II, p. 284, 27 sqq.]

ἐκ τῆς Ἰταλίας ὑπὸ τοῦ Ἀννίβου πρὸς τὴν Λιβύην
πεμφθέντων ἀνεκομίσαντο καὶ κατὰ χώραν ἐχεί- fr. 56,72
μασαν.

---

73, 2 Π⟨ούπλιος μὲν γὰ⟩ρ suppl. B

*νοντο καὶ ὅτι τε ἀλλήλου<ς τῶν> τε ἵππων παρείλοντο καὶ αἱραρίους ἐποίησαν ετ . . . . . όντες κατὰ τὴν . . . . .* Fragm. Paris. p. 460. Zonaras 9, 12 (vol. II, p. 284, 12—30).

75 *ὅτι ὁ Σκιπίων ναῦν Καρχηδονίαν λαβὼν ἀφῆκε*
a. u. 551 (203) *μηδὲν ἀδικήσας, ἐπειδὴ ἐπὶ πρεσβείᾳ πρὸς αὐτὸν ἀφικνεῖσθαι ἐπλάσαντο· ᾔδει μὲν γάρ, ὅτι ἐπὶ τῇ τῶν ἑαλωκότων σωτηρίᾳ προεφασίσθη, προετίμησε δὲ τῆς καθέξεως αὐτῶν τὸ μηδ' ὁτιοῦν διαβληθῆναί πως δυνάμενον ποιῆσαι. τοῦ τε Σύφακος καὶ τότε ἔτι συναλλάττοντος αὐτούς, ὡς τὸν Σκιπίωνα ἐκ τῆς Λιβύης καὶ τὸν Ἀννίβαν ἐκ τῆς Ἰταλίας ἀπᾶραι, ἐδέξατο τὸν λόγον, οὐχ ὅτι καὶ ἐπίστευέν οἱ, ἀλλ' ἵνα αὐτὸν σφήλῃ.* V p. 606. Zonar. 9, 12 (vol. II, p. 285, 4—11).

[Zonaras 9, 12 — vol. II, p. 284, 30 sqq.]

a. u. 551 (203) μετὰ δὲ ταῦτα Γναίου Σκιπίωνος καὶ Γαΐου Σερουιλίου ὑπατευσάντων οἵ τε Καρχηδόνιοι ἐλαττωθέντες τῷ πολέμῳ συμβῆναι ἠθέλησαν, καὶ ὁ Ἀννίβας καὶ ὁ Μάγων ἐκ τῆς Ἰταλίας ἐξέπεσον. οἱ μὲν γὰρ ὕπατοι τῷ Ἀννίβᾳ καὶ τῷ Μάγωνι ἀντικαθίσταντο, Σκιπίων δὲ τήν τε Λιβύην ἐκάκου
fr. 56,75 καὶ ταῖς πόλεσι προσέβαλλε. κἀν τούτῳ ναῦν Καρχηδονίαν λαβὼν ἀφῆκεν, ἐπεὶ πρὸς αὐτὸν ἐπὶ πρεσβείᾳ ἀφικνεῖσθαι ἐπλάσαντο. ᾔδει μὲν γὰρ τὸ πλάσμα, προετίμησε δὲ τὸ μὴ διαβληθῆναι ὡς πρέσβεις κατεσχηκώς. καὶ τοῦ Σύφακος πράττοντος ἔτι διαλλαγάς, ὥστε ἐκ τῆς Λιβύης μὲν τὸν Σκιπίωνα, τὸν δ' Ἀννίβαν ἐκ τῆς Ἰταλίας ἀπᾶραι, ἐδέξατο τὸν λόγον οὐχ ὡς πιστεύων αὐτῷ, ἵνα δὲ σφήλῃ αὐτόν. τῶν γὰρ στρατιωτῶν ἄλλοτε ἄλλους κατὰ τὴν τῶν σπονδῶν πρόφασιν ἐς τὸ στρατόπεδον τὸ τῶν Καρχηδονίων πέμπων καὶ τὸ τοῦ Σύφακος, ἐπεὶ ἐκεῖνοι πάντα τὰ παρ' αὐτοῖς κατεσκέψαντο, τὴν σύμβασιν ἀπ' εὐλόγου δή τινος σκήψεως, ἄλλως τε καὶ ὅτι ὁ Σύφαξ ἐπιβουλεύων ἐφωράθη τῷ Μα-



[Zonaras 9, 12 sq. — vol. II, p. 285, 17 sqq.]

σινίσσᾳ, διεκρούσατο. νυκτὸς δ' ἦλθεν εἰς τὰ στρατόπεδα αὐτῶν οὐ πάνυ ἀλλήλων διέχοντα καὶ πῦρ εἰς τὸ τοῦ Ἀσδρούβου πολλαχόθεν ἅμα ὑπέβαλε. καὶ ἐμπρησθέντος ῥᾷστα αὐτοῦ (ἐκ γὰρ καλάμης καὶ ἐκ φυλλάδων ἐπεποίηντο αὐτοῖς αἱ σκηναί) οἵ τε Καρχηδόνιοι κακῶς ἀπήλλαξαν, καὶ οἱ περὶ τὸν Σύφακα βοηθῆσαι αὐτοῖς ἐθελήσαντες τοῖς τε Ῥωμαίοις τοῖς περιέχουσιν περιέπεσον καὶ αὐτοὶ ἀπώλοντο, καὶ τὸ στρατόπεδον προσενεπρήσθη αὐτῶν, καὶ ἐφθάρησαν πολλοὶ καὶ ἵπποι καὶ ἄνθρωποι. οἱ Ῥωμαῖοι δὲ ταῦτα πεποιηκότες νυκτὸς μὲν οὐδὲν ἔπαθον, ἡμέρας δ' ἐπιφαυσάσης Ἴβηρες ἄρτι Καρχηδονίοις ἐπὶ συμμαχίᾳ ἐλθόντες προσέπεσον αὐτοῖς ἀπροσδόκητοι καὶ πολλοὺς ἀπέκτειναν.

εὐθὺς οὖν Ἀσδρούβας μὲν εἰς τὴν Καρχηδόνα, Σύφαξ δὲ οἴκαδε ἀπεχώρησεν. ὁ δέ γε Σκιπίων Σύφακι μὲν τὸν Μασινίσσαν καὶ Γάϊον ἀντέταξε Λαίλιον, αὐτὸς δ' ἐπὶ τοὺς Καρχηδονίους ἤλασεν. οἱ δ' αὖ Καρχηδόνιοι πρὸς τὸ ἔρυμα τῶν Ῥωμαίων, ᾧ χειμαδίῳ ἐχρῶντο καὶ ἐς ὃ ἀπετίθεντο πάντα, ναῦς ἔπεμψαν, ἵνα ἢ αὐτὸ αἱρήσωσιν ἢ ἀφ' ἑαυτῶν ἀπάξωσι τὸν Σκιπίωνα. καὶ ἔσχεν οὕτως· μαθὼν γὰρ τὸ γινόμενον ἀπανέστη καὶ ἐπειχθεὶς πρὸς τὸν ναύσταθμον διὰ φυλακῆς αὐτὸν ἐποιήσατο. καὶ τῇ μὲν πρώτῃ ἡμέρᾳ ῥᾳδίως τοὺς προσμίξαντας αὐτοῖς ἀπεώσαντο οἱ Ῥωμαῖοι, τῇ δ' ὑστεραίᾳ πολὺ ἠλαττώθησαν· καὶ ναῦς γὰρ τῶν Ῥωμαίων χειρῶν σιδηρῶν ἐπιβολῇ ἀπέσπασαν. ἀποβῆναι δ' ἐς τὴν γῆν οὐκ ἐτόλμησαν, ἀλλ' ἀναπλεύσαντες οἴκαδε τὸν Ἀσδρούβαν ἀπεχειροτόνησαν, Ἄννωνα δέ τινα ἀνθείλοντο. κἀκ τούτου Ἄννων μὲν στρατηγὸς ἦν, ἐκεῖνος δὲ καθ' ἑαυτὸν δούλους τινὰς καὶ αὐτομόλους παραλαβὼν δύναμιν οὐκ ἀσθενῆ συνεκρότησε καί τινας τῶν Ἰβήρων τῶν συστρατευομένων τῷ Σκιπίωνι κρύφα ἀναπείσας ἐπεχείρησε νυκτὸς ἐπιβουλεῦσαι τῷ στρατοπέδῳ αὐτοῦ. κἂν ἐξειργάσατό τι, εἰ μὴ οἵ τε μάντεις ὑπὸ ὀρνίθων ἐκταραχθέντες καὶ ἡ τοῦ Μασινίσσου μήτηρ θειάσασα ζήτησιν αὐτῶν γενέσθαι ἐποίησαν. καὶ οἱ μὲν προκαταληφθέντες ἐκολάσθησαν, καὶ ὁ Σκιπίων αὖθις ἐπὶ τὴν Καρχηδόνα ἐστράτευσε καὶ τὴν γῆν αὐτῶν ἐδῄου,
[13.] Σύφαξ δὲ ἐπολέμει τοῖς περὶ τὸν Λαίλιον. καὶ χρό-

76 ὅτι ἦλθον οἱ Ῥωμαῖοι πρὸς τὸν Σκιπίωνα τά τε ἄλλα πολλὰ ἄγοντες καὶ τὸν Σύφακα. καὶ ὃς ἰδὼν αὐτὸν δεδεμένον οὐκ ἤνεγκεν, ἀλλὰ τῆς τε παρ' αὐτῷ ξενίσεως μνημονεύσας καὶ τὰ ἀνθρώπεια παθήματα ἀναλογισάμενος, ὅτι τε βασιλέα δυνάμεως οὐ σμικρᾶς καὶ ὅτι ἀξιοσπούδαστον καὶ ἑαυτῷ γενόμενον ἑώρα τότε οἰκτρῶς οὕτως ἔχοντα, ἀνεπήδησε μὲν ἐκ τοῦ δίφρου καὶ ἔλυσέ τε αὐτὸν καὶ ἐδεξιώσατο καὶ ἐν θεραπείᾳ πολλῇ ἦγε. V p. 606. Zonaras 9, 13 (vol. II, p. 287, 9—14).

[Zonaras 9, 13 — vol. II, p. 286, 26 sqq.]

νον τινὰ ἀντέσχον· εἶτα ὑπερέσχον οἱ Ῥωμαῖοι καὶ πολλοὺς μὲν ἐφόνευσαν, πολλοὺς δὲ ἐζώγρησαν καὶ τὸν Σύφακα εἷλον. καὶ τὴν Κίρταν τὰ βασίλεια αὐτοῦ παρέλαβον ἀμάχως, τοῖς ἔνδον δεδεμένον αὐτὸν ἐπιδείξαντες.

ἦν δ' ἐκεῖ καὶ ἡ Σοφωνίς. καὶ πρὸς αὐτὴν ὁ Μασινίσσας εὐθὺς εἰσεπήδησε καὶ περιλαβὼν αὐτὴν "ἔχω μὲν Σύφακα" εἶπε "τὸν ἀφαρπάσαντά σε, ἔχω δὲ καὶ σέ. ἀλλὰ μὴ δέδιθι· οὐδὲ γὰρ αἰχμάλωτος γέγονας ἐμὲ σύμμαχον ἔχουσα." ταῦτ' εἰπὼν ἔγημεν αὐτὴν παραυτίκα προκαταλαβὼν τοὺς Ῥωμαίους, μή πως αὐτῆς ἁμάρτῃ γενομένης ἐν τοῖς λαφύροις. εἶτα καὶ τὰς ἄλλας πόλεις τοῦ Σύφακος
fr. 56,76 προσεποιήσαντο. καὶ πρὸς τὸν Σκιπίωνα ἦλθον ἄγοντες τά τε λοιπὰ καὶ τὸν Σύφακα. καὶ ὃς ἰδὼν αὐτὸν δεδεμένον οὐκ ἤνεγκεν, ἀλλὰ τῆς παρ' αὐτῷ μνημονεύσας ξενίας καὶ τὰ ἀνθρώπεια ἀναλογισάμενος ἀνεπήδησεν ἐκ τοῦ δίφρου ἔλυσέ τε αὐτὸν καὶ ἐδεξιώσατο καὶ ἐντίμως ἦγε. καί ποτε ἤρετο "τί σοι δόξαν ἐπολέμησας ἡμῖν;" ὁ δὲ ἑαυτόν τε σοφῶς ἐξῃτήσατο ἅμα καὶ τὸν Μασινίσσαν ἠμύνατο εἰπὼν αἰτίαν αὐτῷ τὴν Σοφωνίδα γενέσθαι. τῷ γὰρ πατρὶ τῷ Ἀσδρούβᾳ χαριζομένην καταδῆσαι αὐτὸν μαγγανείαις, ὥστε καὶ ἄκοντα

---

76, 7 οὕτως V, οὐ L ‖ 9 ἦγε] εἶχε Naber



ὅτι ἐπικηρυκευσάμενοι οἱ Καρχηδόνιοι τῷ Σκιπί- 77
ωνι τῶν τε ἐπιταχθέντων σφίσιν ὑπ' αὐτοῦ οὐδὲν ὅ,τι οὐχ ὑποσχόμενοι οἷα μηδὲν αὐτῷ παρέξειν μέλλοντες χρήματα μὲν αὐτῷ εὐθὺς ἔδωκαν καὶ τοὺς αἰχμαλώτους πάντας ἀπέδωκαν, ὑπὲρ δὲ τῶν ἄλλων ἐς

[Zonaras 9, 13 — vol. II, p. 287, 18 sqq.]

τὰ τῶν Καρχηδονίων πρᾶξαι· "ἀλλ' ὅτι ὑπὸ γυναικὸς ἠπάτημαι, ἀξίαν ἔδωκα δίκην· ἔχω δ' οὖν τι ἐν κακοῖς παραμύθιον, ὅτι ὁ Μασινίσσας αὐτὴν ἔγημε· πάντως γὰρ καὶ ἐκεῖνον ὁμοίως διολέσει."

ὁ δὲ Σκιπίων ὑποπτεύσας ταῦτα περὶ τοῦ Μασινίσσου ἐκάλεσέ τε αὐτὸν καὶ ᾐτιάσατο, ὅτι γυναῖκα πολεμίαν καὶ αἰχμάλωτον ἄνευ τῆς αὐτοῦ γνώμης οὕτω ταχέως ἔγημε, καὶ παραδοῦναι τοῖς Ῥωμαίοις αὐτὴν ἐκέλευσεν. ὁ δὲ περιαλγήσας μέν, εἰσπηδήσας δ' εἰς τὴν σκηνὴν ἔφη τῇ Σοφωνίδι "εἰ μὲν οἷός τ' ἦν τῷ ἑαυτοῦ θανάτῳ ἐλευθέραν φυλάξαι σε καὶ ἀνύβριστον, προθύμως ἄν σου ὑπεραπέθανον· ἐπεὶ δὲ τοῦτο ἀδύνατον, προπέμπω σε, ἔνθα κἀγὼ καὶ ἅπαντες ἀφιξόμεθα." καὶ ταῦτα εἰπὼν φάρμακον αὐτῇ ὤρεξεν. ἡ δὲ οὔτ' ἀνωλοφύρατο οὔτ' ἐστέναξεν, ἀλλὰ καὶ πάνυ γενναίως "εἰ τοῦτό σοι," ἔφη "ἄνερ, δοκεῖ, κἀγὼ πείθομαι· τῆς γὰρ ψυχῆς μου μετὰ σὲ οὐδεὶς ἄλλος κυριεύσει· εἰ δὲ τοῦ σώματός μου Σκιπίων δεῖται, νεκρὸν αὐτὸ λαβέτω." καὶ ἡ μὲν οὕτως ἀπέθανε, Σκιπίων δὲ τὸ ἔργον ἐθαύμασεν.

οἱ δ' ἐν τῇ Ῥώμῃ, τοῦ Λαιλίου τὸν Σύφακα καὶ τὸν υἱὸν ἐκείνου Οὐερμίναν ἀγαγόντος ἐκεῖ καὶ τῶν ἄλλων τινὰς τῶν πρώτων, τὸν μὲν Σύφακα εἰς τὴν Ἄλβαν κατέθεντο καὶ τελευτήσαντα δημοσίᾳ ἔθαψαν, τῷ δὲ Οὐερμίνᾳ τὴν βασιλείαν τοῦ πατρὸς ἐπεκύρωσαν καὶ τοὺς ζωγρηθέντας Νομάδας ἐχαρίσαντο.

οἱ δὲ Καρχηδόνιοι περὶ σπονδῶν ἐπικηρυκευσά- fr. 56,77
μενοι τῷ Σκιπίωνι χρήματά τε εὐθὺς ἔδοσαν καὶ τοὺς αἰχμαλώτους πάντας ἀπέδωκαν καὶ ὑπὲρ τῶν

---

77, 3 οὐχ Reiske, οὖν L ‖ παρέξειν] πράξειν Naber

τὴν Ῥώμην ἐπρεσβεύσαντο. καὶ αὐτοὺς ἐκεῖνοι τότε οὐ προσεδέξαντο λέγοντες οὐκ εἶναί σφισι πάτριον στρατοπέδων τισὶν ἐν τῇ Ἰταλίᾳ ὄντων ὑπὲρ εἰρήνης χρηματίζειν. ὕστερον δὲ ἀπάραντος τοῦ τε Ἀννίβου καὶ τοῦ Μάγωνος λόγον αὐτοῖς ἔδωκαν, καὶ ἦλθον μὲν εἰς ἀμφισβήτησιν πρὸς ἀλλήλους ἐπ' ἀμφότερα ταῖς γνώμαις γενόμενοι, τέλος δὲ ἐψηφίσαντο τὰς σπονδάς, ἐφ' οἷς ὁ Σκιπίων συνετέθειτο. U p. 380. Zonar. 9, 13 (vol. II, p. 288, 12—24).

78 ὅτι οἱ Καρχηδόνιοι τῷ Σκιπίωνι ἐπέθεντο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοῦ δὲ Σκιπίωνος ἀγανακτήσαντος ἐπὶ τούτῳ καὶ ἔγκλημα ποιησαμένου οὔτε τι μέτριον τοῖς πρέσβεσιν ἀπεκρίναντο καὶ προσέτι καὶ ἐπεβούλευσαν αὐτοῖς ἀποπλεύσασιν· καὶ εἴγε μὴ

[Zonaras 9, 13 — vol. II, p. 288, 15 sqq.]

λοιπῶν πρεσβείαν εἰς τὴν Ῥώμην ἀπέστειλαν. τοὺς δέ γε πρέσβεις οἱ Ῥωμαῖοι τότε οὐ προσεδέξαντο λέγοντες οὐκ εἶναι πάτριον σφίσι στρατοπέδων ἐν τῇ Ἰταλίᾳ ὄντων τισὶ πρεσβείαν προσίεσθαι ἐξ αὐτῶν καὶ χρηματίζειν ὑπὲρ εἰρήνης. ὕστερον δὲ ἀπάραντος τοῦ τε Ἀννίβου καὶ τοῦ Μάγωνος λόγου σφίσι μετέδωκαν καὶ ἐψηφίσαντο τὰς σπονδάς. ἐξεχώρησαν δὲ τῆς Ἰταλίας ὅ τε Ἀννίβας καὶ ὁ Μάγων οὐ διὰ τὴν σύμβασιν, ἀλλὰ πρὸς τὸν οἴκοι πόλεμον ἐπειγόμενοι.

οἱ δ' ἐν τῇ Λιβύῃ Καρχηδόνιοι οὐδὲ πρότερον εἰρηναῖόν τι φρονοῦντες καὶ περὶ σπονδῶν ἐπὶ τῇ τοῦ χρόνου τριβῇ διὰ τὴν τοῦ Ἀννίβου παρουσίαν ἐπικηρυκευσάμενοι,
fr. 56,78 ὡς τὸν Ἀννίβαν πλησιάζοντα ἔμαθον, ἀνεθάρσησαν καὶ ἐπέθεντο τῷ Σκιπίωνι κατὰ γῆν τε καὶ κατὰ θάλασσαν. κἀκείνου περὶ τούτου αὐτοῖς ἐγκαλέσαντος οὔτε μέτριόν τι τοῖς πρέσβεσιν ἀπεκρίναντο καὶ ἐπ-

77, 8 εἰρήνης ⟨αὐτοῖς⟩ Reiske ‖ 13 συνετέθειτο B, συνετίθετο L ‖ 78, 3 ἔγκλημα] ἐπίκλημα cod. Monacensis



ἄνεμός σφισι κατὰ τύχην ἐπιγενόμενος ἐβοήθησεν, ἥλωσαν ἂν ἢ ἀπώλοντο. καὶ διὰ τοῦτο ὁ Σκιπίων καίπερ ἐπελθόντων ἐν τούτῳ τῶν τὴν εἰρήνην αὐτοῖς φερόντων οὐκέτ' αὐτὴν ἐποιήσατο. U p. 380. Zonaras 9, 13 (vol. II, p. 288, 29—289, 6).

[Zonaras 9, 13 sq. — vol. II, p. 289, 2 sqq.]

εβούλευσαν αὐτοῖς ἀποπλεύσασι· καὶ εἰ μὴ πνεῦμα τυχαίως συμβὰν αὐτοῖς ἐβοήθησεν, ἀπώλοντο ἄν. ὅθεν καὶ ὁ Σκιπίων ἐν τούτῳ τῆς ψήφου τῆς περὶ τῆς εἰρήνης κομισθείσης οὐκέτι αὐτὴν ἐποιήσατο. οἱ οὖν Καρχηδόνιοι τὸν μὲν Μάγωνα εἰς τὴν Ἰταλίαν ἀνέπεμψαν, τὸν δ' Ἀννίβαν αὐτοκράτορα στρατηγὸν ἀπέδειξαν τὸν Ἄννωνα τῆς ἀρχῆς παύσαντες. τὸν δ' Ἀσδρούβαν καὶ ἀποκτεῖναι ἐψηφίσαντο, φαρμάκῳ δὲ ἑκουσίως φθαρέντα καὶ νεκρὸν ᾐκίσαντο. Ἀννίβας μὲν οὖν πᾶσαν τὴν ἡγεμονίαν λαβὼν εἰς τὴν Μασινίσσου χώραν ἐνέβαλε καὶ ἐκάκου αὐτὴν καὶ τοῖς Ῥωμαίοις μάχεσθαι ἡτοιμάζετο· ἀνθητοιμάζοντο δὲ καὶ οἱ τοῦ Σκιπίωνος.

14. οἱ δ' ἐν τῇ Ῥώμῃ μετεμέλοντο, ὅτι μὴ ἐκώλυσαν τὸν Ἀννίβαν ἐκπλεῦσαι· ὡς μέντοι τὰ ἐν τῇ Λιβύῃ συγκροτοῦντα αὐτὸν ἔμαθον, οὐ μετρίως αὖθις ἐδεδίεσαν. διὸ
καὶ Κλαύδιον μὲν Νέρωνα τὸν ἕτερον τῶν ὑπάτων ἐπ' αὐτὸν a. u. 552
ἔπεμψαν, Μάρκῳ δὲ Σερουιλίῳ τὴν τῆς Ἰταλίας φυλακὴν (202)
ἐπεκλήρωσαν. ἀλλ' οὐκ ἠδυνήθη ὁ Νέρων εἰς τὴν Λιβύην ἐλθεῖν ὑπὸ χειμῶνος ἐν Ἰταλίᾳ χρονίσας καὶ ἐν Σαρδοῖ. εἶτα οὐδὲ περαιτέρω τῆς Σικελίας ἐχώρησε κεκρατηκότα μαθὼν τὸν Σκιπίωνα. ὁ γὰρ Σκιπίων δείσας, μὴ ἐπειχθεὶς ὁ Νέρων τῶν αὐτοῦ πόνων τὴν εὔκλειαν σφετερίσηται, τοῦ ἔαρος ἐπιλάμψαντος ἐπὶ τὸν Ἀννίβαν ἐχώρησε μαθών, ὅτι τὸν Μασινίσσαν ἐνίκησε. καὶ ὁ Ἀννίβας ὡς ᾔσθετο προσιόντα τὸν Σκιπίωνα, προαπήντησεν αὐτῷ. καὶ ἀντιστρατοπεδευσάμενοι οὐκ εὐθὺς εἰς χεῖρας ἦλθον, συχνὰς δ' ἡμέρας διέτριψαν, καὶ ἕκαστος τῷ οἰκείῳ διειλέχθη στρατεύματι καὶ πρὸς τὴν μάχην αὐτὸ παρεθάρρυνεν.

ὡς δ' ἔδοξε τῷ Σκιπίωνι μὴ διατρίβειν ἔτι, ἀλλὰ καὶ ἄκοντα τὸν Ἀννίβαν εἰς τὸν ἀγῶνα προαγαγεῖν, ἐπὶ τὴν

79 *πλεῖστοι ὅσοι ἐστρατεύσαντο, ὥς που πολλὰ ἑκουσίως πολλοί, ὧν οὐδὲν ⟨ἂν⟩ ἀναγκαζόμενοι δράσειαν, ποιοῦσι. τὸ μὲν γὰρ προσταττόμενόν σφισιν ὡς καὶ βίαιον δυσχεραίνουσι, τὸ δ' αὐθαίρετον ὡς καὶ αὐτοκράτορες ἀγαπῶσιν.* V p. 609.

[Zonaras 9, 14 — vol. II, p. 290, 6 sqq.]

Οὐτικὴν ὥρμησεν, ἵνα δεδιέναι καὶ φεύγειν δόξας σχοίη καιρὸν ἐπιθέσεως· ὃ καὶ ἐγένετο. ὁ γὰρ Ἀννίβας φεύγειν αὐτὸν οἰηθεὶς καὶ ἐπὶ πλέον ἐντεῦθεν θαρσήσας ἐπεδίωξε μόνοις τοῖς ἱππεῦσι. καὶ ὁ Σκιπίων ἀντέστη τε αὐτοῖς παρὰ δόξαν καὶ συμβαλὼν ἐνίκησε. τρέψας δ' αὐτοὺς οὐκ ἐπὶ τὸ διώκειν σφᾶς, ἀλλ' ἐπὶ τὰ σκευοφόρα αὐτῶν καθ' ὁδὸν τυγχάνοντα ὥρμησε καὶ πάντα συνέλαβε. ταῦτα τὸν Ἀννίβαν ἐτάραξε, καὶ ἔτι ὅτι κατασκόπους αὐτοῦ τρεῖς ἐν τῷ στρατοπέδῳ ὁ Σκιπίων εὑρὼν οὐδὲν δεινὸν αὐτοῖς πεποίηκεν. μαθὼν γὰρ παρ' ἑνὸς αὐτῶν ὁ Ἀννίβας τὸ πεπραγμένον (οἱ γὰρ δύο παρὰ τοῖς Ῥωμαίοις μεῖναι ἠθέλησαν) κατεπλάγη καὶ διακινδυνεῦσαι οὐκέτι θαρρήσας σπείσασθαι ὅτι τάχιστα ἔγνω, ἵν' εἰ μὴ τοῦτο συμβαίη, τριβὴν τέως τινὰ πορίσηται καὶ διακωχήν. πέμψας οὖν πρὸς τὸν Μασινίσσαν δι' ἐκείνου ὡς ὁμοφύλου τὰς σπονδὰς ᾔτησε. καὶ ἦλθε μὲν ἐς λόγους τῷ Σκιπίωνι, ἔπραξε δὲ οὐδέν. ὁ γὰρ Σκιπίων οὔτε τραχὺ οὔτε τι σαφὲς ἀπεκρίνατο, ἀλλὰ τὸ μὲν ὅλον ἐμέσευσεν, ἐπιεικέστερον δ' ὅμως διειλέχθη, ὅπως αὐτὸν ὡς καὶ σπεισόμενος εἰς ἀμέλειαν προαγάγῃ· ὃ καὶ συμβέβηκε. μάχης μὲν γὰρ πέρι οὐδὲν ὁ Ἀννίβας ἐνενόησε, μεταστρατοπεδεύσασθαι δὲ εἰς χωρίον ἐπιτηδειότερόν τι ἠθέλησεν. ἐξ αὐτομόλων δὲ τοῦτο μαθὼν ὁ Σκιπίων προεξανέστη νυκτὸς καὶ κατέσχε τὸν τόπον, εἰς ὃν ἐκεῖνος ἠπείγετο· ἐν χωρίῳ δέ τινι κοίλῳ καὶ ἀνεπιτηδείῳ πρὸς στρατοπέδευσιν γενομένοις τοῖς Καρχηδονίοις ἐπεφάνη αἰφνίδιον. ὁ δ' Ἀννίβας συμβαλεῖν οὐκ ἠθέλησε, στρατοπεδευόμενος δ' ἐκεῖ καὶ φρε-

---

79, 1 πολλοὶ ἑκουσίως πολλὰ Reiske, idem inseruit ἂν post οὐδὲν



*Δίων βιβλίῳ ιζ' "ἐπέστησεν ἐξαίφνης τοῦ δρόμου."* 80 Bekk. Anecd. p. 140, 23. Zonar. 9, 14 (vol. II, p. 291, 29).

*Δίων ἐν Ῥωμαϊκῶν ιζ' "πέφυκε καὶ ἄλλως ὡς* 81 *πλήθει τὸ μὲν εὐτυχοῦν θρασύνεσθαι, τὸ δὲ κακοπραγοῦν μετριάζειν, κἀκ τούτου τὸ μὲν δεδιὸς σωφρονεῖν, τὸ δὲ θαρσοῦν ἀκολασταίνειν. ἐπὶ πλέον δ' ἐν ἐκείνῳ τοῦτ' ἐφωράθη."* Suidas v. *ὡς ἐπίπαν.*

[Zonaras 9, 14 — vol. II, p. 291, 3 sqq.]

ωρυχῶν ἐταλαιπώρησε διὰ πάσης τῆς νυκτός. καὶ οὕτως κακῶς αὐτοὺς ἔχοντας ὑπὸ καμάτου καὶ δίψης κατηνάγκασε καὶ ἄκοντας ὁ Σκιπίων συμμῖξαι αὐτῷ.

συνέβαλον οὖν οἱ μὲν Ῥωμαῖοι συντεταγμένοι καὶ πρόθυμοι, Ἀννίβας δὲ καὶ οἱ Καρχηδόνιοι ἀπρόθυμοί τε καὶ καταπεπληγμένοι καὶ δι' ἕτερα καὶ ὅτι καὶ ὁ ἥλιος σύμπας ἐξέλιπεν. ἐκ γὰρ τῶν ἄλλων καὶ τοῦτο οὐκ αἴσιόν τι σφίσι προμηνύειν ὁ Ἀννίβας ὑπώπτευσεν. οὕτω δ' ἔχοντες τοὺς ἐλέφαντας ἑαυτῶν προεβάλοντο. καὶ οἱ Ῥωμαῖοι μέγα ἐξαίφνης καὶ καταπληκτικὸν ἀνεβόησαν καὶ τὰς ἀσπίδας τοῖς δόρασι κρούσαντες θυμῷ καὶ δρόμῳ ἐπὶ τοὺς ἐλέφαντας ὥρμησαν. ὑφ' ὧν ταραχθέντες ἐκεῖνοι οἱ μὲν πλείους οὐκ ἐδέξαντο σφᾶς, ἀλλ' ἀπετράποντο καὶ τιτρωσκόμενοι μείζω τοῖς ἐπιτεταγμένοις ἐνεποίουν τὸν θόρυβον, οἱ δὲ καὶ ὁμόσε σφίσι χωρήσαντες τῶν Ῥωμαίων διισταμένων διὰ μέσου αὐτῶν διεξέτρεχον καὶ παριόντες ἐβάλλοντό τε καὶ ἐκ χειρὸς ἐτιτρώσκοντο. καὶ ἐπί τινα μὲν χρόνον ἀντέσχον οἱ Καρχηδόνιοι, ἔπειτα τοῦ Μασινίσσου καὶ τοῦ Λαιλίου τοῖς ἱππεῦσι κατὰ νώτου προσπεσόντων αὐτοῖς πάντες ἔφυγον. οἱ δὲ πλείους ἐφθάρησαν, καὶ ὁ Ἀννίβας μικροῦ ἂν ἀπώλετο. φεύγοντα γὰρ αὐτὸν ὁ Μασινίσσας ἐπεδίωκεν ἀκρατῶς τῇ τοῦ ἵππου ῥύμῃ ὑπενδιδούς. μεταστραφεὶς δ' ὁ Ἀννίβας καὶ ἰδὼν αὐτὸν οὕτω διώκοντα ἠρέμα ἐξέκλινε καὶ τ ὸ ν fr. 56, 80 δ ρ ό μ ο ν ἐ π έ σ τ η σ ε καὶ οὕτω παρελάσαντα τὸν Μασινίσσαν κατὰ νώτου γενόμενος ἔτρωσε· κἀκ τούτου μετ' ὀλίγων ἐξέφυγε.

82 *Δίων ἐν Ῥωμαϊκῶν ιζ'* "*καί τις λόγος περὶ αὐτῶν τοιόσδε ἐδημώθη.*" Suidas et Etym. M. et alii v. *ἐδημώθη*.

83 *ἐνθυμιζόμενοι, λογιζόμενοι. οὕτω Δίων ἐν ιζ' Ῥωμαϊκῶν.* Suidas s. Etym. ap. Cramer. Anecd. Paris. vol. IV, p. 169, 8. Zonaras Lex. p. 750.

84 *διατίθημι ἀντὶ τοῦ διαπράττομαι, αἰτιατικῇ Δίωνος ιη' βιβλίῳ* "*καὶ πάντα μὲν τὰ βέλτιστα τῆς φιλοσοφίας ἄνθη δρεπόμενος.*" Bekk. Anecd. p. 133, 29, quae ex duabus glossis confusa sunt et lacunosa.

85 *ὅτι διεκηρυκεύσαντο οἱ Καρχηδόνιοι τῷ Σκιπίωνι.*
a. u. 553 (201) *ἦν δὲ τὰ διωμολογημένα ὁμήρους τε σφᾶς δοῦναι καὶ τοὺς αἰχμαλώτους τούς τε αὐτομόλους ἤτοι τῶν Ῥωμαίων ἢ τῶν συμμάχων ὧν εἶχον ἀποδοῦναι καὶ τοὺς ἐλέφαντας πάντας καὶ τὰς τριήρεις πλὴν δέκα παραδοῦναι καὶ τὸ λοιπὸν μὴ κεκτῆσθαι μήτε ἐλέφαντας μήτε ναῦς καὶ τῷ Μασινίσσᾳ πάντων ὧν εἶχον αὐτοῦ ἀποστῆναι καὶ ἐκείνῳ [δοῦναι] τήν τε χώραν καὶ τὰς πόλεις τὰς ἐν τῇ ἐπικρατείᾳ αὐτοῦ οὔσας ἀφεῖναι καὶ μήτε καταλόγους ποιεῖσθαι μήτε μισθοφόροις χρῆσθαι μήτε πόλεμον πρὸς μηδένα παρὰ τὴν τῶν Ῥωμαίων γνώμην ἀναιρεῖσθαι.* U p. 380. Zonar. 9, 14 (vol. II, p. 292, 4—12).

*ὅτι ἡ Καρχηδὼν πολλοῖς Ῥωμαίων ἐξαιρετέα ἐδόκει* 86 *εἶναι καὶ Κορνηλίῳ ὑπάτῳ, καὶ ἔλεγεν, ὅτι ἀδύνατόν ἐστι συνεστώσης αὐτῆς ἀδεεῖς σφᾶς εἶναι.* U p. 381. Cf. Zonar. 9, 14 (vol. II, p. 292, 15—17).

*. . . ἐν μέντοι τῷ δήμ<ῳ> . . . . . . . . . . πάντες τὴν* 87 *εἰρήν<ην ὁμοθυμαδὸν ἐψηφίσαντο.> . . . . ἐπεπόνθεσαν λογ . . . αὐτῶν ἤμελλον π . . . κινδύνων τε ταλ . . . . τῶν πραγμάτων . . . ἐδικαίωσαν· ὁ . . . . τες καὶ ἐκεῖνα . . . . . τ . . ἐκ μεγάλων . . . . α . α ε . νοι δὲ ὅ . . . . . . . . . ντες ἐπτ . . .*

[Zonaras 9, 14 — vol. II, p. 291, 32 sqq.]

a. u. 553 (201) *Σκιπίων δὲ νικήσας ἐπὶ τὴν Καρχηδόνα ἠπείχθη καὶ ἐπολιόρκει αὐτὴν ἐκ γῆς ἅμα καὶ θαλάσσης. οἱ δὲ Καρχηδόνιοι πρῶτον μὲν ὡς τὴν πολιορκίαν καρτερήσοντες ἡτοιμάζοντο,*
fr. 56,85 *ἔπειτα ἐξαπορηθέντες πρὸς τὸν Σκιπίωνα διεκηρυκεύσαντο. καὶ ὁ Σκιπίων τοὺς λόγους σφῶν προσεδέξατο καὶ περὶ τῶν συνθηκῶν διειλέχθη αὐτοῖς. ἦν δὲ τὰ ὡμολογημένα ὁμήρους τε παρὰ τῶν Καρχηδονίων καὶ τοὺς αἰχμαλώτους καὶ τοὺς αὐτομόλους δοθῆναι καὶ πάντας μὲν τοὺς ἐλέφαντας, τὰς δὲ τριήρεις πλὴν δέκα παρασχεθῆναι καὶ τοῦ λοιποῦ μήτε ναῦς μακρὰς πλείους ἔχειν τῶν δέκα μήτε πόλεμον παρὰ τὴν τῶν Ῥωμαίων γνώμην πρὸς μηδένα ποιεῖσθαι καί τινα ἕτερα.*

[Zonaras 9, 14 — vol. II, p. 292, 9 sqq.]

*τοιούτων δὲ γενομένων τῶν ὁμολογιῶν πρέσβεις οἱ Καρχηδόνιοι ἐπὶ Ῥώμην ἐστάλκασι. καὶ οἱ μὲν ἀπῆλθον, οὐ μέντοι καὶ ἡ γερουσία τὴν πρεσβείαν* cf. fr. 56,86 *ἑτοίμως ἐδέξατο, ἀλλ' ἐπὶ πολὺ ἠμφισβήτησαν ἀλλήλοις ἐναντιούμενοι. ὁ δὲ δῆμος τὴν εἰρήνην ὁμο-* fr. 56,87 *θυμαδὸν ἐψηφίσαντο καὶ τὰς ὁμολογίας ἐδέξαντο*

84, 4 ibidem haec sunt fragmenta: p. 124, 7: *Δίωνος ιθ' βιβλίῳ* "*καὶ τούς τε ἀντεπεξελθόντας οἱ ἀνέκοψαν.*" 165, 20: *Δίων ιθ' βιβλίῳ* "*Ταραντῖνοι μὲν οὖν οὐδὲν οὐδὲ ἐκείνου προτιμήσαντες.*" 166, 1: *Δίων ιθ' βιβλίῳ* "*περὶ . . . τὰ δὲ ὑμέτερα ἐγώ τε ἀεὶ προστατῶ.*" 3: *ἐκ τοῦ αὐτοῦ* "*περιῆν αὐτοῖς τῆς σχολῆς.*" 15: "*ἐπειδὴ δὲ καὶ ὣς περιῆν αὐτοῖς τῆς σχολῆς, τὰς ὁδοὺς δι' αὐτῶν κατεσκευάσαντο.*" 11: *ιθ' βιβλίῳ* "*ῥᾷον καὶ τὰ λοιπὰ προσκατεργάσασθαι.*" ‖ 85, 3 *ἤτοι* Leunclavius, *οὓς ἤτει* L ‖ 4 *ὧν* Leunclavius, *ἐφ' ὧν* L

85, 7 *ναῦς*] *ναῦς μακρὰς πλείους τῶν δέκα* Zonaras ‖ 8 *ἐκείνῳ*] *ἐκείνοις* L ‖ [*δοῦναι*] delevit Reiske ‖ 86, 1 *Ῥωμαίων* U e Suida v. *ἐξαιρετέα*, *Ῥωμαίοις* L ‖ 2 *Κορνηλίῳ ὑπάτῳ*] i. e. Cn. Cornelio Lentulo, cf. Liv. 30, 40 ‖ *καὶ ἔλεγεν*] *ὃς ἔλεγεν* St B ‖ 3 *ἀδεῶς σφᾶς ἔχειν* Suidas

88 ⟨καὶ τῶν ἐλεφάντων οἱ μὲν⟩ πλείους ἐς τὴν Ῥ⟨ώμην ἀπήχθησαν, οἱ δὲ λοιποὶ τῷ⟩ Μασινίσσᾳ ἐδ⟨ωρήθησαν.⟩

89 Καρχηδονίων. ⟨καὶ αὐτοί τε τὴν Ἰταλίαν, Ῥωμαῖοί⟩ τε τὴν Λιβύην ⟨εὐθὺς μετὰ τὴν εἰρήνην ἐξέλιπον. τοῖς⟩ δὲ δὴ πρεσβεύ⟨σασι τῶν Καρχηδονίων ἐς Ῥώμην⟩ συμβαλεῖν τοῖς ⟨ἑκάστῳ προσήκουσιν αἰχμαλώτοις ἐ⟩πέτρεψαν· καὶ ὡς ⟨διακόσιοι αὐτῶν ἄνευ λύτρων ἀπεστά⟩λησαν τῷ Σκιπίωνι ... μετὰ τὴν σύμβα⟨σιν⟩ ... τήν τε φιλίαν κ ... βαίωσαν· καὶ τ⟨ὴν εἰρή⟩νην ἐχαρίσαντο ...

90 .... αἰχμαλώτους ... ε Τερέντιος εἷς ... βουλῆς ὢν πιλίον ... ν· καὶ ὥς τινα ... ⟨ἀκολο⟩υθῆσαι. Σκιπίων μὲν ⟨οὖν μέγας ἐκ τούτων ἤρετο,⟩ Ἀννίβας δὲ καὶ ἐς δί⟨κην παρὰ τοῖς οἰκείοις ἤχθη καὶ ὡς τήν τε⟩ Ῥώμην δυν⟨ηθεὶς λαβεῖν καὶ μὴ ἐθελήσας καὶ⟩ τὴν λείαν τὴν ⟨ἐκ τῆς Ἰταλίας σφετερισάμενος κατηγορή⟩θη. οὐ μέντοι καὶ ⟨ἑάλω, ἀλλὰ καὶ τὴν μεγίστην τῶν Καρ⟩χηδονίων ἀρ⟨χὴν οὐκ ἐς μακρὰν ἐπετράπη⟩ ........ τα μὲν ἐπί τε ... ν ὑπάτων γει ... τῇ Σικελίᾳ βε ... Fragm. Paris. p. 462. Zonar. 9, 14 (vol. II p. 292, 13 — 293, 5). Livius 30, 42, 43, 45.

[Zonaras 9, 14 — vol. II, p. 292, 18 sqq.]

καὶ ἔπεμψαν δέκα ἄνδρας, ἵνα μετὰ τοῦ Σκιπίωνος ἅπαντα διοικήσωσι. καὶ αἱ συμβάσεις ἐπράχθησαν, καὶ αἱ τριήρεις ἐδόθησαν καὶ ἐκαύθησαν, καὶ τῶν
fr. 56,88 ἐλεφάντων οἱ μὲν πλείους εἰς τὴν Ῥώμην ἀπήχθη-
56,89 σαν, τῷ Μασινίσσᾳ δὲ οἱ λοιποὶ ἐδωρήθησαν. καὶ Ῥωμαῖοι μὲν τὴν Λιβύην ἐξέλιπον, τὴν δ' Ἰταλίαν οἱ Καρχηδόνιοι.

ὁ μὲν οὖν δεύτερος πόλεμος τῶν Καρχηδονίων ἔτει ἑκκαιδεκάτῳ ἐς τοῦτο κατήντησε· κἀντεῦθεν ὁ Σκιπίων λελάμπρυστο καὶ Ἀφρικανὸς ἐπεκέκλητο (Ἀφρικὴ γὰρ ἥδε ἡ περὶ Καρχηδόνα Λιβύη ὠνόμαστο), πολλοῖς δὲ καὶ ἐλευθερωτὴς προσηγόρευτο
fr. 56,90 πολλοὺς πολίτας κομίσας αἰχμαλώτους. καὶ ὁ μὲν μέγας ἐκ τούτων ἤρετο, Ἀννίβας δὲ κατηγόρητο παρὰ τοῖς οἰκείοις ὡς τήν τε Ῥώμην λαβεῖν δυνηθεὶς καὶ μὴ θελήσας καὶ τὴν λείαν τὴν ἐκ τῆς Ἰταλίας σφετερισάμενος. οὐ μὴν καὶ ἑάλω, ἀλλὰ καὶ τὴν μεγίστην τῶν Καρχηδονίων ἀρχὴν οὐκ ἐς μακρὰν ἐπετράπη.



... νῳ Μᾶρκος ... ⟨πρὸς τὸν Φίλιπ⟩πον πεμφθεὶς 57
.... ὑπὸ τῶν στρατη⟨γῶν⟩ ... παρ' αὐτῶν ἢ .... ὠ⟩ρθωσε· πρεσ⟨βείαν ... ην τοῦ Φιλίππου καὶ ... τέ τινα, ὃν αὐτὸς ... ⟨Καρχηδο⟩νίοις ἐπεπόμφει ... υτος οὐδὲν εἰρη ... ν κεκρατηκότες .... πολέμους τῷ μὲν ... ε δὴ δόξῃ οὐδὲν σμικροτέρους κατέστησαν. Fragm. Paris. p. 463. Cf. Zonar. 9, 15 (vol. II, p. 293, 6); Liv. 30, 42.

[Zonaras 9, 14 sq. — vol. II, p. 293, 2 sqq.]

15. εἰς ἑτέρους δ' αὖθις πολέμους οἱ Ῥωμαῖοι κατ- fr. 57,1
έστησαν γενομένους πρός Φίλιππόν τε τὸν Μακεδόνα καὶ τὸν Ἀντίοχον. μέχρι γὰρ ἡ πρὸς Καρχηδονίους ἤκμαζε μάχη, κἂν μὴ φίλια σφίσι τὰ περὶ τὸν Φίλιππον ἦν, ἐθεράπευον αὐτόν, ἵνα μὴ τοῖς Καρχηδονίοις συνάροιτο ἢ ἐς τὴν Ἰταλίαν στρατεύσοιτο· ἐπεὶ δὲ τὰ κατ' ἐκείνους ἠρέμησαν, οὐκέτ' ἐμέλλησαν, ἀλλ' ἐς πόλεμον αὐτῷ κατέστησαν φανερὸν πολλὰ ἐγκαλοῦντες αὐτῷ. πρέσβεις οὖν οἱ Ῥωμαῖοι πρὸς αὐτὸν πέμψαντες, ἐπεὶ μηδὲν ὧν ἐπετάττετο ἔπραττε, τὸν πόλεμον ἐψηφίσαντο χρώμενοι μὲν τῇ τῶν Ἑλλήνων ἐπιβασίᾳ λαβῇ, τὸ δ' ἀληθὲς ἀγανακτοῦντες ἐφ' οἷς ἐδεδράκει, καὶ προκαταλαμβάνοντες αὐτόν, ἵνα μὴ καταδουλωσάμενος ἐκείνους ἐπὶ
τὴν Ἰταλίαν στρατεύσῃ κατὰ τὸν Πύρρον. ψηφισάμενοι δὲ a. u.
τὸν πόλεμον τά τε ἄλλα παρεσκευάσαντο εὖ καὶ στρατηγὸν 554 (200)
ἐπὶ τοῦ ναυτικοῦ Λούκιον Ἀπούστιον Σουλπικίῳ Γάλβᾳ δεδώκασι. καὶ ὁ Γάλβας τὸν Ἰόνιον κόλπον διαβαλὼν ἐπὶ πολὺ ἐνόσησε. παραλαβόντες οὖν τὴν δύναμιν πᾶσαν ὅ τε

2 ἐγὼ δὲ τοὺς Δαρδανίους ἔθνος εὗρον οἰκοῦντας
ὑπὲρ δὲ Ἰλλυριῶν καὶ Μακεδόνων· καὶ ἡ Δάρδανος
πόλις ἐκεῖ ἔστιν. I. Tzetz. ad Lycophr. 1128. Conf.
Zonar. 9, 14 (vol. II, p. 294, 8).

3 . . . καὶ διέτριψαν συχνὰς ἡμέρας ἐς μὲν παράταξιν
a. u. μὴ συνιόντες, ἀκροβολισμοῖς δέ τισι καὶ πείραις τῶν
554 (200) τε ψιλῶν καὶ τῶν ἱππέων χρώμενοι. οἱ μὲν γὰρ Ῥω-
μαῖοι ἠπείγοντο ὅτι τάχιστα συμβαλεῖν· τῇ τε γὰρ
δυνάμει ἔρρωντο καὶ τροφὴν οὐ πολλὴν εἶχον καὶ
διὰ ταῦτα πολλάκις καὶ πρὸς τὸ χαράκωμα σφῶν προσ-

[Zonaras 9, 15 — vol. II, p. 293, 25 sqq.]

ρηθεὶς στρατηγὸς καὶ ὁ Κλαύδιος Κέντων ὁ ὑποστράτηγος,
αὐτὸς μὲν τῷ ναυτικῷ τὰς Ἀθήνας ὑπὸ τῶν Μακεδόνων
πολιορκουμένας ἐρρύσατο καὶ Χαλκίδα κατεχομένην ὑπ' αὐ-
τῶν ἐπόρθησε κἀν τούτῳ Φιλίππου ταῖς Ἀθήναις ἐπιστρα-
τεύσαντος ἐπανελθὼν τότε αὐτὸν ἀπεώσατο καὶ μετὰ τοῦτο
αὖθις προσβαλόντα ἀπεκρούσατο, Ἀπούστιος δ' ἐς τὴν Μα-
κεδονίαν, ἀσχόλου περὶ τὴν Ἑλλάδα τοῦ Φιλίππου ὄντος,
ἐμβαλὼν τήν τε γῆν ἐληΐζετο καὶ φρούρια καὶ πόλεις ἐχει-
ρώσατο. Φίλιππος δὲ διὰ ταῦτα ἐν ἀμηχανίᾳ γενόμενος τέως
μὲν ἄνω καὶ κάτω περιέθει ἄλλοτε ἄλλοις ἀμύνων, ὡς δὲ ὁ
Ἀπούστιος τῇ χώρᾳ αὐτοῦ ἰσχυρῶς ἐνέκειτο καὶ οἱ Δάρδανοι
τὴν πρόσορον σφίσι Μακεδονίαν ἐκακούργουν (οἰκοῦσι δ'
fr. 57,2 οὗτοι ὑπέρ τε Ἰλλυριῶν καὶ ὑπὲρ Μακεδόνων) Ἰλ-
λυριοί τέ τινες καὶ Ἀμύνανδρος Ἀθαμανίας Θεσσαλικοῦ γέ-
νους βασιλεὺς ὤν, σύμμαχοι πρότερον ὄντες αὐτοῦ, πρὸς
τοὺς Ῥωμαίους μετέστησαν, ἐκ τούτου καὶ τὰ τῶν Αἰτωλῶν
ὑπώπτευσε καὶ περὶ τοῖς οἴκοι ἔδεισε καὶ ἐκεῖ μετὰ τοῦ πλεί-
ονος στρατεύματος ἔσπευσε. γνοὺς δὲ τὴν πρόσοδον αὐτοῦ
ὁ Ἀπούστιος ἀνεχώρησεν· ἤδη γὰρ καὶ χειμὼν ἦν.
ῥαΐσας δ' ἐκ τῆς νόσου ὁ Γάλβας πλείω παρεσκευάσατο
δύναμιν καὶ ἅμα ἔαρι εἰς τὴν Μακεδονίαν ἠπείγετο. ἐπεὶ
fr. 57,3 δ' ἐπλησίασαν ἀλλήλοις, ἀντεστρατοπεδεύσαντο καὶ
ἀκροβολισμοῖς ἐχρῶντο τῶν ἱππέων καὶ τῶν ψιλῶν.



έμισγον· ὁ δὲ δὴ Φίλιππος τοῖς μὲν ὅπλοις ἀσθενέ- 4
στερος ὤν, τῇ δὲ παρασκευῇ τῶν ἐπιτηδείων διὰ τὸ
τὴν οἰκείαν οἱ ἐγγὺς εἶναι προφέρων ἀνεῖχεν ἐκτρυ-
χοῦσθαι αὐτοὺς ἀμαχὶ προσδοκήσας, καὶ εἴπερ ἐκεκρα-
τήκει τῆς γνώμης, πάντως ἄν τι ἐξείργαστο· νῦν δὲ
καταφρονήσας τῶν Ῥωμαίων ὡς φοβουμένων αὐτόν,
ὅτι πρὸς χωρίον τι, ὅθεν ἐπισιτίσασθαί σφισι λῷον ἦν,
μετέστησαν, ἐπῆλθέ τε αὐτοῖς ἁρπαγὰς ποιουμένοις
ἀπροσδόκητος καί τινας καὶ διέφθειρεν. αἰσθόμενος 5
δὲ τοῦτο ὁ Γάλβας ἐπεξέδρα⟨μεν ἐκ τοῦ στρατο⟩πέ-
δου καὶ προσπεσὼν αὐτῷ μὴ προσδεχομένῳ πολλῷ
πλείους ἀνταπέκτεινεν. ⟨ἡττη⟩θείς τε καὶ προσέτι καὶ
τρωθεὶς οὐκέτι κατὰ χώραν ἔμεινεν, ἀλλ' ἡμέρας τινὰς
πρὸς ἀναίρεσιν καὶ ταφὴν δὴ τῶν νεκρῶν σπεισάμε-
νος ἔπειτα ὑπὸ τὴν πρώτην νύκτα ἀπανέστη. οὐ μέν- 6
τοι ὁ Γάλβας ἐπεδίωξεν αὐτόν· τῇ τε γὰρ ἀπορίᾳ τῶν
τροφῶν καὶ τῇ ἀπειρίᾳ τῶν χωρίων, τὸ δὲ δὴ πλεῖ-
στον καὶ τῇ ἀγνωσίᾳ τῆς παρασκευῆς αὐτοῦ καὶ δέει,
μὴ ἀπερισκέπτως ποι προχωρῶν σφαλῇ, οὐκ ἠθέλησεν

[Zonaras 9, 15 — vol. II, p. 294, 21 sqq.]

μεταστάντων δὲ τῶν Ῥωμαίων ἔς τι χωρίον, ὅθεν fr. 57,4
ῥᾷον ἦν αὐτοῖς ἐπισιτίσασθαι, νομίσας ὁ Φίλιπ-
πος ὡς φοβουμένους αὐτὸν μεταστῆναι, ἐπῆλθεν
αὐτοῖς ποιουμένοις ἁρπαγὰς ἀπροσδόκητος καί τι-
νας διέφθειρε. καὶ ὁ Γάλβας τοῦτο αἰσθόμενος fr. 57,5
ἐπεξέδραμεν ἐκ τοῦ στρατοπέδου καὶ προσπεσὼν
αὐτῷ πολλῷ πλείους ἀνταπέκτεινεν. ὁ δέ γε Φί-
λιππος ἡττηθεὶς καὶ τρωθεὶς ὑπὸ νύκτα ἀπανέστη.
οὐ μέντοι αὐτὸν ὁ Γάλβας ἐπεδίωξεν, ἀλλ' εἰς τὴν fr. 57,6
Ἀπολλωνίαν ἀνεκομίσθη. καὶ ὁ Ἀπούστιος δὲ μετὰ
τῶν Ῥοδίων καὶ τοῦ Ἀττάλου περιπλέων νήσους συ-
χνὰς ἐχειρώσατο.

*περαιτέρω προχωρῆσαι, ἀλλ' ἐς τὴν Ἀπολλωνίαν ἀνεκομίσθησαν. κἀν τούτῳ καὶ ὁ Ἀπούστιος μετὰ τῶν Ῥοδίων καὶ μετὰ τοῦ Ἀττάλου περιπλέων συχνὰς μὲν νήσους ἐχειρώσατο*... Fragm. Paris. p. 464. Zonar. 9, 15 (vol. II, p. 294, 19—295, 2). Cf. Liv. 31, 21 sq.

7 *οἱ Ἴνσουμβροι ἐταράχθησαν· Ἀμίλκας γάρ τις Καρχηδόνιος τῷ τε Μάγωνι συστρατεύσας καὶ ἐν τοῖς χωρίοις ἐκείνοις ὑπομείνας τέως μὲν ἡσυχίαν ἦγεν ἀγαπῶν, εἰ διαλάθοι, ἐπεὶ δ' ὁ Μακεδονικὸς πόλεμος ἐνέστη, τούς τε Γαλάτας ἀπέστησε τῶν Ῥωμαίων καὶ*
8 *μετ' αὐτῶν ἐπὶ Λίγυας στρατεύσας καὶ ἐκείνων τινὰς προσεποιήσατο. μάχης δέ σφισι μετὰ ταῦτα πρὸς τὸν Λούκιον Φούριον στρατηγὸν γενομένης ⟨ἡττήθησαν καὶ⟩ ἐπρεσβεύσαντο σπονδῶν δεόμενοι. καὶ οἱ μὲν Λίγυες ἔτυχον αὐτῶν· τότε δ' ἄλλοι*...............
*χ..εν ἄλλους Γαλάτας*............... *αιρεσιν*.....
*κ.σ*.........*δεινὸν μὲν*...*η.συνε ημ.δ.μ..ν*....
..............*ἐκυρίευεν ε*...........*ταις ἐπε.φ*
*ακ ἐστ..δ.γεω*.........*ν*..........*οὐκ..ε*.......
*ε...υ.ες τὴν μνήμην· ..ιχθείο*...................

[Zonaras 9, 15 — vol. II, p. 295, 3 sqq.]

fr. 57, 7 *κατὰ δὲ τὸν αὐτὸν χρόνον καί τις Ἀμίλκας Καρχηδόνιος τῷ Μάγωνι συστρατεύσας ἐν Ἰταλίᾳ κἀκεῖ ὑπομείνας τέως μὲν ἡσυχίαν ἦγεν, ὡς δ' ὁ Μακεδονικὸς πόλεμος ἐνέστη, τούς τε Γαλάτας τῶν Ῥω-*
fr. 57, 8 *μαίων ἀπέστησε καὶ μετ' αὐτῶν ἐπὶ Λίγυας στρατεύσας τινὰς κἀκείνων προσεποιήσατο. Λουκίῳ δὲ Φουρίῳ στρατηγοῦντι πολεμηθέντες ἡττήθησαν καὶ περὶ σπονδῶν ἐπρεσβεύσαντο. καὶ οἱ μὲν Λίγυες ἔτυχον αὐτῶν, τοῖς ἄλλοις δὲ οὐκ ἐδόθησαν, ἀλλ' ἀντε-*

57, 7, 3 *ἦγεν* scripsi e Zonara, *εἶχεν* L



*διη.η*... Fragm. Paris. p. 465. Zonar. 9, 15 (vol. II, p. 295, 3—14).

....*⟨τῶν ἐπινι⟩κίων τυχεῖν ἠξίου, λόγων τε ἐπ'* 9
*ἀμφότερα πολλῶν γενομένων (οἱ μὲν γὰρ ἄλλως τε καὶ πρὸς τὴν τοῦ Αὐρηλίου κακοήθειαν συνεσπούδαζον αὐτῷ καὶ τήν τε νίκην ἐμεγάλυνον καὶ παραδείγμασι πολλοῖς ἐχρῶντο· οἱ δὲ τῇ τε τοῦ ὑπάτου ἰσχύϊ ἠγωνίσθαι αὐτὸν ἔλεγον μηδεμίαν ἰδίαν αὐτοκράτορα ἀρχὴν ἔχοντα καὶ προσέτι καὶ λόγον παρ' αὐτοῦ ἀπήτουν, ὅτι τὰ προσταχθέντα οὐκ ἐπεποιήκει) ὅμως ἔλαβεν αὐτά. καὶ ὁ μὲν ἐκεῖ*....*πρὶν τὸν Αὐ⟨ρήλιον⟩*
*ε*...*θεσ*...*ν ἑώρτασεν· ὁ δὲ δὴ Οὐέρμινα*........
...............*ἐστ..ε μὲν παρὰ τῶν .χ*.... Fragm. Paris. p. 465. Cf. Livius 31, 47 sqq.

[Zonaras 9, 15 sq. — vol. II, p. 295, 12 sqq.]

*στράτευσεν ἐπ' αὐτοὺς Αὐρήλιος ὁ ὕπατος φθονήσας τῆς νίκης τῷ στρατηγῷ.*

*τῷ δ' ἑξῆς ἔτει πρὸς τοῦ Ἀμίλκα καὶ τῶν Γαλατῶν συν-* a. u. 555
*ηνέχθη πολλὰ καὶ δεινά. Γναῖόν τε γὰρ Βαίβιον στρατηγὸν* (199)
*ἐνίκησαν καὶ τὴν συμμαχίδα τῶν Ῥωμαίων κατέτρεχον καὶ Πλακεντίαν ἐπολιόρκουν καὶ ἑλόντες κατέσκαψαν.*

16. *ἐν δὲ τῇ Ἑλλάδι καὶ τῇ Μακεδονίᾳ Πούπλιος Οὐίλλιος ὁ ὕπατος ἀντεκάθητο τῷ Φιλίππῳ τὰ τῆς Ἠπείρου προκαταλαβόντι στενά, δι' ὧν εἰς τὴν Μακεδονίαν εἰσὶν*
*εἰσβολαί. μετὰ δὲ τὸν χειμῶνα Τίτος Φλαμίνιος ὕπατος, τοῦ* a. u. 556
*Φιλίππου πᾶν τὸ μεταξὺ τῶν ὀρῶν διατειχίσαντος καὶ ὄντος* (198)
*δυσπολεμήτου, διά τινος ἐκπεριῆλθε στενῆς ἀτραποῦ μετ' ὀλίγων τὸ περιτείχισμα. καὶ φανεὶς ἐξ ὑπερδεξίων αἰφνίδιον ἐφόβησε τὸν Φίλιππον νομίσαντα πᾶν τὸ τοῦ Τίτου στράτευμα εἴσω τῶν στενῶν παρελθεῖν· ὅθεν καὶ εἰς τὴν Μακεδονίαν ἀπῆρεν εὐθύς. ὁ δ' ὕπατος ἐκεῖνον μὲν οὐκ ἐδίωξε, τὰς δ' ἐν τῇ Ἠπείρῳ πόλεις προσεποιήσατο. καὶ ἐς*

9, 1 *ἠξίου*] sc. *Λούκιος Φούριος*, cf. Liv. 31, 47

[Zonar. 9, 16 — vol. II, p. 296, 2 sqq.]

Θεσσαλίαν ἐλθὼν πολλὰ παρεσπάσατο τοῦ **Φιλίππου** καὶ ἐς τὴν Φωκίδα τὴν Βοιωτίαν τε ἀνεχώρησε. καὶ ὁ μὲν Ἐλάτειαν ἐπολιόρκει, Λούκιος δὲ Φλαμίνιος ὁ ἀδελφὸς αὐτοῦ μετὰ τοῦ Ἀττάλου καὶ τῶν Ῥοδίων τὰς νήσους ἐχειροῦτο. καὶ τέλος Κέγχρειαν ἑλόντες καὶ πυθόμενοι πρέσβεις πρὸς τοὺς Ἀχαιοὺς ἐπὶ συμμαχίᾳ πεπέμφθαι ἀπέστειλαν καὶ αὐτοί· καὶ Ἀθηναῖοι συνεπρεσβεύσαντο. καὶ πρότερον μὲν ἐμερίσθησαν αἱ γνῶμαι τῶν Ἀχαιῶν, τῶν μὲν τῷ **Φιλίππῳ** τὴν συμμαχίαν ψηφιζομένων, τῶν δὲ τοῖς Ῥωμαίοις, ὀψὲ δ' οὖν ποτε τὴν βοήθειαν αὐτοῖς ἐψηφίσαντο. καὶ ἐπὶ τὴν Κόρινθον συνεστράτευσαν καὶ τοῦ μὲν τείχους κατήρειψάν τινα, πονήσαντες δ' ἐπεκδρομαῖς ἀπανέστησαν.

εἶτα δείσας ὁ **Φίλιππος**, μὴ πολλαὶ πόλεις ἁλῶσιν, ὑπὲρ εἰρήνης πρὸς τὸν ὕπατον ἐπεκηρυκεύσατο. καὶ ὁ μὲν ἐδέξατο τοὺς λόγους αὐτοῦ, καὶ συνῆλθον αὐτοὶ καὶ οἱ σύμμαχοι, ἐπράχθη δ' οὐδὲν ἢ ὅτι πρέσβεις ἐς Ῥώμην πέμψαι τῷ **Φιλίππῳ** ἐπετράπη. καὶ οὐδὲ ἐκεῖ τι ἐγένετο· τῶν γὰρ Ἑλλήνων ἀποστῆναι αὐτὸν ἀξιούντων τῆς Κορίνθου καὶ τῆς Χαλκίδος τῆς τε Δημητριάδος τῆς Θεσσαλικῆς οὐδὲν περὶ τούτων οἱ τοῦ **Φιλίππου** πρέσβεις ἐντετάλθαι ἔφασαν καὶ ἄπρακτοι ἀπηλλάγησαν.

οἱ δ' ἐν τῇ Ῥώμῃ τῷ Φλαμινίῳ τὴν ἐν τῇ Ἑλλάδι ἡγεμονίαν καὶ ἐς τὸ ἐπιὸν ψηφισάμενοι ἔτος αὐτῷ ἀνέθεντο καὶ τὰ κατὰ Φίλιππον. ὁ δέ, ὅτι κατὰ χώραν ἔμελλε μένειν, πρὸς πόλεμον ἡτοιμάζετο, καὶ μᾶλλον ὅτι καὶ Νάβις ὁ τῶν Λακεδαιμονίων τύραννος ἐσπείσατό οἱ καίτοι φίλος ὢν τοῦ **Φιλίππου** καὶ τὸ Ἄργος λαβὼν παρ' αὐτοῦ. ἀδυνατῶν γὰρ ὁ Μακεδὼν πολλὰ διέπειν ὁμοῦ καὶ δείσας, μὴ τοῖς Ῥωμαίοις ἡ πόλις ληφθῇ, τῷ Νάβιδι αὐτήν, ἵν' αὖθις ἀποδοίη, παρακατέθετο.

Αἰλίου δὲ Πέτου τοῦ ὑπάτου στρατεύσαντος ἐπὶ τοὺς Γαλάτας πολλοὶ ἀπ' ἀμφοτέρων ἀπώλλυντο προσμιγνύντες ἀλλήλοις, καίριον δέ τι ἐπράχθη οὐδέν. οἱ δ' ὅμηροι τῶν Καρχηδονίων οἵ τε δοῦλοι οἱ μετ' αὐτῶν καὶ οἵ τισι πεπραμένοι αἰχμάλωτοι κατασχεῖν τὰς πόλεις, ἐν αἷς ἕκαστοι τὰς διατριβὰς ἐποιοῦντο τολμήσαντες, καὶ πολλοὺς τῶν ἐπιχω-



ὅτι ὁ **Φίλιππος** ἡττηθεὶς ἐπεκηρυκεύσατο τῷ Φλα- 58
μινίνῳ· καὶ ὅς, εἰ καὶ τὰ μάλιστα καὶ τῆς Μακεδονίας a. u.
ἐγλίχετο καὶ τῇ παρούσῃ οἱ εὐτυχίᾳ ἐπίπαν ἐπεξελθεῖν 557 (197)
ἐπεθύμει, ὅμως ἐσπείσατο. αἴτιον δέ, ὅτι ἐφοβήθη, μὴ οἵ τε Ἕλληνες ὑπεξαιρεθέντος αὐτοῦ τό τε φρό-

[Zonaras 9, 16 — vol. II, p. 297, 11 sqq.]

ρίων φονεύσαντες καθῃρέθησαν ὑπὸ Κορνηλίου Λεντούλου στρατηγοῦ, πρὶν μεῖζόν τι ἐξεργάσασθαι. οἱ μέντοι Γαλάται εὐτυχίαις τε ἐπαιρόμενοι καὶ τοὺς Ῥωμαίους ἐν παρέργῳ σφίσι πολεμοῦντας αἰσθόμενοι παρεσκευάσαντο ὡς καὶ ἐπὶ
τὴν Ῥώμην ἐλάσοντες. δείσαντες οὖν οἱ Ῥωμαῖοι ἄμφω τοὺς a. u.
ὑπάτους Κορνήλιον Κέθηγον καὶ Μινούκιον Ῥοῦφον ἐπὶ 557 (197)
τοὺς Γαλάτας ἔπεμψαν· οἳ διαιρεθέντες ἄλλος ἄλλην ἐπόρθουν χώραν. πρὸς οὖν τοὺς ὑπάτους καὶ οἱ πολέμιοι διῃρέθησαν, καὶ οἱ μὲν τῷ Κεθήγῳ μετὰ τοῦ Ἀμίλκου συμβαλόντες ἡττήθησαν, οἱ λοιποὶ δὲ τοῦτο γνόντες ἀπεδειλίασαν καὶ οὐκέτι τῷ Ῥούφῳ συνέβαλον, ἀλλ' ἀδεῶς ἐκεῖνος τὴν χώραν κατέτρεχε. καὶ οἱ μὲν τῷ Κεθήγῳ πολεμήσαντες σπονδὰς ἐποιήσαντο, οἱ δ' ἄλλοι ἐν τοῖς ὅπλοις ἔτι ἐτύγχανον.

τότε δὲ καὶ ὁ Φλαμίνιος μετὰ τοῦ Ἀττάλου τὴν Βοιωτίαν ἅπασαν ὑπηγάγετο. καὶ ὁ μὲν Ἄτταλος ἐν τῷ δημηγορεῖν αὐτοῖς ὑπὸ γήρως ἀπέψυξεν, ὁ δέ γε Φλαμίνιος ἐς τὴν Θεσσαλίαν ἐλθὼν τῷ **Φιλίππῳ** προσέμιξε. καὶ ἱππομαχίαν ἐποιήσαντο· τὸ γὰρ χωρίον οὐκ ἐπιτήδειον πρὸς μείζω μάχην ἦν· διὸ καὶ ἄμφω ἀπανέστησαν. καὶ πρός τινα λόφον γενόμενοι, οὗ τὴν ἀκρωνυχίαν Κυνὸς κεφαλὴν ὀνομάζουσιν, οἱ μὲν ἔνθεν, οἱ δ' ἐκεῖθεν ηὐλίσαντο. καὶ μαχεσάμενοι τοῖς στρατεύμασιν ἅπασιν ἰσοπαλεῖς ἂν ἀπηλλάγησαν, εἰ μὴ οἱ Αἰτωλοὶ ἐπικρατεστέρους τοὺς Ῥωμαίους ἐποίησαν.
ἡττηθεὶς οὖν ὁ **Φίλιππος** καὶ φυγών, εἶτα μαθὼν τήν fr. 58
τε Λάρισαν καὶ τὰς περὶ αὐτὴν πόλεις τὰ τοῦ νικήσαντος ᾑρημένας ἐπεκηρυκεύσατο τῷ Φλαμινίῳ. καὶ ὃς ἐσπει-

58, 1 Φλαμινίῳ L ‖ 3 ἐπεξελθεῖν V, ἐξελθεῖν L ‖ 5 ὑπεξαιρεθέντος U, ἐξαιρεθέντος Leunclavius, ὑπεξαιρεθέντες L

νημα τὸ παλαιὸν ἀναλάβωσι καὶ σφᾶς οὐκέτι θεραπεύσωσι, καὶ οἱ Αἰτωλοὶ ἐν μεγάλῳ καὶ τότε αὐχήματι, ὅτι τὸ πλεῖστον τῆς νίκης κατειργάσαντο, ὄντες ἐπαχθέστεροί σφισι γένωνται, ὅ τε Ἀντίοχος ἔς τε τὴν Εὐρώπην, ὥσπερ ἠγγέλλετο, ἔλθῃ καὶ τῷ Φιλίππῳ συμμαχήσῃ. U p. 381. Zonar. 9, 16 (vol. II, p. 296, 17 sq.).

[Zonaras 9, 16 sq. — vol. II, p. 297, 29 sqq.]

σατο χρήματά τε τοῦ Φιλίππου δόντος καὶ ὁμήρους ἄλλους τε καὶ τὸν οἰκεῖον υἱὸν Δημήτριον καὶ πρέσβεις ὑπὲρ τῆς εἰρήνης εἰς τὴν Ῥώμην ἐκπέμψαντος.

ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, καὶ Ἀνδροσθένης ἐνικήθη ὑπὸ τῶν Ἀχαιῶν καὶ τὴν Κόρινθον ἀπέβαλε. καὶ ὁ Φλαμίνιος ὁ Λούκιος ἐπὶ τοῦ ναυτικοῦ ὤν, ἐπεὶ μὴ ἔπειθε τοὺς Ἀκαρνᾶνας μὴ συμμαχεῖν τῷ Φιλίππῳ, τήν τε Λευκάδα πολιορκίᾳ εἷλε κἀκείνους μετὰ τοῦτο τὴν ἧτταν τοῦ Φιλίππου γνόντας ῥᾷον συμπαρεστήσατο.

οὕτω μὲν οὖν ὁ Μακεδονικὸς ἐλέλυτο πόλεμος, καὶ οἱ ἐν τῇ Ῥώμῃ τῷ Φιλίππῳ ἑτοιμότατα συνηλλάγησαν ἐπὶ τῷ τούς αἰχμαλώτους καὶ τοὺς αὐτομόλους ἀποδοῦναι καὶ τοὺς ἐλέφαντας τάς τε τριήρεις πλὴν πέντε καὶ τῆς στρατηγίδος αὐτῆς οὔσης ἑκκαιδεκήρους καὶ χρήματα τὰ μὲν αὐτίκα δοῦναι, τὰ δὲ καὶ ἐν τάξεσί τισι καὶ μόνης τῆς Μακεδονίας βασιλεύειν, μὴ πλείους τ᾽ ἔχειν στρατιώτας τῶν πεντακισχιλίων μήτε πόλεμον ἔξω τῆς ἑαυτοῦ χώρας ποιεῖσθαί τινι. τὰς γὰρ ἄλλας πόλεις τάς τε ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ τὰς πρὶν δουλευούσας αὐτῷ ἐλευθέρας ἀφῆκαν.

οἱ δ᾽ ὕπατοι τοῖς Γαλάταις αὖθις οὐκ ἀταλαιπώρως ἐπολέμησαν, ὅμως μέντοι καὶ τούτους ὑπέταξαν.

a. u. 17. Πόρκιος δὲ Κάτων ὕπατος αἱρεθεὶς τὴν Ἰβηρίαν
559 μικροῦ πᾶσαν ἀλλοτριωθεῖσαν ἀνεκτήσατο, ἀνὴρ ἀρετῇ πάσῃ
(195) τοὺς τότε νικῶν. νόμου δὲ τεθέντος μετὰ τὴν ἐν Κάνναις τοῖς Ῥωμαίοις συμβᾶσαν ἧτταν μήτε χρυσοφορεῖν τὰς γυ-

10 ἠγγέλλετο] ἤγγελτο Naber



[Zonaras 9, 17 — vol. II, p. 299, 8 sqq.]

ναῖκας μήτε διφροφορεῖσθαι μήθ᾽ ὅλως ἐσθῆτι καταστίκτῳ κεχρῆσθαι ὁ δῆμος, εἰ χρὴ καταλῦσαι τὸν νόμον, βουλὴν ἐποιεῖτο. καὶ περὶ τούτου ὁ Κάτων ἐδημηγόρησε δεῖν κατασκευάζων τὸν νόμον κρατεῖν καὶ τέλος ταῦτα ἐπήγαγε. "κοσμείσθωσαν οὖν αἱ γυναῖκες μὴ χρυσῷ μηδὲ λίθοις ἤ τισιν ἀνθηροῖς καὶ ἀμοργίνοις ἐσθήμασιν, ἀλλὰ σωφροσύνῃ, φιλανδρίᾳ, φιλοτεκνίᾳ, πειθοῖ, μετριότητι, τοῖς νόμοις τοῖς κειμένοις, τοῖς ὅπλοις τοῖς ἡμετέροις, ταῖς νίκαις, τοῖς τροπαίοις." Λούκιος δὲ Οὐαλέριος δήμαρχος ἀντιλέγων τῷ Κάτωνι διειλέχθη ἀποδοθῆναι συμβουλεύων ταῖς γυναιξὶ τὸν κόσμον τὸν πάτριον. καὶ πολλὰ περὶ τούτου πρὸς τὸν δῆμον εἰπὼν εἶτα πρὸς τὸν Κάτωνα τὸν λόγον ἀπέτεινε καὶ ἔφη "σὺ δ᾽, ὦ Κάτων, εἰ ἄχθῃ τῷ κόσμῳ τῶν γυναικῶν καὶ βούλει φιλόσοφόν τι ποιῆσαι καὶ μεγαλοπρεπές, ἀπόκειρον αὐτὰς περιτρόχαλα καὶ χιτωνίσκους καὶ ἐξωμίδας ἔνδυσον καὶ νὴ Δία σύ γε καὶ ὅπλισον ἐφ᾽ ἵππους τε ἀνάβίβασον καί, εἰ δοκεῖ σοι, καὶ εἰς τὴν Ἰβηρίαν ἀνάγαγε, ὅπως τε καὶ τῶν ἐκκλησιῶν κοινωνῶσιν ἡμῖν, καὶ δεῦρο αὐτὰς εἰσφερώμεθα." καὶ ὁ μὲν Οὐαλέριος ταῦτα ἐπισκώπτων εἶπεν, ἀκούσασαι δὲ αἱ γυναῖκες (ἐγγὺς γὰρ τῆς ἀγορᾶς πολλαὶ διέτριβον πολυπραγμονοῦσαι τὸ γενησόμενον) εἰσεπήδησαν εἰς τὴν ἐκκλησίαν καταβοῶσαι τοῦ νόμου, καὶ οὕτω σπουδῇ λυθέντος αὐτοῦ ἀνεδήσαντο ἐκεῖ εὐθὺς ἐν τῇ ἐκκλησίᾳ κόσμον τινὰ καὶ ἐξῆλθον χορεύουσαι.

ὁ δὲ Κάτων ἀποπλεύσας εἰς τὴν Ἰβηρίαν ἀφίκετο καὶ μαθὼν πάντας τοὺς μέχρι τοῦ Ἴβηρος οἰκοῦντας συνεστράφθαι, ἵνα καθ᾽ ἓν αὐτῷ πολεμήσωσι, συγκροτήσας τὸ στράτευμα προσέβαλε σφίσι καὶ ἡττήσας αὐτοὺς ἠνάγκασε προσχωρῆσαί οἱ φοβηθέντας, ἵνα μὴ καὶ τὰς πόλεις αὐτοβοεὶ ἀποβάλωσι. καὶ τότε μὲν δεινὸν αὐτοῖς οὐδὲν εἰργάσατο, ὕστερον δὲ ὑπόπτων τινῶν γενομένων τά τε ὅπλα πάντων ἀφείλετο καὶ τὰ τείχη σφῶν δι᾽ αὐτῶν τῶν ἐπιχωρίων κατέσκαψε. γράμματα γὰρ ἑκασταχόσε διαπέμψας καὶ ἐν τῇ αὐτῇ ἡμέρᾳ ἅπασιν αὐτὰ ἀποδοθῆναι κελεύσας προσέταξε τοὺς περιβόλους αὐθημερὸν καθελεῖν θάνατον ἀπειλήσας τοῖς ἀπειθήσασιν. ἃ ἀναγνόντες οἱ ἐν ταῖς ἀρχαῖς ὄντες

[Zonaras 9, 17 sqq. — vol. II, p. 300, 18 sqq.]

καὶ νομίσαντες ἕκαστοι μόνοις αὐτοῖς γεγράφθαι καὶ μηδὲ καιρὸν λαβόντες βουλῆς κατέβαλον πάντες τὰ τείχη.

ὁ δὲ Κάτων διέβη τὸν Ἴβηρα καὶ τοῖς Κελτίβηρσι συμμαχοῦσι τοῖς πολεμίοις αὐτοῦ διὰ τὸ πλῆθος συμβαλεῖν μὴ θαρσήσας μετεχειρίσατο θαυμασίως αὐτούς, ποτὲ μὲν μεταπείθων πρὸς αὐτὸν μεταστῆναι δόσει μείζονος μισθοῦ, ποτὲ δὲ παραινῶν σφίσιν ἐπανελθεῖν οἴκαδε, ἔστι δ' ὅτε καὶ μάχην αὐτοῖς ἐς ἡμέραν ἐπαγγέλλων ῥητήν. ἐκ γὰρ τούτου ἐστασίασαν πρὸς ἀλλήλους καὶ φοβηθέντες οὐκέτι αὐτῷ πολεμῆσαι ἐτόλμησαν.

18. τότε δὲ καὶ Φλαμίνιος ἐπὶ τὸ Ἄργος ἐστράτευσε. τὸν γὰρ Νάβιν οὔτε σφίσι πιστὸν καὶ τοῖς Ἕλλησι φοβερὸν ὁρῶντες οἱ Ῥωμαῖοι πολέμιον ἐποιήσαντο. προσγενομένων δὲ καὶ συμμάχων ἐκ τοῦ Φιλίππου αὐτῷ ἐπὶ τὴν Σπάρτην ἤλασεν ὁ Φλαμίνιος καὶ ἀπόνως τὰ Ταΰγετά τε ὑπερέβη καὶ πρὸς τὴν πόλιν προσῆλθε μηδενὸς ἐναντιουμένου. ὁ γὰρ Νάβις τούς τε Ῥωμαίους δείσας καὶ τοὺς ἐπιχωρίους ὑποπτεύσας οὐκ ἐκινήθη, ὥστε προαπαντῆσαι τῷ Φλαμινίῳ· πλησιάσαντι δὲ ἐπεξέδραμε καταφρονήσας διά τε τὸν κάματον τὸν ἐκ τῆς πορείας καὶ ὅτι περὶ τὴν στρατοπέδευσιν ἀπησχόλητο, καί τινας συνετάραξε. τῇ δ' ὑστεραίᾳ ἐπεξῆλθε τοῖς προσβάλλουσι καὶ πολλοὺς ἀποβαλὼν οὐκέτι ἐπεξῆλθε. καταλιπὼν οὖν μέρος τοῦ στρατοῦ ἐκεῖ ὁ Φλαμίνιος, ὅπως μηδαμοῦ κινηθείη, τοῖς λοιποῖς ἐπὶ τὴν χώραν ἐτράπετο· κἀκεῖνός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ καὶ οἱ Ῥόδιοι καὶ ὁ τοῦ Ἀττάλου παῖς Εὐμένης ἐπόρθουν αὐτήν. ἀπογνοὺς οὖν διὰ ταῦτα ὁ Νάβις κήρυκα τῷ Φλαμινίῳ ὑπὲρ εἰρήνης ἀπέστειλε. καὶ ὃς τοὺς μὲν λόγους αὐτοῦ προσήκατο, οὐκ αὐτίκα δὲ κατελύσατο. τὰς γὰρ ὁμολογίας, ἃς ἀπῃτεῖτο ὁ Νάβις ποιήσασθαι, οὔτ' ἀπαγορεῦσαι ἐθάρρει οὔτε ποιῆσαι συγκατετίθετο. τὸ δὲ πλῆθος ἐκώλυσαν αὐτὸν συμβῆναι. καὶ τότε μὲν οὐκ ἐσπείσατο, προσβαλόντων δὲ τῶν Ῥωμαίων αὖθις καὶ τὴν Σπάρτην ὀλίγου πᾶσαν (καὶ γὰρ ἀτείχιστος ἦν ἐν μέρει) ἑλόντων οὐκέτ' ἐπέσχεν, ἀλλὰ πρός τε τὸν Φλαμίνιον σπονδὰς ἐποιήσατο καὶ πρὸς τὴν Ῥώμην πρεσβευσάμενος συνηλλάγη.



[Zonaras 9, 18 — vol. II, p. 301, 29 sqq.]

ὁ δὲ Φλαμίνιος τότε μὲν πάντας τοὺς Ἕλληνας ἐλευθέρους ἀφῆκεν, ὕστερον δὲ συγκαλέσας αὐτοὺς καὶ ὑπομνήσας a. u. 560 (194)
ὧν εὐηργέτηντο, παρῄνεσεν εὔνοιαν τῇ Ῥώμῃ τηρεῖν καὶ τὰς φρουρὰς ἁπάσας ἐξήγαγε καὶ ἀπῆρε μετὰ παντὸς τοῦ στρατοῦ.

ἀφικομένου δ' ἐς Ῥώμην τοῦ Φλαμινίου ὁ Νάβις ἐνεωτέρισε. κἀκ τούτου καὶ τὸ Ἑλληνικὸν ἅπαν ὡς εἰπεῖν ἐταράχθη τῶν Αἰτωλῶν σφᾶς ἐναγόντων· παρεσκευάζοντό τε ὡς πολεμήσοντες καὶ πρὸς τὸν Φίλιππον καὶ τὸν Ἀντίοχον ἐπρεσβεύοντο. καὶ ἔπεισαν αὐτὸν ἐκπολεμωθῆναι Ῥωμαίοις ὡς καὶ τῆς Ἑλλάδος τῆς Ἰταλίας τε βασιλεύσοντα. τοῖς δὲ Ῥωμαίοις τῶν πραγμάτων τεταραγμένων οὐχὶ περιγενέσθαι τοῦ Ἀντιόχου ἐλπὶς ἦν, ἀλλ' ἠγάπων, εἴ γε τὰ ἑαυτῶν διασώσαιντο. ὁ γὰρ Ἀντίοχος μέγας μὲν καὶ ἐπὶ τῇ οἰκείᾳ δυνάμει ἐδόκει δι' ἄλλα τε καὶ ὅτι τὴν Μηδίαν κατεστρέψατο, πολλῷ δ' ἔτι μείζων ἐγένετο, ὅτι τὸν Πτολεμαῖον τὸν τῆς a. u. 561
Αἰγύπτου βασιλέα καὶ τὸν Ἀριαράθην τὸν τῆς Καππαδοκίας (193)
κηδεστὴν προσετέθειτο.

τοιοῦτον τὸν Ἀντίοχον νομιζόμενον οἱ Ῥωμαῖοι, μέχρι μὲν τῷ Φιλίππῳ ἐπολέμουν, ἐθεράπευον φιλίως τε διὰ πρέσβεων ὁμιλοῦντες καὶ δῶρα πέμποντες· ἐπεὶ δ' ἐκεῖνον ἐνίκησαν, καὶ τούτου, ὃν πρόσθεν ἐδεδίεσαν, κατεφρόνουν. ὁ δὲ ἐς τὴν Θρᾴκην ἐπεραιώθη καὶ ἄλλα τε παρεστήσατο a. u. 562
καὶ τὴν Λυσιμαχίαν ἀνεστηκυῖαν συνῴκισεν ὡς ὁρμητηρίῳ (192)
ταύτῃ χρησόμενος· καὶ γὰρ αὐτὸν καὶ ὁ Φίλιππος καὶ ὁ Νάβις ἐπηγάγοντο. ὅ τε Ἀννίβας αὐτῷ συγγενόμενος ἐλπίσαι πεποίηκεν ἐς τὴν Καρχηδόνα κἀκεῖθεν εἰς τὴν Ἰταλίαν πλεῦσαι καὶ τὰ τοῦ Ἰονίου κόλπου ἔθνη προσκαταστρέψασθαι καὶ μετ' αὐτῶν ἐπὶ τὴν Ῥώμην ὁρμῆσαι. ἔφθη γοῦν ὁ Ἀντίοχος καὶ δὶς ἐς τὴν Εὐρώπην διαβὰς εἴς τε τὴν Ἑλλάδα ἀφικόμενος. πυθόμενος δὲ τὸν Πτολεμαῖον τεθνηκέναι καὶ περὶ παντὸς τῆς Αἰγύπτου κρατῆσαι ποιούμενος τὸν μὲν υἱὸν Σέλευκον ἐν τῇ Λυσιμαχίᾳ σὺν δυνάμει κατέλιπεν, αὐτὸς δὲ ἀναζεύξας καὶ ζῶντα τὸν Πτολεμαῖον μαθὼν τῆς μὲν Αἰγύπτου ἀπέσχετο, ἐπιχειρήσας δ' ἐς Κύπρον πλεῦσαι ἔπταισεν ὑπὸ χειμῶνος καὶ οἴκαδε ἀνεχώρησε. καὶ πρέσβεις

[Zonaras 9,18 sq. — vol. II, p. 303, 6 sqq.]

οἱ Ῥωμαῖοι κἀκεῖνος ἀντεπέστελλον ἀλλήλοις ἀντεγκαλοῦντες, ὅπως πρόφασίν τε τοῦ πολέμου λάβωσι καὶ ὅπως τὰ παρ' ἀλλήλοις προκατασκέψωνται.

Ἀννίβας δὲ τὴν μεγίστην τῶν παρὰ Καρχηδονίοις ἀρχῶν εἰληφὼς καὶ προσκρούσας ἀπ' αὐτῆς τοῖς δυνατωτάτοις ἐμισήθη τε ὑπ' αὐτῶν καὶ πρὸς τοὺς Ῥωμαίους διεβλήθη ὡς τά τε τῶν Καρχηδονίων νεωτερίζων καὶ τῷ Ἀντιόχῳ κοινολογούμενος. καὶ μαθών τινας ἐκ τῆς Ῥώμης παρόντας καὶ δείσας, μὴ συλληφθῇ, ἀπέδρα νυκτὸς ἐκ τῆς Καρχηδόνος. καὶ πρὸς τὸν Ἀντίοχον ἐλθὼν ἑαυτῷ τε τὴν εἰς τὴν πατρίδα κάθοδον καὶ τὸν πρὸς τοὺς Ῥωμαίους πόλεμον ἔπραττεν ὑπισχνούμενος ἐκείνῳ περιποιήσειν τό τε τῆς Ἑλλάδος κράτος καὶ τὸ τῆς Ἰταλίας· μέχρις οὗ σφίσιν ὁ Σκιπίων ὁ Ἀφρικανὸς συνεγένετο. οὗτος γὰρ δικαστὴς ἐς τὴν Λιβύην πεμφθεὶς τῷ τε Μασινίσσᾳ καὶ τοῖς Καρχηδονίοις περὶ ὅρων γῆς διαφερομένοις μετέωρον τὴν ἔχθραν αὐτῶν κατέλιπεν, ἵν' ἀλλήλοις τε διαφέροιντο καὶ μηδεὶς αὐτῶν διὰ τὴν κρίσιν κατὰ Ῥωμαίων ὀργίζοιτο. ἐντεῦθεν δ' εἰς τὴν Ἀσίαν διέβη λόγῳ μὲν ὡς πρεσβεύσων πρὸς τὸν Ἀντίοχον, ἔργῳ δέ, ἵνα κἀκεῖνον καὶ τὸν Ἀννίβαν ἐπιφανεὶς καταπλήξῃ καὶ πράξῃ τὰ τοῖς Ῥωμαίοις συμφέροντα. ἀφικομένου δ' αὐτοῦ οὐχ ὁμοίως ἔτι προσεῖχεν ὁ Ἀντίοχος τῷ Ἀννίβᾳ· ὑπώπτευσε γὰρ αὐτὸν δι' ἀπορρήτων ὁμιλήσαντα τῷ Σκιπίωνι καὶ ἄλλως δὲ αὐτὸν ἐβαρύνετο, ὅτι ἅπαν βούλευμα τῷ Ἀννίβᾳ πᾶς ἐπεγράφετο, καὶ τὴν τοῦ πολέμου κατόρθωσιν ἐν τούτῳ πάντες ἐπήλπιζον. διὰ γοῦν ταῦτα καὶ ἐφθόνησε τῷ Ἀννίβᾳ καὶ ἐφοβήθη αὐτόν, ἵνα μή τι δυνηθεὶς μεταβάληται· καὶ οὔτε στράτευμα παρέσχεν αὐτῷ οὔτ' ἐς τὴν Καρχηδόνα ἔπεμψεν· οὐδ' ἐν ταῖς συνουσίαις αὐτῷ κατακόρως ἐκέχρητο, ἀλλὰ καὶ ἐπετήδευε μηδὲν τῶν πραττομένων αὐτοῦ δοκεῖν εἶναι.

19. ἡ δὲ περὶ τοῦ Ἀντιόχου φήμη πολλὴ τὴν Ῥώμην κατέσχε καὶ ἐς φροντίδα τοὺς Ῥωμαίους οὐκ ἐλαχίστην κατέστησε. συχνῶν δὲ περὶ τοῦ Ἀντιόχου θρυλουμένων, καὶ τῶν μέν, ὅτι τὴν Ἑλλάδα πᾶσαν ἤδη κατέχει, τῶν δέ, ὅτι ἐπὶ τὴν Ἰταλίαν ἐπείγεται, λογοποιούντων οἱ Ῥωμαῖοι πρέσβεις



ὅτι ὁ Ἀντίοχος καὶ οἱ στρατηγοὶ αὐτοῦ προδιεφθά- 59
ρησαν· τῇ τε γὰρ ἄλλῃ ῥᾳστώνῃ καὶ ἔρωτι κόρης τι- a. u.
νὸς ἔς τε τὸ ἁβροδίαιτον ἐξώκειλε καὶ ἀπολέμους καὶ 562 (192)
τοὺς ἄλλους ἐποίησεν. V p. 609. Zonar. 9, 19 (vol. II,
p. 305, 11–15).

[Zonaras 9, 19 — vol. II, p. 304, 15 sqq.]

εἰς τὴν Ἑλλάδα ἄλλους τε καὶ Φλαμίνιον οἰκείως αὐτοῖς ἔχοντα ἔστειλαν, ὅπως τόν τε Φίλιππον καὶ ἐκείνους ἐπίσχῃ μηδὲν νεοχμῶσαι, καὶ στρατηγοὺς Μᾶρκον μὲν Βαίβιον εἰς Ἀπολλωνίαν, εἰ ταύτῃ ἐς τὴν Ἰταλίαν περαιωθῆναι τολμήσειεν ὁ Ἀντίοχος, Αὖλον δὲ Ἀτίλιον ἐπὶ τὸν Νάβιν. καὶ οὗτος μὲν οὐδὲν ἔπραξεν (ἔφθη γὰρ ὁ Νάβις ὑπὸ τῶν Αἰτωλῶν φθαρεὶς ἐξ ἐπιβουλῆς, καὶ ἡ Σπάρτη ἥλω ὑπὸ τῶν Ἀχαιῶν) ὁ δὲ Βαίβιος καὶ ὁ Φίλιππος πολλὰ τῆς Θεσσαλίας ἐβεβαιώσαντο. ταῖς γὰρ πρὸς τοὺς Ῥωμαίους ὁμολογίαις ὁ Μακεδὼν ἐμμεμένηκε διά τε ἄλλα καὶ ὅτι ὁ Ἀντίοχος χωρία αὐτοῦ ἐν τῇ Θρᾴκῃ τινὰ ἐπεσπάσατο.

ὁ δέ γε Φλαμίνιος περιιὼν τὴν Ἑλλάδα τοὺς μὲν μηδ' ἀποστῆναι ἔπεισε, τοὺς δὲ καὶ ἀποστάντας ἤδη μετέστησε πλὴν Αἰτωλῶν καὶ ἑτέρων τινῶν. αὐτοί τε γὰρ τῷ Ἀντιόχῳ προσεχώρησαν καὶ ἄλλους τοὺς μὲν ἑκόντας συνίστων, ἐνίους δέ γε καὶ ἄκοντας. καὶ ὁ Ἀντίοχος, καίτοι χειμῶνος ὄντος, ὅμως πρὸς τὰς τῶν Αἰτωλῶν ἐλπίδας ἔσπευσε· διὸ οὐδ' ἀξιόμαχον ἐπήγετο δύναμιν. τὴν μέντοι Χαλκίδα μετ' αὐτῶν ἔλαβε, τήν τε ἄλλην Εὔβοιαν προσεποιήσατο. καὶ ἐν τοῖς αἰχμαλώτοις Ῥωμαίους τινὰς εὑρὼν πάντας αὐτοὺς ἀφῆκε.
καὶ ἐς τὴν Χαλκίδα διεχείμασεν· ὅθεν αὐτός τε καὶ οἱ fr. 59,1
στρατηγοὶ οἵ τε στρατιῶται αὐτοῦ τὰς γνώμας προδιεφθάρησαν. τῇ τε γὰρ ἄλλῃ ῥᾳστώνῃ καὶ ἔρωτι κόρης τινὸς ἐς τὸ ἁβροδίαιτον ἐξώκειλε καὶ τοὺς ἄλλους ἀπολέμους ἐποίησεν.

οἱ δ' ἐν τῇ Ῥώμῃ μαθόντες αὐτὸν ἐς τὴν Ἑλλάδα

59, 1, 1 προδιεφθάρησαν Zonaras, προσδιεφθάρησαν L || 3 ἔς τε τὸ] ⟨αὐτός⟩ τε ἐς τὸ Reiske

[Zonaras 9, 19 — vol. II, p. 305, 17 sqq.]

παρόντα τὴν Χαλκίδα τε ᾑρηκότα τὸν πόλεμον φανερῶς
a. u. ἀνείλοντο· καὶ τῶν ὑπάτων Σκιπίωνα μὲν τὸν Νασικᾶν ἐπὶ
563 (191) φυλακῇ τῆς Ἰταλίας κατέσχον, Μάνιον δὲ Γλαβρίωνα μετὰ στρατοῦ πολλοῦ εἰς τὴν Ἑλλάδα πεπόμφασι. καὶ ὁ μὲν Νασικᾶς τοὺς Βοουΐους προσεπολεμώσατο, ὁ δὲ Γλαβρίων τὸν Ἀντίοχον ἐκ τῆς Ἑλλάδος ἐξήλασε. καὶ ἐς τὴν Θεσσαλίαν ἐλθὼν πολλὰ τῶν ταύτῃ μετὰ τοῦ Βαιβίου καὶ τοῦ Φιλίππου παρεστήσατο. τόν τε γὰρ Μεγαλοπολίτην Φίλιππον ἑλὼν εἰς τὴν Ῥώμην ἀπέστειλε καὶ τὸν Ἀμύνανδρον ἐκ τῆς ἀρχῆς ἐκβαλὼν τῷ Μακεδόνι αὐτὴν ἔδωκεν.

ὁ δ' Ἀντίοχος ἐν τούτοις ἡσυχίαν ἄγων ἐν τῇ Χαλκίδι διέτριβεν· εἶτα εἰς τὴν Βοιωτίαν ἐλήλυθε καὶ ἐν ταῖς Θερμοπύλαις ἀντιπροσιόντας οἱ τοὺς Ῥωμαίους ὑπέμεινε· πρὸς γὰρ τὴν τῶν στρατιωτῶν ὀλιγότητα σύμμαχον τὴν τοῦ χωρίου φύσιν ἕξειν ἐνόμισε. καὶ ἵνα μή τι καὶ αὐτὸς πάθῃ οἷον οἱ Ἕλληνες οἱ πρὸς τὸν Μῆδον ἀντιταχθέντες ἐκεῖ, μέρος τι τῶν Αἰτωλῶν ἐπὶ τὰ ἄκρα τῶν ὀρῶν ἀνεβίβασεν, ὥστε φρουρῆσαι αὐτά. ὁ δὲ Γλαβρίων βραχύ τε τῶν χωρίων ἐφρόντισε καὶ τὴν μάχην οὐκ ἀνεβάλετο, ἀλλὰ Πόρκιον μὲν Κάτωνα καὶ Οὐαλέριον Φλάκκον ὑποστρατήγους νυκτὸς ἐπὶ τοὺς Αἰτωλοὺς τοὺς ἐν τοῖς ἄκροις ἀπέστειλεν, αὐτὸς δὲ τῷ Ἀντιόχῳ ὑπὸ τὴν ἕω συνέμιξε. καὶ ἕως μὲν ἐν τῷ ὁμαλῷ ἐμάχετο, ἐπεκράτει, ἀναχωρήσαντος δὲ τοῦ Ἀντιόχου πρὸς τὰ μετέωρα ἠλαττοῦτο, μέχρις ὁ Κάτων κατὰ νώτου οἱ ἐγένετο. τοῖς γὰρ Αἰτωλοῖς καθεύδουσιν ἐπελθὼν τοὺς μὲν πλείους ἀπέκτεινε καὶ τοὺς λοιποὺς διεσκέδασε κἀντεῦθεν καταδραμὼν καὶ τῆς κάτω μάχης μετέσχε. καὶ τόν τε Ἀντίοχον ἔτρεψαν καὶ τὸ στρατόπεδον αὐτοῦ εἷλον. καὶ ὁ μὲν ἐς τὴν Χαλκίδα εὐθὺς ἀπεχώρησε, μαθὼν δὲ τὸν ὕπατον προσιόντα ἐς τὴν Ἀσίαν ἀνεκομίσθη λαθών.

καὶ τὴν μὲν Βοιωτίαν καὶ τὴν Εὔβοιαν ὁ Γλαβρίων αὐτίκα κατέσχε, τῇ δ' Ἡρακλείᾳ, μὴ βουληθέντων αὐτῷ προσχωρῆσαι τῶν Αἰτωλῶν, προσβολὰς ἐποιεῖτο· καὶ τὴν μὲν κάτω πόλιν πολιορκίᾳ εἷλε, τοὺς δ' ἐς τὴν ἀκρόπολιν ἀναφυγόντας ὁμολογίᾳ παρεστήσατο. ἐν δὲ τοῖς τότε ζωγρηθεῖσι καὶ Δημόκριτος ὁ στρατηγὸς τῶν Αἰτωλῶν ἐγένετο, ὅς



[Zonaras 9, 19 sq. — vol. II, p. 306, 28 sqq.]

τῷ Φλαμινίῳ ποτὲ τὴν συμμαχίαν ἠρνήσατο καὶ ψήφισμα ἐκείνου αἰτήσαντος, ἵν' ἐς τὴν Ῥώμην πέμψῃ, "θάρρει" ἔφη· "ἐγὼ γὰρ αὐτὸ κομιῶ μετὰ τοῦ στρατοῦ καὶ παρὰ τῷ Τιβέριδι ὑμῖν ἀναγνώσομαι." τοῦ Φιλίππου δὲ τὴν Λάμιαν πολιορκοῦντος ἐπῆλθεν ἐπ' αὐτὴν ὁ Γλαβρίων καὶ τήν τε νίκην καὶ τὴν λείαν ἐσφετερίσατο. τῶν μέντοι Αἰτωλῶν οἱ λοιποὶ συναλλαγῆναι μὲν ἠθέλησαν, οὐκ ἐσπείσαντο δὲ τοῦ Ἀντιόχου πρέσβεις αὐτοῖς καὶ χρήματα πέμψαντος, ἀλλὰ πρὸς πόλεμον ἡτοιμάζοντο. καὶ ὁ Φίλιππος ὑπεκρίνετο μὲν τὴν πρὸς τοὺς Ῥωμαίους φιλίαν, τὰ δὲ τοῦ Ἀντιόχου ἐφρόνει. ἐν τούτῳ δὲ Ναύπακτον ὁ Γλαβρίων τῶν Αἰτωλῶν οὖσαν ἐπολιόρκει· οὓς ἐλθὼν ὁ Φλαμίνιος ἔπεισε σπείσασθαι γνωρίμως αὐτοῖς ἔχων. καὶ πρέσβεις εἰς τὴν Ῥώμην ἐκεῖνοί τε καὶ οἱ Ἠπειρῶται ἐστάλκασι. καὶ ὁ Φίλιππος στέφανον νικητήριον τῷ Διὶ τῷ Καπιτωλίῳ πέμψας ἄλλα τε ἀντειλήφει καὶ τὸν υἱὸν τὸν Δημήτριον ἐν Ῥώμῃ ὁμηρεύοντα. τοῖς δ' Αἰτωλοῖς σπονδαὶ οὐκ ἐγένοντο· οὐ γὰρ ἐλαττωθῆναί τι κατεδέξαντο.

20. ἐπὶ δὲ τὸν Ἀντίοχον οἱ Ῥωμαῖοι τοὺς Σκιπίωνας ἔταξαν a. u. 564
τόν τε Ἀφρικανὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ Λούκιον. οἳ τοῖς (190)
μὲν Αἰτωλοῖς ἀνοχὴν ἔδοσαν, ἵν' ἐς τὴν Ῥώμην αὖθις ὑπὲρ τῆς εἰρήνης πρεσβεύσωνται, ἠπείγοντο δ' ἐπὶ τὸν Ἀντίοχον καὶ ἐπὶ Μακεδονίαν ἐλθόντες συμμάχους τε λαβόντες ἐκ τοῦ Φιλίππου ἐπὶ τὸν Ἑλλήσποντον ἤλασαν. καὶ ἐς τὴν Ἀσίαν περαιωθέντες τὰ πλεῖστα τῶν παραθαλασσίων κατέλαβον προκατειλημμένα παρὰ τῶν ἐκεῖ προαπελθόντων Ῥωμαίων, πρὸς δὲ καὶ τοῦ Εὐμένους καὶ τῶν Ῥοδίων, οἳ καὶ τὸν Ἀννίβαν ναῦς τινας ἐκ Φοινίκης ἀνάγοντα περὶ Παμφυλίαν ἐνίκησαν. καὶ Εὐμένης δὲ καὶ Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ τὴν χώραν ἐκάκουν τοῦ Ἀντιόχου, καὶ πόλεις αἱ μὲν βίᾳ, αἱ δ' ἑκούσιαι πρὸς τοὺς Ῥωμαίους μεθίσταντο, ὥστε ἐκ τούτων ἀναγκασθῆναι τὸν Ἀντίοχον τὴν Εὐρώπην τε παντελῶς ἐκλιπεῖν καὶ τὸν υἱὸν Σέλευκον ἀπὸ τῆς Λυσιμαχίας ἀπαγαγεῖν. ὃν ἐπανελθόντα σὺν δυνάμει ἐπὶ τὴν Πέργαμον ἔπεμψεν. ὡς δὲ προσεδρεύσας τῇ πόλει οὐδὲν ἐπέρανε, καὶ οἱ Σκιπίωνες ἐπῆλθον, εὐθὺς αὐτοῖς ἐπεκηρυ-

2 ὅτι *Σέλευκος ὁ τοῦ Ἀντιόχου τὸν τοῦ Ἀφρικανοῦ*
a. u. 564 (190) *υἱὸν διαπλέοντα ἐκ τῆς Ἑλλάδος λαβὼν ἐν θεραπείᾳ πολλῇ ἐπεποίητο. ἀπολυτρῶσαι μὲν γὰρ καίτοι τοῦ πατρὸς αὐτοῦ πολλὰ δεηθέντος οὐκ ἠθέλησεν, οὐ μέντοι καὶ κακόν τι εἰργάσατο, ἀλλὰ καὶ τοὐναντίον ἰσχυρῶς περιεῖπε καὶ τέλος καίπερ τῶν σπονδῶν ἁμαρτὼν ἀφῆκεν ἄνευ λύτρων.* V p. 609. Zonar. 9, 20 (vol. II, p. 308, 9 sqq.).

[Zonaras 9, 20 — vol. II, p. 307, 30 sqq.]

fr. 59, 2 *κεύσατο προσδοκήσας τεύξεσθαι τῆς εἰρήνης, ὅτι τὸν Ἀφρικανοῦ υἱὸν συλλαβὼν ἐν θεραπείᾳ εἶχε πολλῇ· καὶ τέλος καίπερ τῶν σπονδῶν ἁμαρτὼν ἄνευ λύτρων ἀφῆκεν αὐτόν.* οὐκ ἐγένετο δὲ ἡ εἰρήνη τοῦ Ἀντιόχου, ἃ οἱ Ῥωμαῖοι ἀπῄτουν, μὴ συνθεμένου ποιῆσαι.

*τέως μέντοι ἐπὶ πολὺ ἡσύχασαν, εἶτα καὶ ἐπολέμησαν. ὁ δὲ ἀγὼν οὕτως ἐγένετο. πρῶτα τὰ ἅρματα, εἶτα τοὺς ἐλέφαντας ὁ Ἀντίοχος ἔταξε καὶ μετὰ ταῦτα τοὺς σφενδονήτας καὶ τοὺς τοξότας. τὴν μὲν οὖν ἐκδρομὴν τῶν ἁρμάτων προεκδραμόντες οἱ Ῥωμαῖοι καὶ μετὰ κραυγῆς σφίσι πολλῆς ἀντιμέτωποι προσπεσόντες ἀνέκοψαν, ὥστε τὰ πολλὰ αὐτῶν ἐς τοὺς ἐλέφαντας τραπόμενα πάλιν τὸ οἰκεῖον συνετάραξαν (αὐτοί τε γὰρ ἐπλανῶντο καὶ τοὺς ἐπιτεταγμένους σφίσιν ἐκφοβήσαντες διεσκέδασαν), τὴν δὲ τοξείαν καὶ τὴν σφενδόνησιν ὄμβρος πολὺς ἐπιγενόμενος ἀσθενῆ ἐποίησεν· ὁμίχλη τε πλείστη καὶ βαθεῖα συμβᾶσα τοὺς μὲν Ῥωμαίους ἅτε κρατοῦντας καὶ ἀγχεμάχως ἐκ χειρὸς μαχομένους οὐδὲν ἐνεπόδισε, τοὺς δ' ἐναντίους οἷα πεφοβημένους ἵππῳ τε καὶ τοξείᾳ τὸ πλεῖστον χρωμένους τήν τε πρόοψιν εἰς τὰ τοξεύματα ἀφείλετο καὶ περὶ ἀλλήλους ὡς ἐν σκότῳ πλανωμένους ἔσφηλεν. ὅμως δ' οὖν ἴσχυσεν ὁ Ἀντίοχος τοῖς καταφράκτοις ἱππεῦσι τοὺς ἀντιστάντας αὐτῷ τρεψάμενος μέχρι τοῦ στρατοπέδου ἐλθεῖν ἐπιδιώκων αὐτούς. καί γε εἷλεν ἂν αὐτό, εἰ μὴ Μᾶρκος Αἰμίλιος Λέπιδος ὁ τὴν φρουρὰν αὐτοῦ ἔχων τοὺς πρώτους προσιόντας τῶν Ῥωμαίων ἀπέκτεινεν, ἐπεὶ μὴ ἔπεισεν αὐτοὺς τῆς φυγῆς ἐπισχεῖν. ἐκ*



*ὅτι ἐφθόνουν τοῖς Σκιπίωσι πολλοί, ὅτι δύο ἀδελ-* 60
*φοὶ γένους τε καὶ ἀρετῆς ⟨εὖ⟩ ἥκοντες τά τε ἄλλα* a. u. 565 (189)

[Zonaras 9, 20 — vol. II, p. 309, 6 sqq.]

*γὰρ τούτου ἐκείνων τε οἱ λοιποὶ ὑποστρέψαντες καὶ αὐτὸς ἀκραιφνέσιν ἐπεκδραμὼν τοῖς φρουροῖς ἀπεώσαντο τὸν Ἀντίοχον. ἐν ᾧ δὲ τοῦτ' ἐγίνετο, Ζεῦξις καθ' ἕτερον μέρος τῷ ταφρεύματι προσβαλὼν εἴσω τε αὐτοῦ εἰσῆλθε καὶ ἁρπαγὴν ἐποιεῖτο, μέχρις οὗ ὁ Λέπιδος ᾔσθετο. τότε γὰρ κἀκεῖνος τὸ σφέτερον ἐρρύσατο, καὶ ὁ Σκιπίων τὸ τοῦ Ἀντιόχου εἷλε καὶ ἐν αὐτῷ πολλοὺς μὲν ἀνθρώπους, πολλοὺς δ' ἵππους, ὑποζύγια, ἀργύριον, χρυσίον, ἐλέφαντα ἄλλα τε πολλὰ καὶ πολυτελῆ εὗρε. καὶ ὁ μὲν Ἀντίοχος ἡττηθεὶς αὐτίκα ἐς τὴν Συρίαν ἀνεχώρησεν, οἱ δ' Ἕλληνες οἱ ἐν τῇ Ἀσίᾳ τοῖς Ῥωμαίοις προσέθεντο.*

*μετὰ δὲ ταῦτα ἀνακωχή τις ἐπικηρυκευσαμένου τοῦ Ἀντιόχου ἐσπείσθη. ὅ τε γὰρ Ἀφρικανὸς εὐνοϊκῶς οἱ διὰ τὸν υἱὸν εἶχε, καὶ ὁ ὕπατος οὐκ ἤθελε τὴν νίκην τῷ διαδόχῳ πλησιάζοντι καταλελοιπέναι. οὔκουν οὐδὲ ἐπέταξαν τῷ Ἀν-*
*τιόχῳ πλέον οὐδὲν ἢ ὅσα καὶ πρὸ τῆς μάχης ᾔτουν. διὸ* a. u. 565
*καὶ Γναῖος Μάλλιος ὁ τὴν ἀρχὴν σφῶν διαδεξάμενος οὐκ* (189)
*ἠρκέσθη τοῖς συγκειμένοις, ἀλλὰ πλείω αὐτὸν ἀπῄτησε, πρὸς δὲ καὶ ὁμήρους δοῦναι ἐκέλευσεν ἄλλους τε καὶ τὸν υἱὸν Ἀντίοχον καὶ τοὺς αὐτομόλους πάντας ἐκδοῦναι, ἐν οἷς καὶ ὁ Ἀννίβας ἦν. καὶ ὁ Ἀντίοχος καὶ ἄκων πρὸς ἅπαντα ἐπειθάρχησεν. οὐ μέντοι καὶ τὸν Ἀννίβαν ἐκδοῦναι ἠδυνήθη· πρὸς γὰρ Προυσίαν τὸν βασιλέα τῶν Βιθυνῶν προκατέφυγε. καὶ ὁ μὲν Ἀντίοχος πρέσβεις ἐπὶ τούτοις εἰς τὴν Ῥώμην πέμψας ἐσπείσατο, Σκιπίων δὲ Λούκιος ἐπηνεῖτο ἐπὶ τῇ νίκῃ καὶ τὴν τοῦ Ἀσιατικοῦ ἐπωνυμίαν δι' αὐτὴν ἔσχεν, ὥσπερ ὁ ἀδελφὸς αὐτοῦ Ἀφρικανὸς ἐπεκλήθη τῆς Καρχηδόνος κρατήσας μέγιστον ἐν τῇ Ἀφρικῇ δυνηθείσης.*

*τοιοῦτοι δ' οὖν ἄνδρες οὗτοι γενόμενοι καὶ ἐπὶ τοσοῦτον δόξης ἐλθόντες ἐξ ἀρετῆς δικαστηρίῳ καὶ τῷ δήμῳ οὐ πολλῷ ὕστερον παρεδόθησαν· καὶ ὁ μὲν Λούκιος κατεψη-*

60, 1 τοῖς Σκιπίωσι B, τῶν Σκιπιώνων R, τοῦ Σκιπίωνος L ‖ 2 ⟨εὖ⟩ inseruit V

κατέπραξαν ὥσπερ εἴρηται καὶ ἐπικλήσεις τοιαύτας
ἔλαβον, ἐπεὶ ὅτι γε οὐδὲν ἠδίκουν, δηλοῦται μὲν καὶ
τοῖς εἰρημένοις, ἀπεδείχθη δὲ ἔτι μᾶλλον τῇ τε τοῦ
Ἀσιατικοῦ δημεύσει τῆς οὐσίας, ἐν ᾗ μηδὲν πλέον
τῶν προϋπαρχόντων οἱ εὑρέθη, καὶ τῇ τοῦ Ἀφρικανοῦ
ἐς Λίτερνον ἀναχωρήσει κἀνταῦθα μέχρι τῆς τοῦ βίου
τελευτῆς ἀδείᾳ. τὴν μὲν γὰρ πρώτην ἀπήντησε νομί-
ζων τῇ τῆς ἀρετῆς ἀληθείᾳ περιέσεσθαι. V p. 609.
Zonar. 9, 20 (vol. II, p. 310, 12—17).

[Zonaras 9, 20 — vol. II, p. 310, 14 sqq.]

φίσθη ὡς τάχα πολλὰ ἐκ τῆς λείας σφετερισάμενος, Ἀφρι-
κανὸς δὲ ὡς ἐπιεικεστέρας τὰς συνθήκας διὰ τὸν υἱὸν ποι-
fr. 60 ησάμενος, τὸ δ' ἀληθὲς διὰ φθόνον. ὅτι δ' οὐδὲν ἠδί-
κουν, δηλοῦται μὲν καὶ ἄλλοθεν, οὐχ ἥκιστα δέ, ὅτι
καὶ τῆς οὐσίας τοῦ Ἀσιατικοῦ δημευθείσης οὐδὲν
πλέον τῶν αὐτῷ προϋπαρχόντων εὑρέθη, ὅτι δὲ τοῦ
Ἀφρικανοῦ ἐς τὸ Λίτερνον πρὸ ψήφου ἀναχωρή-
σαντος καὶ μέχρι τελευτῆς ἐκεῖ καταμείναντος οὐ-
δεὶς αὐτοῦ ἔτι κατεψηφίσατο.

ὁ δέ γε Μάλλιος τότε Πισιδίαν Λυκαονίαν τε καὶ Παμ-
φυλίαν τῆς τε Γαλατίας τῆς Ἀσιανῆς πολλὰ προσηγάγετο.
ἔστι γάρ τι κἀνταῦθα γένος αὐτῶν ἐκ τοῦ Εὐρωπαίου ἀπο-
δάσμιον. Βρέννον γάρ ποτε βασιλέα σφῶν προστησάμενοι
τήν τε Ἑλλάδα καὶ τὴν Θρᾴκην ἐπέδραμον κἀκεῖθεν εἰς
τὴν Βιθυνίαν διαβάντες μέρη τινὰ τῆς τε Φρυγίας καὶ τῆς
Παφλαγονίας τῆς τε Μυσίας τῆς πρὸς τῷ Ὀλύμπῳ καὶ
Καππαδοκίας ἀπετέμοντο καὶ ἐν αὐτοῖς κατῴκησαν καὶ νῦν
ἔθνος ἴδιόν εἰσι τὸ ὄνομα τῶν Γαλατῶν φέροντες. οὗτοι δὴ
πράγματα τῷ Μαλλίῳ παρέσχον. ἀλλὰ καὶ τούτων ἐκράτησε
τὴν μὲν Ἄγκυραν τὴν πόλιν ἑλὼν ἐξ ἐπιδρομῆς, τὰς δ'
ἄλλας ὁμολογίᾳ παραστησάμενος. πράξας δὲ ταῦτα καὶ συ-
χνὸν παρὰ Ἀριαράθους τοῦ Καππαδοκῶν βασιλέως ἀργύριον
ἐπὶ εἰρήνῃ λαβὼν ἀπῆρεν οἴκαδε.

5 ἔτι V, ἐπὶ L ‖ 7 τοῦ Reiske, γοῦν L



ὅτι οἱ Ῥωμαῖοι τῆς τρυφῆς τῆς Ἀσιανῆς γευσάμε- 61
νοι καὶ μετὰ τῆς τῶν λαφύρων περιουσίας τῆς τε
παρὰ τῶν ὅπλων ἐξουσίας ἐν τοῖς τῶν ἡττηθέντων
κτήμασιν ἐγχρονίσαντες [καὶ] τήν τε ἀσωτίαν αὐτῶν
διὰ βραχέος ἐξήλωσαν καὶ τὰ πάτρια ἔθη οὐ διὰ μα-
κροῦ κατεπάτησαν. οὕτω τὸ δεινὸν τοῦτ' ἐκεῖθεν ἀρ-
ξάμενον καὶ ἐς τὸ ἄστυ ἔπεσε. V p. 609.

[Zonaras 9, 21 — vol. II, p. 311, 3 sqq.]

21. οἱ δ' Αἰτωλοὶ πρέσβεις τὸ δεύτερον ὑπὲρ εἰρήνης ἐς τὴν Ῥώμην πέμψαντες αὐτοὶ αὖθις ἐνεωτέριζον. διὸ οἱ Ῥωμαῖοι τούς τε πρέσβεις εὐθὺς ἀπεπέμψαντο καὶ Μάρκῳ Φουλουίῳ τὴν Ἑλλάδα ἀνέθεντο. ὁ δὲ ἐς Ἀμβρακίαν τὴν πόλιν πρῶτον ὥρμησε μεγάλην οὖσαν (ἦν γάρ ποτε τοῦ Πύρρου βασίλειον, τότε δὲ κατείχετο πρὸς τῶν Αἰτωλῶν) καὶ ἐπολιόρκει αὐτήν· οἱ οὖν Αἰτωλοὶ πρὸς αὐτὸν ὑπὲρ εἰρήνης διειλέχθησαν· ὡς δ' οὐκ ἠθέλησε σπείσασθαι, μέρος τι τοῦ στρατοῦ ἐς τὴν Ἀμβρακίαν εἰσέπεμψαν. οἱ δὲ Ῥωμαῖοι δι' ὑπονόμου τινὸς ἐπεχείρησαν τὴν πόλιν ἑλεῖν καὶ διώρυσσον πόρρωθεν· καὶ τέως μὲν ἐλάνθανον τοὺς πολιορκουμένους, ἐπεὶ δ' ὁ χοῦς ἠθροίσθη, ὑπετόπησαν τὸ γινόμενον. ἀγνοοῦντες δ' ὅπῃ ὀρύσσοιτο, χαλκῆν ἀσπίδα κατὰ τὸν περίβολον πρὸς αὐτὸ ἐτίθουν τὸ δάπεδον· καὶ διὰ τῆς ἠχῆς τὸν τόπον γνόντες καὶ αὐτοὶ ἀντώρυσσον ἔνδοθεν καὶ πελάσαντες τοῖς Ῥωμαίοις ᾔεσαν εἰς μάχας κρυπτάς. τέλος δέ τι τοιοῦτον ἀντετεχνήσαντο. πίθον μέγαν πτίλων πληρώσαντες πῦρ ἐς αὐτὸν ἐνῆκαν καὶ πῶμα χαλκοῦν αὐτῷ πολλαχῇ τετρημένον ἐνέθηκαν καὶ εἰς τὸν ὑπόνομον τὸν πίθον κομίσαντες καὶ πρὸς τοὺς πολεμίους τρέψαντες τὸ στόμα αὐτοῦ ἀκροφύσιόν οἱ κατὰ τὸν πυθμένα ἐνέβαλον καὶ τούτῳ φύσας προσφέροντες πλεῖστον καὶ δυσχερῆ καπνὸν οἷα ἐκ πτίλων ἐκθορεῖν ἐποίουν, ὃν οὐδεὶς τῶν Ῥωμαίων ὑπέμενεν. ὅθεν ἀπογνόντες οἱ Ῥωμαῖοι ἐσπείσαντο καὶ τὴν πολιορκίαν κατέλυσαν. ὁμολογησάντων δ' αὐτῶν καὶ οἱ Αἰ-

61, 4 [καὶ] del. Reiske ‖ 5 ἔθη St, ἤθη L ‖ 7 ἔπεσε] ἐπέπεσε vel ἐνέπεσε Reiske

62 ὅτι ὁ Γράκχος ἄλλως μὲν ἔκ τε τοῦ πλήθους ἦν καὶ ἐδημηγόρει δεινότατα, οὐ μέντοι καὶ ὡμοιώθη Κάτωνι, ἀλλὰ καίπερ παλαιάν τινα πρὸς τοὺς Σκιπίωνας ἔχθραν ἔχων οὐκ ἤνεγκε τὸ γιγνόμενον, ἀλλ' ὑπὲρ τοῦ Ἀφρικανοῦ καὶ ἀπελογήσατο ἐρήμην κατηγορηθέντος, ὅπως τε μηδεμίαν κηλῖδα λάβοι διεσπούδασε, τόν τε Ἀσιατικὸν ἐκώλυσεν ἐς τὸ οἴκημα ἐμβληθῆναι. καὶ διὰ ταῦτα αὐτῷ οἱ Σκιπίωνες τήν τε ἔχθραν κατέλυσαν καὶ κῆδος συνῆψαν· τὴν γὰρ θυγατέρα τὴν ἑαυτοῦ ὁ Ἀφρικανὸς συνῴκισεν. V p. 610.

63 ὅτι νεανίσκοι τινὲς Καρχηδονίων πρέσβεις ἐς τὴν
a. u. Ῥώμην ἐλθόντας ὑβρίσαντες ἐπέμφθησαν μὲν ἐς τὴν
567 (187) Καρχηδόνα καὶ ἐξεδόθησάν σφισιν, οὐκ ἔπαθον δὲ ὑπ' αὐτῶν δεινὸν οὐδέν, ἀλλ' ἀφείθησαν. U p. 381.

[Zonaras 9, 21 — vol. II, p. 312, 2 sqq.]

τωλοὶ μετεβάλοντο· καὶ διεπράξαντο ἀνοχήν, εἶτα καὶ εἰρήνην παρὰ τοῦ δήμου πολλὰ μὲν χρήματα, πολλοὺς δὲ καὶ ὁμήρους δόντες. καὶ ὁ Φουλούιος τὴν Κεφαλληνίαν ὁμολογίᾳ παρεστήσατο καὶ τὴν Πελοπόννησον στασιάζουσαν κατεστήσατο.

a. u. 567 Γαΐου δὲ Φλαμινίου καὶ Αἰμιλίου Λεπίδου ὑπατευόντων
(187) μετέπειτα ὁ Ἀντίοχος ἔθανε, καὶ αὐτὸν ὁ υἱὸς ὁ Σέλευκος διεδέξατο· τελευτήσαντος δὲ κἀκείνου πολλῷ ὕστερον ὁ εἰς τὴν
a. u. Ῥώμην ὁμηρεύων Ἀντίοχος ἐβασίλευσεν. ὁ δέ γε Φίλιππος
571 (183) ἐτόλμησε μὲν νεωτερίσαι, ὅτι πόλεών τινων ἐστερήθη ἐν Θεσσαλίᾳ καὶ πρὸς ταῖσδε καὶ Αἴνου καὶ Μαρωνείας, οὐκ ἠδυνήθη δὲ διὰ τὸ γῆρας καὶ διὰ τὰ περὶ τοὺς παῖδας συνενεχθέντα αὐτῷ. καὶ Γαλάται τινὲς τὰς Ἄλπεις ὑπερβάντες πόλιν ἐντὸς αὐτῶν κτίσαι ἠθέλησαν. ὧν ὁ Μᾶρκος ὁ Μάρκελλος τά τε ὅπλα ἀφείλετο καὶ τἄλλα, ὅσα ἐπεκομίζοντο· οἱ δ' ἐν

---

**62**, 6 λάβοι V, λάβῃ L ‖ διεσπούδασε B, διεσπούδαστο V, δι' ἃ ἐσπούδαστο L ‖ 10 ⟨οἱ⟩ συνῴκισεν? B ‖ **63**, 2 ἐλθόντας Wesseling coll. Liv. 38, 42; ἐλθόντες L



αὐτὸς δὲ (sc. Ἀννίβας) φάρμακον πιὼν θνήσκει 64
πρὸς Βιθυνίαν a. u.
πρός τι χωρίον Λίβυσσαν καλούμενον τῇ κλήσει 571 (183)
δοκῶν θανεῖν εἰς Λίβυσσαν πατρίδα τὴν οἰκείαν.
ἦν γὰρ Ἀννίβᾳ τις χρησμὸς οὕτω που γεγραμμένος·
Λίβυσσα κρύψει βῶλος Ἀννίβα δέμας.
ὁ αὐτοκράτωρ δ' ὕστερον Ῥωμαίων ὁ Σεβῆρος
ἐκ γένους ὢν τοῦ Λιβυκοῦ λευκῆς μαρμάρου τάφῳ
τὸν ἄνδρα τοῦτον τέθεικεν, τὸν στρατηγὸν Ἀννίβαν.

Tzetz. hist. 1, 798—805. Cf. Zonaras 9, 21 (vol. II, p. 312, 21).

[Zonaras 9, 21 sq. — vol. II, p. 312, 18 sqq.]

τῇ Ῥώμῃ πρεσβευσαμένοις σφίσιν ἐπὶ τῷ εὐθὺς ἀναχωρῆσαι πάντα ἀπέδωκαν.

τότε δὲ καὶ ὁ Ἀννίβας ἀπέθανε. πρέσβεων γὰρ πρὸς τὸν Προυσίαν τὸν τῆς Βιθυνίας κρατοῦντα πεμφθέντων ἐκ Ῥώμης δι' ἄλλα τέ τινα καὶ ὅπως καὶ τὸν Ἀννίβαν ἐκδοίη παρ' αὐτῷ ὄντα, προμαθὼν τοῦτ' ἐκεῖνος καὶ διαδρᾶναι μὴ
οἷός τε ὢν ἑαυτὸν διεχρήσατο. χρησμοῦ δέ ποτε αὐτῷ cf. fr. 64
γενομένου ἐν γῇ Λιβύσσῃ τεθνήξεσθαι ὁ μὲν ἐν τῇ πατρίδι τῇ Λιβύῃ προσεδόκα θανεῖν, ἔτυχε δὲ θνήσκων ἐν χωρίῳ τινὶ τυγχάνων καλουμένῳ Λιβύσσῃ. καὶ ὁ Ἀφρικανὸς δὲ Σκιπίων τότε μετήλλαξε.

22. Φίλιππος δὲ ὁ Μακεδόνων βασιλεὺς τὸν υἱὸν a. u. 575
Δημήτριον ἀποκτείνας καὶ τὸν ἕτερον υἱὸν τὸν Περσέα μελ- (179)
λήσας φονεύσειν ἀπέθανεν. ἐπεὶ γὰρ προσφιλὴς τοῖς Ῥωμαίοις ἐκ τῆς ὁμηρείας ἐγένετο ὁ Δημήτριος, καὶ αὐτός τε καὶ οἱ λοιποὶ τῶν Μακεδόνων ἤλπιζον, ὅτι μετὰ τὸν Φίλιππον τὴν βασιλείαν λήψεται, ἐφθόνησεν αὐτῷ ὁ Περσεὺς ἅτε καὶ πρεσβύτερος αὐτοῦ ὢν καὶ διέβαλεν αὐτὸν ὡς ἐπιβουλεύοντα τῷ πατρί. καὶ ὁ μὲν φάρμακον πιεῖν ἀναγκασθεὶς ἐτελεύτησεν, ὁ δὲ Φίλιππος οὐ πολλῷ ὕστερον τὸ ἀληθὲς γνοὺς ἀμύνασθαι τὸν Περσέα ἠθέλησεν, οὐ μέντοι καὶ ἴσχυσεν, ἀλλ' αὐτός τε ἀπέθανε καὶ τὴν βασιλείαν ὁ Περ-

[Zonaras 9, 22 — vol. II, p. 313, 13 sqq.]

σεὺς διεδέξατο. καὶ οἱ Ῥωμαῖοι ταύτην τε αὐτῷ ἐβεβαίωσαν καὶ τὴν πατρῴαν φιλίαν ἀνενεώσαντο.

ἐν δὲ τοῖς μετὰ ταῦτα χρόνοις συνηνέχθησαν μέν τινα, οὐ μέντοι καὶ ἀναγκαῖα πάνυ, ὥστε καὶ συγγραφῆς νομίζεσθαι ἄξια. ὕστερον δὲ ὁ Περσεὺς πολέμιον ἑαυτὸν τοῖς Ῥωμαίοις ἐποίησεν. ἵνα δὲ ἀναβολὴν τοῦ πολέμου σχοίη, μέχρις ἂν παρασκευάσηται, πρέσβεις εἰς τὴν Ῥώμην ἔπεμψεν ἀπολογησομένους τάχα περὶ ὧν ἐνεκαλεῖτο. οὓς οἱ Ῥωμαῖοι οὔτ' εἴσω τοῦ τείχους ἐδέξαντο καὶ πρὸ τοῦ ἄστεος αὐτοῖς χρηματίσαντες οὐδὲν ἀπεκρίναντο ἕτερον ἢ ὅτι ὕπατον πέμψουσι, πρὸς ὃν ὅσα βούλεται διαλεχθήσεται. καὶ αὐθημερὸν αὐτοὺς ἀπιέναι ἐποίησαν δόντες σφίσι καὶ ἀγωγούς, ὥστε μή τινι συγγένωνται· καὶ τῷ Περσεῖ τῆς Ἰταλίας ἐπιβαίνειν τοῦ λοιποῦ ἀπειρήκασιν.

οἱ μὲν οὖν Ῥωμαῖοι μετὰ ταῦτα Γναῖον Σικίνιον στρατηγὸν μετὰ δυνάμεως ὀλίγης ἐξέπεμψαν (οὐ γάρ πω τὴν μείζω παρεσκευάσαντο), καὶ ὁ Περσεὺς εἰς Θεσσαλίαν παρεμβάλλων τά γε πλεῖστα αὐτῆς ᾠκειώσατο· ἐπεὶ δὲ τὸ ἔαρ
a. u. 583 (171) ἐπέστη, πέμπουσιν ἐπ' αὐτὸν Λικίνιον Κράσσον καὶ στρατηγὸν ἐπὶ τοῦ ναυτικοῦ Γάιον Λουκρήτιον. συμμίξας οὖν πρῶτον περὶ Λάρισαν τῷ Περσεῖ ἐν ἱππομαχίᾳ ἔπταισεν· ὕστερον μέντοι περιεγένετο, ὥστε καὶ ἀναχωρῆσαι τὸν Περσέα εἰς τὴν Μακεδονίαν. ὁ Κράσσος δὲ ταῖς πόλεσι ταῖς Ἑλληνικαῖς ταῖς ὑπὸ τοῦ Φιλίππου κατεχομέναις προσέβαλε καὶ τῶν μὲν πλειόνων ἀπεκρούσθη, ἔστι δ' ἃς ἐχειρώσατο· καί τινας κατασκάψας τοὺς ἁλόντας ἀπέδοτο. ἅπερ οἱ ἐν τῇ Ῥώμῃ πυθόμενοι ἠγανάκτησαν καὶ τόν τε Κράσσον ὕστερον ἐζημίωσαν χρήμασι καὶ τὰς ἑαλωκυίας πόλεις ἠλευθέρωσαν καὶ τοὺς πραθέντας ἐξ αὐτῶν καὶ εὑρεθέντας ἐν τῇ Ἰταλίᾳ τότε παρὰ τῶν ἐωνημένων αὐτοὺς ἐξεπρίαντο.

ταῦτα μὲν οὖν οὕτως ἔπραξαν οἱ Ῥωμαῖοι, ἐν δὲ τῷ πρὸς τὸν Περσέα πολέμῳ πολλὰ καὶ μεγάλα ἠτύχησαν, καὶ πολλαχόθι ἐπόνησε τὰ αὐτῶν, καὶ ὁ Περσεὺς τῆς Ἠπείρου καὶ τῆς Θεσσαλίας κατέσχε τὰ πλείονα. τήν τε γὰρ ἄλλην δύναμιν πολλὴν συνεκρότησε καὶ πρὸς τοὺς ἐλέφαντας τῶν Ῥωμαίων φάλαγγα ὁπλιτῶν ἠσκήκει, ὀξέσιν ἥλοις τὰς ἀσπί-



ὅτι ὁ Περσεὺς παντελῶς τοὺς Ῥωμαίους ἐκ τῆς 65
Ἑλλάδος ἐκβαλεῖν ἤλπισεν, τῇ δὲ πολλῇ καὶ ἀκαίρῳ a. u.
φειδωλίᾳ καὶ τῇ δι' αὐτὴν τῶν συμμάχων ὀλιγωρίᾳ 585 (169)
ἀσθενὴς αὖθις ἐγένετο. ἐπειδὴ γάρ τά τε τῶν Ῥωμαίων ὑπεδίδου καὶ τὰ ἐκείνου ἐπηύξετο, κατεφρόνησεν ὡς οὐδὲν ἔτι τῶν συμμάχων δεόμενος, ἀλλ' ἤτοι καὶ προῖκά οἱ αὐτῶν βοηθησόντων ἢ καὶ καθ' ἑαυτὸν

[Zonaras 9, 22 — vol. II, p. 314, 24 sqq.]

δας καὶ τὰ κράνη σιδηρώσας αὐτῶν. ὅπως δὲ μήτε τοῖς ἵπποις φοβεροὶ εἶεν, εἴδωλα ἐλεφάντων σκευάσας δεινὴν μὲν ὑπὸ χρίσματός τινος ὀσμὴν ἔχοντα, φοβερὰ δὲ καὶ ὀφθῆναι καὶ ἀκουσθῆναι ὄντα (βροντώδη γὰρ ἠφίει ἠχήν τινα ἐξ ἐπιτηδεύσεως) πρὸς ἐκεῖνα προσῆγεν αὐτοὺς συνεχῶς, μέχρις οὗ καὶ ἐθάρσησαν. ὁ μὲν οὖν Περσεὺς μέγα ἐκ τούτων ἐκέκτητο φρόνημα καὶ τὸν Ἀλέξανδρον τῇ δόξῃ καὶ τῷ μεγέθει τῆς ἀρχῆς ὑπεροίσειν ἐπήλπισεν, οἱ δ' ἐν τῇ Ῥώμῃ
ταῦτα μαθόντες τὸν Μάρκιον Φίλιππον ὑπατεύοντα σπουδῇ a. u.
ἐξέπεμψαν. καὶ ὃς εἰς τὴν Θεσσαλίαν πρὸς τὸ στρατόπεδον 585 (169)
ἀφικόμενος τούς τε Ῥωμαίους καὶ τοὺς συμμάχους ἐξήσκει, ὥστε δείσαντα τὸν Περσέα ἐν τῷ Δίῳ τῷ Μακεδονικῷ καὶ πρὸς τοῖς Τέμπεσιν ἡσυχίαν ἄγειν καὶ τὰ στενὰ τηρεῖν. θαρσήσας δὲ διὰ ταῦτα ὁ Φίλιππος διὰ μέσων ὀρῶν ὑπερέβαλε καί τινα τοῦ Περσέως κατέσχε. προϊὼν δ' ἐπὶ τῆς Πύδνης τῶν ἐπιτηδείων ἐσπάνισε καὶ εἰς τὴν Θεσσαλίαν ἀνέστρεψε. καὶ αὖθις ὁ Περσεὺς ἀνεθάρσησε καὶ ἃ κατέσχεν ὁ Φίλιππος ἀνεκτήσατο καὶ τῷ ναυτικῷ συχνὰ τοὺς Ῥωμαί-
ους ἐλύπει, συμμάχους τε προσηγάγετο καὶ πάντῃ τοὺς fr 65,1
Ῥωμαίους ἐκ τῆς Ἑλλάδος ἤλπισεν ἐκβαλεῖν. τῇ δὲ πολλῇ καὶ ἀκαίρῳ φειδωλίᾳ καὶ τῇ δι' αὐτὴν τῶν συμμάχων ὀλιγωρίᾳ ἀσθενὴς αὖθις ἐγένετο. ὡς γὰρ τὰ τῶν Ῥωμαίων ὑπεδίδου, τὰ δ' ἐκείνου ἐπηύξετο, κατεφρόνησεν ὡς οὐδὲν ἔτι τῶν συμμάχων δεόμενος, καὶ οὐκ ἐδίδου χρήματα σφίσιν, ἃ ἐπηγγείλατο.

65, 1, 5 ἐκείνου St e Zonara, ἐκείνων L ‖ 6 συμμάχων Zonaras, συμμαχικῶν L

κρατήσων· καὶ οὔτε τῷ Εὐμένει οὔτε τῷ Γεντίῳ τὰ χρήματα, ἃ ὑπέσχητο, ἀπέδωκε νομίσας οἰκείαν αὐτοὺς αἰτίαν ἔχθρας πρὸς Ῥωμαίους ἔχειν. τούτων τε οὖν καὶ τῶν Θρᾳκῶν (οὐδὲ γὰρ οὐδ' ἐκεῖνοι ἐντελῆ τὸν μισθὸν ἐλάμβανον) ἀπροθύμως γενομένων ἐς τοσοῦτο αὖθις ἀπογνώσεως ἀφίκετο, ὥστε καὶ σπονδῶν δεηθῆναι. V p. 610. Zonar. 9, 22 (vol. II, p. 315, 14—23).

2 ὅτι ὁ Περσεὺς σπονδῶν ἐδεήθη παρὰ Ῥωμαίων κἂν ἔτυχεν αὐτῶν, εἰ μὴ οἱ Ῥόδιοι συνεπρέσβευσαν αὐτῷ δέει τοῦ μὴ τοῖς Ῥωμαίοις τὸν ἀντίπαλον ὑπεξαιρεθῆναι. μέτριον μὲν γὰρ οὐδέν, οἷα δεομένους εἰκὸς ἦν εἰπεῖν, ἔλεξαν καὶ τῆς εἰρήνης οὐκ αἰτηταὶ μᾶλλον τῷ Περσεῖ ἢ δόται ὄντες ἄλλα τε πολλὰ ὑπερήφανα διελέχθησαν καὶ τέλος ἠπείλησαν τοῖς αἰτίοις τοῦ μὴ συμβῆναι σφᾶς γενομένοις μετὰ τῶν ἑτέρων πολεμήσειν. κἀκ τούτου οὐδὲ τὸ πρὶν ἀνύποπτοι τοῖς Ῥωμαίοις ὄντες μᾶλλον διεβλήθησαν καὶ τὸν Περσέα τῶν σπονδῶν τυχεῖν ἐκώλυσαν. U p. 382. Zonaras 9, 22 (vol. II, p. 315, 23—26).

[Zonaras 9, 22 sq. — vol. II, p. 315, 20 sqq.]

τῶν μὲν οὖν ἀμβλυνθέντων τὸ πρόθυμον, τῶν δὲ
καὶ τέλεον αὐτὸν ἐκλιπόντων τοσοῦτον ἀπέγνω,
fr. 65, 2 ὥστε καὶ σπονδῶν δεηθῆναι. καὶ κἂν ἔτυχε τούτων
διὰ τοῦ Εὐμένους, εἰ μὴ καὶ Ῥόδιοι συνεπρέσβευσαν· ὑπερηφάνως γὰρ οὗτοι τοῖς Ῥωμαίοις διαλεχθέντες τυχεῖν αὐτὸν ἐκώλυσαν τῶν σπονδῶν.

a. u. 586 (168) 23. ἐντεῦθεν ὁ κατ' αὐτοῦ πόλεμος Παύλῳ ἀνετέθη τῷ
Αἰμιλίῳ τὸ δεύτερον ὑπατεύοντι. ὃς σπουδῇ κομισθεὶς εἰς τὴν Θεσσαλίαν καὶ τὰ τῶν στρατιωτῶν προκαταστησάμενος βιασάμενος διὰ τῶν Τεμπῶν (ὀλίγοι γὰρ ἐφρούρουν αὐτὰ)

---

1, 9 ὑπέσχητο B, ὑπέσχετο L ‖ 11 ἐκεῖνοι V, ἐκείνων L ‖ 2, 1 Ῥωμαίων Gros, Ῥωμαίοις L



[Zonaras 9, 23 — vol. II, p. 316, 2 sqq.]

ἐπὶ τὸν Περσέα ὥρμησεν. ἐπεὶ δ' ἐκεῖνος τὸν Ἔλπιον ποταμὸν προσαπέφραξεν ὄντα ἐν μέσῳ, προκαταλαβὼν δὲ καὶ πᾶν τὸ μεταξὺ τοῦ τε Ὀλύμπου καὶ τῆς θαλάσσης αἱμασιαῖς καὶ σταυρώμασι καὶ οἰκοδομήμασιν ἄπορον ἀπειργάσατο, ἐθάρρει δὲ καὶ τῇ ἀνυδρίᾳ τοῦ τόπου, ἐπείρασε μὲν καὶ οὕτως ὁ ὕπατος διελθεῖν καὶ τῆς ἀνυδρίας ἐπορίσατο ἐπικούρημα. διαμησάμενος γὰρ τὴν ἐν τῇ ὑπωρείᾳ τοῦ Ὀλύμπου ἄμμον ὕδωρ εὗρε δαψιλές τε καὶ πότιμον. κἂν τούτῳ τῶν Ῥοδίων πρέσβεις ἀφίκοντο πρὸς αὐτὸν ἀπὸ τῆς αὐτῆς θρασύτητος, ἀφ' ἧς καὶ ἐς τὴν Ῥώμην πρὶν ἐπρεσβεύσαντο. ὁ δὲ οὐδὲν εἰπὼν πλέον αὐτοῖς ἢ ὅτι μετ' ὀλίγας ἡμέρας ἀπόκρισιν δώσει, ἀπέπεμψεν αὐτούς. ὡς δὲ προσβάλλων οὐδὲν ἐπέραινεν, ἔμαθε δὲ τὰ ὄρη ὄντα που πορεύσιμα, μέρος τι τοῦ στρατοῦ ἐπὶ τὴν δυσπροσοδωτέραν αὐτῶν ὑπερβολὴν ἔπεμψε καταληψόμενον τὰ ταύτῃ ἐπίκαιρα (διὰ γὰρ τὸ δυσπρόσιτον καὶ ἐλαχίστην εἶχε φρουράν), αὐτὸς δὲ τῷ λοιπῷ τοῦ στρατεύματος προσέμιξε τῷ Περσεῖ, ἵνα μή τι ὑποτοπήσας φυλακὴν τῶν ὀρῶν ἀκριβεστέραν ποιήσαιτο. καὶ μετὰ τοῦτο καταληφθέντων τῶν ἄκρων νυκτὸς πρὸς τὰ ὄρη ὥρμησε καὶ πῇ μὲν λαθών, πῇ δὲ βιασάμενος ὑπερέβαλεν αὐτά. ὃ μαθὼν ὁ Περσεὺς καὶ δείσας, μὴ κατὰ νώτου αὐτῷ προσπέσῃ ἢ καὶ τὴν Πύδναν προκατάσχῃ (καὶ γὰρ τὸ ναυτικὸν ἅμα τὸ τῶν Ῥωμαίων παρέπλει), τό τε ἔρυμα τὸ πρὸς τῷ ποταμῷ ἐξέλιπε καὶ πρὸς τὴν Πύδναν ἐπειχθεὶς πρὸ τῆς πόλεως ἐστρατοπεδεύσατο. καὶ ἦλθε μὲν καὶ ὁ Παῦλος ἐκεῖ, οὐ μέντοι καὶ παραχρῆμα προσέμιξαν, ἀλλὰ καὶ διέτριψαν οὐκ ὀλίγας ἡμέρας. προμαθὼν δὲ ὁ Παῦλος, ὡς ἡ σελήνη ἐκλείψειν μέλλει, συνηθροίκει πρὸς ἑσπέραν τὸ στράτευμα, ὅτε τὴν ἔκλειψιν γενέσθαι ἐχρῆν, καὶ προεῖπε τὸ συμβησόμενον καὶ μή τι διὰ τοῦτο ταραχθῆναι παρῄνεσεν. οἱ μὲν οὖν Ῥωμαῖοι τὴν ἔκλειψιν θεασάμενοι οὐδὲν κακὸν ἐξ αὐτῆς ὑπετόπησαν, οἱ δέ γε Μακεδόνες δέος ἔσχον ἐκ τούτου καὶ ἐς τὸν Περσέα τὸ τέρας τείνειν ἐνόμισαν. οὕτω δ' ἑκατέρων ἐχόντων συμβάν τι κατὰ τύχην τῇ ὑστεραίᾳ συνέρρηξεν αὐτοὺς εἰς μάχην ἀκήρυκτον καὶ τέλος τῷ πολέμῳ ἐπέθηκεν. ἐπεὶ γὰρ ὑπο-

3 ὅτι ὁ *Περσεὺς ἐν Σαμοθρᾴκῃ ὢν ἐν τῷ ἱερῷ καὶ*
a. u. *ἐξαιτηθεὶς Εὔανδρόν τινα, γένος μὲν Κρῆτα, πιστό-*
586 (168) *τατον δὲ ὄντα καὶ ἄλλα τε πολλὰ ἑαυτῷ κατὰ τῶν Ῥωμαίων ὑπουργηκότα καὶ τὴν τοῦ Εὐμένους ἐπιβου-*

[Zonaras 9, 23 — vol. II, p. 317, 11 sqq.]

ζύγιόν τι τῶν Ῥωμαίων εἰς τὸ ὕδωρ εἰσέπεσεν, ἐξ οὗπερ ὑδρεύοντο, καὶ οἵ τε Μακεδόνες αὐτοῦ ἐπελάβοντο καὶ οἱ ὑδροφόροι ἀντείχοντο, τὸ μὲν πρῶτον οὗτοι καθ' ἑαυτοὺς ἐμαχέσαντο, ἔπειτα καὶ οἱ λοιποὶ ἐπικουροῦντες τοῖς οἰκείοις κατ' ὀλίγους ἐκ τῶν στρατοπέδων ἐξῄεσαν, καὶ πάντες συνέμιξαν ἀπ' ἀμφοῖν. καὶ μάχης ἀσυντάκτου μέν, ὀξείας δὲ γενομένης οἱ Ῥωμαῖοι ἐκράτησαν καὶ καταδιώξαντες τοὺς Μακεδόνας μέχρι τῆς θαλάσσης πολλοὺς μὲν αὐτοὶ ἐφόνευσαν, πολλοὺς δὲ τῷ ναυτικῷ προσπλεύσαντι ἀποκτεῖναι παρέδοσαν. οὐδ' ἄν τις ὑπελείφθη αὐτῶν, εἰ μὴ νὺξ αὐτοῖς ἐβοήθησε· περὶ δείλην γὰρ ὀψίαν ἡ μάχη ἐγένετο.

διαφυγὼν οὖν εἰς Ἀμφίπολιν ὁ Περσεὺς ὡς τούς τε περιλιπεῖς ἀναληψόμενος καὶ συστήσων αὖθις τὰ πράγματα, ἐπεὶ οὔτ' ἦλθόν τινες πρὸς αὐτὸν πλὴν μισθοφόρων Κρητῶν καὶ τὴν Πύδναν ἄλλας τε πόλεις τὰ τῶν Ῥωμαίων ᾑρῆσθαι ἔμαθε, κἀκεῖθεν μετέστη καὶ εἰς πλοῖα τὰ χρήματα ὅσα ἐπήγετο θέμενος νυκτὸς ἐς Σαμοθρᾴκην ἀπέπλευσε. καὶ πυθόμενος οὐ πολλῷ ὕστερον τὸν Ὀκταούιον, ὃς τοῦ ναυτικοῦ προΐστατο, προσπλέοντα καὶ τὸν Παῦλον ἐς Ἀμφίπολιν παρόντα, ἐπέστειλεν αὐτῷ συμβῆναι δεόμενος. καὶ ἐπεὶ βασιλέα ἑαυτὸν ἐν τῇ ἐπιστολῇ ὠνόμασεν, οὐδ' ἀποκρίσεως ἔτυχεν. ὕστερον δὲ ἄνευ τινὸς τοιαύτης προσρήσεως ἐπιστείλαντος προσεδέξατο μὲν τὸν ὑπὲρ τῶν σπονδῶν λόγον, οὐκ ἄλλως μέντοι συμβήσεσθαι ἔφη, εἰ μὴ καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ πάντα τοῖς Ῥωμαίοις ἐπιτρέψειε. καὶ διὰ ταῦτα
fr. 65,3 οὐ συνέβησαν. μετὰ τοῦτο δὲ ἐξαιτηθεὶς παρὰ τῶν Ῥωμαίων Εὔανδρόν τινα Κρῆτα πολλὰ κατ' αὐτῶν ὑπουργηκότα καὶ πιστότατον αὐτῷ οὐκ ἐξέδωκε μὲν φοβηθείς, μὴ κατείπῃ, ὅσα αὐτῷ συνῄδει, λά-

3, 3 δὲ V, τε L



*λὴν τὴν ἐν τοῖς Δελφοῖς γενομένην συνεσκευακότα, οὐκ ἐξέδωκε⟨μὲν⟩ φοβηθείς, μὴ κατείπῃ, ὅσα αὐτῷ συνῄδει, λάθρᾳ δὲ ἀποκτείνας διέδωκε λόγον, ὅτι ἑαυτὸν προαπεχρήσατο. οἱ δὲ συνόντες οἱ φοβηθέντες τὴν ἀπιστίαν αὐτοῦ καὶ τὴν μιαιφονίαν μεθίστασθαι ἤρξαντο.* V p. 610. Zonaras 9, 23 (vol. II, p. 318, 8—15).

*ὅτι ὁ Περσεὺς ἐθελοντὴς εὑρέθη, καὶ αὐτὸν ἐς τὴν* 4
*Ἀμφίπολιν ἀχθέντα ὁ Παῦλος οὐδὲν οὔτε ἔργῳ οὔτε λόγῳ δεινὸν ἔδρασεν, ἀλλὰ καὶ προσιόντι οἱ ὑπαναστὰς τά τε ἄλλα ἐδεξιώσατο καὶ ὁμόσιτον ἐποιήσατο ἔν τε φυλακῇ ἀδέσμῳ καὶ ἐν θεραπείᾳ πολλῇ ἦγε.* V p. 613. Zonaras 9, 23 (vol. II. p. 318, 23—26).

[Zonaras 9, 23 sq. — vol. II, p. 318, 12 sqq.]

θρᾳ δὲ αὐτὸν ἀποκτείνας ἑαυτὸν διαχειρίσασθαι ἐφήμισε. τότε μὲν οὖν οἱ συνόντες αὐτῷ φοβηθέντες τὴν ἀπιστίαν αὐτοῦ (οὐ γὰρ ἠγνόησαν τὸ γενόμενον) μεθίστασθαι ἤρξαντο. κἀκεῖνος δείσας, μὴ τοῖς Ῥωμαίοις παραδοθῇ, ἐκδρᾶναι νυκτὸς ἐπεχείρησε. καὶ ἔλαθεν ἂν πρὸς Κότυν Θρᾷκα δυνάστην κομισθείς, εἰ μὴ οἱ Κρῆτες αὐτὸν ἐγκατέλιπον· ἐνθέμενοι γὰρ τὰ χρήματα εἰς τὰ πλοῖα οἴκαδε ἀπῆραν. ὁ δὲ ἡμέρας μέν τινας αὐτοῦ μετὰ Φιλίππου ἑνὸς τῶν υἱέων κρυπτόμενος ἔλαθεν, ἐπεὶ δὲ τοὺς ἄλλους παῖδας καὶ τὴν θεραπείαν ἔγνω κατεσχηκότα
τὸν Ὀκταούιον, εὑρέθη ἐθελοντής. καὶ ἀχθέντα εἰς fr. 65, 4
τὴν Ἀμφίπολιν οὐδὲν ὁ Παῦλος ἐκάκωσεν, ἀλλὰ καὶ ἐδεξιώσατο καὶ ὁμόσιτον ἐποιήσατο καὶ ἐν ἀδέσμῳ φυλακῇ ἐτήρει καὶ ἐν θεραπείᾳ ἦγε. μετὰ δὲ ταῦτα εἰς τὴν Ἰταλίαν διὰ τῆς Ἠπείρου ἀνεκομίσθη.

24. κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λούκιος Ἀνίκιος στρατηγὸς πεμφθεὶς ἐπὶ τὸν Γέντιον τούς προσμίξαντάς τε

3, 5 *Δελφοῖς* V, *ἀδελφοῖς* L ‖ 6 ⟨*μὲν*⟩ insertum e Zonara ‖ 7 *διέδωκε* V, *δέδωκε* L ‖ 4, 1 *εὑρέθη*] *ᾑρέθη*? B ‖ 5 *ἦγε*] *εἶχε* Naber

66 ὅτι ὁ *Παῦλος* οὐ στρατηγῆσαι μόνον ἦν ἀγαθός,
ἀλλὰ καὶ χρημάτων ἀδωρότατος. τεκμήριον δέ· δεύ-
τερον τότε ὑπατεύσας καὶ λαφύρων ἀμυθήτων κρατή-
σας ἐν τοσαύτῃ πενίᾳ διεβίω, ὥστε χαλεπῶς τῇ γυναικὶ

[Zonaras 9, 24 — vol. II, p. 319, 13 sqq.]

αὐτῷ ἐνίκησε καὶ τὸν *Γέντιον* φυγόντα ἐπιδιώξας ἐς *Σκό-*
*δραν* κατέκλεισεν, ὅπου ἦν αὐτῷ τὰ βασίλεια. καὶ διακενῆς
ἂν προσήδρευεν αὐτῇ (ἐπὶ γὰρ ἀκρωνυχίας ὄρους πεπόλισται
καὶ φάραγξι βαθείαις ποταμοὺς ῥοώδεις ἐχούσαις περιειλεῖ-
ται τείχει τε ὀχυρῷ περιέζωσται), εἰ μὴ ὁ *Γέντιος* μέγα ἐπὶ
τῇ δυνάμει ἐλπίσας ἑκὼν εἰς μάχην ἐχώρησε. κἀκ τούτου
τήν τε ἀρχὴν αὐτοῦ πᾶσαν ὁ *Ἀνίκιος* προσηγάγετο καὶ μέχρι
τῆς *Ἠπείρου* προελθών, πρὶν τὸν *Παῦλον* ἐλθεῖν, κἀκείνην
ταραττομένην ἡμέρωσεν.
οἱ δ' ἐν τῇ *Ῥώμῃ* ἔμαθον μὲν τὴν τοῦ *Παύλου* νίκην
τετάρτῃ μετὰ τὴν μάχην ἡμέρᾳ ἔκ τινος φήμης, οὐ μέντοι
καὶ ἀκριβῶς ἐπίστευον. εἶτα γραμμάτων ὑπὲρ ταύτης κομι-
σθέντων τοῦ *Παύλου* ὑπερήσθησαν καὶ οὐχ ὡς τὸν *Περ-*
*σέα* νενικηκότες καὶ τὴν *Μακεδονίαν* κτησάμενοι, ἀλλ' ὡς
τὸν *Φίλιππον* ἐκεῖνον τὸν πάνυ καὶ αὐτὸν τὸν *Ἀλέξανδρον*
μετὰ πάσης τῆς ἀρχῆς ἐκείνης, ἣν ἔσχηκε, νικήσαντες ἐσε-
μνύνοντο. ἐλθόντι δ' ἐς *Ῥώμην* τῷ *Παύλῳ* πολλὰ ἐψηφί-
σθη, καὶ ἡ πομπὴ τῶν νικητηρίων αὐτῷ λαμπροτάτη ἐγέ-
νετο. ἔπεμψε μὲν γὰρ καὶ τἆλλα ὅσα ἑαλώκει πάντα, ἔπεμψε
δὲ καὶ *Βίθυν* τὸν τοῦ *Κότυος* υἱόν, τόν τε *Περσέα* καὶ τὴν
γυναῖκα αὐτοῦ τούς τε παῖδας τρεῖς ὄντας ἐν τῷ τῶν αἰχ-
μαλώτων σχήματι. δείσας δὲ διὰ τὴν τῆς εὐτυχίας ὑπερ-
βολήν, μή τι νεμεσήσῃ αὐτοῖς τὸ δαιμόνιον, ηὔξατο καὶ οὗτος
κατὰ τὸν *Κάμιλλον* μή τι κακὸν τῇ πόλει ἐκ τούτων, ἀλλ'
ἑαυτῷ, εἴ τι δέοι, γενήσεσθαι· καὶ δύο υἱεῖς, τὸν μὲν πρὸ
τοῦ θριάμβου μικρόν, τὸν δὲ ἐν αὐτῇ τῇ τῶν ἐπινικίων
fr. 66, 1 ἀπέβαλεν ἑορτῇ. ἦν δὲ οὐ στρατηγῆσαι μόνον ἀγα-
θός, ἀλλὰ καὶ ὑπερόπτης χρημάτων. τεκμήριον δέ·
δεύτερον τότε ὑπατεύσας καὶ λαφύρων ἀμυθήτων
κρατήσας ἐν τοσαύτῃ πενίᾳ διεβίω, ὥστε χαλεπῶς



αὐτοῦ τὴν προῖκα τελευτήσαντος ἀποδοθῆναι. τοιοῦ-
τος μὲν οὖν ἦν καὶ τοιαῦτα ἔπραξεν. τοῦτο δὲ μόνον 2
ὥσπερ τινὰ κηλῖδα [ἐν] τῷ τούτου βίῳ προστετρῖφθαι
νομίζουσι, τὸ διαρπάσαι τοῖς στρατιώταις τὰ χρήματα
⟨ἐπιτρέψαι⟩, τἆλλα οὐκ ἄμοιρον χαρίτων ἄνδρα γενό-
μενον καὶ μέτριον μὲν ἐν ταῖς εὐπραγίαις, εὐτυχέστα-
τον δὲ ἅμα καὶ εὐβουλότατον ἐν τοῖς πολεμίοις ὀφθέντα.
μαρτύριον δὲ τὸ μήτε πρὸς τὸν *Περσέα* ὑπέρογκον
καὶ ἀλαζόνα δειχθῆναι μήτε τὸν πρὸς αὐτὸν πόλεμον
κακῶς καὶ ἀπροβούλως ἀγωνίσασθαι. V p. 613. Zo-
naras 9, 24 (vol. II, p. 320, 12—17).
ὅτι οἱ *Ῥόδιοι* φρόνημα πολὺ πρότερον ἔχοντες ὡς 67
καὶ αὐτοὶ τόν τε *Φίλιππον* καὶ τὸν *Ἀντίοχον* νενικη-
κότες τῶν τε *Ῥωμαίων* κρείττους ὄντες ἐς τοσοῦτον

[Zonaras 9, 24 — vol. II, p. 320, 16 sqq.]

τῇ γυναικὶ αὐτοῦ τὴν προῖκα τελευτήσαντος ἀπο-
δοθῆναι.
τῶν δ' ἁλόντων τῷ πατρὶ μὲν ὁ *Βίθυς* προῖκα ἐδόθη,
*Περσεὺς* δὲ εἰς *Ἄλβαν* σὺν τοῖς παισὶ καὶ τῇ θεραπείᾳ
κατετέθη· κἀκεῖ ἕως μὲν ἤλπιζε τὴν βασιλείαν κομίσασθαι
ἀντεῖχεν, ἐπεὶ δ' ἀπέγνω, ἑαυτὸν διεχειρίσατο. καὶ ὁ *Φίλιπ-*
*πος* ὁ υἱὸς αὐτοῦ ἥ τε θυγάτηρ αὐτοῦ οὐκ εἰς μακρὰν
ἀπέθανον· μόνος δ' ὁ νεώτατος τοῖς τῶν *Ἀλβανῶν* ἄρχου-
σιν ὑπογραμματεύων ἐπί τινα χρόνον διήρκεσεν. οὕτως ὁ
*Περσεὺς* ὁ δι' εἴκοσι βασιλέων αὐχῶν γεγονέναι καὶ πολὺν
μὲν τὸν *Φίλιππον*, πλείω δὲ θρυλῶν τὸν *Ἀλέξανδρον* καὶ
τὴν βασιλείαν ἀπώλεσε καὶ αἰχμάλωτος γέγονε καὶ ἐν τοῖς
ἐπινικίοις ἐπόμπευσε δεσμὰ μετὰ τοῦ διαδήματος περικεί-
μενος.
οἱ δέ γε *Ῥόδιοι* μετὰ φρονήματος πρῴην τοῖς fr. 67, 1
*Ῥωμαίοις* προσφερόμενοι τότε μὴ μνησικακεῖν αὐ-

---

66, 2, 2 [ἐν] del. Reiske ‖ 4 ⟨ἐπιτρέψαι⟩ inseruit V ‖ 67, 1, 1 ἔχοντες scripsi e Suidas s. v. φρόνημα, σχόντες L

δέους ἀφίκοντο, ὥστε καὶ πρεσβευτὴν πρὸς Ἀντίοχον
τὸν τῆς Συρίας βασιλέα σταλέντα Ποπίλιον μεταπέμ-
ψασθαι καὶ παρόντος αὐτοῦ καταψηφίσασθαι πάντων
τῶν τἀναντία τοῖς Ῥωμαίοις φρονησάντων τούς τε
συλληφθέντας αὐτῶν ἐπὶ τιμωρίαν πέμψαι. U p. 382.
Zonaras 9, 24 (vol. II, p. 321, 1).
2 ὅτι οἱ αὐτοὶ πρεσβευσάμενοι πρὸς αὐτοὺς πολλά-
κις, ὥς που καὶ ἐδέοντό τινος, οὐδὲν ἔτ' αὐτοῖς προσ-
έφερον ὧνπερ καὶ πρότερον, ἀλλ' ὅσα ἐς τὸ παραιτή-
σασθαι μὴ μνησικακεῖν σφισιν αὐτοὺς χρήσιμα ἐξ ὧν
ὑπούργησάν ποτε αὐτοῖς λαβεῖν ἠδύναντο, μόνα ἔλε-
3 γον καὶ τήν γε πρόσρησιν τῆς συμμαχίας τῆς πρὸς
αὐτοὺς μὴ προσδεχόμενοι πρόσθεν, ἵνα καὶ ὡς μετα-
τάξασθαί ποτε ἀπ' αὐτῶν ἐκ τοῦ μηδεμίαν ἔνορκον
ἀνάγκην φιλίας ἔχειν δυνάμενοι φοβεροί τε αὐτοῖς
ὦσι καὶ πρὸς τῶν ἀεὶ πολεμούντων σφίσιν ἐπιθερα-
πεύωνται, τότε καὶ πάνυ προσθέσθαι ἐσπούδαζον, τήν
τε παρὰ τῶν Ῥωμαίων εὔνοιαν ἅμα βεβαιούμενοι καὶ
τιμὴν ἐκ τούτου καὶ παρὰ τῶν ἄλλων θηρώμενοι. U
p. 382. Zonaras 9, 24 (vol. II, p. 321, 2—5).
68 ὅτι ὁ Προυσίας αὐτὸς ἔς τε τὴν Ῥώμην καὶ ἐς τὸ
βουλευτήριον ἐσελθὼν τόν τε οὐδὸν αὐτοῦ κατεφίλησε

[Zonaras 9, 24 — vol. II, p. 321, 2 sqq.]

fr. 67, 2. 3 τοῖς ἠξίουν καὶ σύμμαχοι πρόσθεν αὐτῶν καλεῖ-
σθαι μὴ προσδεχόμενοι, τότε καὶ πάνυ τούτου τυ-
χεῖν ἐσπούδαζον· καὶ ἔτυχον τῆς σπουδῆς, ἀλλ' ὀψέ. καὶ
τοῖς Κρησὶν ὠργίζοντο μὲν οἱ Ῥωμαῖοι, ἱκετείαις δὲ χρωμέ-
fr. 68 νοις πολλαῖς ἀφῆκάν ποτε τὴν ὀργήν. καὶ ὁ Προυσίας
δὲ καὶ ὁ Εὐμένης, ὁ μὲν δι' ἑαυτοῦ εἰς τὴν πόλιν

1, 5 Ποπίλιον R, πόπλιον L ‖ 2, 3 ὧνπερ B, ὥσπερ L ‖
3, 2 προσδεχόμενοι] προσδεξάμενοι Reiske ‖ 5 ἐπιθεραπεύωνται]
ἐκθεραπεύωνται Reiske ‖ 68, 1 αὐτὸς ἔς τε B, αὐτός τε ἐς L



καὶ τοὺς βουλευτὰς θεοὺς ἐπωνόμασε καὶ προσεκύνη-
σεν. ἐξ οὗπερ καὶ ἠλεήθη ὅτι μάλιστα καίτοι καὶ τῷ
Ἀττάλῳ παρὰ τὴν τῶν Ῥωμαίων γνώμην πολεμήσας.
ἐλέγετο γὰρ καὶ οἴκοι τοὺς πρέσβεις αὐτῶν, ὁσάκις
ἀφίκοιντό τινες, προσκυνεῖν ἀπελεύθερόν τε ἑαυτὸν
τοῦ δήμου ἐπεκάλει καὶ πιλίον πολλάκις ἐπετίθετο.
U p. 383. Zonaras 9, 24 (vol. II, p. 321, 8—11).

[Zonaras 9, 24 sq. — vol. II, p. 321, 9 sqq.]

ἐλθὼν καὶ εἰς τὸ βουλευτήριον εἰσελθὼν καὶ τὸν
οὐδὸν φιλήσας καὶ προσκυνήσας τοὺς βουλευτὰς
ἠλεήθη τε καὶ ἠθῷωτο, Εὐμένης δὲ δι' Ἀττάλου τοῦ
ἀδελφοῦ τὸ μή τι μνησικακεῖν αὐτῷ εἴληφε.

τότε δὲ καὶ τὰ τῆς Καππαδοκίας οὕτω διῳκήθη. Ἀρια-
ράθης ὁ ταύτης κρατῶν παῖδα γνήσιον ἔσχεν Ἀριαράθην.
πρὶν δ' ἐσχηκέναι αὐτόν, ἐπεὶ πολὺν χρόνον ἡ γυνὴ αὐτοῦ
οὐκ ἐκύισκε, παῖδα προσεποιήσατο Ὀροφέρνην καλέσασα.
γεννηθέντος δ' ἔπειτα τοῦ γνησίου φωραθεὶς ἐκεῖνος ἐξηλάθη.
ὃς μετὰ τὸν Ἀριαράθου θάνατον τῷ ἀδελφῷ δῆθεν ἐπανέστη.
καὶ συνεμάχουν Ἀριαράθῃ μὲν Εὐμένης, Ὀροφέρνῃ δὲ Δη-
μήτριος ὁ τῶν Σύρων βασιλεύς. ἐλαττωθεὶς δὲ Ἀριαράθης
πρὸς τοὺς Ῥωμαίους κατέφυγε καὶ κοινωνὸς τῷ Ὀροφέρνῃ
τῆς βασιλείας ὑπ' αὐτῶν ἀποδέδεικτο. ὅτι δὲ ὁ Ἀριαράθης
τοῖς Ῥωμαίοις φίλος καὶ σύμμαχος προσηγόρευτο, πᾶσαν
ἐκεῖνος τὴν ἀρχὴν ἐκ τούτου προσῳκειώσατο. καὶ ὁ Ἄτταλος
δὲ τὸν Εὐμένη θανόντα διαδεξάμενος τόν τε Ὀροφέρνην
καὶ τὸν Δημήτριον παντελῶς ἐκ τῆς Καππαδοκίας ἀπήλασεν.

25. ὁ δὲ τῆς Αἰγύπτου κρατῶν Πτολεμαῖος ἐπὶ δυσὶν
υἱέσι καὶ μιᾷ ἐξέλιπε θυγατρί. ὡς δὲ πρὸς ἀλλήλους οἱ
ἀδελφοὶ περὶ τῆς ἀρχῆς ἐστασίασαν, Ἀντίοχος ὁ τοῦ Ἀντιό-
χου τοῦ μεγάλου υἱὸς τὸν νεώτατον ἐκπεσόντα ἐδέξατο, ἵνα
προφάσει τοῦ αὐτῷ ἀμύνειν εἰς τὰ τῶν Αἰγυπτίων παρέλθοι.
καὶ στρατεύσας ἐπὶ τὴν Αἴγυπτον τῆς τε πλείονος χώρας
ἐκράτησε καὶ ἐπολιόρκει τὴν Ἀλεξάνδρειαν. καταφυγόντων

8 πιλίον U, πο πίλιον (sic) L, πίλεον R, πῖλον Gros

[Zonaras 9, 25 — vol. II, p. 322, 8 sqq.]

a. u. 586 (168) δὲ τῶν ἄλλων πρὸς τοὺς Ῥωμαίους πεμφθεὶς πρὸς τὸν
Ἀντίοχον ὁ Ποπίλιος ἀποσχέσθαι αὐτὸν τῆς Αἰγύπτου ἐκέ-
λευσεν· οἱ γὰρ ἀδελφοὶ συνέντες τὴν τοῦ Ἀντιόχου διάνοιαν
κατηλλάγησαν. ὡς δ' ἐκεῖνος ὑπερέθετο τὴν ἀπόκρισιν, κύ-
κλον ῥάβδῳ πέριξ αὐτοῦ περιέγραψε κἀνταῦθα αὐτὸν ἑστη-
κότα ἀπῄτησε βουλεύσασθαί τε καὶ ἀποκρίνασθαι. ἐντεῦθεν
δείσας ὁ Ἀντίοχος τὴν πολιορκίαν κατέλυσεν. ἀπαλλαγέντες
δὲ τοῦ ἔξωθεν φόβου οἱ Πτολεμαῖοι (οὕτω γὰρ ἐκαλοῦντο
ἀμφότεροι) αὖθις ἐστασίασαν. εἶτα συνηλλάγησαν αὖθις ὑπὸ
τῶν Ῥωμαίων ἐφ' ᾧ τὸν μὲν πρεσβύτερον τὴν Αἴγυπτον καὶ
τὴν Κύπρον, τὰ δὲ περὶ τὴν Κυρήνην ἔχειν τὸν ἕτερον· καὶ
ταῦτα γὰρ τότε τῶν Αἰγυπτίων ἦν. ἀγανακτῶν δ' ὁ νεώτερος
διὰ τὴν ἐλάττωσιν ἐς τὴν Ῥώμην ἀφίκετο· καὶ εὕρατο παρ'
αὐτῶν καὶ τὴν Κύπρον. ὁ δὲ πρεσβύτερος συμβάσεις ἔθετο
αὖθις πρὸς τὸν νεώτερον πόλεις τέ τινας ἀντὶ τῆς Κύπρου
δοὺς καὶ χρήματα καὶ σῖτον ταξάμενος συντελεῖν.

a. u. τοῦ δ' Ἀντιόχου τελευτῶντος μετὰ τοῦτο καὶ παιδὶ ὁμω-
590 (164) νύμῳ τὴν βασιλείαν καταλιπόντος ταύτην τε αὐτῷ ἐβεβαί-
ωσαν καὶ τρεῖς ἄνδρας ἐπιτρόπους δῆθεν (μικρὸς γὰρ ἦν)
ἔπεμψαν. οἳ παρὰ τὰς συνθήκας εὑρόντες ἐλέφαντας καὶ
τριήρεις τούς τε ἐλέφαντας σφαγῆναι πάντας ἐκέλευσαν καὶ
τἆλλα πρὸς τὸ τῇ Ῥώμῃ συμφέρον διῴκουν. δι' ἅπερ Λυ-
σίας ὁ τοῦ βασιλέως τὴν κηδεμονίαν ἐγκεχειρισμένος παρώ-
ξυνε τὸ πλῆθος ἐκβαλεῖν τοὺς Ῥωμαίους, τὸν δὲ Γάιον τὸν
Ὀκτάβιον καὶ ἀποκτεῖναι. καὶ τούτων γενομένων ὁ μὲν
πρέσβεις εὐθὺς εἰς τὴν Ῥώμην ἀπέστειλεν ὑπὲρ τῶν πε-
πραγμένων ἀπολογούμενος, Δημήτριος δὲ ὁ Σελεύκου υἱὸς
τοῦ παιδὸς Ἀντιόχου ὁμηρεύων ἐν τῇ Ῥώμῃ κατὰ τὸν τοῦ
πατρὸς θάνατον καὶ ὑπὸ Ἀντιόχου τοῦ θείου τῆς βασιλείας
ἐστερημένος, ὡς τὸν τοῦ Ἀντιόχου θάνατον ἔγνω, ᾔτει μὲν
τὴν πατρῴαν ἀρχήν, οἱ δὲ οὔτε ταύτην αὐτῷ συνέπραξαν
οὔτ' ἀπᾶραι τῆς Ῥώμης ἐπέτρεψαν. καὶ ὃς καὶ δυσχεραίνων
ὅμως ἡσύχαζεν. ἐπεὶ δὲ τὰ κατὰ τὸν Λυσίαν ἐγένετο, οὐκέτ'
ἐμέλλησεν, ἀλλ' ἀπέδρα· καὶ ἐκ Λυκίας τῇ γερουσίᾳ ἐπέστειλε
μὴ ἐπὶ τὸν ἀνεψιὸν τὸν Ἀντίοχον (οὕτω γὰρ οἱ πάλαι τοὺς
ἐξαδέλφους ἐκάλουν), ἀλλ' ἐπὶ τὸν Λυσίαν τὴν ὁρμὴν ἔχειν,



[Zonaras 9, 25 sq. — vol. II, p. 323, 18 sqq.]

ὥστε τῷ Ὀκταβίῳ τιμωρήσειν. ἐς Τρίπολιν δὲ τῆς Συρίας
ἐπειχθεὶς καὶ ταύτην προσαγαγόμενος ὡς ὑπὸ τῶν Ῥωμαίων
ἐπὶ τὴν βασιλείαν σταλεὶς (τὴν γὰρ ἀπόδρασιν αὐτοῦ οὐδεὶς
ἐνενόει) καὶ Ἀπαμείας κρατήσας δύναμίν τε συναγαγὼν ἐπὶ
τὴν Ἀντιόχειαν ἤλασε καὶ τό τε παιδίον καὶ τὸν Λυσίαν
φιλικῶς ἀπαντήσαντας αὐτῷ (δεδιότες γὰρ τοὺς Ῥωμαίους
οὐκ ἀντῆραν) διέφθειρε καὶ τὴν βασιλείαν ἀνεκομίσατο κἀν a. u.
τῇ Ῥώμῃ στέφανον καὶ τοὺς τοῦ Ὀκταβίου αὐτοέντας ἀπέ- 592 (162)
στειλεν. οἱ δὲ χαλεπαίνοντες αὐτῷ οὐδέτερον ἐδέξαντο.

μετὰ ταῦτα δ' ἐπὶ Δαλμάτας οἱ Ῥωμαῖοι ἐστράτευσαν.
τὸ δ' ἔθνος τοῦτο ἔστι μὲν Ἰλλυριῶν τῶν παρὰ τὸν Ἰόνιον
κόλπον, ὧν τινας Ταυλαντίους ὠνόμαζον Ἕλληνες, ἔχονται
δὲ τοῦ Δυρραχίου ἐν μέρει. αἴτιον δὲ τοῦ πολέμου, ὅτι τι-
νὰς τῶν προσχώρων αὐτοῖς ἐν φιλίᾳ τοῖς Ῥωμαίοις ὄντας
ἠδίκουν συμπρεσβευσαμένοις τε ὑπὲρ αὐτῶν τοῖς Ῥωμαίοις
οὐδὲν μέτριον ἀπεκρίναντο, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων πρέσ-
βεις συλλαβόντες ἀπέκτειναν. τούτους ὁ Σκιπίων ὁ Νασικᾶς a. u.
ὑπέταξεν ἐπ' αὐτοὺς στρατεύσας· τάς τε γὰρ πόλεις αὐτῶν εἷλε 599 (155)
καὶ τοὺς αἰχμαλώτους ἐπίπρασκε. καὶ ἄλλα δὲ κατ' ἐκείνους
συνέβη τοὺς χρόνους, οὐ μνήμης μέντοι οὐδ' ἱστορίας ἄξια.

26. ἐντεῦθεν αὖθις ὁ πρὸς τοὺς Καρχηδονίους τὸ τρί-
τον ἀνερριπίζετο πόλεμος. οἱ μὲν γὰρ οὐκ ἔφερον ἐλαττού-
μενοι, ἀλλὰ καὶ συμμαχικὰ καὶ ναυτικὸν ἐπὶ τῇ τοῦ Νομα-
δικοῦ πολέμου παρασκευῇ παρὰ τὰς συνθήκας ἡτοίμαζον· οἱ
δὲ Ῥωμαῖοι ὡς τὰ ἄλλα κατὰ γνώμην ἔθεντο, οὐχ ἡσύχασαν,
ἀλλὰ πέμψαντες τὸν Σκιπίωνα τὸν Νασικᾶν ταῦτά τε αὐτοῖς
ἐνεκάλουν καὶ τὴν παρασκευὴν διαλῦσαι ἐκέλευον. καὶ ἐπεὶ
τὸν Μασινίσσαν ᾐτιῶντο ἐκεῖνοι καὶ διὰ τὸν πρὸς ἐκεῖνον
πόλεμον ἀπειρήκασι ποιῆσαι τὸ κελευόμενον, σύμβασίν τινα
πρὸς τὸν Μασινίσσαν αὐτοῖς ἔπραξαν καί τινος αὐτοῖς
ἀποστῆναι χώρας αὐτὸν ἔπεισαν. ὡς δ' οὐδὲν μᾶλλον εἰσή-
κουον, μικρὸν ἐπισχόντες Ῥωμαῖοι, ἐπεὶ τάχιστα νικηθέντας
σφᾶς μεγάλῃ μάχῃ πρὸς τοῦ Μασινίσσου ἐπύθοντο, εὐθὺς
αὐτοῖς τὸν πόλεμον ἐψηφίσαντο. ὃ μαθόντες οἱ Καρχηδό-
νιοι, οὐκ εὖ ὑπὸ τῆς συμφορᾶς ἔχοντες κατέδεισαν καὶ
πρέσβεις ἐς τὴν Ῥώμην διὰ συμμαχίαν ἐστάλκασι (καὶ ἄλλοι

[Zonaras 9, 26 — vol. II, p. 324, 28 sqq.]

γὰρ τῶν προσχώρων αὐτοῖς ἐπετίθεντο) καὶ ἐς πᾶν τοῖς Ῥωμαίοις ὑπείξειν ἐπλάττοντο. μὴ γὰρ ταῖς σπονδαῖς ἐμμένειν μέλλοντες ῥᾷον ἅπαντα ἐπηγγέλλοντο.

τῆς δὲ γερουσίας βουλὴν περὶ τούτου συναγαγούσης ὁ μὲν Σκιπίων ὁ Νασικᾶς δέξασθαι τὴν τῶν Καρχηδονίων πρεσβείαν καὶ σπονδὰς αὐτοῖς ποιήσασθαι συνεβούλευεν, ὁ δὲ Κάτων ὁ Μᾶρκος μήτε σπείσασθαι τούτοις δεῖν εἶπε μήτε λῦσαι τοῦ πολέμου τὸ ψήφισμα. οἱ δέ γε βουλευταὶ τήν τε τῶν πρέσβεων ἱκετείαν ἐδέξαντο καὶ σπονδὰς αὐτοῖς ὑπέσχοντο παρασχεῖν καὶ ἐπὶ τούτοις ὁμήρους ᾔτησαν. οὓς
a. u. 605 (149) Λούκιος Μάρκιος καὶ Μᾶρκος Μανίλιος εἰς τὴν Σικελίαν ἐλθόντες ἐκεῖσε πεμφθέντας ἔλαβον. καὶ τοὺς μὲν εἰς τὴν Ῥώμην ἔπεμψαν, αὐτοὶ δὲ σπουδῇ τὴν Ἀφρικὴν κατειλήφασι. καὶ στρατοπεδευσάμενοι τὰ τέλη τῶν Καρχηδονίων ἐκεῖ μετεπέμψαντο· καὶ ὡς ἀφίκοντο, οὐ πάντα ἅμα σφίσιν, ὅσα ᾔτουν, ἐξέφηναν δείσαντες, μὴ ταῦτα προμαθόντες ἀκεραίοις τοῖς πράγμασι σφῶν καταστῶσιν εἰς πόλεμον. καὶ τὸ μὲν πρῶτον σῖτον ᾔτησαν καὶ ἔλαβον, εἶτα τὰς τριήρεις καὶ ἐπὶ ταύταις τὰ μηχανήματα, εἶτα τὰ ὅπλα προσῄτησαν. λαβόντες οὖν πάντα (οἱ γὰρ Καρχηδόνιοι πολλὴν ἑτέραν παρασκευὴν κεκρυμμένην εἶχον) τέλος ἐκέλευον αὐτοὺς κατασκάψαι μὲν τὴν πόλιν αὐτῶν, ἑτέραν δ' ἐν μεσογείῳ οἰκοδομῆσαι ἀτείχιστον, ὀγδοήκοντα σταδίους τῆς θαλάσσης διέχουσαν. πρὸς τοῦτο δ' οἱ Καρχηδόνιοι ἐς δάκρυα κατηνέχθησαν καὶ ὡς ἑαλωκότες ἀνωλοφύροντο καὶ ἐδέοντο τῶν ὑπάτων μὴ καταναγκάσαι σφᾶς γενέσθαι τῆς πατρίδος αὐτόχειρας. ὡς δ' οὐδὲν ἤνυον, ἀλλ' ἢ πρᾶξαι τὸ προσταττόμενον ἐκελεύοντο ἢ ἀναρρῖψαι τὸν πόλεμον, συχνοὶ μὲν αὐτοῦ παρὰ τοῖς Ῥωμαίοις ὡς ἤδη κεκρατηκόσι κατέμειναν, οἱ δὲ λοιποὶ ἀποναχωρήσαντες τῶν τε σφετέρων ἀρχόντων ἐνίους ἀπέκτειναν, ὅτι μὴ κατ' ἀρχὰς τὸν πόλεμον εἵλοντο, καὶ τοὺς ἐντὸς τοῦ τείχους εὑρεθέντας Ῥωμαίους διέφθειραν καὶ πρὸς τὸν πόλεμον ὥρμησαν. διὸ τούς τε δούλους ἅπαντας ἠλευθέρωσαν καὶ τοὺς φυγάδας κατήγαγον καὶ τὸν Ἀσδρούβαν στρατηγὸν αὖθις εἵλοντο καὶ ὅπλα καὶ μηχανὰς τριήρεις τε ἡτοιμάσαντο. ὡς γὰρ τοῦ πολέμου ἐπικειμένου καὶ περὶ ἀνδρα-



[Zonaras 9, 26 — vol. II, p. 326, 9 sqq.]

ποδισμοῦ κινδυνεύοντες δι' ἐλαχίστου πάνθ' ὅσων ἔχρῃζον κατεσκεύαζον. ἐφείδοντο γὰρ οὐδενός, ἀλλὰ καὶ τοὺς ἀνδριάντας πρὸς τὴν χρείαν τοῦ χαλκοῦ συνεχώνευσαν καὶ ἐς τὰς σχοίνους τῶν γυναικῶν ταῖς κόμαις ἐχρήσαντο. οἱ δ' ὕπατοι τὸ μὲν πρῶτον αὐτοὺς ὡς ἀόπλους ταχέως αἱρήσειν ἐλπίσαντες μόνας ἡτοιμάσαντο κλίμακας, ὡς δι' αὐτῶν τοῦ τείχους εὐθὺς ἐπιβησόμενοι, ἔπειτα δὲ προσβαλόντες καὶ ὡπλισμένους σφᾶς καί τὰ πρὸς πολιορκίαν ἔχοντας ἰδόντες πρὸς μηχανῶν ἐργασίαν ἐτράποντο καὶ αὐτὰς ἐπικινδύνως κατασκευάσαντες (ὁ γὰρ Ἀσδρούβας ὑλαγωγοῦντας ἐνεδρεύων ἐλύπει) προσέμισγον τῇ πόλει. καὶ Μανίλιος μὲν ἐκ τῆς ἠπείρου αὐτῇ προσβαλὼν οὐδὲν αὐτοὺς ἔβλαψε, Μάρκιος δ' ἐκ θαλάσσης κατὰ τὸ λιμνῶδες προσπεσὼν κατέσεισε μέν τι τοῦ τείχους, οὐ μέντοι καὶ εἰσῆλθεν. οἱ γὰρ Καρχηδόνιοι τούς τε βιαζομένους εἰσελθεῖν ἐξεκρούσαντο καὶ νύκτωρ διὰ τῶν ἐρειπίων ἐπεξελθόντες ἀνθρώπους τε συχνοὺς ἔκτειναν καὶ μηχανήματα πλεῖστα κατέπρησαν. ἀλλ' οὐδὲ ἐπὶ πολὺ τῆς χώρας παρὰ τοῦ Ἀσδρούβου καὶ τῶν ἱππέων εἰῶντο σκεδάννυσθαι, οὔτε μὴν ὁ Μασινίσσας αὐτοῖς ἐπεκούρησεν. οὐ γὰρ ἐν ἀρχῇ τοῦ πολέμου προσεκέκλητο, καὶ πρὸς τὸν Ἀσδρούβαν τότε πολεμήσειν ὑποσχομένῳ οὐκ ἐπέτρεψαν.

27. οἱ δ' ὕπατοι διά τε τὰ συμβάντα καὶ ὅτι τὸ ναυτικὸν αὐτοῖς ἐκ τῆς ἐν τῇ λίμνῃ διατριβῆς ἐνόσησεν, ἔλυσαν τὴν πολιορκίαν. καὶ Μάρκιος μὲν ἐπιχειρήσας κατὰ θάλασσάν τι πρᾶξαι ἢ τὴν παραλίαν κακῶσαι, ὡς οὐδὲν ἤνυεν, ἀπέπλευσεν οἴκαδε καὶ ἀνθυποστρέψας Αἰγίμουρον ἐχειρώσατο· Μανίλιος δὲ ὥρμησε μὲν εἰς τὴν μεσόγειον, κακούμενος δ' ὑπὸ Ἰμίλκωνος τοῦ τῶν Καρχηδονίων ἱππάρχου, ὃν καὶ Φαμέαν ἐκάλουν, πρὸς τὴν Καρχηδόνα ἐπανελήλυθε. κἀκεῖ δὲ ἔξωθεν ὁ Ἀσδρούβας, ἔνδοθεν δ' ἐπεξιόντες οἱ ἐν τῇ πόλει καὶ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτὸν ἐκάκουν. καταφρονήσαντες οὖν οἱ Καρχηδόνιοι καὶ μέχρι τοῦ στρατοπέδου αὐτῶν ἐπῆλθον, καὶ συχνοὺς ἀποβαλόντες (ἄοπλοι γὰρ οἱ πλείους ἦσαν) εἰς τὸ τεῖχος αὖθις συνεκλείσθησαν. ὁ δὲ Μανίλιος τῷ Ἀσδρούβᾳ συμμῖξαι μάλιστα εἵλετο καί, εἰ ἐκεῖνον νικήσει, ῥᾷον τοῖς λοιποῖς προσπολεμήσειν ἐνόμιζε.

69 ὅτι Σκιπίων ὁ Ἀφρικανὸς ἄριστος μὲν ἦν ἐκ πλεί-
a. u. ονος τὸ δέον ἐκφροντίσαι, ἄριστος δὲ καὶ ἐκ τοῦ
605 (149) παραχρῆμα τὸ κατεπεῖγον ἐρευνῆσαι ἔν τε τῷ προσ-
ήκοντι καιρῷ ἑκατέρῳ αὐτῶν χρήσασθαι ᾔδει. τά τε
πρακτέα ἐν τῷ θαρσοῦντι διεσκόπει καὶ τὴν διαχείρι-
σιν αὐτῶν ὡς καὶ δεδιὼς ἐποιεῖτο. ὅθενπερ τῇ τοῦ
λογισμοῦ ἀδεεῖ διασκέψει πάντα ἀκριβῶς τὰ καθήκοντα
ἐνενόει καὶ τῇ περὶ τοῦ ἀσταθμήτου φροντίδι ἀσφα-
2 λῶς αὐτὰ ἔπραττε. καὶ διὰ τοῦτ' εἴ ποτε καὶ ἐς ἀπρο-
βουλίας ἀνάγκην (οἷα ἔν τε τοῖς τοῦ πολέμου παρα-
λόγοις καὶ ἐν ταῖς τῆς τύχης ῥοπαῖς συμβαίνειν εἴωθε)
προήχθη, οὐδὲ τότε τῶν προσηκόντων ἡμάρτανεν. ὑπὸ
γὰρ τοῦ ἔθους τοῦ τε τῇ τύχῃ πρὸς μηδὲν ἀλογίστως
χρῆσθαι οὐδὲ ἐς τὴν τοῦ ἐξαπιναίου προσβολὴν ἀπα-
ράσκευος ἦν, ἀλλὰ καὶ τοῖς αἰφνιδίοις ὑπὸ τοῦ μηδέ-

[Zonaras 9, 27 — vol. II, p. 327, 21 sqq.]

καὶ οἱ προσέμιξε· πρός δέ τι φρούριον ἀναχωροῦντι ἐπακο-
λουθήσας ἔλαθεν εἴσω χώρας τραχείας καὶ στενοπόρου γε-
νόμενος καὶ δεινῶς ἐκακώθη. καὶ πανσυδὶ ἂν διεφθάρη,
εἰ μὴ Σκιπίων ὁ τοῦ Ἀφρικανοῦ χρησιμώτατος αὐτῷ ἐγένετο,
fr. 69, 1 ἀνὴρ ἄριστος μὲν νοῆσαι καὶ προβουλεῦσαι τὰ κρά-
τιστα, ἄριστος δὲ χειρουργῆσαι· καὶ γὰρ τῷ σώματι
ἔρρωτο, ἐπιεικής τε καὶ μέτριος ἦν· δι' ἃ καὶ τὸν
fr. 69, 6 φθόνον ἐξέφυγεν. ἴσος μὲν γὰρ τοῖς ὑποδεεστέ-
ροις, οὐκ ἀμείνων δὲ τῶν ὁμοτίμων (ἐχιλιάρχει
γάρ) ἀσθενέστερος δὲ τῶν μειζόνων ἠξίου εἶναι.
ὁ οὖν Μανίλιος καὶ εἶπε τὰ περὶ αὐτοῦ καὶ ἐπέστειλε τοῖς
ἐν τῇ Ῥώμῃ μή τι ἀποκρυψάμενος καὶ τἄλλα καὶ τὰ κατὰ
Μασινίσσαν καὶ τὸν Φαμέαν· ἃ ἔσχον οὕτως.

69, 1, 1 Σκιπίων ὁ Ἀφρικανὸς] οὗτος L, sed in marg. περὶ Σκιπίωνος τοῦ Ἀφρικανοῦ ‖ 4 ᾔδει B, ἦν L ‖ 8 ⟨εὐλαβεῖ⟩ φροντίδι? B ‖ 2, 3 εἴωθε R, εἰώθει L ‖ 5 τύχῃ B, ψυχῇ L ‖ 6 τὴν Reiske, τι L ‖ προσβολὴν B, προσκοπὴν L



ποτε ἀτρεμίζειν ὡς καὶ ἐκ πολλοῦ αὐτὰ προνενοηκὼς
ἐχρῆτο. τολμητής τε ἐκ τούτων, ἐν οἷς ἐπεπιστεύκει 3
ὀρθῶς ἔχειν, καὶ κινδυνευτής, ἐν οἷς ἐθάρσει, ἰσχυρῶς
ἐγίγνετο· καὶ γὰρ τὸ σῶμα ἴσα τοῖς πάνυ τῶν στρα-
τιωτῶν ἔρρωτο. καὶ διὰ τοῦτο, ⟨ὃ⟩ καὶ τὰ μάλιστα
ἄν τις αὐτοῦ θαυμάσειε, προεβούλευέ τε τὰ κράτιστα
ὡς καὶ ἑτέροις ἐπιτάξων καὶ ἐν τῷ ἔργῳ αὐτὰ ὡς καὶ
ὑφ' ἑτέρων κεκελευσμένα ἐχειρούργει. τῇ τε οὖν ἄλλῃ 4
ἀρετῇ ἀσφαλὴς ἦν καὶ τὴν πιστότητα οὐχ ὅπως πρὸς
τοὺς πολίτας τούς τε χρωμένους οἱ, ἀλλὰ καὶ πρὸς τὸ
ὀθνεῖον τό τε πολεμιώτατον ἀκριβῆ ἐκέκτητο. καὶ αὐτῷ
κατὰ τοῦτο πολλοὶ μὲν ἰδιῶται, πολλαὶ δὲ καὶ πόλεις
προσεχώρησαν. ἅτε γὰρ μηδὲν ἀλογίστως μηδὲ ἐξ 5
ὀργῆς ἢ καὶ δέους ποιῶν ἢ καὶ λέγων, ἀλλ' ἐκ τοῦ
βεβαίου τῶν λογισμῶν πρὸς πάντα τὰ καίρια ἕτοιμος
ὢν καὶ τὰ ἀνθρώπινα ἱκανῶς ἐκλογιζόμενος καὶ μήτε
τι ἀνέλπιστον ποιούμενος καὶ πάντα πρὸς τὴν τῶν
πραγμάτων φύσιν προδιασκοπῶν ῥᾷστά τε τὰ πρακτέα,
πρὶν καὶ δεηθῆναι αὐτῶν, ἐπενόει καὶ ἐς βεβαιότητα

[Zonaras 9, 27 — vol. II, p. 328, 6 sqq.]

θνήσκων ὁ Μασινίσσας ἠπόρει, ὅπως περὶ τῆς βασιλείας διάθηται, διά τε τὸ τῶν υἱέων πλῆθος καὶ τὸ διάφορον τοῦ κατὰ τὰς μητέρας γένους αὐτῶν. διὸ πρὸς συμβουλίαν τὸν Σκιπίωνα μετεπέμψατο· ὃν ὁ ὕπατος ἔστειλεν. ἀλλ' ὁ Μασινίσσας πρὶν ἐλθεῖν τὸν Σκιπίωνα ἐκλείπων τὸν μὲν δακτύλιον τῷ Μικίψᾳ τῷ υἱῷ ἔδωκε, τὰ δ' ἄλλα πάντα τὰ τῇ ἀρχῇ προσήκοντα τῷ Σκιπίωνι ἄρτι ἐλθόντι παρέσχεν καὶ ἐνετείλατο. ὁ οὖν Σκιπίων κατανοήσας τὰς προαιρέσεις τῶν υἱέων αὐτοῦ οὐδενὶ μὲν αὐτῶν μόνῳ τὴν βασιλείαν ἀπένειμε, τριῶν δὲ τῶν ἐλλογιμωτάτων ὄντων, πρεσβυτάτου μὲν Μικίψου, νεωτάτου δὲ Γουλούσσου, μέσου δὲ Μαστανάβου,

2, 8 ἀρτεμίζειν L ‖ 3, 4 ⟨ὃ⟩ inseruit B ‖ 7 ὑφ' B, ἀφ' L

6 αὐτοῖς ἐχρῆτο. τοιγαροῦν μόνος ἀνθρώπων ἢ καὶ μάλιστα διά τε ταῦτα καὶ διὰ τὴν μετριότητα τήν τε ἐπιείκειαν οὔθ' ὑπὸ τῶν ὁμοτίμων οὔθ' ὑπ' ⟨ἄλλου⟩ τινος ἐφθονήθη. ἴσος μὲν γὰρ τοῖς ὑποδεεστέροις, οὐκ ἀμείνων δὲ τῶν ὁμοίων, ἀσθενέστερος δὲ τῶν μειζόνων ἀξιῶν εἶναι κρείττων καὶ τοῦ φθόνου τοῦ μόνους τοὺς ἀρίστους ἄνδρας λυμαινομένου ἐγένετο. V p. 613. Zonar. 9, 27 (vol. II, p. 327, 26—328, 2).

70 *Δίωνος κα' βιβλίῳ* "ὅ τε Φαμέας ἀπογνοὺς τὰ τῶν Καρχηδονίων πράγματα." Bekk. Anecd. p. 124, 9 a. Zonar. 9, 26 (vol. II, p. 328, 30 sq.).

[Zonaras 9, 27 — vol. II, p. 328, 18 sqq.]

τούτοις τὰ πράγματα, μεμερισμένως μέντοι, κατένειμε. τῷ μὲν γὰρ πρεσβυτάτῳ χρηματιστῇ τε ὄντι καὶ φιλοπλούτῳ τὴν διοίκησιν ἐνεχείρισε, τῷ δὲ μετ' αὐτὸν τὰς διαφορὰς κρίνειν ἐπέτρεψε δικαστῇ ὄντι, τῷ δὲ Γουλούσσᾳ πολεμικῷ τυγχάνοντι τὰς δυνάμεις παρέδωκε. τοῖς δ' ἀδελφοῖς αὐτῶν πολλοῖς οὖσι πόλεις τινὰς καὶ χώρας ἔνειμε. καὶ τὸν Γουλούσσαν παραλαβὼν πρὸς τὸν ὕπατον ἤγαγεν.

ἀρχομένου δὲ τοῦ ἔαρος ἐπὶ τοὺς τῶν Καρχηδονίων συμμάχους ἐστράτευσαν καὶ πολλοὺς μὲν αὐτῶν βίᾳ, πολλοὺς
fr. 70 δὲ ὁμολογίᾳ, καὶ μάλιστα ὁ Σκιπίων, παρεστήσαντο. ὡς δὲ ὁ Φαμέας ἀπογνοὺς τὰ τῶν Καρχηδονίων πρὸς τοὺς Ῥωμαίους ἀπέκλινε καὶ εἰς λόγους τῷ Σκιπίωνι ἦλθε, τότε καὶ ἐπὶ τὸν Ἀσδρούβαν ἅπαντες ὥρμησαν. καὶ προσέμιξαν μὲν τῷ φρουρίῳ συχναῖς ἡμέραις, ἐπιλιπόντων δὲ αὐτοὺς τῶν ἀναγκαίων ἀνεχώρησαν εὐπρεπῶς. προσέβαλε γὰρ αὐτοῖς ὁ Φαμέας προσεδρεύουσιν ἔτι ὡς πολεμήσων καὶ ἐν τῷ ἔργῳ

6, 3 ⟨ἄλλου⟩ Reiske, qui idem alia coniecit, ut ὑποδεεστέρου vel ὑπομείονος vel ὑπ' ἐλάττονος vel ὑπὸ τῶν ἐλαττόνων τινος ‖ 7 μόνους B, μόνου L ‖ 70, 2 ibidem p. 149, 25: *Δίων κβ'* βιβλίῳ "πολυειδῆ ἀπόλαυσιν καρπούμενοι τῶν κοινῶν ἀγαθῶν." p. 166, 6: *Δίων κβ'* βιβλίῳ "ὧν τὰ μὲν βίᾳ ᾕρει, τὰ δὲ καὶ ὁμολογίᾳ παρίστατο."



[Zonaras 9, 27 sq. — vol. II, p. 329, 7 sqq.]

μεθ' ἱππέων τινῶν ηὐτομόλησε. κἀντεῦθεν Μανίλιος μὲν εἰς τὴν Οὐτικὴν ἐλθὼν ἡσύχαζε, Σκιπίων δὲ τὸν Φαμέαν εἰς τὴν Ῥώμην ἀνήγαγε· καὶ αὐτός τε ἐπῃνεῖτο καὶ ὁ Φαμέας τετίμητο, ὥστε καὶ ἐν τῷ βουλευτηρίῳ συγκαθῆσθαι τῇ γερουσίᾳ.

28. τότε δὲ συνηνέχθη καὶ τὰ κατὰ τὸν Προυσίαν. ὃς γέρων ὢν καὶ τοὺς τρόπους τραχὺς ἐφοβήθη τοὺς Βιθυνούς, μὴ τῆς βασιλείας αὐτὸν ἐκβάλωσι τὸν Νικομήδη τὸν υἱὸν ἀνθελόμενοι. καὶ κατά τινα πρόφασιν ἔπεμψεν εἰς τὴν Ῥώμην αὐτὸν κἀκεῖ διάγειν ἐκέλευσεν. ὡς δὲ κἀν τῇ Ῥώμῃ διαιτωμένῳ τῷ υἱῷ ἐπεβούλευσε καὶ ἔσπευδε κτεῖναι αὐτόν, Βιθυνοί τινες εἰς Ῥώμην φοιτήσαντες ἐξήγαγον λάθρᾳ τὸν Νικομήδη καὶ ἐς τὴν Βιθυνίαν κομίσαντες τὸν μὲν γέροντα ἐφόνευσαν, βασιλέα δ' ἐκεῖνον ἀπέδειξαν. ταῦτα ἠνίασε μὲν τοὺς Ῥωμαίους, οὐ μὴν καὶ εἰς πόλεμον ἐξηρέθισε.

τὴν δὲ Μακεδονίαν Ἀνδρίσκος τις ἐξ Ἀτραμυτίου φύς, τῷ Περσεῖ δ' ἐμφερὴς τὸ εἶδος γενόμενος καὶ παῖς εἶναι ἐκείνου πλαττόμενος καὶ Φίλιππον ἑαυτὸν ὀνομάζων ἐπὶ πλεῖστον ἀπέστησε. τὸ μὲν γὰρ πρῶτον ἐς τὴν Μακεδονίαν ἐλθὼν ταράττειν αὐτὴν ἐπειρᾶτο, ὡς δὲ οὐδεὶς προσεῖχεν αὐτῷ, πρὸς τὸν Δημήτριον εἰς τὴν Συρίαν ἐτράπετο ὡς ἐξ ἐκείνου διὰ τὸ γένος βοηθείας τευξόμενος. συλληφθεὶς δὲ παρ' ἐκείνου καὶ εἰς τὴν Ῥώμην πεμφθείς, ὅτι τε μὴ ὢν τοῦ Περσέως υἱὸς ἠλέγχθη καὶ ὅτι οὐδέ τι ἕτερον εἶχεν ἄξιον λόγου, κατεφρονήθη. καὶ ἀφεθεὶς χεῖρά τε συνήγαγεν ἀνθρώπων νεωτεροποιῶν καὶ πόλεις πολλὰς ἐπηγάγετο καὶ τέλος βασιλικὴν στολὴν περιθέμενος καὶ δύναμιν συγκροτήσας εἰς Θρᾴκην ἀφίκετο καὶ συχνοὺς μὲν τῶν αὐτονόμων, συχνοὺς δὲ καὶ τῶν δυναστῶν τοῖς Ῥωμαίοις ἀχθομένους παραλαβὼν εἰς Μακεδονίαν ἐνέβαλε καὶ αὐτὴν κατέσχε καὶ ἐπὶ τὴν Θεσσαλίαν ὁρμήσας οὐκ ὀλίγα ταύτης προσεποιήσατο.

οἱ δὲ Ῥωμαῖοι κατεφρόνουν μὲν πρότερον τοῦ Ἀνδρίσκου, εἶτα τὸν Σκιπίωνα τὸν Νασικᾶν ἔπεμψαν εἰρηνικῶς πως τὰ ἐκεῖ διοικήσοντα. ὃς εἰς τὴν Ἑλλάδα ἐλθὼν καὶ μαθὼν τὰ γενόμενα τοῖς μὲν Ῥωμαίοις δηλῶν ταῦτα ἐπέστειλε, δύναμιν δὲ παρὰ τῶν ἐκεῖ συμμάχων ἀθροίσας ἔργου εἴχετο καὶ

[Zonaras 9, 28 sq. — vol. II, p. 330, 20 sqq.]

προῆλθε μέχρι Μακεδονίας. οἱ δ' ἐν τῇ Ῥώμῃ γνόντες τὰ
κατὰ τὸν Ἀνδρίσκον στράτευμα ἔπεμψαν καὶ στρατηγὸν
Πούπλιον Ἰουβέντιον. ᾧ περὶ Μακεδονίαν γενομένῳ συμ-
βαλὼν ὁ Ἀνδρίσκος ἐκεῖνόν τε ἀπέκτεινε καὶ τοὺς ἄλλους
πάντας ἂν κατειργάσατο, εἰ μὴ τῆς νυκτὸς ἀπεχώρησαν.
καὶ εἰς τὴν Θεσσαλίαν μετὰ ταῦτα εἰσέβαλε καὶ πλεῖστα αὐ-
τῆς ἐκάκωσε καὶ τὰ τῶν Θρᾳκῶν προσηταιρίσατο. πάλιν
οὖν διὰ ταῦτα οἱ ἐν τῇ Ῥώμῃ Κύιντον Καικίλιον Μέτελλον
στρατηγὸν σὺν δυνάμει πολλῇ ἔστειλαν. καὶ ὃς εἰς τὴν Μα-
κεδονίαν ἦλθε, καί οἱ ὁ Ἄτταλος προσήμυνε ναυτικῷ. διὸ
δείσας ὁ Ἀνδρίσκος περὶ τῶν παραθαλασσίων οὐκ ἐτόλμησε
περαιτέρω προελθεῖν· ὀλίγον δὲ τῆς Πύδνης ἔξω προχωρή-
σας ἱππομαχίᾳ μὲν ὑπερέσχε, φοβηθεὶς δὲ τὸ πεζὸν ἀνέστρεψε.
καὶ ἐπαρθεὶς διχῇ τὸν στρατὸν διεῖλε καὶ τοῖς μὲν αὐτὸς
κατὰ χώραν προσήδρευε, τοὺς δὲ πορθῆσαι τὴν Θεσσαλίαν
ἀπέστειλε. καταφρονήσας οὖν ὁ Μέτελλος τῶν παρόντων
συνέμιξε· καὶ τῶν πρῶτον αὐτῷ εἰς χεῖρας ἐλθόντων περι-
γενόμενος ῥᾷον καὶ τοὺς λοιποὺς παρεστήσατο· ἑτοίμως γάρ,
ὡς ἐξήμαρτον, αὐτῷ ὡμολόγησαν. ὁ δὲ Ἀνδρίσκος εἰς τὴν
Θρᾴκην ἀπέδρα καὶ δύναμιν ἀθροίσας συνέβαλε τῷ Μετέλλῳ
προϊόντι οὔ προεχώρει. καὶ τῶν προμάχων αὐτοῦ τραπέντων
τό τε συμμαχικὸν αὐτοῦ ἐσκεδάσθη καὶ αὐτὸς ὑπὸ Βύζου
Θρᾳκὸς δυνάστου προδοθεὶς ἐδικαιώθη.

καὶ Ἀλέξανδρος δέ τις Περσέως καὶ αὐτὸς λέγων εἶναι
υἱὸς καὶ χεῖρα συναγαγὼν κατέλαβε τὴν περὶ τὸν Μέστον
καλούμενον ποταμὸν χώραν· ὃν ὁ Μέτελλος ἐπεδίωξεν ὑπο-
φυγόντα μέχρι τῆς Δαρδανίας.

a. u. 29. ἐπὶ δὲ τοὺς Καρχηδονίους οἱ Ῥωμαῖοι Πείσωνα
606
(148) τὸν ὕπατον ἔστειλαν. ὃς τῇ μὲν Καρχηδόνι καὶ τῷ Ἀσδρούβᾳ
οὐ προσέμιξεν, ἐπὶ δὲ τὰς παραλίους πόλεις ἐτράπετο· καὶ
τῆς μὲν Ἀσπίδος ἀπεκρούσθη, τὴν δὲ Νέαν πόλιν ἑλὼν
κατέσκαψεν· ἐπὶ δὲ Ἱππῶνα πόλιν ὁρμήσας κατέτριψε τὸν
καιρὸν μηδὲν περάνας. οἱ δὲ Καρχηδόνιοι ἀνεθάρσησαν διὰ
ταῦτα καὶ ὅτι καί τινες αὐτοῖς προσεγένοντο σύμμαχοι. μα-
θόντες οὖν ταῦτα οἱ Ῥωμαῖοι οἵ τε ἐν τῷ στρατοπέδῳ καὶ
οἱ ἐν τῇ πόλει ἐπὶ τὸν Σκιπίωνα ὥρμησαν καὶ ὕπατον



τίς γάρ ποτε καὶ ὅρος ἡλικίας τοῖς γ' ἅπαξ ἐκ μει- 71
ρακίων ἐξελθοῦσι πρὸς τὸ τὰ δέοντα φρονεῖν ἔπεστι; a. u.
606
τίς ἀριθμὸς ἐτῶν πρὸς τὸ τὰ προσήκοντα πράττειν (148)
ἀποδέδεικται; οὐχ ὅσοι μὲν ἂν τῇ τε φύσει καὶ τῇ
τύχῃ χρηστῇ χρήσωνται, πάντα ἀπ' ἀρχῆς εὐθὺς ἃ δεῖ
καὶ φρονοῦσι καὶ πράττουσιν, οἱ δὲ ἐν τῇδε τῇ ἡλικίᾳ
βραχὺν νοῦν ἔχοντες οὐδ' ἂν αὖθίς ποτε, οὐδ' εἰ
πολλὰ ἔτη διέλθοι, φρονιμώτεροι γένοιντο; ἀμείνων
μὲν γὰρ ἄν τις αὐτὸς ἑαυτοῦ προϊούσης τῆς ἡλικίας
ὑπάρξειεν, ἔννους δ' ἐξ ἀνοήτου καὶ ἔμφρων ἐξ ἄφρονος
οὐδ' ἂν εἷς ἐκβαίη. μὴ μέντοι τοὺς νέους ἐς ἀθυμίαν
ὡς καὶ κατεγνωσμένους τὸ μηδὲν τῶν δεόντων πράτ- 2
τειν δύνασθαι ἐμβάλητε· πᾶν γὰρ τοὐναντίον προ-
τρέπεσθαι αὐτοὺς ὀφείλετε πάντα τὰ προσήκοντα αὐ-
τοῖς προθύμως ποιεῖν ἀσκεῖν ὡς καὶ τιμὰς καὶ ἀρχὰς
καὶ πρὸ τοῦ γήρως ληψομένους· ἐκ γὰρ τούτου καὶ
τοὺς πρεσβυτέρους βελτίους ποιήσετε πρῶτον μὲν
ἀνταγωνιστὰς πολλοὺς ἀποδείξαντες, ἔπειτ' ἐνδειξάμε-

[Zonaras 9, 29 — vol. II, p. 331, 30 sqq.]

αὐτὸν ἐψηφίσαντο καίτοι τῆς ἡλικίας μὴ ἐφιείσης αὐτῷ τὴν cf. fr. 71
ἀρχήν· ἀλλὰ τά τε ἔργα αὐτοῦ καὶ ἡ ἀρετὴ τοῦ πατρὸς
Παύλου καὶ τοῦ πάππου Ἀφρικανοῦ ἐλπίδα παρεῖχον ἅπασι
βεβαίαν καὶ τῶν πολεμίων δι' αὐτοῦ κρατήσειν καὶ τὴν
Καρχηδόνα παντελῶς ἐξαιρήσειν.

ἐν ᾧ δ' ὁ Σκιπίων εἰς τὴν Λιβύην ἐκομίζετο, Μαγκῖ- a. u.
607
νος παραπλέων τὴν Καρχηδόνα χωρίον τι τοῦ τείχους αὐτῆς (147)
ἐντὸς ὂν Μεγαλία ὀνομαζόμενον καὶ ἐπὶ πέτρας ἀποτόμου
καθῆκον πρὸς θάλασσαν πολύ τε τῆς ἄλλης πόλεως ἀπηρ-
τημένον καὶ μηδὲ πολλοὺς φρουροὺς ἔχον ὡς τῇ φύσει ὂν
ἐρυμνὸν κατανοήσας, κλίμακας ἐξαπιναίως προσθεὶς ἀπὸ τῶν

71, 1, 1 γ' ἅπαξ cod. Florentinus, γε ἅπαξ M ‖ 10 δ' cod. Flor., δὲ M ‖ 2, 1 καὶ om. cod. Flor. ‖ 6 πρεσβυτέρους] πρακτικωτέρους cod. Flor.

*νοι, ὡς καὶ τἆλλα πάντα καὶ τὰς ἡγεμονίας μάλιστα οὐκ ἐξ ἀριθμοῦ ἐτῶν, ἀλλ' ἐξ ἀρετῆς ἐμφύτου πᾶσι τοῖς πολίταις δώσετε.* M p. 547 et Excerpta ex Ms. Florentino (plut. VIII, cod. XXII) Ioannis Damasceni Parallelorum vol. II, p. 688. 689 ed. Gaisf., IV, p. 148. 149 ed. Mein. Cf. Zonar. 9, 29 (vol. II, p. 331, 29 sqq.).

[Zonaras 9, 29 — vol. II, p. 332, 12 sqq.]

νεῶν ἐπανέβη. ἤδη δὲ ἀνελθόντος συνέδραμον μὲν τῶν Καρχηδονίων τινές, οὐ μέντοι καὶ ἐκκροῦσαι αὐτὸν ἠδυνήθησαν. ὁ δὲ πέμψας πρὸς τὸν Πείσωνα τά τε γεγονότα ἐδήλωσε καὶ αὐτῷ ἐπαμῦναι ἠξίωσε. πόρρω δ' ὢν ἐν τῇ μεσογείῳ οὐδὲν αὐτῷ χρήσιμος ὁ Πείσων ἐγένετο. ὁ δὲ Σκιπίων ὑπ' αὐτὴν τὴν ἀγγελίαν νυκτὸς κατὰ τύχην ἐλθὼν εὐθὺς ἐβοήθησεν. εἷλον γὰρ ἂν τὸν Μαγκῖνον οἱ Καρχηδόνιοι ἢ καὶ διέφθειραν, εἰ μὴ παραπλεούσας εἶδον τὰς ναῦς τοῦ Σκιπίωνος. τότε δ' ἠθύμησαν μέν, οὐκ ἀπέστησαν δέ. αἰχμαλώτους οὖν τινας ἔπεμψεν ὁ Σκιπίων ἐροῦντας, ὅτι πάρεστι. καὶ τοῦτο γνόντες οὐχ ὑπέμειναν ἔτι, ἀλλ' ἀνεχώρησαν καὶ τὸν Ἀσδρούβαν μετεπέμψαντο καὶ ταφρεύμασι καὶ σταυρώμασι τὸ πρὸ τῶν οἰκιῶν διατείχισμα διεφύλαξαν. ὁ μέντοι Σκιπίων τὰ μὲν Μεγαλία τὸν Μαγκῖνον φρουρεῖν κατέλιπεν, αὐτὸς δὲ πρὸς τὸν Πείσωνα καὶ πρὸς τὰς δυνάμεις ἀπῆρεν, ὡς ἂν μετ' αὐτῶν ἔργου ἔχηται. καὶ ἐπανῆλθε ταχέως σὺν τῷ κουφοτάτῳ τῆς στρατιᾶς καὶ κατέλαβε τὸν Ἀσδρούβαν εἰς τὴν Καρχηδόνα εἰσελθόντα καὶ δεινῶς τῷ Μαγκίνῳ ἐπιτιθέμενον· καὶ ἐλθὼν ὁ Σκιπίων τὴν ἐπίθεσιν ἔλυσεν. ἀφικομένου δὲ καὶ τοῦ Πείσωνος ἤδη ἐκεῖνον μὲν ἔξω τοῦ τείχους αὐλίζεσθαι κατά τινας πύλας ἐκέλευσε καὶ στρατιώτας ἑτέρους πρὸς πυλίδα τινὰ πολὺ ἀφ' ἑαυτῶν ἀπέχουσαν περιέπεμψε παραγγείλας αὐτοῖς ἅττα πράξειν ἐχρῆν, αὐτὸς δὲ τὸ κράτιστον τοῦ στρατοῦ κατὰ μέσας νύκτας λαβὼν ἔνδον τοῦ περιβόλου ἐγένετο αὐτομόλοις χρησάμενος ἄγουσι καὶ ὑπὸ τὴν πυλίδα παραδραμὼν καὶ τὸν μοχλὸν διακόψας τούς τε ἔξωθεν ἐφεδρεύοντας εἰσήγαγε καὶ τοὺς

2, 8 *μάλιστα*] *μὲν* cod. Flor.



[Zonaras 9, 29 sq. — vol. II, p. 333, 12 sqq.]

φύλακας ἔφθειρε. καὶ πρὸς τὰς πύλας ἠπείχθη, καθ' ἃς ὁ Πείσων προσήδρευε τοὺς φρουροὺς τοὺς τὰ μέσα φυλάττοντας ὀλίγους καθ' ἑκάστους ὄντας τρέπων, ὥστε τὸν Ἀσδρούβαν ἅμα τε πυνθάνεσθαι τὰ γενόμενα καὶ ὁρᾶν τὴν τῶν Ῥωμαίων δύναμιν μικροῦ πᾶσαν οὖσαν ἐντός. καὶ χρόνον μέν τινα ἀντέσχον, ἔπειτα τὴν μὲν ἄλλην πόλιν ἐξέλιπον, εἰς δὲ τὸν Κώθωνα τήν τε Βύρσαν κατέφυγον. εἶτα ὁ Ἀσδρούβας πάντας τοὺς τῶν Ῥωμαίων αἰχμαλώτους ἀπέκτεινεν, ὅπως ἀπόγνωσιν συγγνώμης σχόντες οἱ Καρχηδόνιοι προθυμότερον ἀντικαρτερήσωσι· πολλοὺς δὲ καὶ τῶν ἐπιχωρίων ὡς προδιδόντας ἑαυτοὺς διεχρήσατο. καὶ ὁ Σκιπίων περιεσταύρωσε μὲν αὐτοὺς καὶ ἀπετείχισεν, οὐ μὴν καὶ ταχέως εἷλε. τά τε γὰρ τείχη καρτερὰ ἦν καὶ οἱ ἐντὸς πολλοὶ ὄντες ἰσχυρῶς ἐν ὀλίγῳ χώρῳ ἠμύνοντο καὶ σίτου ἀφθόνως εἶχον. ὁ γὰρ Βιθίας ὁλκάδας ἀπὸ τῆς ἀντικρὺ τῆς πόλεως ἠπείρου κατὰ κῦμα καὶ ἄνεμον, ὁσάκις σφοδρῶς ἔπνει, ἐς τὸν λιμένα αὐτοῖς εἰσέπεμπε. πρὸς ὅπερ ὁ Σκιπίων μέγα ἔργον καὶ ἐπενόησε καὶ ἐπετέλεσε· τὸν γὰρ εἴσπλουν τοῦ λιμένος στενὸν ὄντα συνέχωσε, χαλεπῶς μὲν καὶ ἐπιπόνως, ὅμως μέντοι ὑπὸ πολυχειρίας τὸ ἔργον ἐξείργαστο. εἴργειν μὲν γὰρ αὐτοὺς ἐπεχείρουν οἱ Καρχηδόνιοι, καὶ πολλαὶ μάχαι ἐν τούτῳ ἐγίνοντο, οὐ μέντοι καὶ κωλῦσαι τὸ χῶσαι ἠδυνήθησαν.

30. οἱ οὖν Καρχηδόνιοι τοῦ στόματος τοῦ λιμένος χωσθέντος τῇ τοῦ σίτου σπάνει δεινῶς ἐπιέσθησαν· καὶ οἱ μὲν ηὐτομόλουν, οἱ δὲ ἐγκαρτεροῦντες ἔθνησκον, οἱ δὲ τῶν νεκρῶν ἐγεύοντο. ὅθεν ἀθυμήσας Ἀσδρούβας πρέσβεις πρὸς τὸν Σκιπίωνα περὶ σπονδῶν ἔπεμψε· καὶ ἔτυχεν ἂν τῆς ἀδείας, εἰ μὴ καὶ τοῖς λοιποῖς ἅπασι καὶ τὴν σωτηρίαν καὶ τὴν ἐλευθερίαν πρᾶξαι ἠθέλησε. διαμαρτὼν οὖν αὐτῆς εἰς τὴν ἀκρόπολιν τὴν γυναῖκα κατέκλεισεν, ἐπεὶ τῷ Σκιπίωνι ὑπὲρ ἑαυτῆς καὶ τῶν τέκνων διεκηρυκεύσατο· καὶ τἆλλα διῴκει τολμηρότερος γενόμενος διὰ τὴν ἀπόγνωσιν. αὐτός τε οὖν καὶ ἄλλοι ἀπονοίᾳ κρατούμενοι καὶ νυκτὸς καὶ ἡμέρας ἐμάχοντο καὶ τὰ μὲν ἡττῶντο, τὰ δὲ ἐπεκράτουν καὶ ἀντεμηχανῶντο πρὸς τὰς Ῥωμαϊκὰς μηχανάς. καὶ ὁ Βιθίας δὲ φρούριόν τι ἐρυμνὸν ἔχων καὶ ἐπὶ πολλὰ τῆς ἠπείρου προ-

[Zonaras 9, 30 — vol. II, p. 334, 22 sqq.]

ἰὼν τούς τε Καρχηδονίους ὠφέλει καὶ τοὺς Ῥωμαίους ἐκάκου. διὸ καὶ ὁ Σκιπίων τὸ στράτευμα διελὼν τὸ μὲν τῇ Καρχηδόνι προσεδρεύειν ἔταξε, τὸ δὲ ἐπὶ τὸν Βιθίαν ἔπεμψεν ἐπιστήσας αὐτῷ τὸν ὑποστράτηγον τὸν Γάιον Λαίλιον· καὶ αὐτὸς ἑκατέρωσε διεφοίτα ἄμφω ἐπισκοπῶν. καὶ ἥλω τὸ φρούριον. εἶτ' αὖθις πάσῃ τῇ στρατιᾷ ἐπολιορκεῖτο ἡ Καρχηδών.

a. u. 608 (146) ἀπογνόντες οὖν οἱ Καρχηδόνιοι μηκέτι ἑκάτερον τεῖχος διασώσασθαι δύνασθαι, εἰς τὸν τῆς Βύρσης περίβολον ἅτε καὶ ἐρυμνότερον ἀνεσκευάσαντο καὶ μετακομίσαντες ὅσα ἠδύναντο, κατέπρησαν νυκτὸς τὸ νεώριον καὶ τῶν ἄλλων τὰ πλείω, ἵνα τῆς ἐξ αὐτῶν ὠφελείας τοὺς πολεμίους στερήσωσιν. ὡς δ' ἔγνων τὸ ἔργον οἱ Ῥωμαῖοι, τὸν λιμένα κατέσχον καὶ ἐπὶ τὴν Βύρσαν ἐχώρησαν καὶ κατασχόντες τὰς ἑκατέρωθεν αὐτῆς οἰκίας οἱ μὲν ἐπὶ τῶν τεγῶν αὐτῶν ἐπὶ τὰς ἀεὶ ἐχομένας ἐβάδιζον, οἱ δὲ τοὺς τοίχους διορύσσοντες κάτωθεν διῄεσαν, ἕως πρὸς αὐτὴν τὴν ἄκραν ἀφίκοντο. ἐνταῦθα δὲ γενομένοις οὐκέτι ἀντῆραν οἱ Καρχηδόνιοι, ἀλλ' ἐπεκηρυκεύσαντο πλὴν τοῦ Ἀσδρούβου. ἐκεῖνος δὲ μετὰ τῶν αὐτομόλων (ὁ γὰρ Σκιπίων οὐκ ἐσπείσατο αὐτοῖς) εἰς τὸ Ἀσκληπιεῖον ἀνειλήθη μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων κἀντεῦθεν ἠμύνετο τοὺς προσβάλλοντας, μέχρις οὗ ἐμπρήσαντες τὸν νεὼν οἱ αὐτόμολοι ἐπὶ τὸ τέγος αὐτοῦ ἀνέβησαν τὴν ἐσχάτην τοῦ πυρὸς ἀνάγκην ἀναμένοντες· τότε γὰρ ἡσσηθεὶς πρὸς τὸν Σκιπίωνα ἦλθεν ἱκετηρίαν ἔχων. ἰδοῦσα δὲ αὐτὸν ἡ γυνὴ ἀντιβολοῦντα ὀνομαστὶ ἀνεκάλεσεν καὶ ἐξονειδίσασα, ὅτι ἑαυτῷ τὴν σωτηρίαν πράξας οὐκ ἐπέτρεψεν ἐκείνῃ σπείσασθαι, τὰ τέκνα ἐνέβαλεν εἰς τὸ πῦρ καὶ ἑαυτὴν προσεπέρριψεν.

ἑλὼν οὖν οὕτω τὴν Καρχηδόνα Σκιπίων τῇ γερουσίᾳ ἐπέστειλε τάδε "Καρχηδὼν ἑάλω· τί οὖν κελεύετε;" ἀναγνωσθέντων οὖν τούτων βουλὴν ἔθεντο περὶ τοῦ τί δέον ποιεῖν. καὶ ὁ μὲν Κάτων κατασκάψαι τὴν πόλιν καὶ τοὺς Καρχηδονίους ἐξαφανίσαι δεῖν ἐγνωμάτευσεν, ὁ δὲ Νασικᾶς φείσασθαι τῶν Καρχηδονίων καὶ ἔτι συνεβούλευε. κἀντεῦθεν εἰς ἀντιλογίαν πολλὴν προήχθη καὶ ἀμφισβήτησιν τὸ συνέδριον, ἕως ἔφη τις, ὅτι εἰ καὶ δι' οὐδὲν ἕτερον, ἀλλά γε



ὅτι ἦρξαν τῆς διαφορᾶς οἱ Ἀχαιοὶ τοῖς Λακεδαι- 72
μονίοις ἐγκαλοῦντες (διηνέχθησαν γὰρ ἀλλήλοις), ὡς a. u.
τῶν συμβεβηκότων σφίσιν αἰτίοις γεγονόσι Διαίου 605 (149)
μάλιστα τοῦ στρατηγοῦ αὐτοὺς ἐνάγοντος. καὶ τῶν γε

[Zonaras 9, 30 sq. — vol. II, p. 336, 2 sqq.]

ἑαυτῶν ἕνεκα φείσασθαι αὐτῶν ἀναγκαῖον νομίζοιτο ἄν, ἵν' ἀνταγωνιστὰς αὐτοὺς ἔχοντες ἀρετὴν ἀσκῶσι καὶ μὴ πρὸς ἡδονὰς καὶ τρυφὴν τράπωνται, τῶν δυναμένων αὐτοὺς καταναγκάζειν εἰς ἄσκησιν τῶν πολεμικῶν περιαιρεθέντων, καὶ χείρους ὑπ' ἀνασκησίας γένωνται ἀξιοχρέους ἀντιπολέμους μὴ ἔχοντες. ἐκ τούτων οὖν τῶν λόγων πάντες κατασκάψαι τὴν Καρχηδόνα ὡμογνωμόνησαν μήποτε εἰρηνήσειν ἐκείνους πιστεύσαντες ἀκριβῶς. καὶ πᾶσα ἄρδην ἀνάστατος γέγονε, καὶ ἐπάρατον ἐψηφίσθη τὸ ἐπ' αὐτὴν κατοικῆσαί τινα. καὶ τῶν ἀνδρῶν τῶν ἁλόντων οἱ μὲν πλείους εἰς τὸ δεσμωτήριον ἐνεβλήθησαν κἀκεῖ διεφθάρησαν, ὀλίγοι δέ τινες πλὴν τῶν πάνυ πρώτων ἐπράθησαν· οὗτοι γὰρ οἵ τε ὅμηροι καὶ ὁ Ἀσδρούβας καὶ ὁ Βιθίας ἄλλοι ἄλλῃ τῆς Ἰταλίας ἐν φρουραῖς ἀδέσμοις κατεβίωσαν. ὁ δὲ Σκιπίων δόξης τε ἔτυχε καὶ τιμῆς καὶ Ἀφρικανὸς οὐκ ἀπὸ τοῦ πάππου, ἀλλ' ἀπὸ τῶν οἰκείων ἐπεκέκλητο πράξεων.

31. τότε δὲ καὶ ἡ Κόρινθος κατεσκάφη. ἐπεὶ γὰρ οἱ τῶν Ἑλλήνων κορυφαιότατοι ὑπὸ Παύλου τοῦ Αἰμιλίου μετῳκίσθησαν εἰς τὴν Ἰταλίαν, οἱ λοιποὶ τὸ μὲν πρῶτον πρεσβείαις τοὺς ἄνδρας ἀπῄτουν, ὡς δ' οὐκ ἔτυχον, καί τινες ἐκείνων τὴν οἴκαδε ἀπογνόντες ἐπάνοδον ἑαυτοὺς διεχρήσαντο, χαλεπῶς διέκειντο καὶ πένθος δημόσιον ἐποιήσαντο τοῖς τε τὰ Ῥωμαίων φρονοῦσι παρὰ σφίσιν ὠργίζοντο, οὐ
μέντοι καὶ πολέμιόν τι ἐπεδείξαντο, μέχρις οὗ τοὺς περιλι- a. u.
πεῖς τῶν ἀνδρῶν ἐκείνων ἐκομίσαντο. τότε δὲ διενεχθέντες 605 (149)
ἀλλήλοις οἵ τ' ἠδικημένοι καὶ οἱ τὰ ἀλλότρια ἔχοντες ἐπολέ-
μησαν. ἤρξαντο δὲ τῆς διαφορᾶς οἱ Ἀχαιοὶ τοῖς fr. 72,1
Λακεδαιμονίοις ἐγκαλοῦντες ὡς αἰτίοις τῶν συμ-

72, 1, 1 ἤρξαντο Zonar. ‖ τῆς διαφορᾶς Zonar., τῆσδε φόρας L ‖ 3 Διαίου R (nisi quod Διαίου ὅτι scripsit), διάγουσι L ‖ 4 αὐτὸν L

Ῥωμαίων καταλλακτὰς αὐτοῖς πολλάκις πεμψάντων οὐκ ἐπείσθησαν, ἀλλὰ καὶ τοὺς πρέσβεις, οὓς ἐκεῖνοι διασπάσαι πῃ τὸ Ἑλληνικόν, ὅπως ἀσθενέστεροι ὦσιν, ἐθελήσαντες ἔπεμψαν, πρόφασιν τὸ μὴ δεῖν τὰς πόλεις τὰς τοῦ Φιλίππου γενομένας, ὧν καὶ Κόρινθος ἦν ἔς τε τὰ ἄλλα ἀνθοῦσα καὶ ἐν τῷ συνεδρίῳ κρατιστεύουσα, μετέχειν αὐτοῦ ποιησάμενοι παρ' ὀλίγον ἦλθον
2 ἀποκτεῖναι. φυγῇ δ' οὖν αὐτῶν ἐκ τοῦ Ἀκροκορίνθου, ἐν ᾧ ἦσαν, προαποχωρησάντων ἐπρεσβεύσαντο μὲν ἐς τὴν Ῥώμην ἀπολογούμενοι ὑπὲρ τοῦ γεγονότος· οὐ γὰρ ἐπ' ἐκείνους, ἀλλ' ἐπὶ τοὺς Λακεδαιμονίους τοὺς μετ' αὐτῶν ὄντας ὁρμῆσαι ἔφασκον. τῶν δὲ Ῥωμαίων τὴν μὲν σκῆψιν αὐτῶν οὐκ ἐλεγξάντων (τοῖς τε γὰρ Καρχηδονίοις ἔτι ἐπολέμουν καὶ τὰ τῶν Μακεδόνων οὐδέπω καλῶς βέβαια εἶχον), ἄνδρας δὲ στειλάντων καὶ τὴν ἄδειαν αὐτοῖς, ἂν μηδὲν ἔτι νεωτερίσωσι, δώσειν ὑποσχομένων τὸ συνέδριον αὐτοῖς οὐ παρέσχον, ἀλλ' ἐς ἕτερον σφᾶς σύλλογον, ὃς μεθ' ἔκμηνον ἔμελλεν ἔσεσθαι, ἀνεβάλοντο. U p. 384. Zonaras 9, 31 (vol. II, p. 337, 2—6).

[Zonaras 9, 31 — vol. II, p. 337, 4 sqq.]

βεβηκότων αὐτοῖς· καὶ τῶν Ῥωμαίων διαλλακτὰς αὐτοῖς στειλάντων οὐκ ἐπείσθησαν, ἀλλὰ πρὸς πόλεμον ὥρμησαν Κριτόλαον προστησάμενοι. δείσας οὖν ὁ Μέ-
a. u. τελλος, μὴ καὶ τῆς Μακεδονίας ἅψωνται (ἤδη γὰρ εἰς τὴν
606 Θεσσαλίαν παρῆλθον) προαπήντησεν αὐτοῖς καὶ ἐτρέψατο.
(148)

καὶ τοῦ Κριτολάου πεσόντος διχῇ διῄρητο τὸ Ἑλληνικόν· οἱ μὲν γὰρ πρὸς εἰρήνην ἀπέκλιναν καὶ τὰ ὅπλα κατέθεντο, οἱ δὲ καὶ ἔτι ἐστασίαζον τῷ Διαίῳ τὰ πράγματα ἐπιτρέ-

---

2, 1 φυγῇ δ' οὖν B, φυγῇ δοῦναι L ‖ 2 ἐν ᾧ ἦσαν] ἐνόησαν L ‖ 8 δὲ ⟨δέκα⟩? B ‖ στειλάντων Leunclavius, στείλαντες L ‖ 11 μεθ' ἔκμηνον Leunclavius, μεθέγμιον L ‖ 12 ἀνεβάλλοντο L



[Zonaras 9, 31 — vol. II, p. 337, 13 sqq.]

ψαντες. ἃ μαθόντες οἱ ἐν τῇ Ῥώμῃ ἐπ' αὐτοὺς τὸν Μόμ- a. u.
μιον ἔπεμψαν. ὃς τὸν μὲν Μέτελλον ἀπήλλαξεν, αὐτὸς δὲ 608
τοῦ πολέμου εἴχετο. (146)

καί τινα πληγὴν μέρει τῆς στρατιᾶς λαβὼν ἐξ ἐνέδρας, τοῦ Διαίου καταδιώξαντος μέχρι τοῦ σφῶν στρατοπέδου τοὺς φεύγοντας, ἀντεπεξῆλθε καὶ τρεψάμενος αὐτὸν πρὸς τὸ τῶν Ἀχαιῶν ἦλθε χαράκωμα. ἀθροίσας δὲ δύναμιν ὁ Δίαιος πλείονα συμβαλεῖν αὐτοῖς ἐπεχείρησεν. ὡς δ' οὐκ ἀντεξώρμησαν οἱ Ῥωμαῖοι, κατεφρόνησεν αὐτῶν καὶ εἰς τὸ μέσον τῶν στρατοπέδων κοῖλον ὂν προῆλθεν. ἰδὼν οὖν τοῦθ' ὁ Μόμμιος τῶν ἱππέων τινὰς λάθρᾳ ἔπεμψεν, ἵν' ἐκ πλαγίου αὐτοῖς ἐπιγένωνται. καὶ ἐπεὶ ἐκεῖνοι προσβαλόντες αὐτοὺς συνετάραξαν, ἐπήγαγε τὴν φάλαγγα κατὰ πρόσωπον καὶ πολλοὺς ἐφόνευσεν. ἐκ δὲ τούτου Δίαιος μὲν ἀπογνοὺς ἑαυτὸν ἀπέκτεινε, τῶν δ' ἐκ τῆς μάχης περισωθέντων οἱ μὲν Κορίνθιοι κατὰ τὴν χώραν ἐσκεδάσθησαν, οἱ δ' ἄλλοι οἴκαδε ἔφυγον. ὅθεν καὶ οἱ ἐν τῷ τείχει Κορίνθιοι πάντας ἀπολωλέναι νομίσαντες ἐξέλιπον τὴν πόλιν· καὶ κενὴν αὐτὴν ἀνδρῶν ὁ Μόμμιος ἔλαβε. καὶ μετὰ ταῦτα κἀκείνους καὶ τοὺς ἄλλους Ἕλληνας ἀπόνως προσεποιήσατο. καὶ τότε μὲν τά τε ὅπλα αὐτῶν καὶ ὅσα πρὸς τοῖς ἱεροῖς ἀνέκειντο καὶ τοὺς ἀνδριάντας τάς τε γραφὰς καὶ εἴ τι ἄλλο πρὸς κόσμον εἶχον παρείλετο, πεμφθέντων δέ οἱ τοῦ τε πατρὸς καὶ ἄλλων ἐπὶ καταστάσει τῶν ἁλόντων τείχη τέ τινων περιεῖλε καὶ ἐλευθέρους πάντας καὶ αὐτονόμους πλὴν τῶν Κορινθίων ἀφῆκε. τῆς δὲ Κορίνθου τούς τε οἰκήτορας ἀπέδοτο καὶ τὴν χώραν ἐδημοσίωσε, τά τε τείχη καὶ τὰ ἄλλα οἰκοδομήματα πάντα κατέσκαψε φοβηθείς, μὴ καὶ αὖθίς τινες πρὸς αὐτὴν οἷα μεγίστην συστῶσιν. ἵνα δὲ μήτε τις ἐκείνων λάθῃ, μήτε τῶν λοιπῶν τις Ἑλλήνων πραθῇ ὡς Κορίνθιος, συνεκάλεσε, πρὶν ἐκφῆναι τὸ ποιητέον, πάντας τοὺς παρόντας καὶ αὐτοὺς ἀφανῶς πως τοῖς στρατιώταις ἐγκυκλωσάμενος ἐκήρυξε τήν τε τῶν ἄλλων ἐλευθερίαν καὶ τὴν τῶν Κορινθίων δούλωσιν. ἔπειτα προσέταξε πᾶσι τῶν παρεστηκότων σφίσι λαβέσθαι καὶ οὕτω σαφῆ τὴν διάκρισιν αὐτῶν ἐποιήσατο.

καὶ ἡ μὲν Κόρινθος οὕτως ἀνάστατος γέγονε, τὸ δ' ἄλλο

73 ὅτι Οὐιρίαθος ἀνὴρ Λυσιτανὸς ἀφανέστατος μὲν γένος, ὥς γέ τισι δοκεῖ, ὤν, περιβοητότατα δὲ ταῖς πράξεσι χρησάμενος, λῃστής τε γὰρ ἐκ ποιμένος καὶ

[Zonaras 9, 31 — vol. II, p. 338, 24 sqq.]

Ἑλληνικὸν παραχρῆμα μὲν καὶ σφαγαῖς καὶ χρημάτων ἐκλογαῖς ἐκακώθη, ἔπειτα ἔν τε ἀδείᾳ καὶ ἐν εὐδαιμονίᾳ τοσαύτῃ ἐγένετο, ὥστε λέγειν ὅτι, εἰ μὴ θᾶττον ἑαλώκεισαν, οὐκ ἂν ἐσέσωντο.

ἡ μὲν οὖν Καρχηδὼν ἥ τε Κόρινθος αἱ ἀρχαῖαι ἐκεῖναι τοῦτο τέλος ἅμα ἔσχον, χρόνῳ δὲ πολλῷ ὕστερον ἀποικίαν Ῥωμαίων λαβοῦσαι ἤνθησαν αὖθις καὶ εἰς τὴν παλαιὰν ἐπανῆλθον κατάστασιν.

τὰ μὲν οὖν μέχρι τοῦδε πεπραγμένα Ῥωμαίοις βίβλων τυχὼν τῶν πάλαι ταῦτα ἱστορησάντων ἀρχαίων ἀνδρῶν ἐκεῖθεν ἐξείληφα κατ' ἐπιτομὴν καὶ τῷ συγγράμματι τούτῳ ἐντέθεικα, ἐπὶ δὲ τοῖς ἑξῆς, ἃ τοῖς ὑπάτοις καὶ τοῖς δικτάτωρσιν ἐπράχθη, μέχρις ἂν ταῖς ἀρχαῖς ταύταις τοῖς ἐν τῇ Ῥώμῃ διῳκεῖτο τὰ πράγματα, μή μέ τις αἰτιῷτο ὡς ἢ καταφρονήσει ἢ ῥαθυμίᾳ ἢ ὄκνῳ ταῦτα παρελθόντα καὶ ἀτελὲς οἷον ειακότα τὸ σύγγραμμα. οὐ γὰρ ῥαστώνῃ μοι τὰ λείποντα παρεώραται, οὐδ' ἡμιτελὲς ἑκὼν τὸ πόνημα καταλέλοιπα, ἀλλ' ἀπορίᾳ βίβλων, αἵπερ αὐτὰ διεξίασι, καὶ ταῦτα πολλάκις ζητήσαντί μοι ταύτας, μὴ εὑρηκότι δ' ὅμως, οὐκ οἶδα εἴθ' ὅτι μὴ σῴζοιντο τοῦ χρόνου διεφθαρκότος αὐτάς, εἴθ' ὅτι μὴ φροντιστικώτερον τὴν τούτων ἴσως ζήτησιν ἐποιήσαντο, οἷς αὐτὴν ἀνεθέμην, αὐτὸς ὑπερόριος ὢν καὶ πόρρω τοῦ ἄστεος ἐν νησιδίῳ ἐνδιαιτώμενος. ὅτι γοῦν μοι ταῖς βίβλοις ταύταις νῦν οὐκ ἐξεγένετο ἐντυχεῖν, ἡμίεργος ἐντεῦθεν ὅσον ἐπὶ τοῖς τῶν ὑπάτων ἔργοις, ἀλλὰ μέντοι καὶ τοῖς τῶν δικτατώρων ἡ ἱστορία γεγένηται. παρελθὼν οὖν αὐτὰ καὶ ἄκων τὰ τῶν αὐτοκρατόρων συγγράψομαι μικρά τινα προδιηγησάμενος, ἵν' ὅθεν εἰς αὐταρχίαν ἐξ ἀριστοκρατίας ἢ καὶ δημοκρατίας οἱ Ῥωμαῖοι μετηνέχθησαν, δῆλον εἴη τοῖς ἀναγνωσομένοις τὸ σύγγραμμα, ἅμα τε πρὸς τούτῳ καὶ ἀκολουθίας ἔχοιτο ἡ γραφή.

73, 1, 3 γὰρ] γέγονεν Reiske



μετὰ τοῦτο καὶ στρατηγός. ἐπεφύκει γὰρ καὶ ἤσκητο
τάχιστος μὲν διῶξαί τε καὶ φυγεῖν, ἰσχυρότατος δὲ ἐν
σταδίᾳ μάχῃ εἶναι· καὶ τήν τε τροφὴν τὴν ἀεὶ παρ- 2
οῦσαν καὶ τὸ ποτὸν τὸ προστυχὸν ἥδιστα ἐλάμβανεν,
ὑπαίθριός τε τὸν πλείω τοῦ βίου χρόνον διῃτᾶτο καὶ
ταῖς αὐτοφυέσι στρωμναῖς ἠρκεῖτο. καὶ διὰ ταῦτα
παντὸς μὲν καύματος, παντὸς δὲ ψύχους κρείσσων ἦν
καὶ οὔθ' ὑπὸ λιμοῦ ποτε ἐπόνησεν οὔθ' ὑπὸ ἄλλης
τινὸς ἀηδίας ἐταλαιπώρησεν ἅτε καὶ πάντων τῶν ἀν-
αγκαίων ἐκ τῶν ἀεὶ παρόντων ὡς καὶ ἀρίστων ἀπο-
λαύων ἱκανώτατα. τοιούτου δ' αὐτῷ τοῦ σώματος καὶ 3
ἔκ τῆς φύσεως καὶ ἐκ τῆς ἀσκήσεως ὄντος πολὺ ταῖς
τῆς ψυχῆς ἀρεταῖς ὑπερέφερε. ταχὺς μὲν γὰρ πᾶν τὸ
δέον ἐννοῆσαι καὶ ποιῆσαι ἦν (τό τε γὰρ πρακτέον
ἅμα ἐγίγνωσκε καὶ τὸν καιρὸν αὐτοῦ ἠπίστατο), δεινὸς
δὲ τά τε ἐμφανέστατα ἀγνοεῖν καὶ τὰ ἀφανέστατα εἰδέναι
προσποιήσασθαι. πρὸς δ' ἔτι καὶ στρατηγὸς καὶ ὑπη- 4
ρέτης αὐτὸς ἑαυτοῦ ἐς πάντα ὁμοίως γιγνόμενος οὔτε
ταπεινὸς οὔτε ἐπαχθὴς ἑωρᾶτο, ἀλλ' οὕτω πρός τε
τὴν τοῦ γένους ἀσθένειαν καὶ πρὸς τὴν τῆς ἰσχύος
ἀξίωσιν ἐκέκρατο, ὥστε μήτε χείρων τινὸς μήτε κρείσ-
σων δοκεῖν εἶναι. τό τε σύμπαν εἰπεῖν οὔτε πλεονε-
ξίας οὔτε δυναστείας ἢ καὶ ὀργῆς ἕνεκα τὸν πόλεμον,
ἀλλὰ δι' αὐτὰ τὰ ἔργα αὐτοῦ ἐποιεῖτο κἀκ τούτου τὰ
μάλιστα καὶ φιλοπόλεμος καὶ εὐπόλεμος ἐλογίσθη.
V p. 614.

ὅτι ὁ Κλαύδιος ὁ συνάρχων Μετέλλου, πρός τε τὸ 74

6 εἶναι] μεῖναι B ‖ 2, 7 ἀηδίας V, ἀκηδίας L ‖ 8 ἀπολαύων ἱκανώτατα] ἀπολαύειν ἱκανώτατος Naber ‖ 3, 2 ταῖς V, ἐς L ‖ 4 ἐννοῆσαι St, ἐκνοῆσαι L ‖ 6 δὲ Reiske, γὰρ L ‖ 4, 4 ἰσχύος ἀξίωσιν] ἀξιώσεως ἰσχύν Reiske

a. u. 611 (143) γένος ὠγκωμένος καὶ τῷ Μετέλλῳ φθονῶν, ἔτυχεν ἐν
τῇ Ἰταλίᾳ λαχὼν ἄρχειν καὶ πολέμιον οὐδὲν ἀποδε-
δειγμένον εἶχε καὶ ἐπεθύμησε πάντως τινὰ ἐπινικίων
πρόφασιν λαβεῖν καὶ Σαλάσσους Γαλάτας μὴ ἐγκαλου-
μένους τι ἐξεπολέμωσε τοῖς Ῥωμαίοις. ἐπέμφθη γὰρ
ὡς συμβιβάσων αὐτοὺς τοῖς ὁμοχώροις περὶ τοῦ ὕδα-
τος τοῦ ἐς τὰ χρυσεῖα ἀναγκαίου διαφερομένους [αὐ-
τοὺς] καὶ τήν τε χώραν αὐτῶν πᾶσαν κατέδραμεν . . .
ἔπεμψαν δὲ αὐτῷ οἱ Ῥωμαῖοι ἐκ τῶν δέκα ἱερέων δύο.
V p. 617.

2 ὅτι Κλαύδιος, εἰ καὶ τὰ μάλιστα ἀκριβῶς ἠπίστατο,
ὅτι οὐκ ἐνενικήκει, ἀλλ᾽ οὖν καὶ τότε τοσαύτῃ ὑπερ-
ηφανίᾳ ἐχρήσατο, ὥσθ᾽ ὑπὲρ μὲν τῶν ἐπινικίων μη-
δένα λόγον μήτε ἐν τῇ βουλῇ μήτε ἐν τῷ δήμῳ ποιή-
σασθαι, καθάπερ δὲ ὑπαρχόντων οἱ πάντως αὐτῶν,
κἂν μηδεὶς ψηφίσηται, τὰ ἐς αὐτὰ ἀναλώματα αἰτῆσαι.
V ib.

75 ὅτι Μόμμιος καὶ ὁ Ἀφρικανὸς παμπληθὲς ἀλλήλων
a. u. 612 (142) τοῖς τρόποις ἐς πάντα διέφερον. ὁ μὲν γὰρ ἐπί τε τὸ
σωφρονέστατον καὶ μετ᾽ ἀκριβείας μηδενὸς μηδὲν
προτιμῶν ἦρξε καὶ πολλοὺς μὲν ἐκ τῆς βουλῆς, πολ-
λοὺς δὲ καὶ ἐκ τῶν ἱππέων τῶν τε ἄλλων ὡς ἑκάστους
εὔθυνεν· ὁ δὲ δὴ Μόμμιος πρός τε τὸ δημοτικώτερον
καὶ πρὸς τὸ ἀνθρωπινώτερον οὔτ᾽ αὐτός τινι κηλῖδα
προσέθηκε καὶ συχνὰ τῶν ὑπ᾽ ἐκείνου πραχθέντων,
2 ὅσα γε καὶ ἐνεδέχετο, κατέλυσεν. ἐς τοσοῦτον γὰρ
ἐπιεικείας φύσει προήκων ἦν, ὥστε καὶ τῷ Λουκούλλῳ

74, 1, 2 γένος V, γεγονὼς L ‖ 5 Συλάσσους L, corr. R ‖ 8 [αὐτοὺς] del. V ‖ 9 post κατέδραμεν lacunam statuit B ‖ 75, 1, 1 Μόμμιος V, Κλαύδιος L ‖ 2 ⟨τὰ⟩ πάντα Reiske ‖ 5 ἑκάστους] πλείστους St



χρῆσαί τε ἀγάλματα πρὸς τὴν τοῦ Τυχαίου, ὃ ἐκ τοῦ
Ἰβηρικοῦ πολέμου κατεσκεύασε, καθιέρωσιν, καὶ μὴ
βουληθέντος αὐτὰ ὡς καὶ ἱερὰ ἐκ τῆς ἀναθέσεως γε-
γονότα ἀποδοῦναι μηδεμίαν ὀργὴν ποιήσασθαι, ἀλλ᾽
ἐπὶ τῷ ἐκείνου ὀνόματι τὰ ἑαυτοῦ λάφυρα περιιδεῖν
ἀνακείμενα. V p. 618.

ὅτι Πομπήιος πολλὰ καὶ ἐσφάλη καὶ αἰσχύνην δει- 76
νὴν ὦφλεν· ποταμὸν γάρ τινα διὰ τῆς τῶν Νουμαν- a. u.
τίνων χώρας ῥέοντα βουληθεὶς ἐκ τῆς ἀρχαίας διεξό- 614 (140)
δου παρατρέψαι, ἐπὶ δὲ τοὺς ἀγροὺς αὐτῶν ἐφεῖναι
τοῦτο μὲν ἰσχυρῶς πονηθεὶς ἐξειργάσατο. πολλοὺς δὲ
στρατιώτας ἀποβαλὼν οὔτε τοῖς Ῥωμαίοις ὄφελος ἐκ
τῆς παρεκτροπῆς γενέσθαι οὔτε ἐκείνοις βλάβος . . . .
V ib.

ὅτι Καιπίων τοὺς μὲν πολεμίους οὐδὲν ὅ,τι καὶ 77
ἄξιον εἰπεῖν, τοὺς δὲ οἰκείους πολλὰ καὶ δεινὰ ἔδρα-
σεν, ὥστε καὶ κινδυνεῦσαι ὑπ᾽ αὐτῶν ἀπολέσθαι. χα-
λεπῶς τε γὰρ αὐτοῦ καὶ τραχέως τοῖς τε ἄλλοις καὶ
μάλιστα τοῖς ἱππεῦσι χρωμένου πολλοὶ πολλὰ καὶ
ἄτοπα ταῖς νυξὶν ὅτι μάλιστα διέσκωπτον καὶ διεθρό-
ουν, καὶ ἐφ᾽ ὅσον γε ἐκεῖνος διὰ τοῦτ᾽ ἠγανάκτει, ἐπὶ
πλεῖον ἐτώθαζον, ὅπως ἐξοργίζοιτο. ὡς οὖν τὸ πρατ- 2
τόμενον ἔνδηλον ἦν, ὑπεύθυνος δὲ οὐδεὶς εὑρίσκετο,
ὑποτοπήσας ὑπὸ τῶν ἱππέων αὐτὸ γίγνεσθαι καὶ ἐς
οὐδένα τρέψαι δυνηθεὶς τὴν αἰτίαν πᾶσιν αὐτοῖς τὴν
ὀργὴν ἔφερεν καὶ ἐκέλευσεν αὐτοὺς ἑξακοσίους ὄντας
τὸν ποταμόν, παρ᾽ ᾧ ἐστρατοπεδεύοντο, μετὰ μόνων

76, 1 Πομπήιος omisit L, sed in marg. περὶ Πομπηίου ‖ πολλὰ ⟨πονήσας⟩ Reiske ‖ 4 παρατρέψαι V, παραστρέψαι L ‖ 7 βλάβος . . .] lacunam Reiske explevit verbo ⟨ἐποίησε⟩ ‖ 77, 1, 1 Καιπίων R, Καπίων L ‖ 2, 5 ἔφερεν] ἐπέφερεν R ‖ 6 μόνων ⟨τῶν⟩ Reiske

ἱπποκόμων διαβῆναι καὶ ἐκ τοῦ ὄρους, ἐφ' ᾧ ὁ Οὐι-
ριάδος ηὐλίζετο, ξυλίσασθαι. προύπτου δὲ δὴ τοῦ κιν-
δύνου πᾶσιν ὄντος οἱ χιλίαρχοι καὶ οἱ ὑποστράτηγοι
3 ἐδέοντο αὐτοῦ μὴ ἀπολέσαι σφᾶς. οἱ δὲ ἱππεῖς ὀλίγον
ἐπισχόντες ὡς καὶ ἐκείνων αὐτοῦ ἀκούσοντος, ἐπειδὴ
μηδὲν ἐνεδίδου, ἱκετεῦσαι μὲν αὐτὸν ἀπηξίωσαν, οὔ-
περ που καὶ τὰ μάλιστα ἐγλίχετο, διολέσθαι δὲ μᾶλ-
λον ἤ τι ἐπιεικὲς φθέγξασθαι πρὸς αὐτὸν ἑλόμενοι
ὥρμησαν ἐπὶ τὸ τεταγμένον· καὶ αὐτοῖς τό τε τῶν
συμμάχων ἱππικὸν καὶ ἄλλοι ἐθελονταὶ συνεξῆλθον.
καὶ τόν τε ποταμὸν διέβησαν καὶ τὴν ὕλην τεμόντες
περὶ τὸ στρατήγιον αὐτοῦ παρενέβαλον ὡς καὶ κατα-
πρήσοντες αὐτόν. κἂν κατεκαύθη, εἰ μὴ προεξέφυγεν.
V p. 618.

78 ὅτι Ποπίλιος οὕτω κατεφόβησε τὸν Οὐιριάδον,
a. u. ὥστε καὶ ὑπὲρ σπονδῶν οἱ εὐθύς, πρὶν καὶ μάχης τι-
615 (139) νὸς πειραθῆναι, προσπέμψαι τούς τε κορυφαίους τῶν
ἀποστάντων ἀπὸ τῶν Ῥωμαίων ἐξαιτηθέντα τοὺς μὲν
ἀποκτεῖναι, ἐν οἷς καὶ ὁ κηδεστὴς αὐτοῦ [ἦν] καίπερ ἰδίαν
δύναμιν ἔχων ἐφονεύθη, τοὺς δὲ καὶ ἐκδοῦναι, ὧν
πάντων ὁ ὕπατος τὰς χεῖρας ἀπέκοψεν. κἂν παντελῶς
κατελύσατο, εἰ μὴ καὶ τὰ ὅπλα ᾐτήθη· τοῦτο γὰρ
οὔτ' αὐτὸς οὔτε το λοιπὸν πλῆθος ὑπομεῖναι ἐποίησεν.
U p. 383.

79 ὅτι ἐλθόντων Νουμαντίνων πρέσβεων οἱ Ῥωμαῖοι
ἔξω τοῦ τείχους ἐδέξαντο αὐτούς, ἵνα μὴ καὶ βεβαιοῦν

3, 2 καὶ] κἂν B ‖ ἀκούσοντος] ἀκούσαντος B ‖ ἐπειδὴ V, ἐπεὶ δὲ L ‖ 9 στρατήγιον St coll. Dio 76, 14, στρατηγεῖον L ‖ παρενέβαλον] παρέβαλον? B ‖ 78, 4 ἀποστάντων ἀπὸ R, ἀποστατῶν U, ἀπροστατῶν L ‖ 5 [ἦν] del. R ‖ 9 αὐτὸς] αὐτὸν R ‖ ὑπομεῖναι ἐποίησεν] ποιῆσαι ὑπέμεινεν ? B, ὑπομεῖναι ἔφησεν Reiske, ἐποίησεν iam Ursinum offenderat



ἐκ τούτου τὰς σπονδὰς δόξωσι. ξένια μέντοι σφίσι a. u. 618
καὶ ὣς ἐξέπεμψαν μὴ βουληθέντες πω τὴν ἐλπίδα αὐ- (136)
τῶν ὡς καὶ συναλλαγησομένων ἀφελέσθαι. ἔλεγον δὲ 2
οἱ μὲν περὶ τὸν Μαγκῖνον τήν τε ἀνάγκην τῶν ὡμο-
λογημένων καὶ τὸ πλῆθος τῶν σεσωσμένων, ὅτι τε
πάνθ' ὅσα καὶ πρότερον ἐν τῇ Ἰβηρίᾳ ἐκέκτηντο εἶχον.
ἠξίουν τ' αὐτοὺς μὴ πρὸς τὴν παροῦσαν σφῶν ἄδειαν,
ἀλλὰ πρὸς τὸν τότε περιστάντα τοὺς στρατιώτας κίν-
δυνον ἐκλογίζεσθαι, οὐχ ὅσα ἔδει γεγονέναι, ἀλλ ὅσα
ἐνεδέχετο πραχθῆναι. οἱ δὲ Νουμαντῖνοι πολλὰ μὲν 3
περὶ τῆς προτέρας σφῶν ἐς αὐτοὺς εὐνοίας, πολλὰ δὲ
καὶ περὶ τῆς ἐκείνων μετὰ ταῦτα ἀδικίας, ὑφ' ἧς ἐς
τὸν πόλεμον κατέστησαν, τήν τε τοῦ Πομπηίου ψευ-
δορκίαν προέφερον καὶ τῆς τοῦ Μαγκίνου καὶ τῶν
ἄλλων σωτηρίας εὐργεσίαν ἀπῄτουν. ⟨οἱ δὲ Ῥωμαῖοι⟩
καὶ τὰς σπονδὰς ἔλυσαν καὶ τὸν Μαγκῖνον ἐκδοθῆναι
τοῖς Νουμαντίνοις ἔγνωσαν. U p. 383.

ὅτι ὁ Κλαύδιος πολλὰ ἂν καὶ ἄτοπα ὑπὸ τραχύτη- 80
τος εἰργάσατο, εἰ μήπερ ὁ συνάρχων αὐτοῦ Κύιντος
ἐκώλυσεν. ἐπιεικὴς γὰρ ὢν καὶ ἐναντιωτάτην αὐτῷ
φύσιν ἔχων ὀργῇ μὲν οὐδέν οἱ ἀντέπραξεν, ἐνδιδοὺς
δέ πῃ καὶ πράως πως αὐτῷ χρώμενος οὕτως αὐτὸν
μετεχειρίσατο, ὥστε ἐλάχιστα πικράνασθαι. V p. 621.

ὅτι ὁ Φούριος ἐξήγαγεν ἐν τοῖς ὑποστρατήγοις τὸν 81
Πομπήιον καὶ τὸν Μέτελλον καίπερ καὶ ἑαυτῷ καὶ
ἀλλήλοις ἐχθροὺς ὄντας, ὅπως ὡς καὶ μέγα τι πράξων
τόν τε ἔλεγχον τῶν ἔργων ἀκριβῆ δι' αὐτῶν ποιήση-
ται καὶ τὴν μαρτυρίαν τῆς ἀρετῆς καὶ παρὰ ἀκόντων
σφῶν λάβῃ. V ib.

79, 1, 3 μέντοι R, μὲν τοῖς L ‖ 3, 3 ἐς et 4 τοῦ om. Leunclavius ‖ 6 ⟨οἱ δὲ Ῥωμαῖοι⟩ add. Leunclavius ‖ 81, 1 Φρούριος L

82 ὅτι ὁ Γράκχος ὁ Τιβέριος ἐτάραξε τὰ τῶν Ῥωμαίων
καίπερ καὶ γένους ἐς τὰ πρῶτα πρὸς τὸν πάππον τὸν
Ἀφρικανὸν ἀνήκων καὶ φύσει ἀξίᾳ αὐτοῦ χρώμενος
τά τε τῆς παιδείας ἔργα ἐν τοῖς μάλιστα ἀσκήσας καὶ
φρόνημα μέγα ἔχων. ὅσῳ γὰρ πλείω καὶ ἰσχυρότερα
ταῦτα ἐκέκτητο, μᾶλλον ἔς τε φιλοτιμίαν ἀπ᾽ αὐτῶν
προήχθη καί, ἐπειδὴ ἅπαξ ἔξω τοῦ βελτίστου παρε-
2 τράπη, καὶ ἄκων ἐς τὸ κάκιστον ἐξώκειλεν. ἐπειδὴ
γὰρ αὐτῷ τὰ τῶν Νουμαντίνων ἐπινίκια ἀπεψηφίσθη,
καὶ αὐτὸς τιμηθήσεσθαι πρότερον ἅτε καὶ πρυτανεύ-
σας αὐτὰ ἐλπίσας οὐχ ὅπως τοιούτου τινὸς ἔτυχεν,
ἀλλὰ καὶ προσεκινδύνευσεν ἐκδοθῆναι, ἔγνω καὶ τὰ
πράγματα οὐκ ἀπ᾽ ἀρετῆς οὐδὲ ἀπ᾽ ἀληθείας, ἀλλ᾽ ὥς
3 που καὶ ἔτυχεν ἐξεταζόμενα. ταύτην μὲν τὴν ὁδὸν
τῆς δόξης ὡς οὐκ ἀσφαλῆ ἀφῆκε, τρόπον δέ τινα πρω-
τεῦσαι πάντως ἐπιθυμήσας καὶ τοῦτο διὰ τοῦ ὁμίλου
μᾶλλον ἢ τῆς βουλῆς ἐξεργάσεσθαι προσδοκήσας ἐκείνῳ
προσέθετο. V p. 621.

4 ὅτι Μᾶρκος Ὀκταούιος τῷ Γράκχῳ διὰ φιλονεικίαν
a. u. συγγενικὴν ἑκὼν ἀντηγωνίζετο. καὶ ἐκ τούτου οὐδὲν
621 (133) μέτριον ἐπράττετο, ἀλλ᾽ ἀντιφιλονεικοῦντες περιγενέ-
σθαι μᾶλλον ἀλλήλων ἢ τὸ κοινὸν ὠφελῆσαι πολλὰ
μὲν καὶ βίαια ὥσπερ ἐν δυναστείᾳ τινί, ἀλλ᾽ οὐ δη-
μοκρατίᾳ ἔπραξαν, πολλὰ δὲ] καὶ ἄτοπα ὥσπερ ἐν
5 πολέμῳ τινί, ἀλλ᾽ οὐκ εἰρήνῃ ἔπαθον. τοῦτο μὲν γὰρ
εἷς πρὸς ἕνα, τοῦτο δὲ πολλοὶ κατὰ συστάσεις λοιδο-

82, 1, 2 τοῦ πάππου τοῦ Ἀφρικανοῦ Reiske, sed cf. fr. 33, 31, 2 et fr. 56, 65, 13 ‖ 6 ἐκέκτηντο L, corr. V ‖ 2, 2 αὐτῷ sc. Mancino, unde Αὔλῳ V, ὑπάτῳ vel τῷ ὑπάτῳ R ‖ 3 πρότερον] λαμπρότερον vel προθυμότερον vel προχειρότερον Reiske ‖ 5 ἔγνω καὶ] καὶ ἔγνω R ‖ 6 ἀπ᾽ V, ἐπ᾽ L ‖ 3, 4 ἐξεργάσεσθαι D, ἐξεργάσασθαι L ‖ 4, 2 ἑκὼν] ἐχθρὸς ὢν Reiske ‖ 5, 2 συστάσεις Reiske, στάσεις L



ρίας τε ἐπαχθεῖς καὶ μάχας, οὐχ ὅτι κατὰ τὴν ἄλλην
πόλιν, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ βουλευτηρίῳ τῇ τε ἐκ-
κλησίᾳ ἐποιοῦντο, τῇ μὲν [γὰρ] προφάσει τῇ τοῦ νό-
μου χρώμενοι, τῷ δὲ ἔργῳ καὶ ἐς τὰ ἄλλα πάντα δια-
σπευδόμενοι, ὥστε ἐν μηδενὶ ἀλλήλων ἐλαττοῦσθαι.
κἀκ τούτου οὔτ᾽ ἄλλο τι τῶν εἰθισμένων ἐν κόσμῳ 6
συνέβαινεν οὔθ᾽ αἱ ἀρχαὶ τὰ νενομισμένα ἔπρασσον,
τὰ δὲ δικαστήρια ἐπέπαυτο καὶ συμβόλαιον οὐδὲν ἐγί-
γνετο, ἀλλ᾽ ἥ τε ταραχὴ καὶ ἡ ἀκρισία πανταχοῦ πολλὴ
ἦν· καὶ ὄνομα πόλεως ἔφερον, στρατοπέδου δὲ οὐδὲν
ἀπεῖχον. V p. 622.

ὅτι ὁ Γράκχος τοῖς στρατευομένοις ἐκ τοῦ ὁμίλου 7
νόμους τινὰς ἐπικουροῦντας ἔγραφε καὶ τὰ δικαστήρια
ἀπὸ τῆς βουλῆς ἐπὶ τοὺς ἱππέας μετῆγε φύρων καὶ
ταράσσων πάντα τὰ καθεστηκότα, ὅπως ἔκ γε τούτου
ἀσφαλείας τινὸς ἐπιλάβηται. καὶ ὡς οὐδὲν οὐδὲ ἐν- 8
ταῦθα αὐτῷ προεχώρει, ἀλλὰ καὶ ἐπ᾽ ἐξόδῳ τῆς ἀρχῆς
ἦν καὶ ἔμελλεν ἀπαλλαγεὶς αὐτῆς αὐτίκα τοῖς ἐχθροῖς
ὑποβληθήσεσθαι, ἐπεχείρησε καὶ ἐς τὸ ἐπιὸν ἔτος μετὰ
τοῦ ἀδελφοῦ δημαρχῆσαι καὶ τὸν πενθερὸν ὕπατον
ἀποδεῖξαι μηδὲν μήτ᾽ εἰπεῖν μήθ᾽ ὑποσχέσθαι τισὶν
ὀκνῶν. καὶ πενθίμην ἐσθῆτα πολλάκις ἐνεδύετο τήν
τε μητέρα καὶ τὰ παιδία ἐς τὸ πλῆθος παρῆγε συν-
δεόμενα. V ib.

ὅτι Σκιπίων ὁ Ἀφρικανὸς φιλοτιμίᾳ πλείονι παρὰ 83
τὸ προσῆκον τό τε ἁρμόζον τῇ ἄλλῃ αὐτοῦ ἀρετῇ a. u.
ἐχρῆτο. οὐκοῦν οὐδὲ τῶν ἀντιστασιωτῶν τις αὐτῷ 625 (129)
θανόντι ἐφήσθη, ἀλλὰ καὶ ἐκεῖνοι καίπερ βαρύτατον

5, 5 [γὰρ] del. Reiske, γε St ‖ 6, 6 ἀπεῖχον V, εἶχον L ‖ 7, 2 νόμους] νόμον L ‖ 83, 1, 3 ἀντιστασιωτῶν L. Dindorf in Thes. Steph. s. v., ἀντιστασιαστῶν L

αὐτόν σφισι νομίζοντες εἶναι ἐπόθησαν· χρήσιμόν τε
γὰρ πρὸς τὰ κοινὰ ἑώρων καὶ δεινὸν οὐδὲν οὐδ' ἂν
2 σφεῖς παθεῖν ἀπ' αὐτοῦ προσεδόκων. ὑπεξαιρεθέντος
δὲ τούτου πάντα αὖθις τὰ τῶν δυνατῶν ἠλαττώθη,
ὥστε ἐπ' ἀδείας τοὺς γεωνόμους πᾶσαν ὡς εἰπεῖν τὴν
Ἰταλίαν πορθῆσαι. καί μοι ἐς τοῦτο ὅτι μάλιστα ἀπο-
σκῆψαι ⟨δοκεῖ⟩ τό τε πλῆθος τῶν λίθων τῶν ἐκ τοῦ
οὐρανοῦ κατενεχθέντων καὶ ἐς ναούς τέ τινας ἐμπεσόν-
των καὶ ἀνθρώπους ἀποκτεινάντων καὶ τὰ δάκρυα τοῦ
a. u. 623 Ἀπόλλωνος. ἔκλαυσεν γὰρ ⟨ἔκλαυσεν⟩ ἐπὶ τρεῖς ἡμέρας,
(131) ὥστε τοὺς Ῥωμαίους κατακόψαι τε τὸ βρέτας καὶ κατα-
ποντῶσαι ἐκ συμβουλῆς μάντεων ψηφίσασθαι. V p. 625.
84 ὅτι ὁ Γράκχος τὴν μὲν γνώμην ὁμοίαν τῷ ἀδελφῷ
εἶχεν, πλὴν καθ' ὅσον ἐκεῖνος ⟨μὲν⟩ ἀπ' ἀρετῆς ἐς
φιλοτιμίαν καὶ ἐξ αὐτῆς ἐς κακίαν ἐξώκειλεν, οὗτος δὲ
ταραχώδης τε φύσει ἦν καὶ ἑκὼν ἐπονηρεύετο, τῇ δὲ
δὴ παρασκευῇ τῶν λόγων πολὺ αὐτοῦ προέφερε. καὶ
διὰ ταῦτα ταῖς τε ἐπινοίαις κακοτροπωτέραις καὶ ταῖς
τόλμαις προχειροτέραις τῇ τε αὐθαδείᾳ πλείονι πρὸς
2 πάντα ὁμοίως ἐχρῆτο. πρῶτός τε ἐν τοῖς συλλόγοις
μεταξὺ δημηγορῶν ἐβάδιζε καὶ τὸν βραχίονα πρῶτος
ἀπεγύμνωσεν, ὥστε μηδέτερον αὐτῶν κακὸν ἐξ ἐκείνου
νομισθῆναι. καὶ ἐπειδή γε πολλῇ μὲν πυκνότητι ἐν-
θυμημάτων, πολλῇ δὲ καὶ σφοδρότητι ὀνομάτων ἐπί-
παν ἐδημηγόρει καὶ ἐκ τούτου οὔτε κατέχειν ῥᾳδίως
ἑαυτὸν ἠδύνατο καὶ [ἐπειδὴ] πολλάκις ἐς ἃ οὐκ ἤθελεν

---

2, 5 ⟨δοκεῖ⟩ inseruit V ‖ 6 τε B, γε L ‖ 8 alterum ἔκλαυσεν delendum censet Herwerden, in prioris locum adverbium substituendum esse coniecit Schenkl ‖ 10 ψηφίσασθαι] ψηφισθῆναι V ‖ 84, 1, 2 ⟨μὲν⟩ inseruit V ‖ 2, 2 δημηγορῶν B, δημηγοριῶν L ‖ 3 αὐτῶν κακὸν Salmasius, κακὸν αὐτῶν L ‖ 7 [ἐπειδὴ] del. Reiske



εἰπεῖν ἐξεφέρετο, αὐλητὴν ἐπήγετο καὶ παρ' ἐκείνου
ὑπαυλοῦντός οἱ ἐρρυθμίζετο καὶ ἐμετρίαζεν ἢ καί, εἴ
πῃ καὶ ὣς ἐξέπιπτεν, καθίστατο. τοιοῦτος οὖν δή τις 3
ὢν τῇ τε πολιτείᾳ ἐπέθετο καὶ οὐδὲν ἀπώμοτον οὔτ'
εἰπεῖν οὔτε πρᾶξαι προσποιούμενος μέγιστος δι' ἐλα-
χίστου παρά τε τῷ ὁμίλῳ καὶ τοῖς ἱππεῦσιν ἐγένετο.
τό τε γενναῖον καὶ τὸ βουλεῦον πᾶν, εἰ ἐπὶ πλεῖον
ἐβεβιώκει, . . . νῦν δ' ὑπὸ τῆς πολλῆς δυναστείας ἐπί- a. u. 633
φθονος καὶ τοῖς στασιώταις γενόμενος ταῖς ἑαυτοῦ (121)
τέχναις ἐσφάλη. V ib.
ὅτι αἱ ἱέρειαι τὸ πλεῖστον αὐταὶ τοῦ τε ὀλέθρου 85
καὶ τῆς αἰσχύνης ὦφλον, συχνοῖς δὲ δὴ καὶ ἄλλοις a. u. 640
μεγάλων κακῶν αἴτιαι ἐγένοντο, ἥ τε πόλις ἅπασα (114)
ἀπ' αὐτῶν ἐταράχθη. ἐκλογιζόμενοι γάρ, ὅτι τὰ ὑπὸ
τοῦ νόμου ἄχραντα καὶ τὰ ὑπὸ τῆς θρησκείας ἅγια
ἔκ τε τοῦ φόβου τῆς τιμωρίας κόσμια ἐλυμάνθη, οὐ-
δὲν ὅ,τι οὐχ ὑπετόπουν τῶν αἰσχίστων καὶ ἀνοσιωτά-
των δύνασθαι γενέσθαι. καὶ διὰ τοῦτο καὶ τὰς κολά- 2
σεις οὐ μόνον τῶν ἐλεγχθέντων, ἀλλὰ καὶ τῶν ἄλλων
πάντων τῶν αἰτιαθέντων μίσει τοῦ συμβεβηκότος
ἐποιήσαντο. ὅθεν οὐκ ἐκ γυναικείας αἰτίας [ἀλγεῖν],
ἀλλ' ἐκ δαιμονίας τινὸς ὀργῆς σύμπαντα ⟨τὰ⟩ κατ'
αὐτὰς συμβῆναι ἔδοξεν. V p. 626.
ὅτι τρεῖς ἅμα ἠνδρώθησαν, καὶ αὐτῶν Μαρκία μὲν 3
αὐτή τε καθ' ἑαυτὴν καὶ πρὸς ἕνα τινὰ ἱππέα ᾐσχύνθη

---

2, 9 ἢ delendum censet Reiske ‖ 3, 3 προσποιούμενος V, ποιούμενος L ‖ 6 ἐβεβαιώκει L, ἐβεβιώκει R, qui idem statuit lacunam, ⟨κατέλυσεν ἂν⟩ vel ⟨ἐταπείνωσεν ἂν⟩ vel ⟨ἠλάττωσεν ἂν⟩ suppl. Reiske ‖ 85, 1, 1 τὸ πλεῖστον αὐταὶ τοῦ] τὸ ⟨μὲν⟩ πλεῖστον αὐταὶ ⟨αὐταῖς⟩ τοῦ Reiske ‖ 6 φόβου V, φθόνου L ‖ 2, 4 ⟨δεινὰς⟩ vel ⟨πικρὰς⟩ ἐποιήσαντο Reiske ‖ [ἀλγεῖν] seclusit Gros, αἰτίας ἀλγεῖν in λαχνείας mutavit Reiske ‖ 5 ⟨τὰ⟩ inser. Reiske ‖ 3, 2 αὐτὴ R, τῇ L

κἂν διέλαθεν, εἰ μήπερ ἡ ζήτησις ἐπὶ τῶν ἄλλων
ἐπὶ πλεῖον ἀρθεῖσα καὶ ἐκείνην προσκατέλαβεν. Αἰμι-
λία δὲ καὶ Λικινία πλῆθος ἐραστῶν ἔσχον καὶ δι' ἀλ-
λήλων ὑβρίζοντο. τὸ μὲν γὰρ πρῶτον ὀλίγοις τισὶν
ἰδίᾳ καὶ δι' ἀπορρήτων ὡς καὶ μόνῳ ἑκάστῳ συνεγί-
4 γνοντο· ἔπειτα αὐταί τε πάντα τὸν καὶ ὑποπτεῦσαι
μηνῦσαί τέ τι δυνάμενον ἐς σιωπὴν ἀναγκαίαν μισθῷ
τῆς ὁμιλίας προκατελάμβανον, καὶ οἱ προδιειλεγμένοι
σφίσι ταῦθ' ὁρῶντες ἔφερον, ἵνα μὴ κατάφωροι τῇ
ἀγανακτήσει γένωνται. ὥστε καὶ καθ' ἕνα καὶ κατὰ
πολλούς, τοῦτο μὲν ἰδίᾳ, τοῦτο δὲ καὶ κοινῇ τοῖς τε
ἄλλοις ὁμιλεῖν καὶ τῷ μὲν τῆς Αἰμιλίας ἀδελφῷ τὴν
5 Λικινίαν, τῷ δὲ ταύτης τὴν Αἰμιλίαν συνεῖναι. καὶ
ταῦτα μὲν οὖν γιγνόμενα ἐπὶ πλεῖστον ἔλαθεν καὶ
πολλῶν μὲν ἀνδρῶν, πολλῶν δὲ καὶ γυναικῶν, καὶ
ἐλευθέρων καὶ δούλων, συγγιγνωσκόντων ὅμως [ὅπως]
ἐπὶ μακρότατον ἔλαθε, πρὶν δὴ Μάνιός τις, ὅσπερ
που καὶ τοῦ παντὸς κακοῦ πρῶτος καὶ ὑπηρέτης καὶ
συνεργὸς ἐγεγόνει, κατεμήνυσεν αὐτό, ὅτι μήτε ἐλευ-
θερίας μήτ' ἄλλου μηδενὸς ὧν ἤλπισεν ἔτυχεν. καὶ
ἦν γὰρ οὐ προαγωγεῦσαι μόνον, ἀλλὰ καὶ διαβαλεῖν
συγκροῦσαί τέ τινας δεινότατος. V p. 626.

86 ὅτι [τῷ Μάρκῳ Δρούσῳ] ἦν μέν που καθ' αὑτὰ
a. u. ταῦτα δόξαν αὐτῷ φέροντα, πρὸς δὲ δὴ τὴν τοῦ Κά-
642 (112) τωνος συμφοράν, καὶ ὅτι καὶ ἐπιεικείᾳ πολλῇ πρὸς
τοὺς στρατιώτας ἐχρήσατο τήν τε καθόρθωσιν ἐπὶ
πλεῖον τῆς ἀληθείας πεποιῆσθαι ἔδοξε, καὶ εὔκλειαν
μείζω τῶν ἔργων ἐκτήσατο. V p. 629.

5, 2 οὖν] οὐ L ‖ 4 ὅμως ὅπως L, ὅμως ὡς B, ὅμως deleto ὅπως D ‖ 9 προαγωγεῦσαι V, προσαγορεῦσαι L ‖ 86, 1 [τῷ Μάρκῳ Δρούσῳ] spuria esse primus vidit St, τῷ Μάρκῳ ⟨τῷ⟩ Δρούσῳ B



ὅτι τῷ Ἰουγούρθᾳ ὁ Μέτελλος προσπέμψαντί οἱ 87
ὑπὲρ τῆς εἰρήνης πολλὰ καθ' ἓν ἕκαστον ὡς καὶ μό- a. u.
νον ἐπέταξε καὶ οὕτως ὁμήρους τε παρ' αὐτοῦ καὶ 646 (108)
ὅπλα τούς τε ἐλέφαντας καὶ τοὺς αἰχμαλώτους τούς τε
αὐτομόλους ἔλαβε. καὶ τούτους μὲν πάντας ἀπέκτεινεν,
οὐ κατελύσατο δέ, ὅτι ὁ Ἰουγούρθας οὐκ ἠβουλήθη
πρὸς αὐτόν, μὴ συλληφθῇ, ἐλθεῖν, καὶ ὁ Μάριος ὅ τε
Γναῖος ἐνεπόδισαν. U p. 385.

[ὅτι ὁ Μάριος] ἦν μὲν γὰρ καὶ τὴν ἄλλως καὶ 2
στασιώδης καὶ ταραχώδης καὶ παντὸς μὲν τοῦ συρ-
φετώδους, ἀφ' οὗπερ καὶ ἐπεφύκει, φίλος, παντὸς δὲ
τοῦ γενναίου καθαιρέτης. καὶ γὰρ εἰπεῖν τι καὶ ὑπο-
σχέσθαι καὶ ψεύσασθαι καὶ ἐπιορκῆσαι, ἐν ᾧ πλεο-
νεκτήσειν ἤλπιζεν, ἑτοιμότατα ἐτόλμα τό τε συκο-
φαντῆσαί τινα τῶν ἀρίστων καὶ τὸ ἐπαινέσαι αὖ τῶν
κακίστων ἐν παιδιᾷ ἐτίθετο. καί μοι μηδεὶς θαυμάσῃ,
εἰ τοιοῦτός τις ὢν ἐπὶ πλεῖστον ἔλαθεν ἐφ' οἷς ἐκα-
κούργει· ἔκ τε γὰρ τῆς περιτεχνήσεως καὶ ἐκ τῆς τύ-
χης, ᾗ παρὰ πάντα τὰ πρῶτα ἀγαθῇ ἐχρήσατο, καὶ
ἀρετῆς δόξαν ἐκτήσατο. V p. 629.

ὅτι τὸν Μέτελλον καὶ δι' ἐκεῖνο ῥᾷον διαβαλεῖν ὁ 3
Μάριος ἠδυνήθη, ὅτι ὁ μὲν ἔν τε τοῖς εὐπατρίδαις
ἐξητάζετο καὶ τὰ τοῦ πολέμου ἄριστα διεχείριζεν, αὐ-
τὸς δὲ ἐξ ἀφανεστάτου καὶ ἀδηλοτάτου ἐς τὸ μέσον
παριέναι ἤρχετο (οἱ γὰρ πολλοὶ ἑτοίμως τὸν μὲν ὑπὸ
τοῦ φθόνου καθῄρουν, τὸν δὲ πρὸς τὰς ἐπαγγελίας
ηὖξον), καὶ μάλισθ' ὅτι ἐλογοποιήθη τὸν Μέτελλον
παριεμένῳ τότε πρὸς τὰς ἀρχαιρεσίας τῷ Μαρίῳ εἰπεῖν,

87, 2, 1 [ὅτι ὁ Μάριος] delevit C. Müller ‖ 3, 1 διαβαλεῖν V, διαλαβεῖν L ‖ 3 διεχείριζεν V, διαχειρίζειν L ‖ 4 δὲ V, τε L ‖ 7 ηὖξον D, ηὖξουν L

ὅτι ἀγαπᾶν ὀφείλεις, ἂν μετὰ τοῦ υἱέος μου (μειράκιον δὲ ἐκεῖνος ἦν) ὑπατεύσῃς. V p. 630.

4 ὅτι τῷ Μετέλλῳ ἤχθετο ὁ Γαύδας, ὅτι μήτε τοὺς αὐτομόλους μήτε φρουρὰν στρατιωτῶν Ῥωμαίων αἰτήσας παρ' αὐτοῦ ἔλαβεν, ἢ καὶ ὅτι ἐγγὺς αὐτοῦ οὐκ ἐκαθέζετο, ὅπερ ὡς πλήθει τοῖς τε βασιλεῦσι καὶ τοῖς δυνάσταις παρὰ τῶν ὑπάτων ἐδίδοτο. V ib.

5 ὅτι τῆς Κίρτας καθ' ὁμολογίαν ἁλούσης ὁ Βόκχος
a. u. 647 (107) ἐπεκηρυκεύσατο τῷ Μαρίῳ καὶ τὰ μὲν πρῶτα τὴν τοῦ Ἰουγούρθου ἀρχὴν μισθὸν τῆς μεταστάσεως ᾔτει, ἔπειτα μὴ τυχὼν αὐτῆς ἁπλῶς ἠξίωσε συμβῆναι. καὶ ὁ μὲν πρέσβεις ἐς τὴν Ῥώμην ἔπεμψεν, ὁ δὲ Ἰουγούρθας τούτων γιγνομένων ἀπεχώρησεν ἐς τὰ ἐρημότατα τῆς ἑαυτοῦ γῆς. U p. 385.

6 ὅτι ὁ Μάριος πρέσβεις τοῦ Βόκχου κομισάμενος
a. u. 648 (106) οὐκ ἔφη αὐτῷ συνθήσεσθαι, εἰ μὴ τὸν Ἰουγούρθαν ἔκδοτον παρ' αὐτοῦ λάβοι· ὃ καὶ γέγονεν. U p. 386.

88 ὅτι Τόλοσαν πρότερον μὲν ἔνσπονδον οὖσαν τοῖς Ῥωμαίοις, στασιάσασαν δὲ πρὸς τὰς τῶν Κίμβρων ἐλπίδας, ὡς καὶ τοὺς φρουροὺς δεθῆναι, προκατέσχον νυκτὸς ἐξαπίνης ὑπὸ τῶν ἐπιτηδείων ἐσαχθέντες καὶ τὰ ἱερὰ διήρπασαν καὶ ἄλλα χωρὶς χρήματα πολλὰ ἔλαβον· τὸ γὰρ χωρίον ἄλλως τε παλαιόπλουτον ἦν καὶ τὰ ἀναθήματα, ἅ ποτε οἱ Γαλάται οἱ μετὰ Βρέννου στρατεύσαντες ἐκ τῶν Δελφῶν ἐσύλησαν, εἶχεν. οὐ μέντοι καὶ ἀξιόλογόν τι ἀπ' αὐτῶν τοῖς οἴκοι Ῥωμαίοις περιεγένετο, ἀλλ' αὐτοὶ ἐκεῖνοι τὰ πλείω ἐσφετερίσαντο. καὶ ἐπὶ τούτῳ συχνοὶ εὐθύνθησαν. V p. 630.

89 ὅτι ὁ Σερουίλιος ὑπὸ τοῦ πρὸς τὸν συνάρχοντα

4, 1 *Γαύδας* corr. V, *Μάριος* L ‖ 5, 1 *Κίρτας*] *σκίρτας* L ‖ 88, 1 *Τόλοσσα* L



φθόνου (τὰ μὲν ⟨γὰρ⟩ ἄλλα ἐξ ἴσου οἱ ἐπετέτραπτο, τῷ a. u. 649 (105) δὲ δὴ ἀξιώματι οἷα ὑπατεύοντος αὐτοῦ ἠλαττοῦτο) πολλῶν καὶ κακῶν αἴτιος τῷ στρατεύματι ἐγένετο. καὶ . . . . μετὰ θάνατον Σκαύρου τὸν Σερουίλιον μετεπέμψατο· ὁ δὲ ἀπεκρίνατο τὴν ἑαυτοῦ ἑκάτερον δεῖν φυλάττειν. εἶτα ἐλπίσας τὸν Μάλλιον καθ' ἑαυτόν τι 2 κατορθώσειν ἐφθόνησεν αὐτῷ, μὴ μόνος εὐδοκιμήσῃ, καὶ ἦλθε μὲν πρὸς αὐτόν, οὔτε δὲ ἐν τῷ αὐτῷ χωρίῳ ηὐλίσατο οὔτε τι βούλευμα κοινὸν ἐποιήσατο, ἀλλ' ὡς καὶ πρότερος αὐτοῦ τοῖς Κίμβροις συμμίξων τήν τε δόξαν τοῦ πολέμου πᾶσαν ἀποισόμενος ἐν μέσῳ ἱδρύθη. καὶ τὸ ⟨μὲν⟩ πρῶτον φοβεροὶ καὶ ὣς τοῖς πολεμίοις, 3 μέχρι οὗ ἡ διαφορὰ αὐτῶν ἐλάνθανεν, ἐγίγνοντο, ὡς καὶ ἐς ἐπιθυμίαν σπονδῶν αὐτοὺς προαγαγεῖν· ὡς δὲ πρὸς Μάλλιον ὑπατεύοντα διεκηρυκεύσαντο, ὁ Σερουίλιος ἠγανάκτησεν, ὅτι μὴ πρὸς ἑαυτὸν ἐπρεσβεύσαντο, καὶ οὔτε τι συμβατικὸν ἀπεκρίνατο, ὀλίγου τε καὶ τοὺς πρεσβευτὰς διέφθειρεν. V p. 630.

ὅτι οἱ στρατιῶται τὸν Σερουίλιον ἠνάγκασαν πρὸς 4 Μάλλιον ἐλθεῖν καὶ μετ' αὐτοῦ βουλεύσασθαι περὶ τῶν παρόντων. τοσούτου δὲ ὁμοφρονῆσαι ἐδέησαν, ὥστε καὶ ἐχθίους ἢ πρόσθεν ἦσαν ἐκ τῆς συνουσίας ἐγένοντο· ἔς τε γὰρ φιλονεικίαν καὶ λοιδορίας προαχθέντες αἰσχρῶς διελύθησαν. V p. 633.

ὅτι Γναῖος Δομίτιος δίκην τῷ Σκαύρῳ λαχών, 90 ἔπειτα ἐπειδὴ τῶν οἰκετῶν τις προσελθὼν αὐτῷ πολλὰ a. u. 650 (104) καὶ χαλεπὰ κατὰ τοῦ δεσπότου μηνύσειν ὑπέσχετο,

89, 1, 2 ⟨*γὰρ*⟩ inseruit D ‖ 5 *καὶ* ⟨*γὰρ ὁ Μάλλιος*⟩ Reiske et V in versione ‖ 2, 5 *Κίμβρων* L ‖ 3, 1 ⟨*μὲν*⟩ inseruit V ‖ *φοβεροὶ* V, *φουπεροὶ* L ‖ 2 *μέχρι οὗ* L, *μέχρις οὗ* Sturz, B ‖ 4, 5 *προαχθέντες* St, *προσαχθέντες* L

οὐκ ἐπολυπραγμόνησεν καὶ προσέτι συλλαβὼν αὐτὸν
παρέδωκε τῷ Σκαύρῳ. V ib.

91 ὅτι Πούπλιος Λικίνιος Νερούας στρατηγῶν ἐν τῇ
νήσῳ καὶ μαθών, ὅτι οὐκ ἐν δίκῃ τινὰ περὶ τοὺς δού-
λους γίγνοιτο, ἢ καὶ λημμάτων ἀφορμὰς ζητῶν (καὶ
γὰρ ἦν οὐκ ἄδωρος) περιήγγειλεν ἀφικνεῖσθαι πρὸς
ἑαυτὸν πάντας τοὺς αἰτιωμένους τι τοὺς δεσπότας
2 σφῶν ὡς καὶ βοηθήσων αὐτοῖς. ἐξ οὖν τούτου [καὶ]
ἐκείνων τε πολλοὶ συνιστάμενοι οἱ μὲν ἀδικεῖσθαί τι
ἔλεγον, οἱ δὲ καὶ ἄλλο τι τοῖς δεσπόταις ἐνεκάλουν
νομίζοντες ⟨καιρὸν⟩ εἰληφέναι τοῦ πάντα ὅσα ἐβού-
λοντο [αὐτοὺς] ἀναιμωτὶ διαπράξασθαι· καὶ οἱ ἐλεύ-
θεροι συμφρονήσαντες ἀνθίσταντό σφισι καὶ οὐδαμοῦ
3 ὑφίεντο. φοβηθεὶς οὖν ὁ Λικίνιος τὴν σύστασιν αὐ-
τῶν ἑκατέρων, μὴ καὶ μέγα τι δεινὸν ὑπὸ τῶν ἐλατ-
τωθέντων γένηται, οὐδένα τῶν δούλων προσεδέξατο,
ἀλλ' ἀπέπεμψεν αὐτοὺς ὡς μηδὲν κακὸν πεισομένους
ἢ μηδέν γε ἔτι ταράξαι τῷ διασκεδασθῆναι δυνησομέ-
νους. οἱ δὲ δείσαντες τοὺς δεσπότας, ὅτι καὶ τὴν ἀρ-
χὴν ἐπικαλέσαι τι αὐτοῖς ἐτόλμησαν, συνεστράφησαν
καὶ κοινολογησάμενοι πρὸς λῃστείας ἐτράποντο. V
p. 633.

4 ὅτι οἱ Μεσσήνιοι νομίσαντες μηδὲν δεινὸν πείσε-
a. u. 651 (103) σθαι πάντα τὰ πλείστου ἄξια καὶ τιμιώτατα ἐκεῖσε
ὑπεξέθεντο. μαθὼν δὲ τοῦτο Ἀθηνίων, ὅσπερ που τὸ
μέγιστον κράτος τῶν λῃστευόντων Κίλιξ ὢν εἶχεν,
ἐπέθετο αὐτοῖς δημοτελῆ τινα ἑορτὴν ἐν τῷ προαστείῳ

**91**, 1, 1 περὶ τῆς ἀποστάσεως τῶν δούλων τῶν ἐν τῇ Σικε-λίᾳ L in margine ‖ 2, 1 [καὶ] del. Reiske ‖ 4 ⟨καιρὸν⟩ add. V ‖ 5 [αὐτοὺς] delevit D, ⟨πρὸς⟩ αὐτοὺς B, αὐτοῖς Reiske ‖ ἀναιμωτεὶ L ‖ 6 οὐδαμοῦ V, οὐδαμῇ L ‖ 3, 1 ὑφίεντο Reiske, ἠφίεντο L ‖ 3 προσεδέξαντο L ‖ 4 ἀλλὰ πέπεμψεν L, corr. V



ἄγουσι καὶ ἐκείνων τε πολλοὺς σκεδασθέντας ἀπέκτει-
νεν καὶ τὴν πόλιν ὀλίγου κατὰ κράτος εἷλεν. χωρίον
δέ τι Μάκελλαν εὐερκὲς τειχισάμενος ἰσχυρῶς τὴν γῆν
ἐκακούργει. V p. 634.

ὅτι τῶν βαρβάρων ἡττημένων καὶ συχνῶν ἐν τῇ 92
μάχῃ πεσόντων ὀλίγοι διεσώθησαν. ἐφ' ᾧπερ ὁ Μά- a. u. 652 (102)
ριος τούτους παραμυθούμενός τε ἅμα καὶ ἀμειβόμενος
πᾶσαν αὐτοῖς τὴν λείαν ἐπευωνίσας ἀπέδοτο, ὅπως
μηδὲν δόξῃ προῖκά τινι κεχαρίσθαι. καὶ ἀπ' αὐτῶν ὁ
Μάριος καίπερ ἐν τῷ πλήθει μόνῳ πρότερον, ὅτι ἐξ
αὐτοῦ γεγονὼς ἦν καὶ ὅτι ὑπ' αὐτοῦ ηὔξητο, εὖ φε-
ρόμενος τότε καὶ τοὺς εὐπατρίδας, ὑφ' ὧν ἐμισεῖτο,
ἐξενίκησεν, ὥστε πρὸς πάντων ὁμοίως καὶ ἐπαινεῖσθαι.
τήν τε ἀρχὴν καὶ ἐς τὸ ἐπιὸν ἔτος, ὅπως καὶ τὰ λοιπὰ
προσκατεργάσηται, παρ' ἑκόντων καὶ ὁμογνωμονούν-
των αὐτῶν ἔλαβεν. V ib.

ὅτι ὡς ἅπαξ ἐπέσχον, πολὺ τοῦ θυμοῦ οἱ Κίμβροι 2
παρελύθησαν κἀκ τούτου καὶ ἀμβλύτεροι καὶ ἀσθενέ-
στεροι καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν ἐγένοντο.
αἴτιον δέ, ὅτι ἔν τε οἰκίαις ἐκ τῆς πρόσθεν ὑπαιθρίου
διαίτης κατέλυον καὶ λουτροῖς θερμοῖς ἀντὶ τῆς πρόσθεν
ψυχρολουσίας ἐχρῶντο καρυκείας τε καὶ ἡδυσμάτων
ἐπιχωρίων διεπίμπλαντο, κρέα πρότερον ὠμὰ σιτούμενοι,
καὶ τῷ οἴνῳ τῇ τε μέθῃ κατακορεῖς παρὰ τὸ ἔθος
ἐγίγνοντο. ταῦτα γὰρ τό τε θυμοειδὲς αὐτῶν πᾶν ἐξ-
έκοψε καὶ τὰ σώματα ἐθήλυνεν, ὥστε μήτε τοὺς πό-
νους ἔτι μήτε τὰς ταλαιπωρίας, μὴ καῦμα, μὴ ψῦχος,
μὴ ἀγρυπνίαν φέρειν. V ib.

4, 8 εὐερκὲς R, ἐνερκὲς L ‖ **92**, 2, 4 πρόσθεν] πρὶν B ‖ 7 δι-επίπλαντο L

93 ὅτι ὁ υἱὸς ὁ τοῦ *Μετέλλου* οὕτω καὶ ἰδίᾳ καὶ δη-
a. u. μοσίᾳ πάντας ὑπὲρ τοῦ τὸν πατέρα κατελθεῖν ἱκέτευεν,
655 (99) ὥστε καὶ πίος, τοῦτ᾽ ἔστιν εὐσεβής, ἐπονομασθῆναι.
V p. 638.
2 ὅτι ὁ *Φούριος* ἔχθραν τῷ *Μετέλλῳ* οὕτως ἔσχεν,
ὅτι τὸν ἵππον αὐτοῦ τιμητεύων ἀφείλετο. V ib.
3 ὅτι *Πούπλιον Φούριον* γραφέντα ἐφ᾽ οἷς δημαρχή-
σας ἐπεποιήκει, ἀπέκτειναν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ οἱ
*Ῥωμαῖοι*, ἀξιώτατον μέν που ἀπολέσθαι ὄντα (καὶ γὰρ
ταραχώδης ἦν καὶ τῷ *Σατουρνίνῳ* τῷ τε *Γλαυκίᾳ*
πρῶτον συστὰς μετεβάλετο καὶ πρὸς τοὺς ἀντιστασιώ-
τας αὐτῶν αὐτομολήσας σφίσι συνεπέθετο), οὐ μέντοι
καὶ προσήκοντα τούτῳ τῷ τρόπῳ φθαρῆναι. καὶ τοῦτο
μὲν ἐν δίκῃ δή τινι γεγονέναι ἔδοξεν. V p. 637.
94 ἦσαν γὰρ καὶ ἄλλοι τινὲς στασίαρχοι, τὸ δὲ δὴ
πλεῖστον κράτος τῶν μὲν *Μᾶρκος*, τῶν δὲ *Κόιντος*
εἶχον, δυναστείας τε ἐπιθυμηταὶ καὶ φιλοτιμίας ἄπλη-
στοι καὶ ἀπ᾽ αὐτῶν καὶ ἐς τὸ φιλόνεικον προπετέστα-
2 τοι ὄντες. καὶ ταῦτα μὲν ἐκ τοῦ ὁμοίου ἐκέκτηντο,
προέφερεν δὲ *Δροῦσος* μὲν τῷ γένει καὶ τῷ πλούτῳ,
τῇ τε ἐς τοὺς ἀεὶ δεομένους αὐτοῦ ἀφειδῶς ἀναλώσει,
ὁ δὲ τῷ τε θράσει πολλῷ καὶ τῇ τόλμῃ ταῖς τε προ-
επιβουλαῖς καὶ ταῖς ὑπ᾽ αὐτὰ τὰ πράγματα κακοηθείαις.
ὅθεν οὐκ ἀπεικότως τὰ μὲν ἐκ τῶν ὁμοίων, τὰ δὲ ἐκ
τῶν διαφόρων ἀντίρροποι τρόπον τινὰ ἀλλήλοις ὄντες
τὴν στάσιν ἐπὶ πλεῖστον ἤγειραν, ὥστε αὐτὴν καὶ
ἀποθανόντων αὐτῶν μεῖναι. V p. 638.
3 ὅτι ὁ *Δροῦσος* καὶ ὁ *Καιπίων* ἰδίαν ἀλλήλοις ἔχθραν

**93**, 2, 1 et 3, 1 Φρούριος et Φρούριον L ‖ 3, 4 *Γλαυκίᾳ* R, *Γλαυκίῳ* L ‖ 5 πρῶτον St, πρώτοις L ‖ **94**, 2, 2 προέφερεν V, προέφερον L | 4 ὁ δὲ ⟨*Κόιντος*⟩ Reiske ‖ 3, 1 *Καπίων* L



ἐκ φιλίας πολλῆς καὶ γάμων ἐπαλλαγῆς ποιησάμενοι
καὶ ἐς τὰ πολιτικὰ αὐτὴν προήγαγον. V ib.
ὅτι τοῦ *Ῥουτιλίου* ἀγαθοῦ ὄντος ἀνδρὸς ἀδικώτατα 95
κατεψηφίσαντο· ἐσήχθη γὰρ ἐς δικαστήριον ἐκ κατα- a. u.
σκευασμοῦ τῶν ἱππέων ὡς δωροδοκήσας *Κυίντῳ Μου-* 662 (92)
*κίῳ* καὶ ἐζημιώθη ὑπ᾽ αὐτῶν χρήμασι. ταῦτα ἐποίησαν
θυμῷ φέροντες, ὅτι πολλὰ περὶ τὰς τελωνίας πλημμε-
λοῦντας ἐπέσχεν. V p. 637.
ὅτι ὁ *Ῥουτίλιος* ἀπελογήσατο μὲν γενναιότατα καὶ 2
οὐδὲν ὅ,τι οὐκ εἶπεν ὧν ⟨ἂν⟩ ἀνὴρ ἀγαθὸς συκοφαν-
τούμενος καὶ πολὺ πλεῖον τὰ τῶν κοινῶν ἢ τὰ ἑαυτοῦ
ὀδυρόμενος φθέγξαιτο, ἑάλω δὲ καὶ τῆς γε οὐσίας
εὐθὺς ἐξέστη. ἐξ οὗπερ οὐχ ἥκιστα ἐφωράθη μηδὲν
οἱ προσήκουσαν καταδίκην ὀφλήσας· πολλῷ τε γὰρ
σμικρότερα κεκτημένος εὑρέθη ἢ οἱ κατήγοροι ἐκ τῆς
*Ἀσίας* αὐτὸν ἐσφετερίσθαι ἐπεκάλουν, καὶ πάντα ἐκεῖνα
ἐς δικαίας καὶ νομίμους ἀρχὰς τῆς κτήσεως ἀνήγαγεν.
οὕτω μὲν ἐπηρεάσθη, καί τινα ὁ *Μάριος* αἰτίαν τῆς 3
ἁλώσεως αὐτοῦ ἔσχεν· ἀρίστῳ γὰρ καὶ εὐδοκιμωτάτῳ
αὐτῷ ὄντι ἐβαρύνετο. διόπερ καὶ ἐκεῖνος τῶν τε
πραττομένων ἐν τῇ πόλει καταγνοὺς καὶ ἀπαξιώσας
τοιούτῳ ἔτι ἀνθρώπῳ συζῆσαι ἐξεχώρησε μηδενὸς ἀν-
αγκάζοντος καὶ ἐς αὐτήν γε τὴν *Ἀσίαν* ἐλθὼν τέως
μὲν ἐν *Μιτυλήνῃ* διῆγεν, ἔπειτα ἐκείνης ἐν τῷ *Μιθρι-* 4
*δατικῷ* πολέμῳ κακωθείσης ἐς *Σμύρναν* μετῳκίσθη
κἀνταῦθα κατεβίω οὐδὲ ἠθέλησεν ἐπανελθεῖν οἴκαδε.
καὶ οὐδέν γε παρὰ τοῦτο ἧττον οὔτε ἐν εὐκλείᾳ οὔτε
ἐν περιουσίᾳ ἐγένετο· πολλὰ μὲν γὰρ αὐτῷ καὶ ὁ
*Μούκιος*, πλεῖστα δὲ καὶ δῆμοι καὶ βασιλεῖς, ὅσοι ποτὲ

**95**, 1, 4 ταῦτα ⟨δὲ⟩ V ‖ 6 ἐπέσχεν R, ἐπέσχον L ‖ 2, 2 ⟨ἂν⟩ inseruit B ‖ 4, 2 *Σμύρνα* L

ἐπεπείραντο αὐτοῦ, ἐχαρίσαντο, ὥστε πολὺ πλείω αὐτὸν
τῆς ἀρχαίας οὐσίας ἔχειν. V p. 637.

96 ὅτι ὁ Λοῦπος τοὺς εὐπατρίδας τοὺς συστρατευομέ-
a. u. νους οἵ ὡς καὶ τὰ βουλεύματα αὐτοῦ τοῖς ἐναντίοις
664 (90) ἐξαγγέλλοντας ὑποπτεύσας ἐπέστειλε περὶ αὐτῶν τῇ
βουλῇ πρίν τι α . . . κἀκ τούτου οὐδ' ἄλλως σφᾶς ὑπὸ
τῆς στάσεως . . . ἔχοντας ἔτι καὶ μᾶλλον συνέβαλε, κἂν
ἐπὶ πλεῖον ἐταράχθησαν, εἰ μή τινες τῶν Μαρσῶν
ἐφωράθησαν ἀναμιγνύμενοί τε τοῖς προνομεύουσι τῶν
Ῥωμαίων καὶ ἐς τὸ τάφρευμα ὡς καὶ σύμμαχοι σφῶν
συνεσιόντες καὶ πολυπραγμονοῦντες τὰ ἐν αὐτῷ καὶ
λεγόμενα καὶ δρώμενα καὶ τοῖς σφετέροις ἐξαγγέλλον-
τες. καὶ οὕτως ὀργιζόμενοι τοῖς εὐπατρίδαις ἐπαύ-
σαντο. V p. 641.

2 ὅτι ὁ Μάριος ὑποπτεύσας τὸν Λοῦπον καίπερ συγ-
γενῆ ὄντα φθόνῳ τε καὶ ἐλπίδι τοῦ καὶ ὕπατον τὸ
ἕβδομον ὡς καὶ μόνον ἂν τὰ παρόντα κατορθώσαντα,
ἀποδειχθῆναι, τρίβειν ἐκέλευε· σφᾶς μὲν γὰρ καὶ τὰ
ἐπιτήδεια ἕξειν ἔλεγεν, ἐκείνους δὲ οὐ δυνήσεσθαι ἐπὶ
πλεῖον ἅτε τοῦ πολέμου ἐν τῇ χώρᾳ αὐτῶν ὄντος
ἀνταρκέσαι. V ib.

3 ὅτι οἱ Πικένται τοὺς μὴ συναποστάντας σφίσιν
ἐχειρώσαντο καὶ τούτοις ἐν ἐπόψει τῶν φίλων ἐνύβρι-
ζον καὶ τῶν γυναικῶν τὰς κόμας σὺν τῷ δέρματι ἐκ
τῶν κεφαλῶν ἀπέσπασαν V ib.

96, 1, 1 et 2, 1 Λοῦππος, Λοῦππον L ‖ 4 πρίν τι ⟨ἀκριβῶς εἰδέναι⟩ V, πρίν τι ⟨ἀκριβῶσαι⟩ Tafel, Gros, πρίν τι ⟨ἀνήκεστον παθεῖν, ἐπιζητεῖν (vel ἀποκαλεῖν) κελεύων⟩ Reiske ‖ σφᾶς ⟨ὑγιῶς⟩ vel ⟨εὐνοικῶς πρὸς ἀλλήλους⟩ Reiske, cf. Dio 50, 16, 3 ‖ 2, 1 ὁ Λοῦπος ὑποπτεύσας τὸν Μάριον corr. V coll. Oros. 5, 18, sed corr. eclogarii errorem, ὑποπτεύσαντα Tafel in versione ‖ 3 κατορθώσαντα L, κατορθώσοντα St ‖ 4 ⟨τὸν πόλεμον⟩ τρίβειν Reiske ‖ καὶ del. Reiske



ὅτι ὁ Μιθριδάτης πρέσβεων παρόντων Ῥωμαίων 97
οὐδὲν ἐκίνησεν, ἀλλ' ἀνταιτιασάμενός τινα καὶ προσ-
αποδείξας τοῖς πρέσβεσι τὸ πλῆθος τῶν χρημάτων, ὧν
τότε κοινῇ καὶ ἰδίᾳ τισὶν ἀναλώκει, ἡσυχίαν ἔσχεν.
ὁ δὲ Νικομήδης τῇ συμμαχίᾳ αὐτῶν ἐπαρθεὶς καὶ
χρημάτων δεηθεὶς ἐσέβαλεν ἐς τὴν χώραν αὐτοῦ.
U p. 386.

ὅτι ὁ Μιθριδάτης πρέσβεις ἀπέστειλεν ἐς τὴν Ῥώ- 2
μην ἀξιῶν, εἰ μὲν φίλον τὸν Νικομήδην νομίζουσι,
πεῖσαι αὐτὸν ἢ καὶ ἀναγκάσαι τὰ δίκαιά οἱ ποιῆσαι,
εἰ δὲ μή, αὐτῷ γε ἐπιτρέψαι τὸν ἐχθρὸν ἀμύνασθαι.
οἱ δὲ οὐχ ὅτι τι ἔπραξαν ὧν ἤθελεν, ἀλλὰ καὶ ἐπηπεί-
λησαν αὐτῷ, ἂν μὴ τῷ Ἀριοβαρζάνῃ τὴν Καππαδοκίαν
ἀποδῷ καὶ πρὸς τὸν Νικομήδην εἰρήνην ἄγῃ. τούς τε
πρέσβεις αὐτοῦ αὐθημερὸν ἀπέπεμψαν καὶ προσαπη-
γόρευσαν αὐτῷ μηκέτι μηδένα ἄλλον, ἂν μὴ πειθαρχῇ
σφισι, πέμψαι. U ib.

ὅτι Κάτων ἀστικὸν καὶ ἀφηλικέστερον τὸ [τε] 98
πλεῖον τοῦ στρατοῦ ἔχων ἐς τὰ ἄλλα ἧττον ἔρρωτο a. u.
καί ποτε ἐπιτιμῆσαί σφισιν, ὅτι μήτε πονεῖν μήτε τὰ 665 (89)
παραγγελλόμενα προθύμως ⟨ποιεῖν⟩ ἤθελον, ἐπιτολ-
μήσας ὀλίγου κατεχώσθη βληθεὶς ὑπ' αὐτῶν. καὶ ἐτε-
θνήκει γ' ἄν, εἰ λίθων εὐπορήκεσαν· ἐπεὶ δὲ τὸ χω-
ρίον, ἐν ᾧ συνειλέχατο, ἐγεωργεῖτο καὶ δίυγρον κατὰ
τύχην ἦν, οὐδὲν ὑπὸ βώλων ἔπαθεν. συνελήφθη δὲ

97, 1, 1 παρόντων Leunclavius, ὄντων L, ἡκόντων? B ‖ 2 προσαποδείξας Reiske, προαποδείξας L ‖ 4 τότε in τε corr. Reiske, unde κοινῇ τε St Gros ‖ κοινῷ L ‖ 6 αὐτοῦ R, αὐτῶν L ‖ 2, 3 καὶ ἀναγκάσαι Reiske, καταναγκάσαι L ‖ 4 ἐπιστρέψαι L ‖ 7 ἄγει L ‖ 98, 1, 1 [τε] del. V ‖ 2 ἐς ⟨τε⟩ τὰ? B ‖ 4 ⟨ποιεῖν⟩ Reiske, lacunam monstraverat R ‖ 5 ὀλίγον L, corr. R ‖ 7 ἐγεωργεῖτο Naber, ἐγεώργητο L, ἐγεγεώργητο B ‖ 8 βώλων R, βόλων L, unde βολῶν V

ὁ τῆς στάσεως ἄρξας Γάιος Τίτιος, ἀνὴρ ἀγοραῖος καὶ
ἐκ δικαστηρίων τὸν βίον ποιούμενος τῇ τε παρρησίᾳ
μετ᾽ ἀναισχυντίας κατακορεῖ χρώμενος, καὶ ἐς τὸ ἄστυ
ἐς τοὺς δημάρχους ἐπέμφθη, οὐκ ἐκολάσθη δέ. V
p. 641.

99 ὅτι πάντες τοὺς Ῥωμαίους ἐφόνευον κελεύσαντος
a. u. Μιθριδάτου οἱ Ἀσιανοί, πλὴν καθ᾽ ὅσον Τραλλιανοὶ
666 (88) ⟨αὐτοὶ μὲν⟩ οὐδένα ἀπέκτειναν, Θεόφιλον δέ τινα
Παφλαγόνα ἐμισθώσαντο, ὥσπερ που ἧττον σφῶν
ἀπόλλυσθαι μελλόντων ἢ καὶ διαφέρον αὐτοῖς, ὑφ᾽
ὅτου σφαγήσοιντο. V p. 642.

2 ὅτι οἱ Θρᾷκες ἀναπεισθέντες ὑπὸ τοῦ Μιθριδάτου
τήν τε Ἤπειρον καὶ τἄλλα τὰ μέχρι τῆς Δωδώνης
κατέδραμον, ὥστε καὶ τὸ τοῦ Διὸς ἱερὸν συλῆσαι. V ib.

100 ὅτι ὁ Κίννας ἐπειδὴ τάχιστα τὴν ἀρχὴν παρέλαβεν,
a. u. οὐδὲν οὕτω τῶν πάντων ἐσπούδασεν ὡς καὶ τὸν Σύλ-
667 (87) λαν ἐκ τῆς Ἰταλίας ἐκβαλεῖν, πρόφασιν μὲν τὸν Μι-
θριδάτην ποιησάμενος, ἔργῳ δὲ ἐπιθυμήσας αὐτὸν
ἀπαρτῆσαί οἱ, ὅπως μὴ ἐγγύθεν ἐφεδρεύων ἐμποδὼν
πρὸς ἃ ἔπραττε γένηται. καίτοι ⟨τῇ⟩ τοῦ Σύλλου
σπουδῇ ἀπεδέδεικτο καὶ οὐδὲν ὅ,τι οὐ κατὰ γνώμην
2 αὐτοῦ πράξειν ὑπέσχητο. ὁ γὰρ Σύλλας τήν τε ἀνάγ-
κην τοῦ πολέμου ὁρῶν καὶ τῆς δόξης αὐτοῦ γλιχόμε-
νος τά τε ἄλλα τὰ οἴκοι πρὸς τὸ ἐπιτηδειότατον
ἑαυτῷ πρὶν ἐξορμηθῆναι κατεστήσατο καὶ τὸν Κίνναν
Γναῖόν τέ τινα Ὀκταούιον διαδόχους ἀπέφηνεν ἐλπί-
3 σας μάλιστα ἂν οὕτω καὶ ἀπὼν ἰσχῦσαι. τοῦτον μὲν
γὰρ ἐπί τε ἐπιεικείᾳ ἐπαινούμενον ἠπίστατο καὶ οὐδὲν

99, 1, 3 ⟨αὐτοὶ μὲν⟩ inseruit Herwerden ‖ 100, 1, 2 καὶ τὸ B ‖ 3 Μιθραδάτην L ‖ 5 οἱ] ποι? B ‖ 6 ⟨τῇ⟩ ins. Reiske 2, 1 ὑπέσχητο B, ὑπέσχετο L



παρακινήσειν ἐνόμιζεν, ἐκεῖνον δὲ εὖ μὲν ᾔδει κακὸν
ἄνδρα ὄντα, οὐκ ἠθέλησε δὲ ἐκπολεμῶσαι δυνάμενόν
τέ τι καὶ αὐτὸν ἤδη καὶ ἑτοίμως, ὥς γε καὶ ἔλεγε καὶ
ὤμνυεν, ἔχοντα πᾶν ὁτιοῦν ὑπουργῆσαι. αὐτός τε οὖν 4
καίτοι δεινότατος ὢν τάς τε γνώμας τῶν ἀνθρώπων
συνιδεῖν καὶ τὰς φύσεις τῶν πραγμάτων συλλογίσα-
σθαι πάνυ ἐν τούτῳ διεσφάλη καὶ πόλεμον τῇ πόλει
μέγαν κατέλιπεν. V p. 642.

ὅτι Ὀκταούιος φύσει βραδὺς ἦν πρὸς τὰ πολιτικά. 5
V ib.

ὅτι οἱ Ῥωμαῖοι τοῦ ἐμφυλίου πολέμου ἐνεστηκότος 6
τὸν Μέτελλον μετεπέμψαντο κελεύσαντες βοηθεῖν.
U p. 386.

ὅτι οἱ Ῥωμαῖοι στασιάσαντες πρὸς ἀλλήλους τὸν 7
Μέτελλον μετεπέμψαντο κελεύσαντες αὐτῷ πρὸς τοὺς
Σαυνίτας, ὅπως ποτ᾽ ἂν δύνηται, συμβῆναι· οὗτοι
γὰρ ἔτι τότε μόνοι τὴν Καμπανίαν καὶ τὴν ἐπέκεινα
αὐτῆς ἐκακούργουν. ὁ δὲ τούτοις οὐκ ἐσπείσατο· τήν
τε γὰρ πολιτείαν ἠξίουν οὐχ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ
τοῖς ηὐτομοληκόσι πρὸς σφᾶς δοθῆναι καὶ οὔτε τι
τῆς λείας, ἣν εἶχον, ἀποδοῦναι ἤθελον καὶ τοὺς αἰχμα-
λώτους τούς τε αὐτομόλους σφῶν πάντας ἀπῄτουν,
ὥστε μηδὲ τοὺς βουλευτὰς τὴν εἰρήνην ἔτι τὴν πρὸς
αὐτοὺς ἐπὶ τούτοις ἑλέσθαι. U p. 385.

ὅτι ἐπειδὴ ὁ Κίννας τὸν νόμον τὸν περὶ τῆς κα- 8
θόδου τῶν φυγάδων ἀνενεώσατο, ὁ Μάριος οἵ τε ἄλ-
λοι οἱ σὺν αὐτῷ ἐκπεσόντες ἐσεπήδησαν ἐς τὴν πόλιν
μετὰ τοῦ λοιποῦ στρατοῦ κατὰ πάσας ἅμα τὰς πύλας
καὶ ἐκείνας τε ἔκλεισαν, ὥστε μηδένα διαδρᾶναι, καὶ

3, 5 ὥς γε Reiske, ὥστε L ‖ 7, 8 ἀποδιδόναι vel ἀποδοῦναι R, ἀποδοθῆναι L ‖ 11 ἑλέσθαι] δέχεσθαι Naber

πάντας τοὺς ἐντυγχάνοντάς σφισιν ἐξειργάσαντο μη-
δένα αὐτῶν ἀποκρίνοντες, ἀλλὰ πᾶσιν αὐτοῖς ὁμοίως
9 ὡς πολεμίοις χρώμενοι. μάλιστα δὲ τούς τι ἔχοντας
ἐπιθυμίᾳ χρημάτων ἔφθειρον καὶ τούς τε παῖδας καὶ
τὰς γυναῖκας σφῶν ὕβριζον, ὥσπερ τινὰ ἀλλοτρίαν
πόλιν ἠνδραποδισμένοι. καὶ τὰς κεφαλὰς τῶν ἐλλογι-
μωτάτων ἐπὶ τὸ βῆμα ἀνετίθεσαν. καὶ ἦν τό [τε]
θέαμα οὐδέν τι τοῦ ὀλέθρου αὐτῶν πραότερον· τά τε
γὰρ ἄλλα καὶ τοῖς ὁρῶσι προσπαρίστη νομίζειν, ὅτι,
ὅσα πολεμίων ἀκροστολίοις οἱ προπάτορες σφῶν ἐκε-
κοσμήκεσαν, ταῦτα τότε ταῖς τῶν πολιτῶν κεφαλαῖς
ἀπεκοσμεῖτο.

10 τοσαύτη γὰρ ἑνὶ λόγῳ ἥ τε ἐπιθυμία καὶ ἡ ἀπλη-
στία τῶν φόνων τὸν Μάριον κατέσχεν, ὥστε, ἐπειδὴ
τὸ πλεῖστον τῶν ἐχθρῶν ἀπεκτόνει καὶ οὐκέτ' οὐδεὶς
ὧν ἐξολέσαι ἐγλίχετο ἐπὶ τὸν νοῦν ἅτε ἐν τοσαύτῃ
ταραχῇ ἐπῄει, σύνθημα τοῖς στρατιώταις δοῦναι σφάτ-
τειν πάντας ἑξῆς, οἷς ἂν τῶν προσιόντων μὴ ὀρέξῃ
τὴν χεῖρα. πρὸς γὰρ τοῦτο τὰ τῶν Ῥωμαίων πράγ-
ματα ἀφίκετο, ὥστε μὴ μόνον ἀκρίτως μηδ' ἀπ' ἔχθρας,
ἀλλὰ καὶ πρὸς τὴν οὐκ ἔκτασιν τῆς ἐκείνου χειρὸς
11 ἀπόλλυσθαι. καὶ (ἦν γάρ, ὥσπερ εἰκός, ἔν τε ὄχλῳ
καὶ ἐν θορύβῳ τοσούτῳ οὐδ' αὐτῷ τῷ Μαρίῳ ἐπιμε-
λές, ἀλλ' οὐδὲ δυνατόν, οὐδ' εἰ πάνυ ἐβούλετο, κατὰ
γνώμην τῇ χειρὶ χρῆσθαι) πολλοὶ κἀκ τούτου μάτην
ἀπέθανον, οὓς οὐδαμῇ οὐδαμῶς ἀποκτεῖναι ἐδεῖτο. τὸ
μὲν οὖν σύμπαν τῶν [τε γὰρ] ἀποθανόντων ἀνεξεύ-

9, 5 [τε] expungendum censuit St vel mutandum in γε, τὸ τότε Reiske, τότε L ‖ 6 αὐτῶν] αὐτοῦ i. e. *ipsa caede* Reiske ‖ 10, 6 ἑξῆς] ἑξῆι L ‖ μηδ'] οὐδ' St ‖ 11, 6 [τε γὰρ] expunxit R, τὸ μὲν οὖν σύμπαν ⟨πλῆθος⟩ τῶν τότε παραποθανόντων i. e. *eorum qui sic temere, levi de causa perirent* Reiske



ρετόν ἐστι· πέντε γὰρ ὅλαις ἡμέραις καὶ νυξὶν ἴσαις
αἱ σφαγαὶ ἐγένοντο. V p. 642.

ὅτι θυόντων τῶν Ῥωμαίων ἱσταμένου τοῦ ἔτους 12
τὰ ἐσιτήρια καὶ τῇ ἡγεμονίᾳ τὰς ἀρχὰς κατὰ τὰ πά- a. u.
668
τρια ποιουμένων ὁ υἱὸς Μαρίου δήμαρχόν τινα αὐ- (86)
θεντίᾳ ἀποκτείνας τὴν κεφαλὴν αὐτοῦ τοῖς ὑπάτοις
ἔπεμψε καὶ ἄλλον ἀπὸ τοῦ Καπιτωλίου κατεκρήμνισεν,
ὅπερ οὐδεὶς ἄλλος ἐπεπόνθει, καὶ δύο στρατηγοὺς καὶ
πυρὸς καὶ ὕδατος εἶρξεν. V p. 645.

ὅτι ὁ ὑποστράτηγος Φλάκκου Φιμβρίας ἐς Βυζάν- 101
τιον ἐλθόντι αὐτῷ ἐστασίασεν. ἦν γὰρ ἐς πάντα δὴ

Bekk. Anecd. p. 166, 18: *Δίωνος λα' βιβλίῳ* "*καὶ τῷ Μιθραδάτῃ αὐτὸς πρός τε τοῦ δήμου καὶ πρὸς τῆς βουλῆς προστετάχθαι.*" Ibidem ex libro 28, p. 136, 30: *καὶ τοῖς ὑπάτοις ἐπιβουλεύοντα*, et p. 166, 8: *οὐχ ὅπως οὐκ ἔπεισέ τινας καίπερ τινὰ ἀληθῆ λέγων.* Ex 31, p. 134, 1: *κἀνταῦθα ἀπογνοὺς μηδέν οἱ τὸν θεὸν ἐπαρκέσειν Νικομήδην ἐδημοσίωσεν*, et p. 140, 25: *κἀνταῦθα ἀπογνοὺς μηδέν οἱ τὸν θεὸν ἐπαρκέσειν ἑαυτὸν διεχρήσατο.* Et p. 137, 20: *τῶν δὲ ἄλλων ὡς καὶ ἐπικουρίας τινὸς παρ' ἑαυτοῦ δεομένων ἐπιμνησθείς.* Ex 33, p. 162, 19: *πῶς δ' ἄν τις πιστεύσειεν αὐτῷ*, p. 165, 15: *δι' οὖν ταῦτα ἐκεῖνος τὸν μὲν ἄλλον χρόνον οὔτε τι προσεποιεῖτο αὐτῶν*, p. 177, 30: *καὶ γὰρ γελοῖόν ἐστιν, ἐν Καμπανίᾳ τε αὐτοῦ ὄντος καὶ δυναμένου διὰ ταχέων ὧν αἰτίαν ἔχει λόγον ὑποσχεῖν, ἐμὲ ὑπερδικεῖν.* Ex 35, p. 165, 17: *ἢ τοῖς πολεμίοις ἡμῶν προσποιῆσαι.* Ex incertis libris p. 160, 15: *Δίων* "*εὐεργεσιῶν ὑμῖν ὀφειλήσει*", p. 164, 10: *παρὰ Δίωνι*, "*οὔκουν οὐδ' ἄρχοντες πρὶν διανομοθετηθῆναι αὐτῶν ὠνομάζοντο*", p. 164, 23: *Δίων*, "*οὐχ ὅπως ἐπείσθησαν αὐτοῦ.*"

12, 2 ἀρχὰς] ἀπαρχὰς V, εὐχὰς Reiske, Naber ‖ 7 καὶ ante πυρὸς suppressit Reiske ‖ 7 εἶρξαν L, corr. V ‖ **101, 1, 1** Φιβρίας L ubique

τολμηρότατος καὶ προπετέστατος δόξης τε ὁποιασοῦν
ἐραστὴς καὶ παντὸς τοῦ ἀμείνονος ὀλίγωρος. ἐξ ὧν
που καὶ τότε, ἀφ' οὗπερ ἀπῆρεν ἀπὸ τῆς Ῥώμης, ἀρε-
τήν τε ἐς χρήματα καὶ σπουδὴν περὶ τοὺς στρατιώτας
προσποιησάμενος ἀνηρτήσατό τε αὐτοὺς καὶ τῷ Φλάκκῳ
2 συνέκρουσεν. ἠδυνήθη δὲ τοῦτο ποιῆσαι, ὅτι ἐκεῖνος
χρημάτων τε ἄπληστος ἦν καὶ οὐκ ἠγάπα τὰ περι-
γιγνόμενα σφετεριζόμενος, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς τῶν
στρατιωτῶν τροφῆς ἔκ τε τῆς λείας, ἣν ἰδίαν ἑκά-
στοτε ἐνόμιζεν εἶναι, ἐχρηματίζετο. V p. 650.
3 ὅτι ἐπεὶ πρὸς τὸ Βυζάντιον ἀφίκοντο Φλάκκος καὶ
Φιμβρίας, καὶ ὁ Φλάκκος ἔξω τοῦ τείχους αὐτοὺς
αὐλίσασθαι κελεύσας ἐς τὴν πόλιν ἐσῆλθε, παραλαβὼν
δὲ τοῦτο ὁ Φιμβρίας χρήματά τε αὐτὸν εἰληφέναι
κατῃτιᾶτο καὶ διέβαλλε λέγων, ὡς ἐκεῖνος μὲν ἔνδον
τρυφῴη, σφεῖς δὲ ὑπὸ σκηναῖς ἐν χειμῶνι ταλαιπω-
ροῖντο. οἱ δὲ στρατιῶται ἔς τε τὸ ἄστυ θυμῷ ἔπεσον
καί τινας τῶν ἐμπεσόντων σφίσιν ἀποκτείναντες ἐς
τὰς οἰκίας ἐσκεδάσθησαν. V ib.
4 ὅτι διαφορᾶς τινος τῷ Φιμβρίᾳ πρὸς τὸν ταμίαν
γενομένης ἠπείλησεν αὐτῷ ὁ Φλάκκος ἄκοντα ἐς Ῥώ-
μην ἀποπέμψειν, λοιδορησάμενόν τέ τι διὰ τοῦτο αὐτῷ
τὴν ἡγεμονίαν ἀφείλετο. ὁ δὲ Φιμβρίας ἐς τὴν ἀπο-
πορείαν δῆθεν ἐπαχθέστατα στειλάμενος πρὸς τοὺς
στρατιώτας τοὺς ἐν Βυζαντίῳ ἀφίκετο καὶ ὡς ἐπὶ τῇ
ἀφόδῳ αὐτοὺς ἠσπάζετο γράμματά τε ᾔτει καὶ ἑαυτὸν
5 ὡς καὶ ἀνάξια πεπονθὼς ὠδύρετο· μεμνῆσθαί τέ
σφισιν ὧν ὑπουργήκει, καὶ φυλακὴν σφῶν ποιεῖσθαι

2, 2 *περιγιγνόμενα*] *γιγνόμενα* Reiske ‖ 3, 2 *καὶ* del. Gros ‖ 6 *τρυφῴη* Gros, *τρυφῶν* L ‖ 7 *ἔπεσον*] *ἐνέπεσον* Reiske ‖ 8 *ἐμπεσόντων*] *ἀντιστάντων* Reiske



αἰνιττόμενος ἐς τὸν Φλάκκον ὡς καὶ ἐπιβουλεύοντα
αὐτοῖς παρῄνει. καὶ μαθὼν τὰ λεγόμενα δεχομένους
καὶ ἑαυτῷ εὔνοιαν ἔχοντας καὶ ἐς ἐκεῖνον ὑποπτεύον-
τας ἀνέβη ἐπὶ μετέωρον καὶ προσπαρώξυνε σφᾶς ἄλλα
τέ τινα τοῦ Φλάκκου κατηγορήσας καὶ ὅτι προδώσει
αὐτοὺς ὑπὸ χρημάτων· ὥστε τοὺς στρατιώτας Θέρμον
τὸν ἐπιτεταγμένον σφίσιν ἀπελάσαι. V ib.
ὅτι ὁ Φιμβρίας ἄνδρας πολλοὺς οὐ πρὸς τὸ δικαι- 6
ότατον οὐδὲ πρὸς τὸ τῇ Ῥώμῃ συμφορώτατον, ἀλλ'
ὀργῇ καὶ ἐπιθυμίᾳ φόνων ἀπώλλυεν. τεκμήριον δέ,
σταυρούς ποτε πολλούς, οἷς προσδέων αὐτοὺς καὶ
αἰκιζόμενος διεχρῆτο, γενέσθαι προστάξας, ἔπειτ' ἐπειδὴ
πολὺ πλείους τῶν θανατωθησομένων εὑρέθησαν ὄντες,
ἐκέλευσεν ἐκ τῶν περιεστηκότων τινὰς συλληφθῆναι
καὶ πρὸς τοὺς λοιποὺς προσδεθῆναι, ἵνα μὴ μάτην
δόξωσι γεγονέναι. V p. 653.
ὅτι ὁ αὐτὸς τὸ Ἴλιον λαβὼν τοὺς ἀνθρώπους ὅσους 7
ἠδυνήθη μηδενὸς φεισάμενος κατεχρήσατο καὶ τὴν
πόλιν πᾶσαν ὀλίγου κατέπρησεν. εἷλε δὲ αὐτοὺς οὐ
κατὰ τὸ ἰσχυρόν, ἀλλ' ἀπατήσας· ἔπαινον γάρ τινα
αὐτῶν ἐπὶ τῇ πρεσβείᾳ τῇ πρὸς τὸν Σύλλαν πεμ-
φθείσῃ ποιησάμενος καὶ διαφέρειν μηδέν, [εἰ] ὁποτέρῳ
σπείσονται (ἀμφοτέρους γὰρ σφᾶς Ῥωμαίους εἶναι)
εἰπών, ἔπειτα ὡς παρὰ φίλους αὐτοὺς ἐσῆλθε καὶ ἐξ-
ειργάσατο ταῦτα. V ib.
ὅτι ὁ Μέτελλος ὑπὸ Κίννου ἡττηθεὶς ἐς τὸν Σύλ- 102
λαν ἧκε καὶ πλεῖστα αὐτῷ συνήρατο· πρὸς γάρ τοι τὴν a. u. 669
δόξαν τῆς τε δικαιοσύνης αὐτοῦ καὶ τῆς εὐσεβείας (85)

5, 3 *ἐπιβουλεύοντα* Reiske, *ἐπιβουλεύσοντα* L ‖ 8 *ὑπὸ*] *ὑπὲρ* St ‖ 6, 1 *Φιμβρίας* sic L ‖ 3 *φόνων* V, *φθόνων* L ‖ 7, 6 [*εἰ*] del. Reiske ‖ 7 *ἀμφοτέρους* V, *ἀμφοτέρων* L

οὐκ ὀλίγοι καὶ τῶν τἀναντία τῷ Σύλλᾳ πραττόντων
νομίσαντες αὐτὸν οὐκ ἀκρίτως οἱ συνεῖναι, ἀλλὰ τά
τε δικαιότερα καὶ τὰ τῇ πατρίδι συμφορώτερα ὄντως
αἱρεῖσθαι, προσεχώρησάν σφισιν. V p. 653.
2 ὅτι κεραυνοῦ ἐπὶ τὸ Καπιτώλιον ἐνεχθέντος ἄλλα
τε πολλὰ καὶ οἱ τῶν Σιβυλλείων χρησμοὶ διεφθάρη-
σαν. M p. 551.
103 ὅτι ὁ Πομπήιος υἱὸς ἦν τοῦ Στράβωνος, συνεκρίθη
a. u. 671 (83) δὲ ὑπὸ Πλουτάρχου Ἀγησιλάῳ τῷ Λακεδαιμονίῳ.
ἀχθόμενος δὲ τοῖς τὴν πόλιν ἔχουσιν ἐξωρμήθη ἐς τὸ
Πικηνὸν αὐτὸς ἐφ' ἑαυτοῦ οὐδὲ ἐς ἄνδρας πω πάνυ
τελῶν καὶ παρ' ἐκείνων χεῖρά τινα διὰ τὴν τοῦ πα-
τρὸς ἡγεμονίαν ἀθροίσας δυναστείαν ἰδίαν συνίστη
καὶ ᾠήθη ἐλλόγιμόν τι πρᾶξαι καθ' ἑαυτόν· καὶ τῷ
Σύλλᾳ προσεχώρησε. καὶ ὁ μὲν τούτων ἀρξάμενος
οὐδὲν μείων ἐκείνου ἐγένετο, ἀλλ' ὥσπερ που καὶ ἡ
ἐπίκλησις αὐτῷ προσετέθη, μέγας ηὐξήθη. V p. 653.
104 ὅτι ὁ Σύλλας τὸ στράτευμα παρέδωκεν ἀνδρὶ....
a. u. 672 (82) μήτ' ἄλλως ἐπαινουμένῳ καίπερ πολλοὺς ἐκ τῶν ἀπ'
ἀρχῆς συγγενομένων οἱ ἔχων καὶ ἐμπειρίᾳ καὶ πράξει
προφέροντας, οἷς που καὶ ἐς ἐκεῖνο τοῦ χρόνου πρὸς
πάντα τὰ ἀναγκαῖα ὡς καὶ πιστοτάτοις ἐκέχρητο. καὶ
πρὶν μὲν νικῆσαι ἐδεῖτό τε αὐτῶν καὶ ταῖς ἀπ' αὐτῶν
ὠφελείαις ἀπεχρῆτο· ἐπεὶ δὲ ἐγγυτέρω τῆς ἐλπίδος
τοῦ παντελῶς κρατήσειν ἐγένετο, οὐδένα αὐτῶν ἔτι
λόγον ἐποιεῖτο, τοῖς δὲ κακίστοις καὶ μήτε ἐν περι-

**103**, 5 διὰ V, παρὰ L ‖ 7 ᾠήθη ⟨δεῖν⟩ ἐλ. — κἆτα τῷ Σ. προσχωρῆσαι ? B ‖ 8 καὶ ὁ μὲν τούτων] ἀλλ' ὁ μὲν ἀπὸ τούτων Reiske ‖ 10 αὐτῷ L, αὐτοῦ ⟨δηλοῖ, ἢ ὕστερον⟩ Reiske ‖ **104**, 1, 1 ἀνδρὶ] lacunam monstravit Reiske, qui supplevit ⟨μήτ' ἐν στρατηγίᾳ⟩ vel ⟨μήτ' ἐπιφανεῖ⟩, B μήτ' ἄλλως in μηδαμῶς mutandum censet ‖ 4 οἷς V, ὡς L ‖ 6 νικῆσαι Reiske, νικήσῃ V, νικήσει L



φανείᾳ γένους μήτε ἐν δόξῃ ἀρετῆς οὖσι μᾶλλον ἐπί-
στευσεν. αἴτιον δέ, ὅτι τοὺς μὲν τοιούτους πρὸς πάντα 2
αὐτῷ καὶ τὰ χείριστα ἑτοίμους ὄντας ὑπουργεῖν ἑώρα
καὶ χάριν τε ἑαυτῷ πλείστην, κἂν ἐλαχίστου τινὸς τύ-
χωσιν, ὀφειλήσειν καὶ μήθ' ὑπερφρονήσειν ποτὲ μήτε
τῶν ἔργων ἢ τῶν βουλευμάτων ἀντιποιήσεσθαι ἐνόμι-
ζεν, τὸ δ' ἀρετὴν ἔχον οὔτε συγκακουργεῖν οἱ ἐθελή-
σειν, ἀλλὰ καὶ ἑαυτῷ ἐπιτιμήσειν καὶ τὰ γέρα τῶν
εὐεργετημάτων κατ' ἀξίαν ἀπαιτήσειν καὶ μηδεμίαν
χάριν ἐπ' αὐτοῖς ἅτε καὶ ὀφειλόμενά σφισιν ἀπολαμ-
βάνοντας ἕξειν τάς τε πράξεις καὶ τὰς συμβουλίας ὡς
καὶ ἑαυτῶν οὔσας προσποιήσεσθαι. V p. 654.
ὅτι ὁ Σύλλας νικήσας τοὺς Σαυνίτας μέχρι μὲν δὴ 105
οὖν τῆς ἡμέρας ἐκείνης διαπρεπὴς ἦν καὶ ὄνομα ἀπό
τε τῶν στρατηγημάτων καὶ ἀπὸ τῶν βουλευμάτων μέ-
γιστον ἔσχε φιλανθρωπίᾳ τε καὶ εὐσεβείᾳ πολὺ προ-
έχειν ἐνομίζετο, ὥστε καὶ τὴν τύχην σύμμαχον ἀπὸ
τῆς ἀρετῆς πάντας ἔχειν αὐτὸν ἡγεῖσθαι· μετὰ δὲ δὴ 2
τοῦτο τοσαύτην μεταβολὴν ἐποιήσατο, ὥστε μηδὲ τοῦ
αὐτοῦ τινα φάναι ταῦτά τε καὶ τὰ ἔπειτα εἶναι. οὕ-
τως, ⟨ὡς⟩ ἔοικεν, οὐκ ἤνεγκεν εὐτυχήσας. καὶ γὰρ
ἐκεῖνα, ἃ ἕως ἀσθενὴς ἦν ἄλλοις ἐπεκάλει, καὶ ἕτερα
πλείω καὶ ἀτοπώτερα ἔπραξε βουλόμενος μέν που καὶ
ἀεὶ αὐτά, ἐλεγχθεὶς δὲ ἐν τῇ ἐξουσίᾳ. ἀφ' οὗπερ καὶ
τὰ μάλιστα ἔδοξέ τισιν ἡ κακοπραγία μέρος οὐκ ἐλά-
χιστον ἔχειν. ὁ γὰρ Σύλλας ὡς τάχιστα τῶν Σαυνι- 3
τῶν ἐκράτησε καὶ τέλος τῷ πολέμῳ ἐπιτεθεικέναι ἐνό-
μισε (τὰ γὰρ δὴ λοιπὰ ἐν οὐδενὶ λόγῳ ἐποιεῖτο), μετ-

2, 5 ἀντιποιήσασθαι L ‖ **105**, 2, 2 μηδὲ] μηδ' ἂν B ‖ 4 ⟨ὡς⟩ inseruit V ‖ 8 ἐλάχιστον ⟨εἰς ἀρετῆς δόξαν⟩ vel ⟨εἰς εὐδαιμονίαν⟩ Reiske ‖ 3, 1 ὡς τάχιστα D, τάχιστα ὡς L

εβάλετο καὶ ἑαυτὸν μὲν ἔξω τε τῶν τειχῶν τρόπον
τινὰ καὶ ἐν τῇ μάχῃ κατέλιπεν, τὸν δὲ δὴ Κίνναν καὶ
τὸν Μάριον ἄλλους ⟨τε⟩ τοὺς μετ᾽ αὐτὸν γενομένους
πάντας ἅμα ὑπερέβαλεν. ὅσα γὰρ μηδένα τῶν δήμων
τῶν ὀθνείων ἀντιπολεμησάντων οἱ ἔδρασε, ταῦτα τότε
τὴν πατρίδα καθάπερ καὶ ἐκείνην νικήσας ἐξειργάσατο.
4 τοῦτο μὲν γὰρ αὐθημερὸν τὰς κεφαλὰς τοῦ τε Δαμα-
σίππου καὶ τῶν συνεξετασθέντων αὐτῷ πρὸς τὸ Πραι-
νέστε πέμψας ἀνεσκολόπισε καὶ τῶν παραδόντων σφᾶς
ἐθελοντὰς συχνοὺς ὡς καὶ ἄκοντας ἑλὼν ἀπέκτεινεν.
5 καὶ τῇ ὑστεραίᾳ τοῖς τε βουλευταῖς εἰς τὸ Ἐνυεῖον
ὡς καὶ ἀπολογιούμενός τι αὐτοῖς καὶ τοῖς ζωγρηθεῖ-
σιν ἐς τὸν ἀγρὸν τὸν δημόσιον καλούμενον ὡς καὶ ἐς
τὸν κατάλογον αὐτοὺς ἐσγράψων συνελθεῖν κελεύσας
τούτους ἅμα δι᾽ ἑτέρων ἐφόνευσε, καὶ πολλοὶ τῶν ἐκ
τῆς πόλεως ἀνθρώπων ἀναμιχθέντες σφίσι παραπώ-
λοντο, καὶ ἐκείνοις αὐτὸς πικρότατα διελέξατο. V p. 654.
6 ὅτι ὁ φόνος τῶν ἑαλωκότων καὶ τότε οὐδὲν ἧττον
ὑπὸ τοῦ Σύλλου ἐγίγνετο, καὶ αὐτῶν ἅτε ἐγγὺς τοῦ
ναοῦ θνησκόντων πολὺς μὲν θόρυβος, πολὺς δὲ καὶ
θρῆνος, οἰμωγαί τε καὶ ὀδυρμοὶ ἐς τὸ συνέδριον ἐσέ-
πιπτον, ὥστε τὴν γερουσίαν ἀμφοτέρωθεν ἐκταράττε-
7 σθαι. καὶ γὰρ οὐδὲ πόρρω ἔτι τοῦ τι καὶ αὐτοὶ δει-
νὸν πείσεσθαι προσδοκᾶν ἦσαν οὕτως ἀνόσια αὐτοῦ
καὶ λέγοντος ἅμα καὶ πράττοντος· καὶ διὰ τοῦτο πολ-
λοὶ ἅτε ἐπ᾽ ἀμφοτέροις ἐν ταὐτῷ περιαλγοῦντες ἐπ-
εθύμουν τῶν ἔξω καὶ αὐτοὶ τῶν ἤδη ἀπολλυμένων
8 εἶναι, ἵνα παύσωνταί ποτε φοβούμενοι. ἀλλ᾽ αὐτοὶ

3, 6 ⟨τε⟩ ins. V ‖ αὐτὸν] αὐτῶν Reiske, idem 7 ἅμα ⟨ὠμό-τητι⟩ vel ⟨μιαιφονίᾳ⟩ ‖ 5, 2 ἀπολογιούμενος B, ἀπολογούμενος L ‖ 7 αὐτὸς Reiske, αὐτοῖς L ‖ 6, 4 ἐσέπιπτον B, συνέπιπτον L



μὲν ἀνεβέβληντο, οἱ δ᾽ ἄλλοι κατεσφάγησαν καὶ ἐς
τὸν ποταμὸν ἐρρίφησαν, ὥστε τὸ τοῦ Μιθριδάτου
πολὺ δεινὸν νομισθέν, ὅτι ποτὲ πάντας τοὺς ἐν τῇ
Ἀσίᾳ Ῥωμαίους ἐν μιᾷ ἡμέρᾳ ἀπέκτεινεν, ἐν βραχεῖ
πρός τε ⟨τὸ⟩ πλῆθος καὶ πρὸς τὸν τρόπον τῶν τότε
φονευθέντων νομισθῆναι. οὐδὲ ἐνταῦθα τὸ δεινὸν 9
ἔστη, ἀλλ᾽ ὥσπερ ἀπὸ φρυκτωρίας τινὸς ἐκεῖθεν αἱ
σφαγαὶ ἀρξάμεναι καὶ ἐν τῷ ἄστει καὶ ἐν τῇ χώρᾳ
ταῖς τε πόλεσι ταῖς ἐν τῇ Ἰταλίᾳ πάσαις ἐγένοντο.
πολλοὺς μὲν γὰρ αὐτὸς ὁ Σύλλας, πολλοὺς δὲ καὶ οἱ
ἑταῖροι αὐτοῦ, οἱ μὲν ἐπ᾽ ἀληθείας, οἱ δὲ καὶ προσ-
ποιούμενοι ἐμίσουν, ὅπως ἐκ τῆς τῶν ἔργων ὁμοιότη-
τος τό τε ὁμόηθές οἱ ἐνδεικνύοντες καὶ τὴν φιλίαν
βεβαιοῦντες ⟨μὴ⟩ ἐκ τοῦ διαφόρου αὐτῷ ὑποπτευ-
θῶσί τε [καὶ] καταγινώσκειν τι αὐτοῦ καὶ διὰ τοῦτο
κινδυνεύσωσιν. ἔσφαζον δὲ καὶ ὅσους πλουτοῦντας ἢ 10
καὶ ἄλλως πως ὑπερέχοντας σφῶν ἑώρων, τοὺς μὲν
φθόνῳ, τοὺς δὲ διὰ τὰ χρήματα· πλεῖστοι γὰρ ἐν τῷ
τοιούτῳ καὶ τῶν μέσων, κἂν μηδετέροις ὦσι συναί-
ροντες, ἴδιόν τι ἔγκλημα τὸ κατ᾽ ἀρετὴν ἢ καὶ γένει
πλούτῳ τέ τινος προέχειν λαμβάνοντες. καὶ ἀσφάλεια
οὐδεμία οὐδενὶ πρὸς τοὺς ἐν κράτει τινὶ ἀδικεῖν βου-
λομένους εὑρίσκετο. V p. 657.
ὅτι τοιαῦται συμφοραὶ τὴν Ῥώμην περιέσχον. τί 11
γὰρ ἄν τις τὰς τῶν ζώντων ὕβρεις λέγοι, αἳ πολλαὶ a. u. 673 (81)

8, 4 πολὺ] πάνυ Reiske ‖ 5 ἐν βραχεῖ πρὸς] βραχύ τι πρὸς? B ‖ 6 ⟨τὸ⟩ addidit Reiske ‖ 9, 4 ἐγένοντο V, ἐγένετο L ‖ 8 ἐνδεικνύωντες et 9 βεβαιῶντες L ‖ 9 ⟨μὴ⟩ inseruit V ‖ αὐτῷ Reiske, αὐτῶν L ‖ 10 [καὶ] expunxit Reiske ‖ 10, 4 μηδετέροις ὦσι V, μηδὲ ἑτέρας εἰ L, μηδὲ ἑτέρας ⟨στάσεως⟩ ὦσι (deleto συναίροντες) Gros ‖ 6 λαμβάνοντες ⟨παραπώλλυντο⟩ Reiske

μὲν περὶ τὰς γυναῖκας, πολλαὶ δὲ περὶ τοὺς παῖδας
τοὺς εὐγενεστάτους καὶ ἐλλογιμωτάτους καθάπερ αἰχμα-
λώτους ἐγίγνοντο; οὐ μὴν ἀλλὰ ἐκεῖνα καίπερ χαλε-
πώτατα ὄντα τῷ γοῦν ὁμοιοτρόπῳ τῶν ἤδη σφίσι
συμβεβηκότων οἰστὰ τοῖς γε ἐκτὸς τούτων οὖσιν ἐδόκει
12 εἶναι. ὡς δὲ οὐκ ἐξήρκει τῷ Σύλλᾳ, οὐδ' ἠγάπα τὰ
αὐτὰ ἑτέροις δρῶν, ἀλλά τις αὐτῷ πόθος εἰσῄει καὶ ἐν
τῇ πολυτροπίᾳ τῶν φόνων πολὺ πάντων περιεῖναι,
ὥσπερ τινὰ ἀρετὴν οὖσαν τὸ μηδὲ ἐν ταῖς μιαιφονίαις
τινὸς ἡττᾶσθαι, τινὰ καινότητα ἐξέθηκε λελευκωμένον
13 πίνακα, ἐς ὃν ἐνέγραφε τὰ ὀνόματα. οὐ μέντοι γε
ἧττον πάντα ὅσα καὶ πρὶν ἐγίγνετο, οὐδὲ ἐν τῷ ἀσφα-
λεῖ οἱ μὴ ἐς τὰ λευκώματα ἐγγεγραμμένοι ἦσαν. πολ-
λοὶ μὲν γὰρ οἱ μὲν ζῶντες, οἱ δὲ καὶ τεθνηκότες
ἐπ' ἀδείᾳ τῶν ἀποκτεινάντων σφᾶς προσενεγράφοντο,
ὥστε ἐν τούτῳ μηδὲν διενεγκεῖν τὸ πρᾶγμα τῇ τε
δεινότητι τῇ τε ἀτοπίᾳ αὐτοῦ πάνυ πάντας χαλεπαν-
14 θῆναι. τά τε γὰρ πινάκια ὥσπερ τις ἀναγραφὴ βου-
λευτῶν ἢ κατάλογος στρατιωτῶν νομιζομένων ἐξετί-
θετο, καὶ συνέθεον ἐπ' αὐτὰ πάντες οἱ ἀεὶ παριόντες
σπουδῇ καθάπερ τινὰ χρηστὴν ἐπαγγελίαν ἔχοντα· καὶ
πολλοὶ μὲν συγγενεῖς, ἤδη δέ τινες καὶ ἑαυτοὺς εὕρι-
σκον ἐγγεγραμμένους κτείνεσθαι, κἀκ τούτου τὸ πάθος
οἷα ἐξαπιναίῳ κακῷ φοβερὸν σφᾶς κατελάμβανεν· καὶ
συχνοὶ καὶ ἀπ' αὐτοῦ τούτου γνωριζόμενοι διώλλυντο.
15 καὶ ἦν οὐδενὶ ἔξω τῶν ἐκ τῆς ἑταιρείας ἀσφαλὲς οὐ-
δέν. εἴτε γὰρ προσίοι τις ⟨τοῖς⟩ λευκώμασιν, αἰτίαν

12, 5 ἡττᾶσθαι, τινὰ καινότητα] ἡττᾶσθαί τινα καινοτομοῦντα Naber, ⟨κατά⟩ τινα καινότητα vel ⟨ἐπιτηδεύων⟩ τινα καινότητα Reiske ‖ 13, 2 ἐγίγνετο V, γίγνεται L ‖ ἀσφαλεῖ ⟨μᾶλλον⟩ Reiske ‖ 14, 2 νομιζομένων] νομιζομένως? B, νομιζόμενα Reiske ‖ 3 παριόντες B, παρόντες L ‖ 15, 2 ⟨τοῖς⟩ addidit B



ὡς καὶ πολυπραγμονῶν τι εἶχεν, εἴτε μὴ προσίοι,
δυσχεραίνειν ἐδόκει. καὶ ὅ τε ἀναλεγόμενος ἢ καὶ
ἐπερωτῶν τινα τὰ ἐγγεγραμμένα ὕποπτος ὡς καὶ περὶ
ἑαυτοῦ τι τῶν τε ἑταίρων ζητῶν ἐγίγνετο, καὶ ὁ μὴ
ἀναγινώσκων μηδὲ πυνθανόμενος ἄχθεσθαί τε αὐτοῖς
ὑπωπτεύετο καὶ διὰ τοῦτο καὶ ἐμισεῖτο. τό τε δακρῦσαι 16
ἢ καὶ γελάσαι θανάσιμον τὸ παραχρῆμα ἐγίγνετο· καὶ
διὰ τοῦτο καὶ πολλοί, οὐχ ὅτι καὶ εἶπόν τι ἢ καὶ
ἔπραξαν ὧν ἀπείρητο, ἀλλ' ὅτι καὶ ἐσκυθρώπασαν ἢ
καὶ ἐμειδίασαν, ἐφθείροντο. οὕτω καὶ τὰ σχήματα
αὐτῶν ἀκριβῶς ἐτηρεῖτο, καὶ οὐκ ἐξῆν οὐδενὶ οὔτε
ἐπὶ φίλῳ ὀδύρασθαι οὔτε ἐπ' ἐχθρῷ ἐφησθῆναι, ἀλλὰ
καὶ ἐκεῖνοι ὡς καὶ χλευάζοντές τινα ἐσφάζοντο. καὶ 17
προσέτι καὶ ⟨αἱ⟩ ἐπικλήσεις συχνοῖς πράγματα παρεῖ-
χον· ἀγνοοῦντες γάρ τινες τοὺς ἐπικεκηρυγμένους ἐπὶ
πάντας, οὓς ἐβούλοντο, τὰς ἐπωνυμίας αὐτῶν ἦγον, καὶ
πολλοὶ διὰ τοῦτ' ἀνθ' ἑτέρων ἀπέθανον. ὥστε καὶ ἐν
τούτῳ ταραχὴν τῶν μὲν ὅπως ποτὲ ἐβούλοντο τὸν
προστυχόντα ὀνομαζόντων, τῶν δὲ ἀρνουμένων μὴ
οὕτω καλεῖσθαι γίγνεσθαι. ἐφονεύοντο δὲ οἱ μὲν 18
ἀγνοοῦντες, ὅτι τελευτήσουσιν, οἱ δὲ καὶ προειδότες,
πανταχοῦ ὅπουπερ ἐτύγχανον ὄντες· καὶ οὐδὲν ἦν
αὐτοῖς χωρίον, οὐχ ὅσιον, οὐχ ἱερόν, οὔτ' ἀσφαλὲς
οὔτ' ἄσυλον. οὐ μὴν ἀλλ' οἱ μὲν ἐξαίφνης, πρὶν μα-
θεῖν τὴν ἐπικρεμαμένην συμφοράν, ἢ καὶ ἅμα τῇ πύ-
στει αὐτῆς διαφθειρόμενοι τῇ γοῦν εὐτυχίᾳ τῆς μὴ
προεκφοβήσεως ἐπεκουφίζοντο· οἱ δὲ δὴ προαισθόμενοι 19

15, 5 ἐγγραμένα L ‖ 16, 7 φίλῳ Reiske, φίλων L ‖ ὀδύρασθαι Gros, ὀδύρεσθαι V, ὀδυραίσθαι L ‖ 17, 2 ⟨αἱ⟩ add. Reiske ‖ 6 τὸν προστυχόντα vel ⟨τινα⟩ τῶν προστυχόντων Reiske, τῶν προστυχόντων L ‖ 18, 3 ὁπούπερ ἐτύγχανον V, ὅπου παρετύγχανον L ‖ 7 εὐτυχίᾳ V, ἀτυχίᾳ L

τοῦ δεινοῦ καὶ κατακρυπτόμενοι χαλεπώτατα ἀπήλλασσον· οὐ γὰρ ἀποχωρῆσαι, μὴ φωραθεῖεν, ἐτόλμων οὔτ' αὖ κατὰ χώραν μένειν, μὴ καὶ προδοθεῖεν, ὑπέμενον. πλεῖστοι δὲ καὶ ὑπὸ τῶν συνόντων καὶ φιλτάτων σφίσι προεδόθησαν καὶ ἀπώλοντο. κἀκ τούτου τῇ προσδοκίᾳ [τὸ ἀεὶ τὸν θάνατον προσδέχεσθαι. ὅτι]

20 οὐχ οἱ ἐς τὰ πινάκια ἐγγεγραμμένοι μόνον, ἀλλὰ καὶ οἱ λοιποὶ ὁμοίως ἔπασχον. V p. 658—662.

21 ὅτι πάντων τῶν σφαζομένων ὁπουδὰν αἱ κεφαλαὶ ἐς τὴν τῶν Ῥωμαίων ἀγορὰν ἐκομίζοντο καὶ ἐπὶ τοῦ βήματος ἐξετίθεντο, ὥσθ' ὅσα περὶ τὰς προγραφὰς συνέβαινε, ταὐτὰ καὶ περὶ ἐκείνας γίγνεσθαι. V ib.

106 ὅτι Λούκουλλος ἔλεγεν, ὡς ἕνα βούλοιτο ἂν ἐξελέσθαι κινδύνου Ῥωμαίων ἢ πάντα τὰ τῶν πολεμίων ἀμαχεὶ λαβεῖν. M p. 551.

a. u. 680 (74)

107 οὐ γὰρ αἱ ἐπικλήσεις καὶ τοὺς τρόπους τῶν ἀνθρώπων μεταβάλλουσιν, ἀλλ' ὅπως ἄν τις τὰ πράγματα μεταχειρίζηται, τοιαύτας καὶ ἐκείνας δοκεῖν εἶναι ποιεῖ· καὶ πολλοὶ μὲν μοναρχοῦντες ἀγαθῶν αἴτιοι τοῖς ἀρχομένοις γίγνονται, διὸ καὶ βασιλεία τὸ τοιοῦτον ὀνομάζεται, πολλοὶ δὲ δημοκρατούμενοι μυρία κακὰ αὐτοὺς ἐργάζονται. M p. 556. Cf. fr. 12.

2 οὐδὲν γὰρ καὶ στράτευμα καὶ τἄλλα πάντα, ὅσα ἀρχῆς τινος δεῖται, οὔτε ἐπὶ τὸ χεῖρον οὔτε ἐπὶ τὸ κρεῖττον προάγει ὡς ὅ τε τρόπος καὶ ἡ δίαιτα τοῦ ἐπιστατοῦντος αὐτῶν· πρὸς γὰρ τὰς γνώμας τάς τε

19, 3 οὐ γὰρ] οὔτε γὰρ? B ‖ 4 αὖ V, ἂν L ‖ μὴ καὶ R, καὶ μὴ L ‖ 7 [τὸ — ὅτι] seclusit Reiske ‖ 21, 4 deest integer quaternio (complexus excerpta usque ad proximum ex l. 42, 8, 1, ὅτι ὁ Καῖσαρ τὴν Πομπηίου κεφαλὴν ἰδών) ‖ **107**, 1, 3 τοιαύτας καὶ ἐκείνας B, τοιαῦτα καὶ ἐκεῖνα L ‖ 7 αὐτοὺς D, αὑτοὺς B, αὐτοῖς L



πράξεις τῶν ἡγουμένων σφίσιν οἱ πολλοὶ ἐξομοιοῦνται καί, ὁποῖα ἂν ἐκείνους δρῶντας ἴδωσι, τοιαῦτα καὶ αὐτοὶ οἱ μὲν ὡς ἀληθῶς, οἱ δὲ καὶ προσποιούμενοι πράττουσιν. M p. 556.

πέφυκεν ὡς ἀεὶ πρὸς τὰς γνώμας τῶν ἀρχόντων τυποῦσθαι καὶ τὸ ὑποχείριον. M p. 560 ex Antonio Melissa p. 78 ed. Tigur. 3

τίς γὰρ οὐκ ἂν ἕλοιτο σώφρων ὢν ἐν τοῖς κόλποις τῆς πόλεως ἀποθανὼν κεῖσθαι μᾶλλον ἢ πορθουμένην ταύτην ἐπιδεῖν; M p. 557. 4

εἰ μέν τίς σοι κατεσκεύαζεν οἰκίας, ἔνθα μὴ ἔμελλες μένειν, ζημίαν τὸ πρᾶγμα ἐνόμισας ἄν· νῦν δὲ ἐνταῦθα βούλει πλουτεῖν, ὅθεν καὶ πρὸ τῆς ἑσπέρας πολλάκις μέλλεις ἀποδημεῖν; M ib. 5

οὐκ οἶδας, ὅτι ἐπ' ἀλλοτρίας διατρίβομεν καθάπερ ξένοι καὶ πάροικοι; οὐκ οἶδας, ὅτι παροίκων ἐστὶν ἐκβάλλεσθαι, ὅτε μὴ προσδοκῶσι μηδὲ ἐλπίζουσιν; ὅπερ καὶ ἡμεῖς πάσχομεν. M ib. 6

τίς μὲν γὰρ οὐκ ἂν ἕλοιτο ἀπὸ μιᾶς πληγῆς καὶ ταύτης μηδὲν ἢ βραχύτατόν τι λυπησάσης ἀποθανεῖν μᾶλλον ἢ νοσήσας; τίς δ' οὐκ ἂν εὔξαιτο ἀκεραίου τοῦ σώματος ἀκεραίῳ τῇ ψυχῇ ἀπαλλαγῆναι μᾶλλον ἢ φθόῃ τινὶ καὶ ὑδέρῳ σαπῆναι ἢ λιμῷ μαρανθῆναι; M ib. 7

φιλεῖ πως λυπεῖν μᾶλλόν τινας τῶν μὴ προσδοκηθέντων ἀρχὴν ὅσα ἂν ἐν ἐλπίδι γενόμενα διαπέσῃ· τὰ μὲν γὰρ πόρρω σφῶν νομίζοντες εἶναι ἧττον αὐτῶν ὡς καὶ ἀλλοτρίων ἐφίενται, τῶν δὲ ἐγγὺς ἐλθόντες ἄχθονται ὡς καὶ οἰκείων στερόμενοι. M p. 558. 8

7, 2 λυπησάσης] λυπησούσης Naber

9 κινδύνων ἐλπὶς ἄνευ κινδύνων τίθησι τὸν ἐλπίζοντα τῷ προησφαλίσθαι τῶν δυσχερῶν τῇ δοκήσει τὰ πράγματα. M p. 560 ex Antonio Mel. p. 8.

10 ταὐτόν ἐστιν ἐπὶ εὐτυχίᾳ μέγα φρονεῖν καὶ ἐπὶ ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν. M ib. ex Antonio p. 71.

11 ὁ αὐτὸς (sc. Δίων ὁ Ῥωμαῖος) ἔφη "πῶς οὐ δεινὸν τοῖς μὲν θεοῖς ἐνοχλεῖν, αὐτοὺς δὲ μὴ βούλεσθαι πράττειν ἅ γε ἐφ' ἡμῖν εἶναι δοκεῖ τοῖς θεοῖς;" M p. 561 ex Arsenii Anthol. p. 92.

12 ὁ αὐτὸς ἔφη "πολλῷ κρεῖττόν ἐστι κατορθώσαντάς τι ζηλοτυπηθῆναι ἢ πταίσαντας ἐλεηθῆναι." M ib. ex Arsenio.

13 ὁ αὐτὸς ἔφη "ἀδύνατόν ἐστι τἀναντία τινὰ τοῖς ὀρθῶς ἔχουσι πράττοντα ἀγαθοῦ τινος ἀπ' αὐτῶν ἀπολαῦσαι." M p. 562.

108 ὅτι τῶν Κρητῶν πρεσβευσαμένων πρὸς τοὺς Ῥω-
a. u. μαίους καὶ ἐλπιζόντων τάς τε παλαιὰς σπονδὰς ἀνα-
684 (70) νεώσεσθαι καὶ προσέτι καὶ εὐεργεσίαν τῆς τοῦ ταμίου
τῶν τε στρατιωτῶν αὐτῶν σωτηρίας εὑρήσεσθαι, οὗτοι
ὀργὴν μᾶλλον, ὅτι [μὴ] ἑάλωσαν, λαβόντες ἢ χάριν αὐ-
τοῖς, ὅτι μὴ ἐκείνους ἔφθειραν, γνόντες οὔτ' ἄλλως
μέτριόν τι ἀπεκρίναντο καὶ τοὺς αἰχμαλώτους τούς
2 τε αὐτομόλους ἅπαντας παρ' αὐτῶν ἀπήτησαν. καὶ
ὁμήρους χρήματά τε πολλὰ αἰτήσαντες τάς τε ναῦς
τὰς μείζους καὶ τοὺς ἄνδρας τοὺς κορυφαίους ἐξαιτή-
σαντες οὐκ ἀνέμειναν τὴν οἴκοθεν αὐτῶν ἀπόκρισιν,
ἀλλὰ τῶν ὑπάτων αὐτίκα τὸν ἕτερον ταῦτά τε ληψό-

108, 1, 2 ἀνανεώσασθαι L, corr. Leunclavius ‖ 4 στρατιωτῶν R, συστρατιωτῶν L ‖ αὐτῶν] ⟨ὑπ'⟩ αὐτῶν Reiske ‖ 5 [μὴ] del. R, qui scripsit ὅτι καὶ ἑάλωσαν; ὅτι δὴ ἑ. vel ὅτι τὴν ἀρχὴν ἑ. Reiske ‖ 2, 1 καὶ ὁμήρους post ἅπαντας inseruit R



μενον καὶ πολεμήσοντά σφισιν, ἂν μὴ διδῶσιν, ὥσπερ
οὐκ ἔμελλον, ἐξέπεμψαν· οἱ γὰρ ἀπ' ἀρχῆς, πρὶν αἰτη- 3
θῆναί τι τοιοῦτο καὶ κρατῆσαι, μὴ ἐθελήσαντες ὁμολογῆσαι πῶς ἂν μετὰ τὴν νίκην τοσαῦτά τε ἅμα καὶ τοιαῦτα προστα ττόμενοι ἤνεγκαν; τοῦτό τε οὖν σαφῶς εἰδότες καὶ προσυποπτεύσαντες τοὺς πρέσβεις ἐπιχειρήσειν τινὰς ὡς καὶ κωλύσοντας τὴν στρατείαν διαφθεῖραι χρήμασιν ἐψηφίσαντο ἐν τῇ βουλῇ μηδένα αὐτοῖς μηδὲν δανεῖσαι. U p. 388.

3, 1 ἔμελλον R, ἔμελλεν L ‖ οἱ] ᾧ L ‖ 4 σαφῶς Sylburg, σφᾶς L ‖ 6 διαφθεῖραι Reiske, διαφθαρῆναι L

# ΔΙΩΝΟΣ

# ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛϚ.

1 . . . καὶ ὅτι ἰσχυρᾷ τῇ τύχῃ ἐπ' ἀμφότερα ἐκέχρητο,
a. u. 685 (69) ἐπέτρεψεν· ἡττηθείς τε γὰρ πολλὰ καὶ κρατήσας οὐκ ἐλάττω καὶ στρατηγικώτερος ἀπ' αὐτῶν ἐπεπίστευτο

Initium deest in codd. Pauca quaedam apud Xiphilinum inveniuntur p. 3 R. Steph. *κληρουμένων δὴ τῶν ὑπάτων Ὁρτήσιος τὸν πρὸς Κρῆτας ἔλαχε πόλεμον. ἀλλ' ἐκεῖνος μὲν ὑπό τε τῆς ἐν τῷ ἄστει φιλοχωρίας καὶ ὑπὸ τῶν δικαστηρίων, ἐν οἷς πλεῖστον τῶν κατ' αὐτὸν ἀνθρώπων μετά γε τὸν Κικέρωνα ἠδυνήθη, τῷ τε συνάρχοντι τῆς στρατείας ἐθελοντὴς ἐξέστη καὶ αὐτὸς κατὰ χώραν ἔμεινεν· ὁ δὲ δὴ Μέτελλος ἐστείλατό τε ἐς Κρήτην . . .*

*Λούκουλλος δὲ Λούκιος κατὰ τοὺς καιροὺς τούτους τοὺς τῆς Ἀσίας δυνάστας Μιθριδάτην τε καὶ Τιγράνην τὸν Ἀρμένιον πολέμῳ νικήσας καὶ φυγομαχεῖν ἀναγκάσας τὰ Τιγρανόκερτα ἐπολιόρκει. καὶ αὐτὸν οἱ βάρβαροι τῇ τε τοξείᾳ καὶ τῇ νάφθᾳ κατὰ τῶν μηχανῶν χεομένῃ δεινῶς ἐκάκωσαν. ἀσφαλτῶδες δὲ τὸ φάρμακον τοῦτο καὶ διάπυρον οὕτως, ὥσθ' ὅσοις ἂν προσμίξῃ, πάντως αὐτὰ κατακαίειν, οὐδ' ἀποσβέννυται ὑπ' οὐδενὸς ὑγροῦ ῥᾳδίως. ἐκ τούτου δὲ ὁ Τιγράνης ἀναθαρρήσας τοσαύτῃ χειρὶ στρατοῦ ἤλασεν, ὥστε καὶ τῶν Ῥωμαίων τῶν ἐκεῖσε παρόντων καταγελάσαι. λέγεται δ' οὖν εἰπεῖν, ὡς εἰ μὲν πολεμήσοντες ἥκοιεν, ὀλίγοι, εἰ δὲ πρεσβεύσοντες, πολλοὶ παρεῖεν. οὐ μέντοι καὶ ἐπὶ πολὺ ἥσθη, ἀλλ' εὐθὺς ἐξέμαθεν, ὅσον ἥ τε ἀρετὴ καὶ ἡ τέχνη*

**1**, 1, 1 ἐκέχρητο] sc. Mithridates ∥ 2 ἐπέτρεψεν] sc. Tigranes



γεγονέναι. αὐτοί τε οὖν ὡς καὶ τότε πρῶτον ἀρχόμενοι τοῦ πολέμου παρεσκευάζοντο καὶ πρὸς τοὺς περιχώρους τούς τε ἄλλους καὶ Ἀρσάκην τὸν Πάρθον καίπερ ἐχθρὸν τῷ Τιγράνῃ διὰ χώραν τινὰ ἀμφισβη-
τήσιμον ὄντα ἐπρεσβεύοντο καὶ ταύτης τε αὐτῷ ἀφ- 2
ίσταντο καὶ τοὺς Ῥωμαίους διέβαλλον λέγοντες ὅτι, ἂν μονωθέντων σφῶν κρατήσωσι, καὶ ἐπ' ἐκεῖνον εὐθὺς ἐπιστρατεύσουσι· φύσει τε γὰρ πᾶν τὸ νικῶν ἄπληστον τῆς εὐπραγίας εἶναι καὶ μηδένα ὅρον τῆς πλεονεξίας ποιεῖσθαι, καὶ τούτους ἅτε καὶ ἐν κράτει πολλῶν δὴ γεγονότας οὐκ ἐθελήσειν αὐτοῦ ἀποσχέσθαι.
καὶ οἱ μὲν ταῦτ' ἔπραττον, Λούκουλλος δὲ Τιγρά- 2
νην μὲν οὐκ ἐπεδίωξεν, ἀλλὰ καὶ πάνυ κατὰ σχολὴν σωθῆναι εἴασε καὶ ἀπ' αὐτοῦ καὶ αἰτίαν ὡς οὐκ ἐθελήσας τὸν πόλεμον, ὅπως ἐπὶ πλεῖον ἄρχῃ, καταλῦσαι
παρά τε τοῖς ἄλλοις καὶ παρὰ τοῖς πολίταις ἔσχε· καὶ 2
διὰ τοῦτο τότε ⟨τε⟩ ἐς τοὺς στρατηγοὺς τὴν ἀρχὴν τῆς Ἀσίας ἐπανήγαγον καὶ μετὰ ταῦθ', ὡς καὶ αὖθις τὸ αὐτὸ τοῦτο πεποιηκέναι ἔδοξε, τὸν ὕπατον αὐτῷ τὸν
κατ' ἐκεῖνον τὸν χρόνον ὄντα διάδοχον ἔπεμψαν. τὰ 3
δὲ δὴ Τιγρανόκερτα στασιασάντων πρὸς τοὺς Ἀρμενίους τῶν ξένων τῶν συνοικούντων αὐτοῖς εἷλε. Κίλικές τε γὰρ οἱ πλείους αὐτῶν ἦσαν ἀνάσπαστοί ποτε γεγονότες καὶ ἐσήγαγον ἔσω νυκτὸς τοὺς Ῥωμαίους.
καὶ ἐκ τούτου τὰ μὲν ἄλλα διηρπάσθη πλὴν τῶν ἐκεί- 4

παντὸς ὁμίλου κρατεῖ. φυγόντος δὲ αὐτοῦ τὴν τιάραν τό τε ἀνάδημα τὸ περὶ αὐτὴν εὑρόντες οἱ στρατιῶται τῷ Λουκούλλῳ ἔδοσαν· δείσας γάρ, μὴ γνωσθεὶς ἀπ' αὐτῶν ἁλῷ, περιεσπάσατο αὐτὰ καὶ ἀπέρριψεν.

2, 2, 2 ⟨τε⟩ inseruit B ∥ 3, 5 καὶ] οἱ Oddey

νοις ὑπαρχόντων, τὰς δὲ δὴ γυναῖκας τῶν δυνατωτάτων πολλὰς ἁλούσας ἄνευ ὑβρισμοῦ ὁ Λούκουλλος ἐφύλαξε καὶ ἀπ' αὐτοῦ καὶ τοὺς ἄνδρας σφῶν προσεποιήσατο· τόν τε τῆς Κομμαγηνῆς βασιλέα Ἀντίοχον (ἡ δὲ δὴ χώρα αὕτη τῆς Συρίας πρός τε τῷ Εὐφράτῃ καὶ πρὸς τῷ Ταύρῳ ἐστὶ) καί τινα Ἀράβιον δυνάστην Ἀλχαυδόνιον ἄλλους τε ἐπικηρυκευσαμένους οἱ ἐδέξατο.
3 καὶ μαθὼν παρ' αὐτῶν τὴν πρεσβείαν τὴν ὑπό τε τοῦ Τιγράνου καὶ τοῦ Μιθριδάτου πρὸς τὸν Ἀρσάκην πεμφθεῖσαν ἀνταπέστειλέ τινας ἐκ τῶν συμμάχων ἀπειλάς τε ἅμα αὐτῷ, ἂν ἐκείνοις ἐπικουρήσῃ, καὶ
2 ὑποσχέσεις, ἂν τὰ σφέτερα ἀνθέληται, φέροντας. ὁ οὖν Ἀρσάκης τότε μὲν (ἔτι γὰρ τῷ τε Τιγράνῃ ὀργὴν εἶχε καὶ ἐς τοὺς Ῥωμαίους οὐδὲν ὑπώπτευε) πρέσβεις τέ οἱ ἀντέπεμψε καὶ φιλίαν τε καὶ συμμαχίαν ἐσπείσατο, ὕστερον δὲ τὸν Σηκίλιον ἐλθόντα πρὸς ἑαυτὸν ἰδὼν ὑπετόπησε κατάσκοπον τῆς χώρας καὶ τῆς δυνά-
3 μεως αὐτοῦ παρεῖναι (τούτου γὰρ ἕνεκα, ἀλλ' οὐ τῆς ὁμολογίας ἤδη γεγενημένης ἄνδρα ἐπιφανῆ τὰ πολεμικὰ πεμφθῆναι) καὶ οὐδεμίαν ἔτι αὐτῶν βοήθειαν ἐποιήσατο. οὐ μὴν οὐδ' ἠναντιώθη τι, ἀλλ' ἐκ μέσου ἀμφοῖν ἔστη μηδετέρους, ὥσπερ εἰκός, ἐθελήσας αὐξῆσαι· τὸν γὰρ πόλεμον αὐτῶν ἰσοπαλῆ ὄντα ἀσφάλειάν οἱ μεγίστην οἴσειν ἐνόμιζεν.

4 τούτῳ μὲν δὴ τῷ ἔτει ταῦθ' ὁ Λούκουλλος ἔπραξε

2,4,3 ἄνευ ὑβρισμοῦ] ἀνυβρίστους Xiphilinus ‖ 4 τοὺς ἄνδρας σφῶν] τοὺς μετὰ Τιγράνου φεύγοντας addit Xiphilinus ‖ 5,1 τόν τε] ⟨τότε δὲ⟩ τόν τε Maisel, προσεποιήσατο, τόν τε — Ἀντίοχον D R. Stephanum secutus ‖ 3,2,5 Σηκίλιον] Σεξτίλιον Plut. Lucull. 25, Appian. Mithrid. 84; Σηλίκιον Willems, Le sénat I, p. 506 nr. 258 ‖ 3,3 ἔτι Henricus Stephanus (qui ἔτι αὐτῷ sc. Λουκούλλῳ), ἐπ' cod. Vat. A



καὶ τῆς Ἀρμενίας συχνὰ προσηγάγετο· ἐπὶ δὲ δὴ Κυ- a. u. 686 (68)
ΐντου Μαρκίου (οὗτος γὰρ καίπερ οὐ μόνος ἀποδειχθεὶς μόνος ὑπάτευσεν· ὅ τε γὰρ σὺν αὐτῷ χειροτονηθεὶς Λούκιος Μέτελλος ἐν ἀρχῇ τοῦ ἔτους ἀπέθανε, καὶ ὁ ἐφαιρεθεὶς πρὶν ἐπιβῆναι τῆς ἀρχῆς μετήλλαξε, καὶ διὰ τοῦτ' οὐδεὶς ἄλλος ἀπεδείχθη), ἐν οὖν τῷ ἔτει 2
τούτῳ ὁ Λούκουλλος μεσοῦντος ἤδη τοῦ θέρους (ὑπὸ γὰρ τοῦ ψύχους ἀδύνατον ἦν ἦρι ἐς τὴν πολεμίαν γῆν ἐσβαλεῖν) στρατεύσας τινά τε τῆς γῆς ἐπόρθησεν, ὅπως ἀμύνοντας αὐτῇ τοὺς βαρβάρους ἐς μάχην ὑπαγάγηται, καὶ ὡς οὐδὲν μᾶλλον ἐκινοῦντο, ἐπ' αὐτοὺς ὥρμησε, 5
κἂν τούτῳ τοῖς μὲν ἱππεῦσι τῶν Ῥωμαίων χαλεποὶ οἱ τῶν ἐναντίων ἱππῆς ἐγίγνοντο, τῷ δὲ πεζῷ οὐδεὶς αὐτῶν ἐς χεῖρας ᾔει, ἀλλ' ὁπότε ἡ ἀσπὶς τοῦ Λουκούλλου τῇ ἵππῳ προσβοηθήσειεν, ἐτρέποντο. οὐ μέντοι καὶ δεινόν τι ἔπασχον, ἀλλὰ καὶ τοὺς ἐπιδιώκοντας σφᾶς ἐς τοὐπίσω τοξεύοντες πολλοὺς μὲν παραχρῆμα ἀπεκτίννυσαν, παμπληθεῖς δὲ ἐτίτρωσκον. καὶ 2
ἦν τὰ τραύματα χαλεπὰ καὶ δυσίατα· ταῖς τε γὰρ ἀκίσι διπλαῖς ἐχρῶντο καὶ προσέτι καὶ ἐφάρματτον αὐτάς, ὥστε τὰ βέλη, εἴτε ἐμμένοι πη τοῖς σώμασιν εἴτε καὶ ἐξέλκοιτο, τάχιστα αὐτὰ διολλύναι· τὸ γὰρ ἕτερον [τὸ δεύτερον] σιδήριον ἔνδον ἅτε μηδεμίαν ἀνθολκὴν ἔχον ἐγκατελείπετο.

ὁ οὖν Λούκουλλος, ἐπειδή τε πολλοὶ ἐτραυματί- 6
ζοντο, καὶ οἱ μὲν ἔθνησκον, οἱ δ' ἀνάπηροι γοῦν

4,1,6 ἐφαιρεθεὶς D coll. 49,43,7; ἀφιερωθεὶς Vat. A, ἀνθαιρεθεὶς R, Naber, ἀνθιδρυθεὶς vel ἀνθιδρυνθεὶς vel ἐπικληρωθεὶς Reiske ‖ 2,5 αὐτῇ Reiske, αὐτὴν Vat. A ‖ 5,1,3 ἱππῆς scripsi, cf. Boissevain, Mnemos. XIII, p. 331, n. 1 ‖ 2,3 ἐφάρματτον Reiske, ἐφήρμοττον Vat. A ‖ 4 ἐμμένοι St, ἐμμένειε Vat. A ‖ 5 [τὸ δεύτερον] del. Reiske, qui sic dedit locum: ⟨ἐξέλκειν δὲ οὐ πάνυ ῥᾴδιον ἦν. τὸ μὲν γὰρ ἕτερον εἰ καὶ ἐφέποιτο, τὸ δ' αὖ⟩ ἕτερόν γε σιδήριον etc.

ἐγίγνοντο, καὶ ἅμα καὶ τὰ ἐπιτήδεια αὐτοὺς ἐπέλιπεν,
2 ἐκεῖθέν τε ἀπεχώρησε καὶ ἐπὶ Νίσιβιν ὥρμησεν. ἡ δὲ
δὴ πόλις αὕτη ἐν τῇ Μεσοποταμίᾳ καλουμένῃ πεπό-
λισται (οὕτω γὰρ πᾶν τὸ μεταξὺ τοῦ τε Τίγριδος καὶ
τοῦ Εὐφράτου ὀνομάζεται) καὶ νῦν μὲν ἡμετέρα ἐστὶ
καὶ ἄποικος ἡμῶν νομίζεται, τότε δὲ ὁ Τιγράνης τῶν
Πάρθων αὐτὴν ἀφελόμενος τούς τε θησαυροὺς ἐν αὐτῇ
καὶ [τὰ ἄλλα] τὰ πλεῖστα τῶν λοιπῶν ἀπετέθειτο φύ-
3 λακά οἱ τὸν ἀδελφὸν προστάξας. πρὸς οὖν ταύτην ὁ
Λούκουλλος ἐλθὼν ἐν μὲν τῷ θέρει καίπερ μὴ παρ-
έργως τὰς προσβολὰς ποιησάμενος οὐδὲν ἐπέρανε· τὰ
γὰρ τείχη καὶ διπλᾶ καὶ πλίνθινα ὄντα τήν τε παχύ-
τητα πολλὴν ἔχοντα καὶ τάφρῳ βαθείᾳ διειλημμένα
οὔτε κατασεισθῆναί πῃ οὔτε διορυχθῆναι ἠδυνήθη,
7 διόπερ οὐδ' ὁ Τιγράνης ἐπήμυνέ σφισιν· ὡς δ' ὅ τε
χειμὼν ἐνέστη, καὶ οἱ βάρβαροι ῥαθυμότερον ἅτε ἐπι-
κρατοῦντες τούς τε Ῥωμαίους ὅσον οὐκ ἀπαναστήσε-
σθαι προσδοκῶντες διῆγον, ἐτήρησε νύκτα ἀσέληνον
2 καὶ ὑετῷ λάβρῳ βρονταῖς τε χειμέριον, ὥστε μήτε τι
προϊδέσθαι μήτε τι ἐπακοῦσαι αὐτοὺς ἔχοντας τόν τε
ἔξω περίβολον πλὴν ὀλίγων καὶ τὴν ἐν τῷ μέσῳ τά-
φρον ἐκλιπεῖν, καὶ προσέμιξε πολλαχῇ τῷ τείχει καὶ
ἐκείνου τε οὐ χαλεπῶς ἀπὸ τῶν χωμάτων ἐπέβη καὶ
τοὺς φρουροὺς τοὺς ἐγκαταλειφθέντας ἐν αὐτῷ ῥᾳδίως
3 ἅτε μὴ πολλοὺς ὄντας ἀπέκτεινε. καὶ οὕτω τῆς τε τά-
φρου μέρος τι (τὰς γὰρ γεφύρας οἱ βάρβαροι προκατ-
έρρηξαν) συνέχωσεν (οὔτε γὰρ τῇ τοξείᾳ οὔτε αὖ τῷ
πυρὶ λυπεῖσθαι ἐν τῷ πολλῷ ὑετῷ ἠδύνατο) καὶ δια-

6, 1, 3 ἐπέλειπεν Turnebus ‖ 2, 7 [τὰ ἄλλα] delever. Reiske, St τὰ πλείστου ⟨ἄξια⟩? B ‖ ἀπετέθειτο Reiske, ἀπετίθετο Vat. A ‖ 7, 2, 6 αὖ τῷ R, αὐτῷ Vat. A



βὰς αὐτὴν τὰ μὲν ἄλλα, οὐ πάνυ ἰσχυροῦ τοῦ ἔνδον
κύκλου πίστει τῶν ἔξωθεν αὐτοῦ προβεβλημένων ὄν-
τος, εὐθὺς εἷλε, τοὺς δὲ ἐς τὴν ἄκραν ἀναφυγόντας 4
ἄλλους τε καὶ τὸν ἀδελφὸν τοῦ Τιγράνου μετὰ τοῦτο
καθ' ὁμολογίαν παρεστήσατο καὶ χρήματά τε πολλὰ
ἔλαβε καὶ ἐκεῖ διεχείμασε.

τὴν μὲν οὖν Νίσιβιν οὕτως ἐχειρώσατο, τῆς δὲ 8
Ἀρμενίας τῶν τε ἄλλων τῶν περὶ τὸν Πόντον συχνὰ
ἀπέβαλεν. ὁ γὰρ Τιγράνης ἐκείνῃ μὲν ὡς οὐκ ἂν
ἁλούσῃ οὐκ ἐπεκούρησε, πρὸς δὲ τὰ προειρημένα ὥρ-
μησεν, εἴ πως ἀσχόλου περὶ τὴν Νίσιβιν αὐτοῦ ὄντος
φθάσειεν αὐτὰ κομισάμενος. καὶ Μιθριδάτην μὲν πρὸς 2
τὴν οἰκείαν ἀπέστειλεν, αὐτὸς δὲ ἐς τὴν ἑαυτοῦ Ἀρ-
μενίαν ἦλθε κἀνταῦθα Λούκιον Φάννιον ἀντιστάντα
οἱ ἀπολαβὼν ἐπολιόρκει, μέχρις οὗ ὁ Λούκουλλος
αἰσθόμενος τοῦτο ἐπεβοήθησεν αὐτῷ. ἐν ᾧ δὲ ταῦτ' 9
ἐγίγνετο, Μιθριδάτης ἔς τε τὴν ἑτέραν Ἀρμενίαν καὶ
ἐς τὰ ἄλλα ἐσβαλὼν πολλοὺς τῶν Ῥωμαίων τοὺς μὲν
ἀνὰ τὴν χώραν πλανωμένους ἀπροσδόκητός σφισι
προσπεσὼν ἔφθειρε, τοὺς δὲ καὶ ἐκ μάχης κατέκοψε
κἀν τούτῳ καὶ τῶν χωρίων τὰ πλείω διὰ ταχέων ἀν-
εκτήσατο. οἱ γὰρ ἄνθρωποι ἐκείνου τε εὔνοιαν ἔκ τε 2
τοῦ ὁμοφύλου καὶ ἐκ τῆς πατρίου βασιλείας καὶ τῶν
Ῥωμαίων μῖσος διά τε τὸ ὀθνεῖον καὶ διὰ τὸ ὑπὸ τῶν
ἐφεστηκότων σφίσι κακουχεῖσθαι ἔχοντες προσεχώρη-
σάν τε αὐτῷ καὶ μετὰ τοῦτο τὸν ἄρχοντα τῶν ἐκεῖ
Ῥωμαίων Μᾶρκον Φάβιον ἐνίκησαν. οἵ τε γὰρ Θρᾷ- 3
κες οἱ πρότερον μὲν τῷ Μιθριδάτῃ μισθοφορήσαντες,
τότε δὲ τῷ Φαβίῳ συνόντες, καὶ οἱ δοῦλοι οἱ ἐν τῷ

3, 6 προβεβλημένων Leunclavius, προσβεβλημένων Vat. A ‖ 8, 2, 3 ἦλθε] ἀνῆλθε Reiske ‖ 9, 1, 6 κἀν τούτῳ] κἀκ τούτου? B

Ῥωμαϊκῷ στρατοπέδῳ ὄντες ἰσχυρῶς αὐτοῖς ἐβοήθησαν.
οἵ τε Θρᾷκες ὑπὸ τοῦ Φαβίου ἐς προσκοπὴν πεμφθέν-
4 τες οὔτε τι ὑγιὲς ἀνήγγειλαν αὐτῷ καὶ μετὰ τοῦτ'
ἐκείνου τε ἀφυλακτότερον προϊόντος καὶ τοῦ Μιθρι-
δάτου ἐξαίφνης οἱ προσπεσόντος συνεπέθεντο τοῖς
Ῥωμαίοις, καὶ ἐν τούτῳ ⟨καὶ οἱ δοῦλοι⟩ ἐλευθερίαν
σφίσι τοῦ βαρβάρου κηρύξαντος συνεπελάβοντο τοῦ
5 ἔργου. καὶ ἀνάλωσαν ἄν, εἰ μὴ ὁ Μιθριδάτης ⟨ἐν⟩
τοῖς πολεμίοις ἀναστρεφόμενος (καὶ γὰρ ὑπὲρ τὰ ἑβδο-
μήκοντα ἔτη γεγονὼς ἐμάχετο) λίθῳ τε ἐπλήγη καὶ
δέος τοῖς βαρβάροις, μὴ καὶ ἀποθάνῃ, παρέσχεν· ἐπι-
σχόντων γὰρ σφῶν διὰ τοῦτο τὴν μάχην ἠδυνήθησαν
10 ἄλλοι τε καὶ ὁ Φάβιος ἐς τὸ ἀσφαλὲς ἀποφυγεῖν. καὶ
μετὰ τοῦτ' ἐς τὰ Κάβειρα κατακλεισθεὶς ἐπολιορκήθη
μέν, ἐσώθη δὲ ὑπὸ τοῦ Τριαρίου. οὗτος γὰρ ἐκ τῆς
Ἀσίας ταύτῃ πρὸς τὸν Λούκουλλον διιὼν καὶ γνοὺς
τὰ πεπραγμένα δύναμίν τε ὅσην οἷόν τ' ἦν ἐκ τῶν
2 παρόντων ἤθροισε καὶ τὸν Μιθριδάτην ὡς καὶ Ῥωμαϊ-
κοῦ στρατοῦ πλήθει προσιὼν ἐξέπληξεν, ὥστ' ἀναστῆ-
ναι ποιῆσαι, πρὶν καὶ ἐς ὄψιν αὐτοῦ ἐλθεῖν. κἀκ τού-
του ἐπιθαρσήσας καὶ μέχρι τῶν Κομάνων ὑποφυγόντα
3 αὐτὸν ἐπεδίωξε κἀνταῦθα ἐνίκησεν. ηὐλίζετο μὲν γὰρ
ὁ Μιθριδάτης ἐπὶ θάτερα τοῦ ποταμοῦ, ᾗ οἱ Ῥωμαῖοι
προσῄεσαν, βουληθεὶς δέ σφισι κεκμηκόσιν ἐκ τῆς πο-
ρείας συμμῖξαι αὐτός τε προαπήντησε καὶ ἑτέρους δι'
ἄλλης γεφύρας ἐν τῷ τῆς μάχης καιρῷ διαβάντας ἐπι-

3, 5 οἵ τε] οἵ τέ γε Reiske, οἱ γοῦν B ‖ 4, 4 ⟨καὶ οἱ δοῦλοι⟩ inseruit R ‖ 5, 1 καὶ ⟨πάντας τοὺς Ῥωμαίους⟩ ἀνάλωσαν ἄν H. Stephanus, ἔργου ⟨οὕτω γενναίως, ὥστε πάντες οἱ Ῥωμαῖοι⟩ ἀναλώθησαν ἂν Oddey ‖ ⟨ἐν⟩ ins. B ‖ **10**, 1, 3 Τριαρίου] Τριβίου Vat. A ‖ 2, 3 αὐτοῦ] αὐτῷ St ‖ 4 ἐπιθαρσήσας] ἀναθαρσήσας Reiske ‖ 3, 1 κἀνταῦθα ⟨ὀλίγου⟩ vel ⟨παρὰ μικρὸν⟩ Reiske



θέσθαι προσέταξε· καὶ αὐτὸν ἀγχώμαλα ἐπὶ πλεῖστον
ἀγωνιζόμενον ἡ γέφυρα πολλῶν τε καὶ ἀθρόων ἅμα
δι' αὐτῆς ἐπειγομένων τῆς τε ἐπικουρίας ἀπεστέρησε
καὶ προσδιετάραξε.

καὶ οἱ μὲν μετὰ τοῦτ' (ἤδη γὰρ χειμὼν ἦν) ἀπε- 11
χώρησαν ἐς τὰ ἑαυτῶν τείχη ἀμφότεροι καὶ ἡσύχαζον·
τὰ δὲ δὴ Κόμανα τῆς τε νῦν Καππαδοκίας ἐστὶ καὶ
ἐδόκει τό τε τῆς Ἀρτέμιδος τὸ Ταυρικὸν βρέτας καὶ
τὸ γένος τὸ Ἀγαμεμνόνειον δεῦρο ἀεὶ ἔχειν. καὶ ὅπως
μὲν ἐς αὐτοὺς ταῦτα ἀφίκετο ἢ ὅπως διέμεινεν, οὐ δύναμαι
τὸ σαφὲς πολλῶν λεγομένων εὑρεῖν· ὃ δ' ἀκριβῶς ἐπί- 2
σταμαι, φράσω. δύο αὗται πόλεις ἐν τῇ Καππαδοκίᾳ
ὁμώνυμοι οὔτε πάνυ πόρρω ἀπ' ἀλλήλων εἰσὶ καὶ τῶν
αὐτῶν πέρι ἐρίζουσι· καὶ γὰρ μυθολογοῦσι καὶ δεικνύ-
ουσι τά τε ἄλλα πάντα ἐκ τοῦ ὁμοίου καὶ τὸ ξίφος ὡς
αὐτὸ ἐκεῖνο τὸ τῆς Ἰφιγενείας ὂν ἀμφότεραι ἔχουσιν.

καὶ ταῦτα μὲν ἐς τοσοῦτον εἰρήσθω· τῷ δὲ ἐπιγι- 12
γνομένῳ ἔτει, ἐπί τε Μανίου Ἀκιλίου καὶ ἐπὶ Γαΐου a. u. 687 (67)
Πίσωνος ὑπάτων, ὁ μὲν Μιθριδάτης τῷ Τριαρίῳ πρὸς
Γαζιούροις ἀντεκάθητο προκαλούμενός τε ἅμα αὐτὸν
ἐς μάχην καὶ ἐξοργίζων (τά τε γὰρ ἄλλα καὶ ἐν τῇ 2
ἐπόψει τῇ τῶν Ῥωμαίων αὐτός τε ἤσκει καὶ τοῦ στρα-
τοῦ γυμνασίας ἐποιεῖτο), ὅπως πρὶν τὸν Λούκουλλον
ἐπελθεῖν ἐκεῖνόν τε συμβαλών, ὥσπερ ἤλπισε, κρα-
τήσῃ καὶ τὰ λοιπὰ τῆς ἀρχῆς ἀνασώσηται. ἐπεὶ δ' οὐκ
ἐκινεῖτο, πέμπει τινὰς πρὸς Δάδασα φρούριον, ἐν ᾧ
τὰ σκεύη τοῖς Ῥωμαίοις ἀπέκειτο, ἵν' ἐκείνοις γε ἐπα-

3, 7 γέφυρα ⟨λυθεῖσα⟩ Xylander ‖ **11**, 1, 4 τό τε] τότε Reiske ‖ 2, 4 πέρι ἐρίζουσι scripsi, περιέχουσι Vat. A, πέρι αὐχοῦσιν H. Steph., περιεχονται B, προερίζουσι H. I. Heller ‖ 5 καὶ ⟨δὴ καὶ⟩ τὸ Reiske ‖ 6 ἔχουσι] ἔχουσαι Reiske ‖ **12**, 2, 6 Δαδαφρούριον Vat. A, sed infra recte ‖ 7 γε Leunclavius, τε Vat. A

μύνοντα αὐτὸν ἐς χεῖρας ὑπαγάγηται. καὶ ἔσχεν οὕτως.
3 ὁ γὰρ Τριάριος τέως μὲν τό τε πλῆθος τοῦ Μιθριδά-
του φοβούμενος καὶ τὸν Λούκουλλον (μετεπέπεμπτο
γὰρ αὐτὸν) προσδεχόμενος ἡσυχίαν εἶχεν· ὡς δὲ τά τε
Δάδασα πολιορκούμενα ἐπύθετο, καὶ οἱ στρατιῶται
δείσαντες περὶ αὐτοῖς ἐταράττοντο καὶ ἐπηπείλουν,
εἰ σφᾶς μηδεὶς ἐξάγοι, καὶ αὐτοκέλευστοι βοηθήσειν
4 σφίσι, καὶ ἄκων ἐξανέστη. καὶ αὐτῷ οἱ βάρβαροι
προχωροῦντι ἤδη προσπεσόντες τοὺς μὲν ἐν χερσὶ τῷ
τε πλήθει σφῶν περιέσχον καὶ κατειργάσαντο, τοὺς δὲ
καὶ ἐς τὸ πεδίον ἐκφυγόντας ἀγνοίᾳ τοῦ τὸν ποταμὸν
13 ἐς αὐτὸ ἐκτετράφθαι περιελαύνοντες ἔκτεινον. καὶ πασ-
συδὶ ἂν σφᾶς διέφθειραν, εἰ μὴ τῶν Ῥωμαίων τις
πλασάμενος ὡς καὶ ἐκ τῆς τοῦ Μιθριδάτου συμμαχί-
δος ὢν (ἐν γὰρ τῷ αὐτῷ αὐτοῖς τρόπῳ συστρατευο-
μένους, ὥσπερ εἶπον, οὐκ ὀλίγους εἶχε) προσῆλθέ τέ
οἱ ὡς καὶ εἰπεῖν τι βουλόμενος καὶ ἔτρωσεν αὐτόν.
οὕτω γὰρ ἐκεῖνος μὲν συλληφθεὶς ἀπεσφάγη, ταρα-
χθέντων δὲ πρὸς τοῦτο τῶν βαρβάρων συχνοὶ τῶν
Ῥωμαίων διέφυγον.
2 Μιθριδάτης μὲν δὴ τό τε τραῦμα ἰᾶτο καὶ προσ-
υποπτεύσας καὶ ἄλλους τινὰς τῶν πολεμίων ἐν τῷ
στρατοπέδῳ εἶναι ἐξέτασιν τῶν στρατιωτῶν ὡς καὶ
κατ' ἄλλο τι ἐποιήσατο καὶ κελεύσας σφᾶς ἐς τὰς
ἑαυτῶν σκηνὰς ὡς ἑκάστους κατὰ τάχος ἀναχωρῆσαι
κατεφώρασε καὶ τοὺς Ῥωμαίους μονωθέντας διέφθειρε.
14 κἀν τούτῳ ὁ Λούκουλλος ἐπελθὼν δόξαν μέν τισι
παρέσχεν ὡς καὶ ἐκείνου ῥᾳδίως κρατήσων καὶ πάντα
τὰ προειμένα δι' ὀλίγου κομιούμενος, οὐ μέντοι καὶ

3, 2 μετεπέπεμπτο Cobet, μετεπέμπετο Vat. A: cf. Bekkeri emendationes 45, 3, 1 et 46, 24, 2



κατέπραξέ τι. ὅ τε γὰρ Μιθριδάτης ἐς τὰ μετέωρα 2
πρὸς Ταλαύροις ὄντα ἱδρυθεὶς οὐκ ἀντεπῄει αὐτῷ,
καὶ ὁ Μιθριδάτης ὁ ἕτερος, ⟨ὁ⟩ ἐκ Μηδίας γαμβρὸς
τοῦ Τιγράνου, ἐσκεδασμένοις τοῖς Ῥωμαίοις ἐξαίφνης
προσπεσὼν συχνοὺς ἀπέκτεινεν, ὅ τε Τιγράνης αὐτὸς
προσιὼν ἠγγέλθη, καὶ τὸ στράτευμα ἐστασίασεν. οἱ 3
γὰρ Οὐαλερίειοι οἱ τῆς τε στρατείας ἀφεθέντες καὶ
μετὰ τοῦτ' αὖθις στρατευσάμενοι ἐκινήθησαν μὲν καὶ
ἐν τῇ Νισίβει ἔκ τε τῆς νίκης καὶ ἐκ τῆς ἡσυχίας
τοῦ τε τὰ ἐπιτήδεια ἄφθονα ἔχειν καὶ ἄνευ τοῦ Λου-
κούλλου τὰ πολλὰ διὰ τὸ πολλαχόσε ἐκδημεῖν αὐτὸν
διαιτᾶσθαι, καὶ μάλισθ' ὅτι Πούπλιός τις Κλώδιος, 4
ὃν Κλαύδιόν τινες ἐκάλεσαν, συνεστασίαζε σφᾶς ὑπ'
ἐμφύτου νεωτεροποιίας καίπερ τῆς ἀδελφῆς αὐτοῦ τῷ
Λουκούλλῳ συνοικούσης· ἐταράχθησαν δὲ καὶ τότε
ἄλλως τε καὶ ἐπειδὴ τὸν Ἀκίλιον τὸν ὕπατον, ὃς τῷ
Λουκούλλῳ διάδοχος δι' ἅπερ εἶπον ἐξεπέμφθη, πλη-
σιάζοντα ἐπύθοντο· ἐν γὰρ ὀλιγωρίᾳ αὐτὸν ὡς καὶ
ἰδιωτεύοντα ἤδη ἐποιοῦντο. ὁ οὖν Λούκουλλος ἔκ τε 15
τούτων καὶ ὅτι παρὰ τοῦ Μαρκίου τοῦ πρὸ τοῦ Ἀκι-
λίου ὑπατεύσαντος ἐς Κιλικίαν, ἧς ἄρχειν ἔμελλε,
παριόντος ἐπικουρίαν αἰτήσας οὐκ ἔτυχεν, ἐν ἀπόρῳ
ἐγένετο καὶ ὀκνήσας μὲν διὰ κενῆς ἀναστῆναι, δείσας 2
δὲ καὶ κατὰ χώραν μεῖναι ἐπὶ τὸν Τιγράνην ὥρμησεν,
εἴ πως ἐκεῖνόν τε ἀπροσδόκητόν τε ἅμα καὶ κεκμη-
κότα ἐκ τῆς ὁδοῦ τρέψαιτο καὶ τοὺς στρατιώτας τρό-
πον τινὰ διὰ τούτου παύσειε στασιάζοντας. οὐ μὴν
καὶ ἐπιτυχὴς οὐδετέρου ἐγένετο· ἀκολουθήσαν γὰρ 3
αὐτῷ τὸ στράτευμα μέχρι πού τινος, ὅθεν ἐς τὴν

**14**, 2, 3 ⟨ὁ⟩ inseruit B ‖ 3, 2 Οὐαλερίειοι Leuncl., Οὐαλέριοι hic et infra Vat. A ‖ οἱ del. Reiske ‖ **15**, 1, 2 Μάρκου Vat. A

Καππαδοκίαν ἐκτραπέσθαι ἦν, ἐκεῖσε πάντες ὁμοθυ-
μαδὸν μηδὲ φθεγξάμενοί τι ἀπετράποντο. καὶ οἵ γε
Οὐαλερίειοι μαθόντες, ὅτι τῆς στρατείας παρὰ τοῖς
οἴκοι τέλεσιν ἀφεῖνται, παντελῶς ἀπεχώρησαν.

16 καὶ θαυμάσῃ μηδείς, ὅτι στρατηγικώτατος ἀνδρῶν
ὁ Λούκουλλος γενόμενος καὶ πρῶτός τε Ῥωμαίων τὸν
Ταῦρον σύν τε στρατῷ καὶ ἐπὶ πολέμῳ διαβὰς καὶ
δύο βασιλέας οὐκ ἀσθενεῖς ἐπικρατήσας ἑλών τ᾿ ἄν,
εἴπερ ταχέως διαπολεμῆσαι ἐβεβούλητο, οὐκ ἠδύνατο
τῶν συστρατευομένων οἱ ἄρχειν, ἀλλ᾿ ἀεί τε ἐστασία-
2 ζον καὶ τέλος ἐγκατέλιπον αὐτόν. πολλά τε γάρ σφισι
προσέταττε καὶ δυσπρόσοδος ἀκριβής τε ἐν ταῖς τῶν
ἔργων ἀπαιτήσεσι καὶ ἀπαραίτητος ἐν ταῖς τιμωρίαις
ὢν οὐκ ἠπίστατο οὔτε λόγῳ τινὰ προσαγαγέσθαι οὔτε
ἐπιεικείᾳ ἀναρτήσασθαι, οὐ τιμαῖς, οὐ χρημάτων με-
ταδόσει προσεταιρίσασθαι, ὧν πάντων ἄλλως τε καὶ
3 ἐν πλήθει καὶ μάλιστα στρατευομένῳ δεῖ. καὶ διὰ
τοῦθ᾿ οἱ στρατιῶται, ἕως μὲν εὖ τε ἐφέροντο καὶ τὰς
ἁρπαγὰς ἀνταξίας τῶν κινδύνων εἶχον, ἠκροῶντο αὐ-
τοῦ, ἐπεὶ δὲ ἔπταισαν καὶ ἐς φόβον ἀντὶ τῶν ἐλπίδων
ἀντικατέστησαν, οὐδὲν ἔτι προετίμησαν. τεκμήριον δέ,
ὅτι τοὺς αὐτοὺς τούτους ὁ Πομπήιος λαβὼν (καὶ γὰρ
τοὺς Οὐαλεριείους αὖθις κατελέξατο) οὐδ᾿ ὁπωσοῦν
στασιάζοντας ἔσχε. τοσοῦτον ἀνὴρ ἀνδρὸς διαφέρει.

17 ὡς δ᾿ οὖν τοῦθ᾿ οἱ στρατιῶται ἔπραξαν, πᾶσάν τε
ὀλίγου τὴν ἀρχὴν ὁ Μιθριδάτης ἀνεκτήσατο καὶ τὴν
Καππαδοκίαν ἰσχυρῶς ἐλυμήνατο μήτε Λουκούλλου

**16** totum hoc caput post c. 17 inserendum censet J. Hilberg, Ztschr. f. oest. Gymn. 1889, p. 213 ‖ **1, 1** στρατηγικώτατος Leunclavius e Xiphil., στρατηγικώτερος Vat. A ‖ 4 κρατήσας τῆς τε Ἀσίας ἐπὶ μήκιστον προελθὼν Xiphilinus ‖ 2, 4 τινὰ Oddey, τινὶ Vat. A ‖ 5 τιμαῖς Reiske, τιμῆς Vat. A



προφάσει τοῦ τὸν Ἀκίλιον ἐγγὺς εἶναι μήτε ἐκείνου
προσαμύνοντος αὐτῇ· ἐπειγόμενος γὰρ πρότερον ὡς
καὶ τὴν τοῦ Λουκούλλου νίκην ὑφαρπάσων τότε,
ἐπειδὴ τῶν γεγονότων ᾔσθετο, οὔτε πρὸς τὰ στρατό-
πεδα ἦλθε καὶ ἐν τῇ Βιθυνίᾳ ἐχρόνισε. Μάρκιος δὲ 2
Λουκούλλῳ μὲν οὐκ ἐπεκούρησε πρόσχημα τοὺς στρα-
τιώτας ὡς οὐκ ἐθελήσαντάς οἱ ἀκολουθῆσαι ποιησά-
μενος, ἐς δὲ τὴν Κιλικίαν ἀφικόμενος Μενέμαχόν τινα
ἀπαυτομολήσαντα τοῦ Τιγράνου ἐδέξατο καὶ τὸν Κλώ-
διον ἀποστάντα ἀπὸ τοῦ Λουκούλλου δέει τῶν ἐν τῇ
Νισίβει γενομένων ἐπὶ τὸ ναυτικὸν ἐπέστησεν· ἀδελ-
φὴν γάρ τινα αὐτοῦ καὶ ἐκεῖνος γυναῖκα εἶχε. καὶ ὁ 3
μὲν ἁλούς τε ἐς καταποντιστὰς καὶ ἀφεθεὶς ὑπ᾿ αὐτῶν
πρὸς τὸν ἐκ τοῦ Πομπηίου φόβον ἔς τε τὴν Ἀντιό-
χειαν τῆς Συρίας ἦλθεν ὡς καὶ πρὸς τοὺς Ἀραβίους,
πρὸς οὓς τότε διεφέροντο, συμμαχήσων σφίσι κἀν-
ταῦθα στασιάζων τινὰς ὁμοίως ὀλίγου διεφθάρη.

. . . φείδεται. δυναστείας τε ἐρῶν καὶ τοῖς Κρησὶ 18
τοῖς ὁμολογήσασιν αὐτῷ προσέβαλλε καὶ οὔτε τὰς
σπονδὰς προτεινομένων σφῶν ἐφρόντιζε, κακῶσαί τε
αὐτοὺς πρὶν τὸν Πομπήιον ἐπελθεῖν ἠπείγετο. ὅ τε
γὰρ Ὀκταούιος ἄνευ δυνάμεως παρὼν (οὐδὲ γὰρ οὐδὲ
ἐπὶ πολέμῳ τινί, ἀλλ᾿ ἐπὶ παραλήψει τῶν πόλεων ἐπέ-

17, 2, 5 ἐπαυτομολήσαντα Vat. A ‖ 3, 2 ὑπ᾿ St, ἀπ᾿ Vat. A ‖ **18, 1, 1** φείδεται sc. Q. Caecilius Metellus. Hic incipit hodie cod. Mediceus 70, 8 (Ma). Pauca quaedam, quae pertinent ad belli Cretici finem, inveniuntur apud Xiphilinum, p. 1, 12—20: καὶ τὴν νῆσον ἅπασαν ἐχειρώσατο (ὁ Μέτελλος) μετὰ τοῦτο καίτοι πρὸς τοῦ Πομπηίου τοῦ Μάγνου ἤδη τῆς θαλάσσης ξυμπάσης ἄρχοντος καὶ τῆς ἠπείρου ὅσον ἡμερῶν ἀπὸ θαλάσσης τριῶν ἐμποδιζόμενός τε καὶ κωλυόμενος ὡς αὐτῷ προσηκουσῶν καὶ τῶν νήσων. ἀλλ᾿ ὅμως καὶ ἄκοντος Πομπηίου τῷ Κρητικῷ πολέμῳ τέλος ὁ Μέτελλος ἐπιθεὶς θρίαμβόν τε ἀπ᾿ αὐτοῦ κατήγαγε καὶ Κρητικὸς ἐπεκλήθη ‖ 1, 2 προσέβαλε Ma

πεμπτο) ἡσυχίαν ἦγε· καὶ Κορνήλιος Σισέννας ὁ τῆς
Ἑλλάδος ἄρχων ἦλθε μὲν ἐς τὴν Κρήτην, ὡς ταῦτ'
ἐπύθετο, καὶ παρήνεσε τῷ Μετέλλῳ φείσασθαι τῶν
2 δήμων, οὐ μέντοι καὶ ἀντέπραξέ τι μὴ πείσας. ἄλλοις
τε οὖν πολλοῖς ἐκεῖνος ἐλυμήνατο καὶ Ἐλευθέραν
τὴν πόλιν ἐκ προδοσίας ἑλὼν ἠργυρολόγησεν· πύργον
γάρ τινα οἱ προδιδόντες ἔκ τε πλίνθων πεποιημένον
καὶ μέγιστον δυσμαχώτατόν τε ὄντα ὄξει συνεχῶς νυ-
κτὸς διέβρεξαν, ὥστε θραυστὸν γενέσθαι. καὶ μετὰ
τοῦτο Λάππαν καίτοι τοῦ Ὀκταουίου αὐτὴν κατέχοντος
ἐκ προσβολῆς εἷλε καὶ ἐκεῖνον μὲν οὐδὲν κακὸν εἰρ-
γάσατο, τοὺς δὲ δὴ Κίλικας τοὺς σὺν αὐτῷ ὄντας
19 ἔφθειρεν. ἀγανακτήσας οὖν ἐπὶ τούτῳ ὁ Ὀκταούιος
οὐκέθ' ἡσύχασεν, ἀλλὰ πρότερον μὲν τῷ τοῦ Σισέννου
στρατῷ (νοσήσας γὰρ ἐκεῖνος ἐτεθνήκει) χρώμενος
ἐπεβοήθει πῃ τοῖς κακουμένοις, ἔπειτα δ' ἀνακομισθέν-
των αὐτῶν πρός τε τὸν Ἀριστίωνα ἐς Ἱεράπυδνα ἦλθε
καὶ μετ' αὐτοῦ ἐπολέμει· οὗτος γὰρ ὡς τότε ἐκ τῆς
Κυδωνίας ἀπεχώρησε Λούκιόν τέ τινα Βάσσον ἀνταν-
2 αχθέντα οἱ ἐνίκησε καὶ τὰ Ἱεράπυδνα κατέλαβε. καὶ
χρόνον μέν τινα ἐκαρτέρησαν, τοῦ δὲ δὴ Μετέλλου
ἐπιόντος σφίσι τό τε τεῖχος ἐξέλιπον καὶ ἐξαναχθέντες
χειμῶνί τε ἐχρήσαντο καὶ ἐς τὴν γῆν ἐκπεσόντες συ-
χνοὺς ἀπέβαλον. κἀκ τούτου ὁ Μέτελλος πᾶσαν τὴν
3 νῆσον ἐχειρώσατο. Κρῆτες μὲν οὖν οὕτως, ἐλεύθεροί
τε πάντα τὸν ἔμπροσθεν χρόνον γενόμενοι καὶ δεσπό-
την ὀθνεῖον μηδένα κτησάμενοι, κατεδουλώθησαν· Μέ-
τελλος δὲ τὴν μὲν ἐπίκλησιν ἀπ' αὐτῶν ἔλαβε, τὸν δὲ
δὴ Πανάρη τόν τε Λασθένη (καὶ γὰρ ἐκεῖνον εἷλεν)

2, 6 διέβρεξεν Ma ‖ 19, 1, 5 ἱερὰ πύδνα Ma ‖ 3, 5 ἐκεῖνον] κἀκεῖνον Leuncl., κἀκείνους Ruhnkenius coll. Vell. Paterc. II, 40



οὐκ ἠδυνήθη πέμψαι ἐν τοῖς ἐπινικίοις. ὁ γὰρ Πομ-
πήιος ἀναπείσας τῶν δημάρχων τινὰ προαφείλετο
αὐτοὺς ὡς καὶ ἑαυτῷ κατὰ τὴν ὁμολογίαν, ἀλλ' οὐκ
ἐκείνῳ προσχωρήσαντας.

λέξω δὲ ἤδη καὶ τὰ κατὰ τοῦτον πῶς ἐγένετο. οἱ 20
καταποντισταὶ ἐλύπουν μὲν ἀεὶ τοὺς πλέοντας ὥσπερ
καὶ τοὺς ἐν τῇ γῇ οἰκοῦντας οἱ τὰς λῃστείας ποιού-
μενοι· οὐ γὰρ ἔστιν ὅτε ταῦτ' οὐκ ἐγένετο, οὐδ' ἂν
παύσαιτό ποτε, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ.
ἀλλὰ πρότερον μὲν ἔν τε τόποις τισὶ κἀν τῇ ὥρᾳ 2
μόνῃ κατ' ὀλίγους καὶ ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ
ἐλῄστευον· τότε δέ, ἐξ οὗ πολλαχῇ τε ἅμα καὶ συν-
εχῶς ἐπολεμήθη, καὶ πολλαὶ μὲν πόλεις ἀνάστατοι
ἐγένοντο, πᾶσι δὲ καὶ τοῖς διαφεύγουσιν αὐτῶν αἱ
τιμωρίαι ἐπηρτῶντο, καὶ ἀδεὲς οὐδενὶ οὐδὲν ἦν, πάμ-
πολλοι πρὸς λῃστείαν ἐτράποντο. καὶ τὰ μὲν ἐν ταῖς 3
ἠπείροις λῃστικὰ ἅτε καὶ ἐν ὀφθαλμοῖς τῶν δήμων
μᾶλλον ὄντα καὶ τήν τε αἴσθησιν τῆς βλάβης ἐγγύθεν
καὶ τὴν σύλληψιν οὐ πάνυ χαλεπὴν ἔχοντα ῥᾷόν πως
κατελύετο, τὰ δὲ ἐν τῇ θαλλάσσῃ ἐπὶ πλεῖστον ἐπηυ-
ξήθη. τῶν γὰρ Ῥωμαίων πρὸς τοὺς ἀντιπολέμους 4
ἀσχολίαν ἀγόντων ἐπὶ πολὺ ἤκμασαν πολλαχόσε τε
περιπλέοντες καὶ πάντας τοὺς ὁμοίους σφίσι προστι-
θέμενοι, ὥστε τινὰς αὐτῶν καὶ ἐν συμμαχίας λόγῳ
συχνοῖς ἐπικουρῆσαι. καὶ εἴρηται μὲν ὅσα μετὰ τῶν 21
ἄλλων ἔπραξαν· ἐπεὶ δ' οὖν καὶ ἐκεῖνα διελύθη, οὐκ
ἐπαύσαντο, ἀλλ' αὐτοὶ καθ' ἑαυτοὺς πολλὰ καὶ δεινὰ
τούς τε Ῥωμαίους καὶ τοὺς συμμάχους σφῶν ἐκακούρ-

20, 1, 1 τὰ Leunclavius, τὸ Ma ‖ 2, 1 ὥρᾳ] ὡραίᾳ Cobet et ante eum Reiske coll. 39, 5, 2, sed cf. 60, 11, 2 ‖ 4, 1 ἀντιπολέμους Bernhardy, ἀντιπολεμίους Ma

γησαν. οὔτε γὰρ κατ᾽ ὀλίγους ἔτι, ἀλλὰ στόλοις με-
γάλοις ἔπλεον καὶ στρατηγοὺς εἶχον, ὥστε καὶ ὄνομα
2 αὐτοὺς μέγα κεκτῆσθαι. ἦγον δὲ καὶ ἔφερον πρώτους
μὲν καὶ μάλιστα τοὺς πλέοντας (οὐδὲ γὰρ τὴν χειμε-
ρινὴν ὥραν ἀσφαλῆ αὐτοῖς παρεῖχον, ἀλλ᾽ ὑπό τε τῆς
τόλμης καὶ ὑπὸ τοῦ ἔθους τῆς τε εὐπραγίας καὶ τότε
ἐπ᾽ ἀδείας ταῖς ναυτιλίαις ἐχρῶντο), ἔπειτα καὶ τοὺς
3 ἐν τοῖς λιμέσιν ὄντας. καὶ γὰρ εἴ τις ἀνταναχθῆναί
σφισιν ἐτόλμησε, μάλιστα μὲν ἡττηθεὶς ἀπώλετο, εἰ
δὲ καὶ ἐνίκησεν, ἀλλ᾽ ἑλεῖν γε αὐτῶν οὐδένα ὑπὸ τοῦ
ταχυναυτεῖν σφᾶς ἠδύνατο, καὶ οὕτως ὑποστρέφοντες
διὰ βραχέος ὡς καὶ κεκρατηκότες τὰ μὲν ἔτεμνον καὶ
κατεπίμπρων οὐχ ὅτι χωρία καὶ ἀγρούς, ἀλλὰ καὶ πό-
λεις ὅλας, τὰ δὲ καὶ ᾠκειοῦντο, ὥστε καὶ χειμάδια
22 καὶ ὁρμητήρια καθάπερ ἐν φιλίᾳ γε ποιεῖσθαι. προ-
χωρούντων δὲ αὐτοῖς τούτων καὶ ἐς τὴν ἤπειρον ἀν-
έβαινον καὶ πολλὰ καὶ ἐκείνους τοὺς μηδὲ χρωμένους
τῇ θαλάσσῃ ἐλύπουν. καὶ ταῦτα οὐ τὴν ἔξω συμμα-
χίδα αὐτῶν μόνον, ἀλλὰ καὶ τὴν Ἰταλίαν αὐτὴν ἐποί-
2 ουν· τά τε γὰρ κέρδη τὰ αὐτόθεν μείζω σχήσειν καὶ
πάντας τοὺς λοιποὺς ἐπὶ πλέον ἐκφοβήσειν, ἂν μηδὲ
ἐκείνης ἀπέχωνται, νομίζοντες ἔς τε τὰς ἄλλας τὰς
ταύτῃ πόλεις καὶ ἐς αὐτὰ τὰ Ὤστια ἐσέπλεον καὶ τάς
3 τε ναῦς ἔκαιον καὶ πάνθ᾽ ἥρπαζον. καὶ τέλος, ὡς οὐ-
δεμία σφῶν ἐπιστροφὴ ἐγίγνετο, τάς τε διατριβὰς ἐν
τῇ γῇ ἐποιοῦντο καὶ τοὺς ἀνθρώπους, ὅσους μὴ δι-
ώλλυσαν, τά τε σῦλα, ὅσα ἐλάμβανον, ἀδεῶς ὥς γε
4 καὶ ἐν οἰκείᾳ διετίθεντο. καὶ ἐλῄστευον μὲν ἄλλοι

21,2,1 δὲ B, τε Ma ‖ 22,1,2 ἀποβαῖνον Xiphilinus ‖ 3 μηδὲ] μηδὲν Naber ‖ 5 αὐτῶν aut delendum aut in Ῥωμαίων mutandum censet Reiske ‖ 3, 4 σῦλα Reiske, σύλα Ma, σκῦλα St



ἄλλοθι (οὐ γάρ που ἐν πάσῃ ἅμα τῇ θαλάσσῃ οἱ
αὐτοὶ κακουργεῖν ἠδύναντο), τοσαύτῃ μέντοι φιλίᾳ πρὸς
ἀλλήλους ἐχρῶντο, ὥστε σφᾶς καὶ χρήματα καὶ ἐπι-
κουρίας καὶ τοῖς πάνυ ἀγνῶσιν ὡς καὶ οἰκειοτάτοις
πέμπειν. καὶ διὰ τοῦτό γε οὐχ ἥκιστα ἴσχυσαν, ὅτι
τούς τε θεραπεύοντάς τινας αὐτῶν πάντες ἐτίμων καὶ
τοὺς προσκρούσαντάς τισι πάντες ἐλεηλάτουν.

ἐς τοσοῦτον μὲν δὴ τὰ τῶν καταποντιστῶν ἤρθη, 23
ὥστε καὶ μέγαν καὶ συνεχῆ καὶ ἀπροφύλακτον καὶ
ἄσπειστον τὸν πόλεμον αὐτῶν γενέσθαι· οἱ δὲ δὴ
Ῥωμαῖοι ἤκουον μέν που αὐτά καί τινα καὶ ἑώρων
(οὔτε γὰρ ἄλλο τι τῶν ἐπακτῶν ἐφοίτα σφίσι, καὶ ἡ
σιτοπομπία παντελῶς ἀπεκέκλειτο), οὐ μέντοι καὶ με- 2
γάλην, ὅτε γε ἐχρῆν, φροντίδα αὐτῶν ἐποιήσαντο,
ἀλλ᾽ ἐξέπεμπον μὲν καὶ ναυτικὰ καὶ στρατηγούς, ὥς
που καθ᾽ ἕκαστον τῶν προσαγγελλομένων ἐκινοῦντο,
ἔπραττον δ᾽ οὐδέν, ἀλλὰ καὶ πολὺ πλείω τοὺς συμμά-
χους δι᾽ αὐτῶν ἐκείνων ἐταλαιπώρουν, μέχρις οὗ ἐν
παντὶ ἐγένοντο. τότε δὲ συνελθόντες ἐβουλεύσαντο
ἐπὶ πολλὰς ἡμέρας, ὅ,τι καὶ χρὴ πρᾶξαι. τῇ τε γὰρ 3
συνεχείᾳ τῶν κινδύνων τετρυχωμένοι καὶ μέγαν καὶ
πολὺν τὸν πρὸς αὐτοὺς πόλεμον ὁρῶντες ὄντα καὶ
οὔθ᾽ ἅμα πᾶσί σφισιν οὔτ᾽ αὖ καθ᾽ ἑκάστους προσ-
πολεμῆσαι δυνατὸν εἶναι νομίζοντες (ἀλλήλοις τε γὰρ
συνεβοήθουν, καὶ πανταχοῦ ἅμα ἀμήχανον ἦν αὐτοὺς
ἀμύνασθαι) ἔν τε ἀπορίᾳ καὶ ⟨ἐν⟩ ἀνελπιστίᾳ τοῦ
κατορθώσειν τι πολλῇ ἐγένοντο, πρὶν δὴ Αὖλός τις 4
Γαβίνιος δήμαρχος γνώμην ἔδωκεν, εἴτ᾽ οὖν τοῦ Πομ-
πηίου καθέντος αὐτόν, εἴτε καὶ ἄλλως χαρίσασθαί οἱ

23, 1, 3 ἄσπειστον Wesseling, ἄπιστον Ma, ἄπειστον i. e. pertinacissimum Fabricius ‖ 3, 7 ⟨ἐν⟩ inseruit B

ἐθελήσας (οὐ γάρ που καὶ ὑπ' εὐνοίας αὐτὸ τῆς τοῦ κοινοῦ ἐποίησε· κάκιστος γὰρ ἀνὴρ ἦν) στρατηγὸν ἕνα αὐτοκράτορα ἐφ' ἅπαντας αὐτοὺς ἐκ τῶν ὑπατευκότων ἑλέσθαι τρισί τε ἔτεσιν ἄρξοντα καὶ δυνάμει παμ-
5 πληθεῖ μεθ' ὑποστρατήγων πολλῶν χρησόμενον. ἄντικρυς μὲν γὰρ τὸ τοῦ Πομπηίου ὄνομα οὐκ εἶπεν· εὔδηλον δὲ ἦν, ὅτι, ἂν ἅπαξ τι τοιοῦτον ὁ ὅμιλος
24 ἀκούσῃ, ἐκεῖνον αἱρήσεται. καὶ ἔσχεν οὕτω· τήν τε γὰρ ἐσήγησιν αὐτοῦ ἀπεδέξαντο καὶ πρὸς τὸν Πομπήιον παραχρῆμα πάντες πλὴν τῆς γερουσίας ἀπέκλιναν. αὕτη γὰρ πᾶν ὁτιοῦν ὑπὸ τῶν λῃστῶν παθεῖν μᾶλλον ἢ ἐκείνῳ τοσαύτην ἡγεμονίαν ἐγχειρίσαι ᾑρεῖτο· καὶ ὀλίγου καὶ ἀπέκτειναν τὸν Γαβίνιον ἐν αὐτῷ τῷ
2 συνεδρίῳ. ὑπεκδράντος δ' οὖν πῃ αὐτοῦ μαθόντες οἱ πολλοὶ τὴν τῶν βουλευτῶν γνώμην ἐθορυβήθησαν, ὥστε καὶ ἐπ' αὐτοὺς συγκαθημένους ἐφορμῆσαι· καὶ εἴ γε μὴ ἐξεκεχωρήκεσαν, πάντως ἂν αὐτοὺς διεφθάρ-
3 κεσαν. οἱ μὲν δὴ οὖν ἄλλοι σκεδασθέντες διέλαθον, Πίσωνα δὲ τὸν Γάιον τὸν ὕπατον (ἐπὶ γὰρ ἐκείνου τοῦ τε Ἀκιλίου ταῦτ' ἐγίγνετο) συλληφθέντα καὶ μέλλοντα καὶ ἀντὶ τῶν ἄλλων ἀπόλλυσθαι ὁ Γαβίνιος ἐξῃτήσατο. ἐκ δὲ τούτου οἱ δυνατοὶ αὐτοὶ ⟨μὲν⟩ τὴν ἡσυχίαν ἦγον ἀσμενίζοντες, ἄν τις σφᾶς ζῆν ἐάσῃ, τοὺς δὲ δημάρχους τοὺς ἐννέα ἀνέπεισαν ἐναντιωθῆναι
4 τῷ Γαβινίῳ. καὶ αὐτῶν οἱ μὲν ἄλλοι φοβηθέντες τὸ πλῆθος οὐδὲν ἀντεῖπον, Λούκιος δὲ δή τις Τρεβέλλιος καὶ Λούκιος Ῥώσκιος ἐτόλμησαν μέν, οὐκ ἠδυνήθησαν δὲ οὔτ' εἰπεῖν τι ὧν ὑπέσχηντο οὔτε πρᾶξαι. ἐπειδὴ

24, 2, 2 γνώμην τοῖς ταῦτα εἰσηγησαμένοις δεινῶς ὠργισμένων Xiphil. ‖ ἐθορυβήθησαν cod. Vat. A, ἐθορύβησαν Ma ‖ 3, 5 ⟨μὲν⟩ inseruit Reiske



γὰρ ἡ κυρία ἡμέρα, ἐν ᾗ τὴν γνώμην ἐπικυρωθῆναι ἔδει, ἐνέστη, τάδε ἐγένετο. ὁ Πομπήιος ἐπιθυμῶν μὲν 5
πάνυ ἄρξαι καὶ ἤδη γε ὑπό τε τῆς ἑαυτοῦ φιλοτιμίας καὶ ὑπὸ τῆς τοῦ δήμου σπουδῆς οὐδὲ τιμὴν ἔτι τοῦτο, ἀλλὰ ἀτιμίαν τὸ μὴ τυχεῖν αὐτοῦ νομίζων εἶναι, τὴν δὲ ἀντίταξιν τῶν δυνατῶν ὁρῶν ἠβουλήθη δοκεῖν ἀναγκάζεσθαι. ἦν μὲν γὰρ καὶ ἄλλως ὡς ἥκιστα προσ- 6
ποιούμενος ἐπιθυμεῖν ὧν ἤθελε, τότε δὲ καὶ μᾶλλον διά τε τὸ ἐπίφθονον, ἄν γε ἑκὼν τῆς ἀρχῆς ἀντιποιήσηται, καὶ διὰ [τοῦτο] τὸ εὐκλεές, ἄν γε καὶ ἄκων ὥς γε καὶ ἀξιοστρατηγητότατος ὢν ἀποδειχθῇ, ἐπλάττετο. καὶ παρελθὼν ἔφη "χαίρω μὲν τιμώμενος ὑφ' 25
ὑμῶν, ὦ Κυιρῖται· φύσει τε γὰρ πάντες ἄνθρωποι καὶ ἐγκαλλωπίζονται ταῖς παρὰ τῶν πολιτῶν εὐεργεσίαις, καὶ ἐγὼ ἅτε δὴ πολλάκις τῆς παρ' ὑμῶν τιμῆς ἀπολελαυκὼς οὐκ ἔχω, πῶς κατ' ἀξίαν ἡσθῶ τοῖς παροῦσιν· οὐ μέντοι οὔθ' ὑμῖν νομίζω προσήκειν ἀπλήστως οὕτω πρός με διακεῖσθαι οὔτε ἐμοὶ διὰ παντὸς ἔν τινι ἡγεμονίᾳ εἶναι. αὐτός τε γὰρ ἐκ παίδων κέκμηκα, καὶ ὑμᾶς δεῖ καὶ περὶ τοὺς ἄλλους σπουδάζειν. ἢ οὐ μέμνησθε, ὅσα μὲν ἐν τῷ πρὸς τὸν Κίν- 2
ναν πολέμῳ ἐταλαιπώρησα καίτοι κομιδῇ νέος ὤν, ὅσα δὲ ἔν τε τῇ Σικελίᾳ καὶ ἐν τῇ Ἀφρικῇ ἔκαμον μηδέπω καθαρῶς ἐς ἐφήβους τελῶν, ὅσα δὲ ἐν τῇ Ἰβηρίᾳ ἐκινδύνευσα μηδὲ βουλεύων πω; ἐφ' οἷς ἅπασιν οὐχ ὅτι ἀχάριστοι πρός με ἐγένεσθε ἐρῶ. πόθεν; πολλοῦ 3
γε καὶ δεῖ· πρὸς γὰρ τοῖς ἄλλοις, ὧν πολλῶν καὶ μεγάλων παρ' ὑμῶν ἠξιώθην, καὶ αὐτὸ τὸ πιστευθῆναί με τὴν ἐπὶ τὸν Σερτώριον στρατηγίαν μηδενὸς ἄλλου

6, 4 [τοῦτο] del. Leunclavius ‖ 5 ἀξιοστρατηγητότατος B, ἀξιοστρατήγοτατος Ma

μήτε ἐθελήσαντος μήτε δυνηθέντος αὐτὴν ὑποστῆναι,
τό τε ἐπινίκια καὶ ἐπ' ἐκείνῃ παρὰ τὸ νενομισμένον
4 πέμψαι μεγίστην μοι τιμὴν ἤνεγκεν. ἀλλ' ὅτι πολλὰς
μὲν φροντίδας, πολλοὺς δὲ κινδύνους ὑπέμεινα, κατα-
τέτριμμαι μὲν τὸ σῶμα, πεπόνημαι δὲ τὴν γνώμην.
μὴ γὰρ ὅτι νέος ἔτ' εἰμί, λογίζεσθε, μηδ' ὅτι τόσα καὶ
5 τόσα γέγονα, ἀριθμεῖσθε. ἂν γάρ τοι καὶ τὰς στρα-
τείας, ἃς ἐστράτευμαι, καὶ τοὺς κινδύνους, οὓς κεκιν-
δύνευκα, ἀναριθμήσητε, πολύ γε πλείους αὐτοὺς τῶν
ἐτῶν εὑρήσετε καὶ μᾶλλον οὕτω πιστεύσετε, ὅτι οὔτε
πρὸς τοὺς πόνους οὔτε πρὸς τὰς φροντίδας καρτερεῖν
26 ἔτι δύναμαι. εἰ δ' οὖν τις καὶ πρὸς ταῦτα ἀντέχοι,
ἀλλ' ὁρᾶτε, ὅτι καὶ ἐπίφθονα καὶ μισητὰ πάντα τὰ
τοιαῦτά ἐστιν· ἅπερ ὑμεῖς μὲν ἐν οὐδενὶ λόγῳ τίθεσθε
(οὐδὲ γὰρ καλῶς ἔχει προσποιεῖσθαί τι ὑμᾶς αὐτῶν),
2 ἐμοὶ μέντοι βαρύτατα ἂν γένοιτο, καὶ ὁμολογῶ γε
μηδ' ὑφ' ἑνὸς οὕτω τῶν ἐν τοῖς πολέμοις δεινῶν μήτε
ἐκταράττεσθαι μήτε λυπεῖσθαι ὡς ὑπὸ τῶν τοιούτων.
τίς μὲν γὰρ ἂν εὖ φρονῶν ἡδέως παρ' ἀνθρώποις
φθονοῦσιν αὐτῷ ζῴη, τίς δ' ἂν δημόσιόν τι διοικῆσαι
προθυμηθείη μέλλων, ἂν μὲν ἀποτύχῃ, δίκην ὑφέξειν,
3 ἂν δὲ κατορθώσῃ, ζηλοτυπηθήσεσθαι; ἀλλ' ἐμοὶ μὲν
καὶ διὰ ταῦτα καὶ διὰ τἆλλα συγχωρήσατε τήν τε
ἡσυχίαν ἄγειν καὶ τὰ ἐμαυτοῦ πράττειν, ἵν' ἤδη ποτὲ
καὶ τῶν οἰκείων ἐπιμεληθῶ καὶ μὴ κατατριφθεὶς ἀπό-
λωμαι· ἐπὶ δὲ δὴ τοὺς καταποντιστὰς ἄλλον χειροτο-
νήσατε. συχνοὶ δέ εἰσι καὶ βουλόμενοι ναυαρχῆσαι
καὶ δυνάμενοι, καὶ νεώτεροι καὶ πρεσβύτεροι, ὥστε
4 τὴν αἵρεσιν ὑμῖν ῥᾳδίαν ἐκ πολλῶν γενέσθαι. οὐ γάρ

25,4,4 τόσα καὶ τόσα ⟨ἔτη⟩ Madvig, sed cf. 59,19,2 et D in praefatione editionis vol. I, p. 5 ‖ 26,2,2 μηδ' ὑφ' B, μὴ ὑφ' Ma



που ἐγὼ μόνος ὑμᾶς φιλῶ ἢ καὶ μόνος ἐμπείρως τῶν
πολεμικῶν ἔχω, ἀλλὰ καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἵνα μὴ
καὶ χαρίζεσθαί τισι δόξω ὀνομαστὶ καταλέξας."

ταῦτα αὐτοῦ δημηγορήσαντος ὁ Γαβίνιος ὑπολαβὼν 27
εἶπε "Πομπήιος μέν, ὦ Κυιρῖται, καὶ αὐτὸ τοῦτο
ἄξιον τῶν ἑαυτοῦ ἠθῶν ποιεῖ μήτε ἐφιέμενος τῆς ἀρ-
χῆς μήτε διδομένην οἱ αὐτὴν ἐξ ἐπιδρομῆς δεχόμενος.
οὔτε γὰρ ἄλλως ἀγαθοῦ ἀνδρός ἐστιν ἄρχειν ἐπιθυ- 2
μεῖν καὶ πράγματ' ἔχειν ἐθέλειν, καὶ τούτῳ προσήκει
πάντα τὰ προσταττόμενα μετ' ἐπισκέψεως ὑφίστασθαι,
ἵν' αὐτὰ καὶ ἀσφαλῶς ὁμοίως πράξῃ. τὸ μὲν γὰρ
προπετὲς ἐν ταῖς ὑποσχέσεσιν ὀξύτερον καὶ ἐν ταῖς
πράξεσι τοῦ καιροῦ γιγνόμενον πολλοὺς σφάλλει, τὸ
δ' ἀκριβὲς ἀπ' ἀρχῆς καὶ ἐν τοῖς ἔργοις ὅμοιον δια-
τελεῖ ὂν καὶ πάντας ὀνίνησιν. ὑμᾶς δὲ δὴ χρὴ μὴ τὸ 3
τούτῳ κεχαρισμένον, ἀλλὰ τὸ τῇ πόλει συμφέρον ἑλέ-
σθαι. οὐ γάρ που τοὺς σπουδαρχοῦντας, ἀλλὰ τοὺς
ἐπιτηδείους προστάττειν τοῖς πράγμασι προσήκει· ἐκεί-
νους μὲν γὰρ πάνυ πολλούς, τοιοῦτον δὲ δή τινα
ἄλλον οὐδένα εὑρήσετε. μέμνησθε δέ, ὅσα καὶ οἷα 4
ἐπάθομεν ἐν τῷ πρὸς τὸν Σερτώριον πολέμῳ στρατη-
γοῦ δεόμενοι καὶ ὅτι οὐδένα ἕτερον οὔτε τῶν νεωτέ-
ρων οὔτε τῶν πρεσβυτέρων ἁρμόζοντα αὐτῷ εὕρομεν,
ἀλλὰ [καὶ] τοῦτον καὶ τότε μηδέπω μήθ' ἡλικίαν
ἔχοντα μήτε βουλεύοντα καὶ ἀντὶ ἀμφοτέρων τῶν
ὑπάτων ἐξεπέμψαμεν. βουλοίμην μὲν γὰρ ἂν πολλοὺς 5
ἡμῖν ἀγαθοὺς ἄνδρας εἶναι καί, εἴγε καὶ εὔξασθαι
δεῖ, εὐξαίμην ἄν· ἐπεὶ δ' οὔτ' εὐχῆς τὸ πρᾶγμα τοῦτό

27,2,2 καὶ τούτῳ B, κἂν τούτῳ Ma ‖ 4 ⟨καὶ⟩ ὁμοίως Reiske ‖ 4, 5 [καὶ] del. B ‖ 5,2 ἡμῖν H. Stephanus, ὑμῖν Ma ‖ 3 οὔτ' B, οὐδ' Ma

ἔστιν οὔτ' αὐτόματόν τῳ παραγίγνεται, ἀλλὰ δεῖ καὶ
φῦναί τινα πρὸς αὐτὸ ἐπιτηδείως καὶ μαθεῖν τὰ πρόσ-
φορα καὶ ἀσκῆσαι τὰ προσήκοντα καὶ παρὰ πάντα
ἀγαθῇ τύχῃ χρῆσθαι, ἅπερ που σπανιώτατα ἂν τῷ
6 αὐτῷ ἀνδρὶ συμβαίη, χρὴ πάντας ὑμᾶς ὁμοθυμαδόν,
ὅταν τις τοιοῦτος εὑρεθῇ, καὶ σπουδάζειν αὐτὸν καὶ
καταχρῆσθαι αὐτῷ, κἂν μὴ βούληται. καλλίστη γὰρ
ἡ τοιαύτη βία καὶ τῷ ποιήσαντι καὶ τῷ παθόντι γί-
γνεται, τῷ μέν, ὅτι σωθείη ἂν ὑπ' αὐτῆς, τῷ δέ, ὅτι
σώσειεν ἂν τοὺς πολίτας, ὑπὲρ ὧν καὶ τὸ σῶμα καὶ
τὴν ψυχὴν ὅ γε χρηστὸς καὶ φιλόπολις ἑτοιμότατα ἂν
28 ἐπιδοίη. ἢ οἴεσθε, ὅτι Πομπήιος οὗτος, ⟨ὅτε⟩ μὲν ἦν
μειράκιον, καὶ στρατεύεσθαι καὶ στρατηγεῖν καὶ τὰ
ἡμέτερα αὔξειν καὶ τὰ τῶν συμμάχων σώζειν τά τε
τῶν ἀνθισταμένων προσκτᾶσθαι ἠδύνατο, νῦν δὲ ἀκμά-
ζων καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ ὤν, ἐν ᾗ πᾶς τις ἄριστος
αὐτὸς αὑτοῦ γίγνεται, καὶ ἐμπειρίαν ἐκ τῶν πολέμων
πλείστην ὅσην προσειληφὼς οὐκ ἂν ὑμῖν χρησιμώτα-
2 τος γένοιτο; ἀλλ' ὃν ἔφηβον ὄντα ἄρχειν εἵλεσθε,
τοῦτον ἄνδρα γεγονότα ἀποδοκιμάσετε; καὶ ᾧ ἱππεῖ
ἔτ' ὄντι τοὺς πολέμους ἐκείνους ἐνεχειρίσατε, τούτῳ
⟨τῆς⟩ βουλῆς γεγονότι τὴν στρατείαν ταύτην οὐ πι-
3 στεύσετε; καὶ οὗ καὶ πρὶν ἀκριβῶς πειραθῆναι μόνου
πρὸς τὰ τότε κατεπείξαντα ὑμᾶς ἐδεήθητε, τούτῳ νῦν
ἱκανώτατα αὐτοῦ πεπειραμένοι τὰ παρόντα οὐδὲν ἧτ-
τον ἐκείνων ἀναγκαῖα ὄντα οὐκ ἐπιτρέψετε; καὶ ὃν
οὐδὲ ἄρχειν [ἔτι] πω καὶ τότε δυνάμενον ἐπὶ τὸν
Σερτώριον ἐχειροτονήσατε, τοῦτον ὑπατευκότα ἤδη ἐπὶ
4 τοὺς καταποντιστὰς οὐκ ἐκπέμψετε; ἀλλὰ μηθ' ὑμεῖς

28, 1, 1 ⟨ὅτε⟩ μὲν ἦν μειράκιον Madvig, ἐν μὲν μειρακίῳ Ma ‖ 2, 4 ⟨τῆς⟩ inseruit Reiske ‖ 3, 5 [ἔτι] del. Reiske



ἄλλως πως ποιήσητε, καὶ σύ, ὦ Πομπήιε, πείσθητι
καὶ ἐμοὶ καὶ τῇ πατρίδι. ταύτῃ γὰρ γεγέννησαι καὶ
ταύτῃ τέθραψαι· καὶ δεῖ σε τοῖς τε συμφέρουσιν αὐτῇ
δουλεύειν καὶ ὑπὲρ αὐτῶν μήτε πόνον τινὰ μήτε κίν-
δυνον ἐξίστασθαι, ἀλλὰ κἂν ἀποθανεῖν ἀνάγκη σοι
γένηται, μὴ τὴν εἱμαρμένην ἀναμεῖναι, ἀλλὰ τῷ προσ-
τυχόντι [θανάτῳ] χρῆσθαι. γελοῖος δὲ δήπουθέν εἰμι 29
ταῦτα ἐγώ σοι παραινῶν, ὅστις ἐν τοσούτοις καὶ τη-
λικούτοις πολέμοις καὶ τὴν ἀνδρείαν καὶ τὴν πρὸς τὴν
πατρίδα εὔνοιαν ἐπιδέδειξαι. πείσθητι οὖν καὶ ἐμοὶ 2
καὶ τούτοις μηδέ, ὅτι τινὲς φθονοῦσι, φοβηθῇς, ἀλλὰ
καὶ δι' αὐτὸ τοῦτο μᾶλλον σπούδασον ὥς γε πρός τε
τὴν παρὰ τῶν πλειόνων φιλίαν καὶ πρὸς τὰ κοινῇ
πᾶσιν ἡμῖν συμφέροντα καὶ τῶν βασκαινόντων σε
καταφρόνει. καὶ εἴγε καὶ λυπῆσαί τι αὐτοὺς ἐθέλεις, 3
καὶ διὰ τοῦτο ἄρξον, ἵνα καὶ ἐκείνους ἀνιάσῃς παρὰ
γνώμην αὐτῶν καὶ ἡγεμονεύσας καὶ εὐδοκιμήσας καὶ
αὐτὸς ἄξιον σεαυτοῦ τέλος τοῖς προκατειργασμένοις
ἐπαγάγῃς πολλῶν καὶ μεγάλων κακῶν ἡμᾶς ἀπαλλάξας."
τοιαῦτα δὴ τοῦ Γαβινίου εἰπόντος ὁ Τρεβέλλιος 30
ἐπειράθη μὲν ἀντειπεῖν, ὡς δ' οὐδενὸς λόγου ἔτυχεν,
ἠναντιοῦτο [τῷ] μὴ τὴν ψῆφον δοθῆναι. ὁ οὖν Γα- 2
βίνιος ἀγανακτήσας τὴν μὲν περὶ τοῦ Πομπηίου δια-
ψήφισιν ἐπέσχεν, ἑτέραν δὲ περὶ αὐτοῦ ἐκείνου ἀντ-
εσῆγε· καὶ ἔδοξεν ἑπτακαίδεκα φυλαῖς ταῖς πρώταις
χρηματισάσαις ἀδικεῖν τε αὐτὸν καὶ μηκέτι χρῆναι δη-
μαρχεῖν. μελλούσης οὖν καὶ τῆς ὀκτωκαιδεκάτης τὰ
αὐτὰ ψηφιεῖσθαι μόλις ποτὲ ὁ Τρεβέλλιος ἐσιώπησεν.

4, 4 τέθραψαι H. Stephanus, τέτραψαι Ma ‖ 8 [θανάτῳ] expunxit Naber ‖ 29, 2, 3 ὥς γε B, ὥστε Ma ‖ 30, 2, 1 [τῷ] delevi cum Bekkero coll. 40, 64, 2

3 ἰδὼν δὲ τοῦτο ὁ Ῥώσκιος φθέγξασθαι μὲν οὐδὲν ἐτόλ-
μησε, τὴν δὲ δὴ χεῖρα ἀνατείνων δύο ἄνδρας ἐκέλευε
σφᾶς ἑλέσθαι, ὅπως ἔν γε τούτῳ τῆς δυναστείας ⟨τι⟩
τῆς τοῦ Πομπηίου παρατέμοιτο. ταῦτ᾽ οὖν αὐτοῦ χει-
ρονομοῦντος ὁ ὅμιλος μέγα καὶ ἀπειλητικὸν ἀνέκρα-
γεν, ὥστε κόρακά τινα ὑπερπετόμενον σφῶν ἐκπλαγῆ-
4 ναι καὶ πεσεῖν ὥσπερ ἐμβρόντητον. γενομένου δὲ
τούτου ἐκεῖνος μὲν τὴν ἡσυχίαν οὐ τῇ γλώττῃ ἔτι
μόνον, ἀλλὰ καὶ τῇ χειρὶ ἤγαγεν, ὁ δὲ δὴ Κάτουλος
ἄλλως μὲν ἐσιώπα, τοῦ δὲ Γαβινίου προτρεψαμένου
τι αὐτὸν εἰπεῖν, ὅτι τά τε πρῶτα τῆς βουλῆς ἦν καὶ
ἐδόκει δι᾽ ἐκείνου καὶ τοὺς ἄλλους ὁμογνωμονήσειν
5 σφίσι (καὶ γὰρ ἤλπιζεν αὐτόν, ἐξ ὧν τοὺς δημάρχους
πάσχοντας εἶδε, συνεπαινέσειν) λόγου τε ἔτυχεν, ἐπειδὴ
καὶ ᾐδοῦντο πάντες αὐτὸν καὶ ἐτίμων ὡς τὰ συμφέ-
ροντά σφισι καὶ λέγοντα ἀεὶ καὶ πράττοντα, καὶ ἐδη-
μηγόρησε τοιάδε.

31 "ὅτι μὲν ἐς ὑπερβολήν, ὦ Κυιρῖται, πρὸς τὸ πλῆ-
θος ὑμῶν ἐσπούδακα, πάντες που σαφῶς ἐπίστασθε·
τούτου δὲ δὴ οὕτως ἔχοντος ἐμοὶ μὲν ἀναγκαῖόν ἐστι
πάντα ἁπλῶς, ἃ γιγνώσκω συμφέρειν τῇ πόλει, μετὰ
παρρησίας εἰπεῖν, καὶ ὑμῖν προσῆκον ἀκοῦσαί τε μεθ᾽
2 ἡσυχίας αὐτῶν καὶ μετὰ τοῦτο βουλεύσασθαι· θορυ-
βήσαντες μὲν γὰρ ἴσως τι καὶ χρήσιμον δυνηθέντες
ἂν μαθεῖν οὐχὶ λήψεσθε, προσέχοντες δὲ τοῖς λεγο-
μένοις πάντως τι τῶν συμφερόντων ὑμῖν ἀκριβῶς
3 εὑρήσετε. ἐγὼ τοίνυν πρῶτον μὲν καὶ μάλιστά φημι
δεῖν μὴ ἑνί τινι ἀνδρὶ τοσαύτας κατὰ τὸ ἑξῆς ἀρχὰς
ἐπιτρέπειν. τοῦτο γὰρ καὶ ἐν τοῖς νόμοις ἀπηγόρευται

3, 3 ⟨τι⟩ insertum e Xiphil. ‖ **31**, 3, 2 μὴ ἑνί τινι scripsi coll. 36, 35, 1 et 36, 1, μηδενὶ Ma, μηδενὶ ἑνὶ Reiske, μὴ ἑνὶ B



καὶ τῇ πείρᾳ σφαλερώτατον ὂν πεφώραται. οὔτε γὰρ
τὸν Μάριον ἄλλο τι ὡς εἰπεῖν τοιοῦτον ἐποίησεν ἢ
ὅτι τοσούτους τε ἐν ὀλιγίστῳ χρόνῳ πολέμους ἐνεχει-
ρίσθη καὶ ὕπατος ἑξάκις ἐν βραχυτάτῳ ἐγένετο, οὔτε 4
τὸν Σύλλαν ἢ ὅτι τοσούτοις ἐφεξῆς ἔτεσι τὴν ἀρχὴν
τῶν στρατοπέδων ἔσχε καὶ μετὰ τοῦτο δικτάτωρ, εἶθ᾽
ὕπατος ἀπεδείχθη. οὐ γάρ ἐστιν ἐν τῇ τῶν ἀνθρώ-
πων φύσει ψυχήν, μὴ ὅτι νέαν, ἀλλὰ καὶ πρεσβυτέ-
ραν, ἐν ἐξουσίαις ἐπὶ πολὺν χρόνον ἐνδιατρίψασαν
τοῖς πατρίοις ἔθεσιν ἐθέλειν ἐμμένειν. καὶ τοῦτο μὲν 32
οὐχ ὡς καὶ κατεγνωκώς τι τοῦ Πομπηίου λέγω, ἀλλ᾽
ὅτι μήτ᾽ ἄλλως συνενεγκόν ποτε ὑμῖν φαίνεται μήτε
ἐκ τῶν νόμων ἐπιτέτραπται. καὶ γὰρ εἴτε τιμὴν τοῖς
ἀξιουμένοις αὐτοῦ φέρει, πᾶσιν αὐτῆς, οἷς γε ἐπι-
βάλλει, προσήκει τυγχάνειν (τοῦτο γάρ ἐστιν ἡ δημο-
κρατία), εἴτε κάματον, καὶ τούτου πρὸς τὸ μέρος πάν-
τας μεταλαμβάνειν δεῖ (τοῦτο γάρ ἐστιν ἡ ἰσομοιρία)·
ἔτι τοίνυν ἐν μὲν τῷ τοιούτῳ πολλούς τε ἐν ταῖς 2
πράξεσιν ἐγγυμνάζεσθαι καὶ ῥᾳδίαν ὑμῖν τὴν αἵρεσιν
τῶν πιστευθῆναι δυναμένων πρὸς πάντα τὰ πρακτέα
ἀπὸ τῆς πείρας ὑπάρχειν συμβαίνει, ἐκείνως δὲ δὴ
πολλὴν τὴν σπάνιν καὶ τῶν ἀσκησόντων τὰ προσ-
ήκοντα καὶ τῶν ἐπιτραπησομένων ἀνάγκη πᾶσα γίγνε-
σθαι· καὶ διὰ τοῦτό γε οὐχ ἥκιστα ἐν τῷ πρὸς τὸν 3
Σερτώριον πολέμῳ στρατηγοῦ ἠπορήσατε, ὅτι τὸν πρὸ
τούτου χρόνον τοῖς αὐτοῖς ἐπὶ πολὺ ἐχρῆσθε. ὥστ᾽ εἰ
καὶ κατὰ τὰ ἄλλα πάντα ἄξιός ἐστι Πομπήιος ἐπὶ τοὺς
καταποντιστὰς χειροτονηθῆναι, ἀλλ᾽ ὅτι γε παρά τε
τὰ διατεταγμένα ἐν τοῖς νόμοις καὶ παρὰ τὰ διεληλε-

4, 7 ἔθεσιν Turnebus, ἤθεσιν Ma ‖ **32**, 1, 7 πρὸς del. Pflugk ‖ 3, 2 ἠπορήσατε R. Stephanus, ἠπορήσατο Ma

γμένα ἐν τοῖς ἔργοις αἱρεθείη ἄν, ἥκιστα καὶ ὑμῖν καὶ
τούτῳ προσήκει αὐτὸ πραχθῆναι.
33 πρῶτον μὲν οὖν τοῦτο καὶ μάλιστα λέγω, δεύτε-
ρον δὲ ἐκεῖνο, ὅτι τεταγμένως ἐκ τῶν νόμων τάς τε
ἀρχὰς καὶ τὰς ἡγεμονίας λαμβανόντων καὶ ὑπάτων
καὶ στρατηγῶν καὶ τῶν ἀντὶ τούτων ἀρχόντων οὔτ'
ἄλλως καλῶς ὑμῖν ἔχει παριδόντας αὐτοὺς καινήν τινα
2 ἀρχὴν ἐπεσαγαγέσθαι ⟨οὔτε⟩ συμφέρει. τίνος μὲν γὰρ
ἕνεκα καὶ τοὺς ἐνιαυσίους ἄρχοντας χειροτονεῖτε, εἴγε
μηδὲν αὐτοῖς πρὸς τὰ τοιαῦτα χρήσεσθε; ⟨οὐ γάρ
που⟩ ἵν' ἐν τοῖς περιπορφύροις ἱματίοις περινοστῶσιν,
οὐδ' ἵνα τὸ ὄνομα μόνον τῆς ἀρχῆς περιβεβλημένοι
3 τοῦ ἔργου αὐτῆς στέρωνται. πῶς δ' οὐχὶ καὶ τούτοις
καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τι πράττειν τῶν πολιτικῶν
προαιρουμένοις ἀπεχθήσεσθε, ἂν τὰς μὲν πατρίους
ἀρχὰς καταλύητε καὶ τοῖς ἐκ τῶν νόμων χειροτονου-
μένοις μηδὲν ἐπιτρέπητε, ξένην δέ τινα καὶ μηπώ-
34 ποτε γεγενημένην ἡγεμονίαν ἰδιώτῃ προστάξητε; εἰ
γάρ τοι καὶ παρὰ τὰς ἐπετησίους ἀρχὰς ἀνάγκη τις
εἴη ἑτέραν ἑλέσθαι, ἔστι καὶ τούτου παράδειγμα ἀρ-
χαῖον, λέγω δὲ τὸν δικτάτωρα. καὶ τοῦτον μέντοι τοι-
οῦτον ὄντα οὔτε ἐπὶ πᾶσί ποτε τοῖς πράγμασιν οἱ
πατέρες ἡμῶν οὔτε ἐπὶ πλείω χρόνον ἑκμήνου κατεστή-
2 σαντο. ὥστ' εἰ μὲν τοιούτου τινὸς δεῖσθε, ἔξεστιν
ὑμῖν μήτε παρανομήσασι μήτ' ὀλιγώρως ὑπὲρ τῶν κοι-

33, 1, 3 ὑπάτων R, Reiske, ὄντων Ma ‖ 5 παριδόντας Turnebus, παραδόντας Ma ‖ 2, 1 ⟨οὔτε⟩ deest in Ma ‖ 3 ⟨οὐ γάρ που⟩ inseruit B ‖ 34, 1, 4 μέντοι Turnebus, μὲν Ma ‖ 6 ἡμῶν] ὑμῶν Ma ‖ ἑκμήνου, formam Atticam, ut docet Phrynichus, restituit Naber, Λόγιος Ἑρμῆς, p. 422 coll. fr. 72, 2, v. 12; 42, 20, 3; 55, 31, 1; 56, 28, 2; 59, 6, 5; ἑξαμήνου Ma sicut 42, 21, 1; 53, 21, 4; 59, 7, 9



νῶν βουλευσαμένοις δικτάτωρα εἴτε Πομπήιον εἴτε καὶ
ἄλλον τινὰ προχειρίσασθαι, ἐφ' ᾧ μήτε πλείω τοῦ
τεταγμένου χρόνον μήτε ἔξω τῆς Ἰταλίας ἄρξῃ. οὐ
γάρ που ἀγνοεῖτε, ὅτι καὶ τοῦτο δεινῶς οἱ πατέρες
ἡμῶν ἐφυλάξαντο, καὶ οὐκ ἂν εὑρεθείη δικτάτωρ οὐ-
δεὶς ἄλλοσε πλὴν ἑνὸς ἐς Σικελίαν καὶ ταῦτα μηδὲν
πράξαντος αἱρεθείς. εἰ δ' οὔτε δεῖται ἡ Ἰταλία τοι- 3
ούτου τινός, οὔτ' ἂν ὑμεῖς ὑπομείναιτε ἔτι οὐχ ὅτι τὸ
ἔργον τοῦ δικτάτωρος, ἀλλ' οὐδὲ τὸ ὄνομα (δῆλον δὲ ἐξ
ὧν πρὸς τὸν Σύλλαν ἠγανακτήσατε), πῶς [δ'] ἂν ὀρθῶς
ἔχοι καινὴν ἡγεμονίαν καὶ ταύτην ἐς ἔτη τρία καὶ ἐπὶ
πᾶσιν ὡς εἰπεῖν καὶ τοῖς ἐν τῇ Ἰταλίᾳ καὶ τοῖς ἔξω
πράγμασιν ἀποδειχθῆναι; ὅσα γὰρ ἐκ τοῦ τοιούτου 4
δεινὰ ταῖς πόλεσι συμβαίνει, καὶ ὅσοι διὰ τὰς παρα-
νόμους φιλαρχίας τόν τε δῆμον ἡμῶν πολλάκις ἐτά-
ραξαν καὶ αὐτοὶ ⟨αὐτοὺς⟩ μυρία κακὰ εἰργάσαντο,
πάντες ὁμοίως ἐπίστασθε.
ὥστε περὶ μὲν τούτων παύομαι λέγων· τίς γὰρ οὐκ 35
οἶδεν, ὅτι οὔτ' ἄλλως καλῶς ἔχει οὔτε συμφέρει ἑνί
τινι τὰ πράγματα προστάσσεσθαι καὶ ἕνα τινὰ πάντων
τῶν ὑπαρχόντων ἡμῖν ἀγαθῶν κύριον γίγνεσθαι, κἂν
τὰ μάλιστα ἄριστός τις ᾖ; αἵ τε γὰρ μεγάλαι τιμαὶ
καὶ αἱ ὑπέρογκοι ἐξουσίαι καὶ τοὺς τοιούτους ἐπαί-
ρουσι καὶ διαφθείρουσιν. ἐκεῖνο δὲ δὴ σκοπεῖν ὑμᾶς 2
ἀξιῶ, ὅτι οὐδὲ οἷόν τέ ἐστιν ἕνα ἄνδρα πάσης τῆς
θαλάσσης ἐπάρξαι καὶ πάντα τὸν πόλεμον τοῦτον ὀρ-
θῶς διοικῆσαι. δεῖ μὲν γὰρ ὑμᾶς, εἴπερ τι τῶν δε-

2, 5 χρόνον Naber, χρόνου Ma ‖ ἄρξῃ] ἄρξει Turnebus ‖ 8 ἄλλοσε B, ἄλλος Ma, ἄλλως R ‖ 3, 1 εἰ δ' Reiske, ἢ Ma ‖ 2 ὑπομείναιτε B, Pflugk, ὑπομείνητε Ma ‖ 4 [δ'] delevit B ‖ 5 ταύτην] ταῦτα ? B ‖ 4, 4 ⟨αὐτοὺς⟩ inseruit Reiske

ὄντων ποιήσετε, πανταχῇ ἅμα αὐτοῖς πολεμῆσαι, ἵνα
μὴ συνιστάμενοι πρὸς ἀλλήλους μηδ' αὖ τὰς ἀναφυ-
γὰς πρὸς τοὺς οὐ πολεμουμένους ἔχοντες δύσληπτοι
3 γένωνται. τοῦτο δὲ οὐδένα ἂν τρόπον εἷς τις ἄρξας
πρᾶξαι δυνηθείη· πῶς γὰρ ἂν ὑπὸ τὰς αὐτὰς ἡμέρας
ἔν τε τῇ Ἰταλίᾳ καὶ ἐν τῇ Κιλικίᾳ, τῇ τε Αἰγύπτῳ
καὶ τῇ Συρίᾳ, τῇ τε Ἑλλάδι καὶ τῇ Ἰβηρίᾳ, τῷ τε
Ἰονίῳ καὶ ταῖς νήσοις πολεμήσειε; πολλοὺς μὲν δὴ
διὰ τοῦτο καὶ στρατιώτας καὶ στρατηγοὺς ἐπιστῆναι
36 δεῖ τοῖς πράγμασιν, εἴπερ τι ὄφελος αὐτῶν ἔσται· εἰ
δὲ δή τις ἐκεῖνό φησιν, ὅτι κἂν ἑνί τῳ πάντα τὸν
πόλεμον ἐπιτρέψητε, πάντως που καὶ ναυάρχους καὶ
ὑπάρχους πολλοὺς ἕξει, πῶς οὐ πολὺ δικαιότερον καὶ
συμφορώτερον (ἐγὼ γὰρ ἂν εἴποιμι), καὶ τί κωλύει
τούτους αὖ τοὺς ὑπάρξειν ἐκείνῳ μέλλοντας καὶ προ-
χειρισθῆναι ὑφ' ὑμῶν ἐπ' αὐτὸ τοῦτο καὶ τὴν ἡγεμο-
2 νίαν παρ' ὑμῶν αὐτοτελῆ λαβεῖν; οὕτω μὲν γὰρ καὶ
φροντιοῦσι τοῦ πολέμου μᾶλλον ἅτε καὶ ἰδίαν ἕκαστος
αὐτῶν μερίδα πεπιστευμένος καὶ ἐς μηδένα ἕτερον τὴν
ὑπὲρ αὐτῆς ἀμέλειαν ἀνενεγκεῖν δυνάμενος καὶ φιλο-
τιμήσονται πρὸς ἀλλήλους ἀκριβέστερον ἅτε καὶ αὐτο-
κρατεῖς ὄντες καὶ τὴν δόξαν ὧν ἂν ἐργάσωνται αὐτοὶ
κτησόμενοι· ἐκείνως δὲ τίνα μὲν ὁμοίως οἴεσθε ἄλλῳ
τῳ ὑποκείμενον, τίνα δ' ἀπροφασίστως ὁτιοῦν ποιήσειν
μέλλοντα μὴ ἑαυτῷ, ἀλλ' ἑτέρῳ κρατήσειν;
3 ὥσθ' ὅτι μὲν εἷς οὐδ' ἂν δύναιτο τοσοῦτον ἅμα
πόλεμον πολεμῆσαι, καὶ παρ' αὐτοῦ Γαβινίου ὡμολό-
γηται· πολλοὺς γοῦν τῷ χειροτονηθησομένῳ συνεργοὺς

**35**, 2, 6 μηδ' B, μήτ' Ma ‖ αὖ τὰς Xylander et Turnebus, αὐτὰς Ma ‖ **36**, 1, 6 αὖ τοὺς B, αὐτοὺς Ma ‖ 2, 7 οἴεσθε ⟨προθυμηθήσεσθαι⟩ Reiske ‖ 9 κρατήσειν] κατορθώσειν Reiske



ἄξιοι δοθῆναι. λοιπὴ δὲ δὴ σκέψις ἐστί, πότερόν ποτε
ἄρχοντας αὐτοὺς ἢ ὑπάρχους καὶ πρὸς τοῦ δήμου παν-
τὸς ἐπ' αὐτοκράτορός τινος ἡγεμονίας ἢ πρὸς ἐκείνου
μόνου ἐφ' ὑπηρεσίᾳ αὐτοῦ πεμφθῆναι δεῖ. οὐκοῦν ὅτι 4
μὲν καὶ νομιμώτερον καὶ πρὸς τἆλλα πάντα καὶ πρὸς
αὐτοὺς τοὺς λῃστὰς τοῦθ' ὅπερ ἐγὼ λέγω ἐστί, πᾶς
ἄν τις ὑμῶν ὁμολογήσειε. χωρὶς δὲ τούτου καὶ ἐκεῖνο
ὁρᾶτε οἷόν ἐστι, τὸ πάσας ὑμῶν τὰς ἄλλας ἀρχὰς ἐπὶ
τῇ τῶν καταποντιστῶν προφάσει καταλυθῆναι καὶ μη-
δεμίαν αὐτῶν μήτε ἐν τῇ Ἰταλίᾳ μήτε ἐν τῇ ὑπηκόῳ
τὸν χρόνον τοῦτον . . . .
. . . . τῆς δὲ Ἰταλίας ἀντὶ ὑπάτου ἐπὶ τρία ἔτη, 37
προσέταξαν αὐτῷ ὑποστρατήγους τε πεντεκαίδεκα καὶ
τὰς ναῦς ἁπάσας τά τε χρήματα καὶ τὰ στρατεύματα,
ὅσα ἂν ἐθελήσῃ λαβεῖν, ἐψηφίσαντο. καὶ ἐκεῖνά τε [καὶ]
ἡ γερουσία καὶ ἄκουσα ἐπεκύρωσε καὶ τἆλλα, ὅσα πρόσ-
φορα ἐς αὐτὰ εἶναι ἑκάστοτε ἐγίγνωσκεν, ἄλλως τε καὶ 2

3, 5 ἢ ὑπάρχους καὶ B, ἢ ὑπάρχοντας καὶ στρατηγοὺς καὶ Ma, unde Reiske ἢ ὑπάρχοντας καὶ ὑποστρατηγοὺς ‖ 6 ἐπ' αὐτοκράτορός τινος ἡγεμονίας] ἐπ' αὐτοκράτορί τινι ἡγεμονίᾳ Reiske, ἐπ' αὐτοκράτορσί τισι ἡγεμονίαις? B, sed cf. 38, 15, 2; 39, 35, 2; 59, 5, 3 ‖ 4, 2 νομιμώτερον ⟨καὶ συμφορώτερον⟩ καί R ‖ 8 χρόνον τοῦτον . . . .] abscissum est ex primo (olim tertio) quaternione codicis Medicei folium, lacunam partim supplet Xiphilinus p. 5: *Κάτλου δέ τινος τῶν ἀρίστων ἀνδρῶν εἰρηκότος πρὸς τὸν δῆμον "ἐὰν ἐπὶ ταῦτα ἐκπεμφθεὶς σφαλῇ, οἷα ἔν γε ἀγῶσι πολλοῖς καὶ τούτοις θαλαττίοις φιλεῖ γίνεσθαι, τίνα ἄλλον ἀντ' αὐτοῦ πρὸς τὰ ἀναγκαιότερα εὑρήσετε;" ὁ ὅμιλος σύμπας ὥσπερ ἀπὸ συγκειμένου τινὸς ἀνεβόησεν εἰπὼν "σέ". καὶ οὕτω Πομπήιος τὴν ἡγεμονίαν τῆς θαλάττης τῶν τε νήσων καὶ τῆς ἠπείρου ἐς τετρακοσίους σταδίους ἀπὸ τῆς θαλάσσης ἄνω εἰλήφει.* Et iisdem fere verbis M p. 552: *Κατούλου δέ τινος τῶν ἀρίστων ἀνδρῶν εἰρηκότος "ἐὰν ἐπὶ ταῦτα ἐκπεμφθεὶς σφαλῇ, οἷα ἐν τοιούτοις φιλεῖ γενέσθαι, τίνα ἄλλον ἀντ' αὐτοῦ πρὸς τὰ ἀναγκαιότερα εὑρήσετε;" ὁ ὅμιλος σύμπας ὥσπερ ἀπὸ συγκειμένου τινὸς ἀνεβόησεν εἰπὼν "σέ". καὶ οὕτως ὁ Πομπήιος τὴν ἡγεμονίαν ἔσχε τῆς θαλάττης* ‖ **37**, 1, 4 [καὶ] del. B

ἐπειδὴ τοῦ Πίσωνος μὴ ἐπιτρέψαντος τοῖς ὑπάρχοις
καταλόγους ἐν τῇ Γαλατίᾳ τῇ Ναρβωνησίᾳ, ἧς ἦρχε,
ποιήσασθαι, δεινῶς ὁ ὅμιλος ἠγανάκτησε, καὶ εὐθύς
γ' ἂν αὐτὸν ἐκ τῆς ἀρχῆς ἐξήλασαν, εἰ μὴ ὁ Πομ-
3 πήιος παρῃτήσατο. παρασκευασάμενος οὖν, ὡς τό τε
πρᾶγμα καὶ τὸ φρόνημα αὐτοῦ ἀπῄτει, πᾶσαν ἅμα τὴν
θάλασσαν, ὅσην οἱ καταποντισταὶ ἐλύπουν, τὰ μὲν
αὐτός, τὰ δὲ καὶ διὰ τῶν ὑποστρατήγων περιέπλευσε
4 καὶ τὰ πλείω αὐτῆς αὐτοετὲς ἡμέρωσε. πολλῇ μὲν γὰρ
καὶ τῇ παρασκευῇ τῇ τε τοῦ ναυτικοῦ καὶ τῇ τῶν
ὁπλιτῶν ἐχρῆτο, ὥστε καὶ ἐν τῇ θαλάσσῃ καὶ ἐν τῇ
γῇ ἀνυπόστατος εἶναι, πολλῇ δὲ καὶ τῇ φιλανθρωπίᾳ
τῇ πρὸς τοὺς ὁμολογοῦντάς οἱ, ὥστε καὶ ἀπὸ τοῦ τοι-
5 ούτου παμπόλλους προσποιήσασθαι· οἱ γὰρ ἄνθρωποι
ταῖς τε δυνάμεσιν ἡττώμενοι καὶ τῆς χρηστότητος αὐ-
τοῦ πειρώμενοι προθυμότατα αὐτῷ προσεχώρουν. τά
τε γὰρ ἄλλα αὐτῶν ἐπεμελεῖτο καί, ὅπως μηδ' αὖθίς
ποτε ἐς ἀνάγκην πονηρῶν ἔργων ὑπὸ πενίας ἀφίκων-
ται, καὶ χώρας σφίσιν, ὅσας ἐρήμους ἑώρα, καὶ πό-
6 λεις, ὅσαι ἐποίκων ἐδέοντο, ἐδίδου. καὶ ἄλλαι τε ἐκ
τούτου συνῳκίσθησαν καὶ ἡ Πομπηιόπολις ἐπικλη-
θεῖσα· ἔστι δὲ ἐν τῇ Κιλικίᾳ τῇ παραθαλασσίᾳ καὶ
ἐπεπόρθητο ὑπὸ τοῦ Τιγράνου, Σόλοι πρότερον ὠνο-
μασμένη.
38 ἐπὶ μὲν δὴ τοῦ Ἀκιλίου τοῦ τε Πίσωνος ταῦτά τε
οὕτως ἐγένετο, καὶ κατὰ τῶν δεκασμοῦ περὶ τὰς ἀρχὰς
ἁλισκομένων ἐνομοθετήθη πρὸς αὐτῶν τῶν ὑπάτων

4, 5 ἀπὸ St coll. 36,2,4, ὑπὸ Ma ‖ 5,2 ἡττώμενοι] ἐλαττούμενοι? B cf. fr. 40, 20; 36, 47, 1; ἠλαττωμένοι vel τῆς τε δυνάμεως ἡττώμενοι Reiske ‖ 6, 1 ὅσαι] ὅσας Ma ‖ ἐκ τούτου] ἐκ τούτων Xiphilinus ‖ **38**, 1, 3 ἁλισκομένων] ἀναλισκομένων Ma



μήτ' ἄρχειν μήτε βουλεύειν σφῶν μηδένα, ἀλλὰ καὶ
χρήματα προσοφλισκάνειν. ἐπειδὴ γὰρ ἥ τε τῶν δη- 2
μάρχων δυναστεία ἐς τὸ ἀρχαῖον ἐπανεληλύθει, καὶ
πολλοὶ τῶν ὑπὸ τῶν τιμητῶν διαγεγραμμένων ἀναλα-
βεῖν τρόπον τινὰ τὴν βουλείαν ἐσπούδαζον, συστάσεις
καὶ παρακελευσμοὶ παμπληθεῖς ἐφ' ἁπάσαις ταῖς ἀρ-
χαῖς ἐγίγνοντο. ἔπραξαν δὲ τοῦθ' οἱ ὕπατοι, οὐχ ὅτι 3
καὶ ἤχθοντο τῷ πράγματι (αὐτοὶ γὰρ διασπουδάσαντες
ἀπεδείχθησαν, καὶ ὅ γε Πίσων καὶ γραφεὶς ἐπὶ τούτῳ
καὶ πρὸς ἑνὸς καὶ πρὸς ἑτέρου τινὸς ἐξεπρίατο τὸ μὴ
κατηγορηθῆναι), ἀλλ' ὅτι ἠναγκάσθησαν ὑπὸ τῆς γε-
ρουσίας. αἴτιον δέ, ὅτι Γάιός τις Κορνήλιος δημαρχῶν 4
πικρότατα ἐπιτίμια τάξαι κατ' αὐτῶν ἐπεχείρησε καὶ
αὐτὰ καὶ ὁ ὅμιλος ᾑρεῖτο. ἡ γὰρ βουλὴ συνιδοῦσα,
ὅτι τὸ μὲν ὑπερβάλλον τῶν τιμωρημάτων ἐν μὲν ταῖς
ἀπειλαῖς ἔκπληξίν τινα ἔχει, οὔτε δὲ τοὺς κατηγορή-
σοντας οὔτε τοὺς καταψηφιουμένους τῶν ὑπαιτίων ἅτε
καὶ ἀνηκέστων αὐτῶν ὄντων ῥᾳδίως εὑρίσκει, τὸ δὲ 5
δὴ μέτριον ἔς τε τὰς κατηγορίας συχνοὺς προάγει καὶ
τὰς καταψηφίσεις οὐκ ἀποτρέπει, μεταρρυθμίσαι πῃ
τὴν ἐσήγησιν αὐτοῦ καὶ τοῖς ὑπάτοις νομοθετῆσαι
αὐτὴν ἐκέλευσεν. ἐπεὶ δὲ αἵ τε ἀρχαιρεσίαι προεπηγ- 39
γελμέναι ἦσαν, καὶ κατὰ τοῦτ' οὐδὲν προνομοθετηθῆ-
ναι πρὸ αὐτῶν ἐξῆν, καὶ οἱ σπουδαρχιῶντες πολλὰ
καὶ κακὰ ἐν τῷ διακένῳ χρόνῳ τούτῳ ἐποίουν, ὥστε
καὶ σφαγὰς γίγνεσθαι, τόν τε νόμον ἐψηφίσαντο καὶ

2, 3 τῶν ὑπὸ τῶν τ. Xylander, ὑπὸ τῶν τ. τῶν Ma ‖ 4 τρόπον τινὰ τὴν βουλείαν Naber, Λόγιος Ἑρμῆς, p. 423, πρότερόν τινα τὴν β. Ma, unde τὴν πρότερον β. Oddey, τὴν πρότερόν τινα β. Reiske, πρότερον ἀναλαβεῖν [τινα] τὴν β. Pflugk ‖ 3, 4 ἐξεπρίατο Ma in margine, ἐξεπράξατο in textu ‖ 5,4 αὐτοῦ τοῖς ὑπάτοις καὶ αὐτοῖς νομοθετῆσαι? B ‖ **39**, 1,4 τούτῳ χρόνῳ Ma

πρὸ ἐκείνων ἐσενεχθῆναι καὶ φρουρὰν τοῖς ὑπάτοις
2 δοθῆναι. ἀγανακτήσας οὖν ἐπὶ τούτοις ὁ Κορνήλιος γνώμην ἐποιήσατο μὴ ἐξεῖναι τοῖς βουλευταῖς μήτε ἀρχήν τινι ἔξω τῶν νόμων αἰτήσαντι διδόναι μήτ' ἄλλο μηδὲν τῶν τῷ δήμῳ προσηκόντων ψηφίζεσθαι· τοῦτο γὰρ ἐνενομοθέτητο μὲν ἐκ τοῦ πάνυ ἀρχαίου,
3 οὐ μέντοι καὶ τῷ ἔργῳ ἐτηρεῖτο. θορύβου τε ἐπ' αὐτῷ πολλοῦ συμβάντος (καὶ γὰρ ἀντέπρασσον τῶν τε ἄλλων τῶν ἐκ τῆς γερουσίας συχνοὶ καὶ ὁ Πίσων) τάς τε ῥάβδους αὐτοῦ ὁ ὄχλος συνέτριψε καὶ αὐτὸν δια-
4 σπάσασθαι ἐπεχείρησεν. ἰδὼν οὖν τὴν ὁρμὴν αὐτῶν ὁ Κορνήλιος τότε μέν, πρὶν ἐπιψηφίσαι τι, διαφῆκε τὸν σύλλογον, ὕστερον δὲ προσέγραψε τῷ νόμῳ τήν τε βουλὴν πάντως περὶ αὐτῶν προβουλεύειν καὶ τὸν
40 δῆμον ἐπάναγκες ἐπικυροῦν τὸ προβούλευμα. καὶ οὕτως ἐκεῖνόν τε διενομοθέτησε καὶ ἕτερον τοιόνδε. οἱ στρατηγοὶ πάντες τὰ δίκαια, καθ' ἃ δικάσειν ἔμελλον, αὐτοὶ συγγράφοντες ἐξετίθεσαν· οὐ γάρ πω πάντα τὰ δικαιώματα τὰ περὶ τὰ συμβόλαια διετέ-
2 τακτο. ἐπεὶ οὖν οὔτε ἐσάπαξ τοῦτ' ἐποίουν οὔτε τὰ γραφέντα ἐτήρουν, ἀλλὰ πολλάκις αὐτὰ μετέγραφον καὶ συχνὰ ἐν τούτῳ πρὸς χάριν ἢ καὶ κατ' ἔχθραν τινῶν, ὥσπερ εἰκός, ἐγίγνετο, ἐσηγήσατο κατ' ἀρχάς τε εὐθὺς αὐτοὺς τὰ δίκαια, οἷς χρήσονται, προλέγειν
3 καὶ μηδὲν ἀπ' αὐτῶν παρατρέπειν. τό τε σύμπαν οὕτως ἐπιμελὲς τοῖς Ῥωμαίοις κατὰ τὸν χρόνον ἐκεῖνον τὸ μηδὲν δωροδοκεῖσθαι ἐγένετο, ὥστε πρὸς τῷ τοὺς

1, 6 πρὸ Turnebus, πρὸς Ma ‖ 2, 4 ψηφίζεσθαι Turnebus, φημίζεσθαι Ma, σφετερίζεσθαι Reiske ‖ 3, 1 αὐτῷ St coll. 40, 53, 3; αὐτοῦ Ma ‖ 2 καὶ Xylander, οὐ Ma ‖ **40**, 1, 4 αὐτοὶ Leunclavius, αὐτοῖς Ma ‖ 5 τὰ B, ἃ Ma ‖ 2, 1 ἐπεὶ οὖν B, ἐποίουν Ma



ἐλεγχομένους κολάζειν καὶ τοὺς κατηγοροῦντας αὐτῶν ἐτίμων. τοῦ γοῦν Κόττου τοῦ Μάρκου τὸν μὲν ταμίαν Πούπλιον Ὄππιον ἐπί τε δώροις καὶ ἐπὶ ὑποψίᾳ ἐπι-
βουλῆς ἀποπέμψαντος, αὐτοῦ δὲ πολλὰ ἐκ τῆς Βιθυ- 4
νίας χρηματισαμένου Γάιον Κάρβωνα τὸν κατηγορήσαντα αὐτοῦ τιμαῖς ὑπατικαῖς καίπερ δεδημαρχηκότα μόνον ἐσέμνυναν. καὶ οὗτος μὲν τῆς τε Βιθυνίας καὶ αὐτὸς ὕστερον ἄρξας καὶ μετριώτερον οὐδὲν τοῦ Κόττου πλημμελήσας ἀντικατηγορήθη ὑπὸ τοῦ υἱέος
αὐτοῦ καὶ ἀνθεάλω· πολλῷ γάρ που ῥᾶον ἄλλοις ἐπι- 5
τιμῶσί τινες ἢ ἑαυτοῖς παραινοῦσι καὶ προχειρότατά γε ἐφ' οἷς τιμωρίας ἀξίους τοὺς πέλας εἶναι νομίζουσιν, αὐτοὶ ποιοῦσιν, ὥστε μηδεμίαν πίστιν ἐξ ὧν ἑτέροις ἐγκαλοῦσιν, ὅτι καὶ μισοῦσιν αὐτά, λαμβάνειν·
Λούκιος δὲ δὴ Λούκουλλος τὴν μὲν στρατηγίαν τὴν 41
οἴκοι διῇρξε, τῆς δὲ δὴ Σαρδοῦς ἄρξαι μετ' αὐτὴν λαχὼν οὐκ ἠθέλησε μισήσας τὸ πρᾶγμα διὰ τοὺς πολλοὺς τοὺς οὐδὲν ὑγιὲς ἐν τοῖς ἔθνεσι δρῶντας. ὅτι
γὰρ ἐπιεικὴς ἦν, ἱκανώτατα διέδειξε· τοῦ γὰρ Ἀκιλίου 2
συντριβῆναι τὸν δίφρον αὐτοῦ, ἐφ' οὗ ἐδίκαζε, κελεύσαντος, ὅτι παριόντα ποτὲ αὐτὸν ἰδὼν οὐκ ἐξανέστη, οὔτ' ὀργῇ ἐχρήσατο καὶ ὀρθοστάδην μετὰ τοῦτο καὶ αὐτὸς καὶ οἱ συνάρχοντες αὐτοῦ δι' ἐκεῖνον διεδίκασαν.

ἐσήνεγκε μὲν οὖν καὶ ὁ Ῥώσκιος νόμον, ἐσήνεγκε 42
δὲ καὶ ὁ Γάιος ⟨ὁ⟩ Μάλλιος, ὅτε ἐδημάρχησαν. ἀλλ' ἐκεῖνος μὲν (τὰς γὰρ τῶν ἱππέων τὰς ἐν τοῖς θεάτροις ἕδρας ἀκριβῶς ἀπὸ τῶν ἄλλων ἀφώρισε) καὶ ἔπαινον

**41**, 1, 1 Λούκουλλος] Λουκκήϊος Hoelzl, fasti praetorii, p. 29 ‖ **42**, 1, 2 ⟨ὁ⟩ inseruit B ‖ Μάλλιος] Μανίλιος Leunclavius, sed apud Plut. Pomp. 30 quoque Μάλλιος audit ‖ ἐδημάρχησαν Reiske, ἐδημάρχησεν Ma

2 ἐπ' αὐτῷ ἔλαβεν, ὁ δὲ δὴ Μάλλιος καὶ δίκην ὀλίγου
ὑπέσχε· τῷ γὰρ ἔθνει τῷ τῶν ἀπελευθέρων ἔν τε τῇ
ἐσχάτῃ τοῦ ἔτους ἡμέρᾳ καὶ πρὸς ἑσπέραν παρασκευάσας
τινὰς ἐκ τοῦ ὁμίλου ψηφίσασθαι μετὰ τῶν ἐξελευθερω-
3 σάντων σφᾶς ἔδωκεν. ἐπεὶ δὲ ἡ βουλὴ εὐθὺς τῇ ὑστε-
a. u. ραίᾳ, ἐν αὐτῇ τῇ νουμηνίᾳ [ἐπύθετο], ⟨ἐν ᾗ⟩ Λούκιός
688 (66) τε Τούλλιος καὶ Αἰμίλιος Λέπιδος ὑπατεύειν ἤρξαντο,
τὸν νόμον αὐτοῦ ἀπεψηφίσατο, φοβηθείς, ἐπειδὴ τὸ
πλῆθος δεινῶς ἠγανάκτει, τὰ μὲν πρῶτα ἔς τε τὸν
Κράσσον καὶ ἐς ἄλλους τινὰς τὴν γνώμην ἀνῆγεν, ὡς
4 δ' οὐδεὶς ἐπίστευέν οἱ, τὸν Πομπήιον καὶ ἀπόντα
ἐκολάκευσεν, ἄλλως τε καὶ ὅτι τὸν Γαβίνιον πλεῖστον
παρ' αὐτῷ δυνάμενον ᾔσθετο· τόν τε γὰρ τοῦ Τιγρά-
νου καὶ τὸν τοῦ Μιθριδάτου πόλεμον τήν τε Βιθυ-
νίαν καὶ τὴν Κιλικίαν ἅμα ἀρχὴν αὐτῷ προσέταξεν.
43 ἀγανάκτησις μὲν γὰρ καὶ ἀντιλογία καὶ τότε παρὰ τῶν
δυνατῶν διά τε τἆλλα καὶ διότι ὅ τε Μάρκιος καὶ ὁ
Ἀκίλιος πρὶν τὸν χρόνον σφίσι τῆς ἀρχῆς ἐξήκειν
2 κατελύοντο, ἐγένετο· ὁ δὲ ὅμιλος καίτοι μικρὸν ἔμ-
προσθεν τοὺς ἄνδρας τοὺς καταστήσοντας τὰ ἑαλω-
κότα ὡς καὶ διαπεπολεμηκώς, ἐξ ὧν σφισιν ὁ Λού-
κουλλος ἐπεστάλκει, πέμψας ὅμως ἐψηφίσατο αὐτὰ
ἐναγόντων σφᾶς ἐς τὰ μάλιστα τοῦ τε Καίσαρος καὶ
3 τοῦ Κικέρωνος τοῦ Μάρκου. οὗτοι γὰρ αὐτοῖς συν-
ηγωνίσαντο, οὐχ ὅτι καὶ συμφέρειν αὐτὰ τῇ πόλει ἐνό-
μιζον οὐδ' ὅτι τῷ Πομπηίῳ χαρίσασθαι ἤθελον· ἀλλ'
ἐπειδὴ καὶ ὣς γενήσεσθαι ἔμελλε, Καῖσαρ μὲν τόν τε

2, 1 *αὐτῷ* R. Stephanus, *αὐτῶν* Ma ‖ 3, 2 [*ἐπύθετο*] del. B ‖ ⟨*ἐν ᾗ*⟩ inseruit St coll. 41, 1 ‖ 4 *ἀπεψηφίσατο* Leunclavius, *ἀπεψηφίσαντο* Ma ‖ 4, 1 *ἀπόντα* Madvig adv. crit. III, p. 80; *ἄκοντα* Ma ‖ **43**, 1, 1 *γὰρ*] *οὖν* Reiske ‖ 3, 1 *οὗτοι* B, *οὕτω* Ma



ὄχλον ἅμα ἐθεράπευσεν ἅτε καὶ ὁρῶν, ὅσῳ τῆς βου-
λῆς ἐπικρατέστεροι ἦσαν, καὶ ἑαυτῷ τό τι τῶν ὁμοίων 4
ψηφισθῆναί ποτε παρεσκεύασε κἀν τούτῳ καὶ τὸν
Πομπήιον καὶ ἐπιφθονώτερον καὶ ἐπαχθέστερον ἐκ
τῶν διδομένων οἱ ποιῆσαι, ὅπως σφίσι πρὸς κόρον
θᾶσσον γένηται, ἠθέλησε, Κικέρων δὲ τήν τε πολι-
τείαν ἄγειν ἠξίου καὶ ἐνεδείκνυτο καὶ τῷ πλήθει καὶ
τοῖς δυνατοῖς, ὅτι, ὁποτέροις ἂν σφῶν πρόσθηται,
πάντως αὐτοὺς ἐπαυξήσει. ἐπημφοτέριζέ τε γὰρ καὶ 5
ποτὲ μὲν τὰ τούτων, ἔστι δ' ὅτε καὶ τὰ ἐκείνων, ἵν'
ὑπ' ἀμφοτέρων σπουδάζηται, ἔπραττε. τοὺς γοῦν βελ-
τίους πρότερον προαιρεῖσθαι λέγων καὶ διὰ τοῦτο καὶ
ἀγορανομῆσαι μᾶλλον ἢ δημαρχῆσαι ἐθελήσας τότε πρὸς
τοὺς συρφετώδεις μετέστη. καὶ μετὰ τοῦτο δίκης τέ 44
τινος τῷ Μαλλίῳ πρὸς τῶν δυνατῶν παρασκευασθεί-
σης καὶ ἐκείνου χρόνον τινὰ ἐμποιῆσαι αὐτῇ σπουδά-
ζοντος τά τε ἄλλα κατ' αὐτοῦ ἔπραττε καὶ μόλις αὐ-
τὸν (ἐστρατήγει γὰρ καὶ τὴν ἡγεμονίαν τοῦ δικαστη-
ρίου εἶχεν) ἐς τὴν ὑστεραίαν ἀνεβάλετο πρόφασιν ἐπ'
ἐξόδῳ τὸ ἔτος εἶναι ποιησάμενος. κἀν τούτῳ δυσχε- 2
ράναντος τοῦ ὁμίλου ἐσῆλθέ τε ἐς τὸν σύλλογον αὐ-
τῶν ἀναγκασθεὶς δῆθεν ὑπὸ τῶν δημάρχων καὶ κατά
τε τῆς βουλῆς κατέδραμε καὶ συναγορεύσειν τῷ Μαλ-

44, 2, 6: *αὐτόμολος*] ὅτι Καῖσαρ μὲν τὸν δῆμον ἐξ ἀρχῆς ἐθεράπευε, Κικέρων δὲ ἐπημφοτέριζε τὰ πολλά· καὶ ποτὲ μὲν τῷ δήμῳ, ποτὲ δὲ τῇ γερουσίᾳ προσετίθετο· καὶ διὰ τοῦτο αὐτόμολος ὠνομάζετο. M p. 552.

3, 5 *ὅσῳ* B, *ὅσα* L ‖ 5, 2 *ἵν'* et 3 *ἔπραττεν* R. Stephanus, *ὃν* et *πράττειν* Ma, *πράττειν* ferri posse monet R *καὶ ποτὲ* in *τῷ ποτὲ* mutato ‖ 4 *προαιρεῖσθαι* N, quem secutus est R, *προσαιρεῖσθαι* Ma, *προηρῆσθαι* Reiske

λίφ ὑπέσχετο. καὶ ὁ μὲν ἐκ τούτου τά τε ἄλλα κακῶς
ἤκουε καὶ αὐτόμολος ὠνομάζετο, τάραχος δέ τις εὐθὺς
ἐπιγενόμενος ἐκώλυσε τὸ δικαστήριον συναχθῆναι.
3 Πούπλιός τε γὰρ Παῖτος καὶ Κορνήλιος Σύλλας, ἀδελ-
φιδοῦς ἐκείνου τοῦ πάνυ Σύλλου, ὕπατοί τε ἀποδει-
χθέντες καὶ δεκασμοῦ ἁλόντες ἐπεβούλευσαν τοὺς κα-
τηγορήσαντας σφῶν Κότταν τε καὶ Τορκουᾶτον Λου-
κίους, ἄλλως τε καὶ ἐπειδὴ αὐτοὶ ἀνθῃρέθησαν, ἀπο-
4 κτεῖναι. καὶ παρεσκευάσθησαν μὲν ἄλλοι τε καὶ Γναῖος
Πίσων καὶ Λούκιος Κατιλίνας, ἀνὴρ θρασύτατος (ᾐτήκει
δὲ καὶ αὐτὸς τὴν ἀρχὴν καὶ διὰ τοῦτο ὀργὴν ἐποιεῖτο),
οὐ μέντοι καὶ ἠδυνήθησάν τι δρᾶσαι διὰ τὸ τήν τε
ἐπιβουλὴν προμηνυθῆναι καὶ φρουρὰν τῷ τε Κόττᾳ
5 καὶ τῷ Τορκουάτῳ παρὰ τῆς βουλῆς δοθῆναι· ⟨ὥστε
κἂν⟩ δόγμα τι κἀτ' αὐτῶν γενέσθαι, εἰ μὴ δήμαρχός
τις ἠναντιώθη. ἐπεὶ δ' οὖν καὶ ὣς ὁ Πίσων ἐθρασύ-
νετο, ἐφοβήθη τε ἡ γερουσία, μή τι συνταράξῃ, καὶ
εὐθὺς αὐτὸν ἐς Ἰβηρίαν πρόφασιν ὡς καὶ ἐπὶ ταρα-
χήν τινα ἔπεμψε.
45 καὶ ὁ μὲν ἐνταῦθα ὑπὸ τῶν ἐπιχωρίων ἀδικήσας
τι αὐτοὺς ἐσφάγη· Πομπήιος δὲ τὸ μὲν πρῶτον ὡς
καὶ ἐπὶ τὴν Κρήτην τόν τε Μέτελλον πλευσούμενος
ἡτοιμάζετο, μαθὼν δὲ τὰ δεδογμένα προσεποιεῖτο μὲν
ἄχθεσθαι ὡς καὶ πρότερον καὶ τοῖς ἀντιστασιώταις
ὡς καὶ πράγματα ἀεί ποτε αὐτῷ, τοῦ καὶ πταῖσαί τι,

3, 5 ἀνθῃρέθησαν Xylander, ἀνῃρέθησαν Ma ‖ 5, 1 δοθῆναι· ⟨ὥστε κἂν⟩ δόγμα τι D, δοθῆναι, δόγματι Ma, δόγμα τε Leunclavius, δόγμα τι Turnebus, ⟨καὶ συνέβαινεν ἂν⟩ vel ⟨καὶ ἐκινδύνευε⟩ δόγμα τι Reiske, κἂν δόγμα τι κατ' αὐτῶν ἐγένετο St, ⟨ὥστε καὶ⟩ δόγμα τι Wagner, ⟨ἔμελλε δὲ καὶ⟩ δόγμα τι B, δοθῆναι, δόγμα τ' ἄν τι Maisel ‖ 5 ἐπὶ ταραχήν Naber, Λόγιος Ἑρμῆς p. 423, ἐπ' ἀρχήν Ma ‖ 45, 1, 6 τοῦ R, τὸ Ma



παρέχουσιν ἐπεκάλει, ἀσμεναίτατα δὲ αὐτὰ ἀναδεξά- 2
μενος Κρήτην μὲν ἢ τἄλλα τὰ ἐν τῇ θαλάσσῃ, εἴ πού
τι ἀδιοίκητον κατελέλειπτο, παρ' οὐδὲν ἔτ' ἤγαγε,
πρὸς δὲ δὴ τὸν τῶν βαρβάρων πόλεμον παρεσκευά-
ζετο. κἂν τούτῳ βουληθεὶς τῆς τοῦ Μιθριδάτου δια-
νοίας πειρᾶσθαι πέμπει τὸν Μητροφάνη φιλίους αὐτῷ
λόγους φέροντα. καὶ ὃς τότε μὲν ἐν ὀλιγωρίᾳ αὐτὸν 3
ἐποιήσατο (τοῦ γὰρ Ἀρσάκου τοῦ τῶν Πάρθων βασι-
λέως ἀποθανόντος ἐν τῷ χρόνῳ τούτῳ Φραάτην τὸν
διάδοχον αὐτοῦ προσεδόκησεν οἰκειώσεσθαι), ἐπεὶ δ' ὁ
Πομπήιος τὴν φιλίαν τῷ Φραάτῃ διὰ ταχέων ἐπὶ τοῖς
αὐτοῖς προσυνέθετο καὶ ἐς τὴν Ἀρμενίαν αὐτὸν τὴν
τοῦ Τιγράνου προεμβαλεῖν ἀνέπεισε, πυθόμενος τοῦτο
κατέδεισε καὶ πρεσβευσάμενος εὐθὺς σύμβασιν ἔπραττε.
κελεύσαντος δὲ αὐτῷ τοῦ Πομπηίου τά τε ὅπλα κατα- 4
θέσθαι καὶ τοὺς αὐτομόλους ἐκδοῦναι οὐκ ἔσχε και-
ρὸν βουλεύσασθαι· ἀκούσαντες γὰρ ταῦτα οἱ ἐν τῷ
στρατοπέδῳ αὐτοῦ ὄντες καὶ φοβηθέντες οἵ τε αὐτό-
μολοι (πολλοὶ δὲ ἦσαν), μὴ ἐκδοθῶσι, καὶ οἱ βάρβαροι,
μὴ ἄνευ ἐκείνων πολεμεῖν ἀναγκασθῶσιν, ἐθορυβήθη-
σαν. κἂν ἐξειργάσαντό τι τὸν Μιθριδάτην, εἰ μὴ ψευ- 5
σάμενος, ὅτι οὐκ ἐπὶ σπονδαῖς, ἀλλ' ἐπὶ κατασκοπῇ
τῆς τῶν Ῥωμαίων παρασκευῆς τοὺς πρέσβεις ἔπεμψε,
μόλις αὐτοὺς κατέσχεν.
ὁ οὖν Πομπήιος, ἐπειδὴ πολεμητέα οἱ ἔγνω εἶναι, 46
τά τε ἄλλα παρεσκευάσατο καὶ τοὺς Οὐαλεριείους
προσκατελέξατο. καὶ αὐτῷ ἐν τῇ Γαλατίᾳ ἤδη ὄντι ὁ

2, 2 ἢ] καὶ Reiske ‖ 6 φιλίους Sturz coll. 65, 10; 68, 18; φίλους Ma ‖ 3, 3 Φραάντην et 5 Φραάντῃ Ma ‖ 4, 1 δὲ B, τε Ma ‖ 5 πολλοὶ δὲ] πολλοὶ γὰρ codd. excerpt. de legationibus ‖ 46, 1, 2 Οὐαλερίους Ma

Λούκουλλος ἀπαντήσας διαπεπολεμῆσθαί τε πάντα ἔφη
καὶ μηδὲν ἔτι στρατείας δεῖσθαι καὶ διὰ τοῦτο καὶ
τοὺς ἄνδρας τοὺς ὑπὸ τῆς βουλῆς πρὸς τὴν διοίκησιν
2 αὐτῶν πεμφθέντας ἤδη παρεῖναι. ὡς δ' οὐκ ἐπείσθη
ἐπαναχωρῆσαι, πρὸς λοιδορίας ἐτράπετο τά τε ἄλλα
καὶ πολυπράγμονα καὶ φιλοπόλεμον καὶ φίλαρχον αὐ-
τὸν ἀποκαλῶν. ὁ οὖν Πομπήιος βραχὺ αὐτοῦ φρον-
τίσας ἀπεῖπε μηδένα ἔτ' αὐτῷ πειθαρχῆσαι καὶ ἐπὶ
τὸν Μιθριδάτην ἠπείχθη σπουδὴν ἔχων ὅτι τάχιστά
οἱ συμμῖξαι.

47 καὶ ὃς τέως μὲν ἔφευγε (ταῖς γὰρ δυνάμεσιν ἠλατ-
τοῦτο) καὶ τήν τε ἐν ποσὶν ἀεὶ ἔκειρε καὶ ἐπλάνα τε
αὐτὸν ἅμα καὶ ἐπιδεῖσθαι τῶν ἐπιτηδείων ἐποίει· ἐπεὶ
δὲ ἐκεῖνος ἐς τὴν Ἀρμενίαν διά τε τοῦτο καὶ ὡς ἐρή-
μην αὐτὴν αἱρήσων ἐνέβαλεν, οὕτω δὴ δείσας, μὴ
2 προκαταληφθῇ, ἦλθέ τε ἐς αὐτὴν καὶ λόφον ἀντικατα-
λαβὼν ὀχυρὸν τῷ μὲν παντὶ στρατῷ ἡσύχαζεν ἐλπίζων
τοὺς [μὲν] Ῥωμαίους ἀπορίᾳ τῶν τροφῶν ἐκτρυχώσειν
(αὐτὸς γὰρ ἅτε ἐν ὑπηκόῳ χώρᾳ πολλαχόθεν αὐτῶν
εὐπόρει), τῶν δὲ δὴ ἱππέων ἀεί τινας ἐς τὸ πεδίον
ψιλὸν ὂν καταπέμπων τούς τε προστυγχάνοντάς σφισιν
ἐκάκου καὶ ἐξαυτομολοῦντας ἐπὶ τούτῳ συχνοὺς ἐδέ-
3 χετο. ὁ οὖν Πομπήιος ἐνταῦθα μὲν οὐκ ἐθάρσησεν
αὐτοῖς συμβαλεῖν, μεταστρατοπεδευσάμενος δὲ ἑτέρωσε,
ὅθεν ὑλώδους τοῦ πέριξ χωρίου ὄντος ἧττον ὑπό τε
τοῦ ἱππικοῦ καὶ ὑπὸ τοῦ τοξικοῦ τοῦ τῶν ἐναντίων
4 λυπηθήσεσθαι ἔμελλεν, ἐλόχισεν, ᾗ καιρὸς ἦν, καὶ
ὀλίγοις τισὶν ἐκ τοῦ προφανοῦς τῷ στρατοπέδῳ τῶν

2, 3 φίλαρχον Cobet, quod recepi coll. Plat. Phaedo. 82 C φίλαρχος καὶ φιλοπόλεμος ‖ 47, 1, 3 αὐτὸν Xylander, ἑαυτὸν Ma ‖ ἐπιδεῖσθαι] δεῖσθαι ? B ‖ 2, 3 [μὲν] del. B



βαρβάρων προσμίξας ἐτάραξέ τε αὐτοὺς καὶ ὑπαγαγὼν
ἐς ὃ ἐβούλετο πολλοὺς ἀπέκτεινε. θαρσήσας τε ἐκ
τούτου καὶ κατὰ τὴν χώραν ἄλλους ἄλλῃ ἐπὶ τὰ ἐπι-
τήδεια ἔπεμπεν.

ὁ οὖν Μιθριδάτης, ἐπειδὴ ταῦτά τε ἀσφαλῶς ἐπο- 48
ρίζετο καὶ τὴν Ἀναῖτιν χώραν τῆς τε Ἀρμενίας οὖσαν
καὶ θεῷ τινι ἐπωνύμῳ ἀνακειμένην διά τινων ἐχειρώ-
σατο, κἀκ τούτου καὶ ἄλλοι συχνοὶ πρὸς αὐτὸν ἀπέ- 2
κλινον, καὶ αὐτῷ καὶ οἱ τοῦ Μαρκίου στρατιῶται
προσεγένοντο, ἐφοβήθη καὶ οὐκέτι κατὰ χώραν ἔμει-
νεν, ἀλλ' αὐτίκα τε τῆς νυκτὸς ἄρας ἔλαθε καὶ μετὰ
ταῦτα νυκτοπορῶν ἐς τὴν τοῦ Τιγράνου Ἀρμενίαν
προῄει. καί οἱ ὁ Πομπήιος ἐπηκολούθει μὲν ἐπιθυμῶν 3
διὰ μάχης ἐλθεῖν, οὐ μέντοι καὶ πρότερον οὔτε μεθ'
ἡμέραν (οὐ γὰρ ἐξῄεσαν ἐκ τοῦ στρατοπέδου) οὔτε
νύκτωρ ἐτόλμησε τοῦτο ποιῆσαι (τὴν γὰρ ἀγνωσίαν
τῶν χωρίων ἐδεδίει), πρὶν σφᾶς πρὸς τῇ μεθορίᾳ γε-
νέσθαι· τότε γὰρ εἰδὼς αὐτοὺς διαφεύγειν μέλλοντας
ἠναγκάσθη νυκτομαχῆσαι. γνοὺς οὖν τοῦτο προαπῆρε 4
μεσημβριάζοντας τοὺς βαρβάρους λαθών, ᾗ πορεύεσθαι
ἔμελλον· καὶ ἐντυχών τινι χωρίῳ κοίλῳ μεταξὺ γηλό-
φων τινῶν ὄντι ἐνταῦθα τό τε στράτευμα ἐπὶ τὰ με-
τέωρα ἀνεβίβασε καὶ τοὺς πολεμίους ὑπέμεινεν. ἐπειδή 5
τε ἐκεῖνοι μετά τε ἀδείας καὶ ἄνευ προφυλακῆς ἅτε
μήτ' ἔμπροσθεν δεινόν τι πεπονθότες καὶ τότε ἐς τὸ
ἀσφαλὲς ἤδη προχωροῦντες, ὥστε μηδὲ ἐφέψεσθαί
σφισιν ἔτι τοὺς Ῥωμαίους ἐλπίζειν, ἐς τὸ κοῖλον ἐσῆλ-

4, 5 χώραν ⟨μείνας⟩ ? B ‖ 48, 1, 1 ἐπειδὴ ⟨Πομπήιος⟩ Reiske ‖ 2 Ἀναῖτιν χώραν Fabricius, μανάϊτιν χ. Ma, quod ex μὲν Ἀναῖτιν contractum esse putat R ‖ 5, 3 μήτ' B, μηδ' Ma

θον, ἐπέθετο αὐτοῖς ἐν τῷ σκότῳ· οὔτε γὰρ ἄλλο τι
φῶς εἶχον οὔτε ἐκ τοῦ οὐρανοῦ τι ἔλαμπεν.
49 ἐγένετο δὲ ἡ μάχη τοιάδε. πρῶτον μὲν οἱ σαλπιγ-
κταὶ πάντες ἅμα τὸ πολεμικὸν ἀπὸ συνθήματος ἐβόη-
σαν, ἔπειτα δὲ οἵ τε στρατιῶται καὶ ὁ λοιπὸς ὄχλος
πᾶς ἐπηλάλαξε, καὶ οἱ μὲν τὰ δόρατα πρὸς τὰς ἀσπί-
δας, οἱ δὲ καὶ λίθους πρὸς τὰ χαλκᾶ σκεύη προσεπέ-
2 κρουσαν. καὶ σφῶν τὴν ἠχὴν τὰ ὄρη ἔγκοιλα ὄντα
καὶ ὑπεδέξατο καὶ ἀνταπέδωκε φρικωδεστάτην, ὥστε
τοὺς βαρβάρους ἐξαπιναίως ἔν τε τῇ νυκτὶ καὶ ἐν τῇ
ἐρημίᾳ αὐτῶν ἀκούσαντας δεινῶς ἐκπλαγῆναι ὡς καὶ
3 δαιμονίῳ τινὶ πάθει περιπεπτωκότας. κἀν τούτῳ οἱ
Ῥωμαῖοι πανταχόθεν ἀπὸ τῶν μετεώρων λίθοις, το-
ξεύμασιν, ἀκοντίοις βάλλοντες πάντως γέ τινας ὑπὸ
τοῦ πλήθους αὐτῶν ἐτίτρωσκον καὶ ἐς πᾶν κακοῦ
σφᾶς κατέστησαν· οὔτε γὰρ ἐς παράταξιν, ἀλλ' ἐς πο-
ρείαν ἐσταλμένοι, καὶ ἐν ταὐτῷ τοῖς τε ἵπποις καὶ
ταῖς καμήλοις καὶ παντοδαποῖς σκεύεσι καὶ οἱ ἄνδρες
4 καὶ αἱ γυναῖκες ἀναστρεφόμενοι, καὶ οἱ μὲν ἐπὶ κε-
λήτων, οἱ δ' ἐφ' ἁρμάτων τῶν τε καμαρῶν καὶ τῶν
ἁρμαμαξῶν ἀναμὶξ ὀχούμενοι, καὶ οἱ μὲν ἤδη τιτρω-
σκόμενοι, οἱ δὲ προσδεχόμενοι τρωθήσεσθαι ἐταράσ-
σοντο κἀκ τούτου ῥᾷον ἅτε καὶ ἀλλήλοις ἐμπαλασσό-
5 μενοι ἐφθείροντο. καὶ ταῦτα μέν, ἕως ἄπωθεν ἐβάλ-
λοντο, ἔπασχον· ἐπεὶ δὲ ἐξαναλώσαντες οἱ Ῥωμαῖοι
τὴν πόρρωθεν ἀλκὴν ἐπικατέδραμόν σφισιν, ἐφονεύετο
μὲν τὰ περιέσχατα (καὶ ἐξήρκει πρὸς τὸν θάνατον

**49**, 1, 1 *σαλπικταὶ* Ma ‖ 5 *προσεπέκρουσαν*] *προσέκρουσαν* Xiphilinus ‖ 3, 7 *σκεύεσι* Naber coll. Thucyd. 7, 84; *οὖσι* Ma, *βοτοῖς*? B ‖ 4, 5 *ἐμπαλασσόμενοι*, quod iam coniecerat B, Naber ex Thuc. l. l. restituit hic et infra 62, 16, 6; 72, 19; *ἐμπελαζόμενοι* Ma ‖ 5, 3 *ἐπικατέδραμον* Leunclav., *ἔπειτα κατέδραμον* Ma



αὐτοῖς μία πληγὴ ἅτε καὶ ψιλοῖς οὖσι τοῖς πλείοσι),
συνεπιέζετο δὲ τὰ μέσα πάντων ἐπ' αὐτὰ ὑπὸ τοῦ πέ-
ριξ δέους χωρούντων. καὶ οὕτω καὶ ὑπ' ἀλλήλων 6
ὠθούμενοι καὶ συμπατούμενοι διώλλυντο οὐδ' εἶχον
οὐδὲν οὔτε ἑαυτοῖς ἐπαρκέσαι οὔτε ἐς τοὺς πολεμίους
τολμῆσαι· ἱππῆς γὰρ καὶ τοξόται τὸ πλεῖστον ὄντες
ἄποροι μὲν ἐν τῷ σκότῳ προϊδέσθαι τι, ἄποροι δὲ ἐν
τῇ στενοχωρίᾳ μηχανήσασθαι ἐγίγνοντο. ἐπειδὴ δὲ ἡ
σελήνη ἀνέτειλεν, οἱ μὲν ἔχαιρον ὡς καὶ ἐν τῷ φωτὶ
πάντως τινὰ ἀμυνούμενοι. κἂν ὠφελήθησάν τι, εἰ μὴ 7
οἱ Ῥωμαῖοι κατόπιν αὐτὴν ἔχοντες πολλήν σφισι πλά-
νην τοτὲ μὲν τῇ, τοτὲ δὲ τῇ προσπίπτοντες καὶ ἐν τῇ
ὄψει καὶ ἐν τῷ ἔργῳ ἐνεποίουν. πάμπολλοί τε γὰρ
ὄντες καὶ ἐπὶ βαθύτατον κοινῇ πάντες ἀποσκιάζοντες
ἔσφαλλον αὐτούς, ἐν ᾧ γε οὔπω προσέμισγόν σφισιν·
ἐς γὰρ τὸ κενὸν οἱ βάρβαροι ὡς καὶ ἐγγὺς αὐτῶν 8
ὄντων μάτην ἔπαιον καὶ ὁμόσε χωρήσαντες ἐν τῇ σκιᾷ
μὴ προσδεχόμενοι ἐτιτρώσκοντο. καὶ οὕτως ἀπέθανον
αὐτῶν πολλοὶ καὶ ἑάλωσαν οὐκ ἐλάττους. συχνοὶ δὲ
καὶ διέφυγον, ἄλλοι τε καὶ ὁ Μιθριδάτης.

καὶ τότε μὲν πρὸς τὸν Τιγράνην ἠπείγετο· ἐπεὶ δὲ 50
προπέμψας πρὸς αὐτὸν οὐδὲν φίλιον εὕρετο, ὅτι τοῦ
υἱέος αὐτῷ Τιγράνου στασιάσαντος ἐκεῖνον μὲν...
πάππον αὐτοῦ ὄντα αἴτιον τῆς διαφορᾶς ὑπετόπησε
γεγονέναι καὶ διὰ τοῦτο οὐχ ὅπως αὐτὸν ἐδέξατο,
ἀλλὰ καὶ τοὺς προπεμφθέντας ὑπ' αὐτοῦ συνέλαβε καὶ
κατέδησε, διαμαρτὼν [οὖν] ὧν ἤλπισεν ἔς τε τὴν 2

5, 6 *ἐπ' αὐτὰ* Leunclavius, *ὑπ' αὐτὰ* Ma et Xiphilinus ‖ 7, 6 *ἔσφαλλον*] *ἔσφαλον* Ma ‖ *γε* St, *τε* Ma ‖ *οὔπω* Reiske, Naber, *οὕτω* Ma ‖ **50**, 1, 3 lacunam statuit B, quam explevit ⟨*διὰ φυλακῆς ἐποιεῖτο, τοῦτον δὲ*⟩ ‖ 2, 1 [*οὖν*] del. R

Κολχίδα ἀπετράπετο καὶ ἐκεῖθεν πεζῇ πρός τε τὴν
Μαιῶτιν καὶ πρὸς τὸν Βόσπορον τοὺς μὲν πείθων,
τοὺς δὲ καὶ βιαζόμενος ἀφίκετο καὶ τήν τε χώραν
ἐκομίσατο τὸν Μαχάρην τὸν παῖδα τὸν τὰ τῶν Ῥω-
μαίων ἀνθελόμενον καὶ τότε αὐτῆς κρατοῦντα κατα-
πλήξας, ὥστε μηδὲ ἐς ὄψιν αὐτῷ ἐλθεῖν, καὶ ἐκεῖνον
διὰ τῶν συνόντων οἵ τήν τε ἄδειάν σφισι καὶ χρή-
3 ματα δώσειν ὑπισχνούμενος ἀπέκτεινεν. ἐν ᾧ δὲ
ταῦτ' ἐγίγνετο, ὁ Πομπήιος ἔπεμψε ⟨μὲν⟩ τοὺς ἐπι-
διώξοντας αὐτόν, ἐπεὶ δὲ ἔφθη ὑπὲρ τὸν Φᾶσιν ἐκ-
δράς, πόλιν ἐν τῷ χωρίῳ, ἐν ᾧ ἐνενικήκει, συνῴκισε
τοῖς τραυματίαις καὶ τοῖς ἀφηλικεστέροις τῶν στρα-
τιωτῶν αὐτὴν δούς. καί σφισι καὶ τῶν περιχώρων
ἐθελονταὶ πολλοὶ καὶ συνῴκησαν καὶ εἰσὶ καὶ νῦν,
Νικοπολῖταί τε ὠνομασμένοι καὶ ἐς τὸν Καππαδοκικὸν
νομὸν συντελοῦντες.

51 καὶ ὁ μὲν ταῦτ' ἐποίει· ὁ δὲ δὴ Τιγράνης ὁ τοῦ
Τιγράνου παῖς παραλαβών τινας τῶν πρώτων, ἐπεὶ
οὐ καθ' ἡδονὴν αὐτοῖς ὁ γέρων ἦρχε, πρός τε τὸν
Φραάτην κατέφυγε καὶ περισκοποῦντα αὐτὸν διὰ τὰς
συνθήκας τὰς πρὸς τὸν Πομπήιον γενομένας, ὅ,τι χρὴ
2 πρᾶξαι, ἐς τὴν Ἀρμενίαν ἐμβαλεῖν ἀνέπεισε. καὶ ἦλ-
θον μὲν μέχρι τῶν Ἀρταξάτων πᾶσαν τὴν ἐν ποσὶ
χειρούμενοι καὶ αὐτοῖς ἐκείνοις προσέβαλον· ὁ γὰρ
Τιγράνης ὁ γέρων ἐς τὰ ὄρη φοβηθεὶς σφᾶς ἀνέφυ-
γεν· ἐπεὶ μέντοι χρόνου τε τῇ προσεδρείᾳ δεῖν ἔδοξε,
καὶ διὰ τοῦτο ὁ Φραάτης μέρος τε τῆς δυνάμεως τῷ

2, 6 ἀνθελόμενον] ἑλόμενον Xiphilinus ‖ 3, 2 ⟨μὲν⟩ inseruit B ‖ ἐπιδιώξαντας Ma ‖ 3, 7 καὶ ante συνῴκησαν delendum censuit Reiske, potius ⟨τότε⟩ inserendum St ‖ 51, 2, 5 προσεδρείᾳ] προσεδρίᾳ St coll. forma προεδρία, sed cf. Thucyd. 1, 126, 8



παιδὶ αὐτοῦ καταλιπὼν ἐς τὴν οἰκείαν ἀνεχώρησεν,
ἀντεπῆλθέ τε ἐνταῦθα ὁ πατὴρ αὐτῷ μονωθέντι καὶ
ἐνίκησε. φυγὼν οὖν ἐκεῖνος τὸ μὲν πρῶτον πρὸς τὸν 3
Μιθριδάτην τὸν πάππον ὥρμησεν, ἐπεὶ δὲ ἔμαθεν
αὐτὸν ἡττημένον καὶ βοηθείας μᾶλλον δεόμενον ἤ
τινι ἐπικουρῆσαι δυνάμενον προσεχώρησε τοῖς Ῥω-
μαίοις, καὶ αὐτῷ ὁ Πομπήιος ἡγεμόνι χρησάμενος ἔς
τε τὴν Ἀρμενίαν καὶ ἐπὶ τὸν πατέρα αὐτοῦ ἐστράτευσε.
καὶ ὃς μαθὼν τοῦτο καὶ καταδείσας ἐπεκηρυκεύσατό 52
τε εὐθὺς αὐτῷ καὶ τοὺς πρέσβεις τοὺς τοῦ Μιθριδά-
του ἐξέδωκεν. ἐπειδή τε ἐναντιωθέντος οἱ τοῦ υἱέος
οὐδενὸς μετρίου ἔτυχεν, ἀλλὰ καὶ ὡς ὁ Πομπήιος τόν
τε Ἀράξην διέβη καὶ τοῖς Ἀρταξάτοις ἐπλησίασεν,
οὕτω δὴ τήν τε πόλιν αὐτῷ παρέδωκε καὶ ἐς τὸ στρα- 2
τόπεδον αὐτοῦ ἐθελοντὴς ἧκεν ἐν μέσῳ ἑαυτὸν ὅτι
μάλιστα τοῦ τε προτέρου ἀξιώματος καὶ τῆς τότε τα-
πεινότητος σκευάσας, ὅπως αἰδέσεώς τε καὶ ἐλέου ἅμα
ἄξιος αὐτῷ φανείη· τὸν μὲν γὰρ χιτῶνα τὸν μεσόλευ- 3
κον καὶ τὸν κάνδυν τὸν ὁλοπόρφυρον ἐξέδυ, τὴν δὲ
δὴ τιάραν τό τε ἀνάδημα εἶχε. Πομπήιος δὲ ἀπὸ μὲν
τοῦ ἵππου κατεβίβασεν αὐτὸν ῥαβδοῦχόν τινα πέμψας
(προσήλαυνε γὰρ ὡς καὶ ἐς αὐτὸ τὸ ἔρυμα κατὰ τὸ
σφέτερον ἔθος ἱππεύσων), ἐσελθόντα δὲ αὐτοποδίᾳ καὶ
τό τε διάδημα ἀπορρίψαντα καὶ ἐς τὴν γῆν πεσόντα
προσκυνοῦντά τε ἰδὼν ἠλέησε καὶ ἀναπηδήσας ἐξανέ- 4
στησέ τε αὐτὸν καὶ ταινιώσας τῷ ἀναδήματι ἔς τε τὴν
πλησίαν ἕδραν ἐκάθισε καὶ παρεμυθήσατο εἰπὼν ἄλλα
τε καὶ ὅτι οὐ τὴν τῶν Ἀρμενίων βασιλείαν ἀπολωλε-
κώς, ἀλλὰ καὶ τὴν τῶν Ῥωμαίων φιλίαν προσειληφὼς

52, 3, 3 ἀνάδημα et 4, 2 ἀναδήματι] διάδημα et διαδήματι Xiphilinus

εἴη. καὶ ὁ μὲν τούτοις τε αὐτὸν ἀνεκτήσατο καὶ ἐπὶ
53 τὸ δεῖπνον ἐκάλεσεν· ὁ δὲ υἱὸς (ἐκάθητο δὲ ἐκ τοῦ ἐπὶ
θάτερα τοῦ Πομπηίου) οὔθ' ὑπανέστη τῷ πατρὶ οὔτ'
ἄλλο τι αὐτὸν ἐδεξιώσατο, ἀλλὰ καὶ ἐπὶ τὸ δεῖπνον
κληθεὶς οὐκ ἀπήντησεν. ὅθεν ὑπό γε τοῦ Πομπηίου
2 μάλιστα ἐμισήθη. τῇ γοῦν ὑστεραίᾳ διακούσας αὐτῶν
τῷ μὲν πρεσβυτέρῳ τὴν πατρῴαν πᾶσαν ἀρχὴν ἀπέ-
δωκε· τὰ γὰρ προσκτηθέντα ὑπ' αὐτοῦ (ἦν δὲ ἄλλα
τε καὶ τῆς Καππαδοκίας τῆς τε Συρίας μέρη, ἥ τε
Φοινίκη καὶ ἡ Σωφανηνὴ χώρα τοῖς Ἀρμενίοις πρόσ-
ορος οὐ σμικρὰ) παρείλετο αὐτοῦ καὶ προσέτι καὶ χρή-
ματα αὐτὸν ᾔτησεν· τῷ δὲ νεωτέρῳ τὴν Σωφανηνὴν
3 μόνην ἀπένειμε. καὶ (ἔτυχον γὰρ οἱ θησαυροὶ ἐν αὐτῇ
ὄντες) ἠμφισβήτησέ τε περὶ αὐτῶν ὁ νεανίσκος καὶ
ἁμαρτὼν (οὐ γὰρ εἶχεν ὁ Πομπήιος ὁπόθεν ἄλλοθεν
τὰ ὡμολογημένα κομίσηται) ἠγανάκτησε καὶ δρασμὸν
ἐβουλεύσατο. ὁ οὖν Πομπήιος προμαθὼν τοῦτο ἐκεῖ-
νόν τε ἐν φυλακῇ ἀδέσμῳ ἐποιήσατο καὶ πέμψας πρὸς
τοὺς τὰ χρήματα φυλάττοντας τῷ πατρὶ αὐτοῦ πάντα
4 σφᾶς δοῦναι ἐκέλευσεν. ἐπειδή τε μήθ' ὑπήκουσαν
λέγοντες τὸν νεανίσκον, οὗπερ ἡ χώρα ἤδη ἐνομίζετο,
χρῆναί σφισι τοῦτο προστάξαι, ἔπεμψεν αὐτὸν πρὸς
τὰ φρούρια. καὶ ὁ μὲν κεκλειμένα αὐτὰ εὑρὼν προσ-
ῆλθέ τε ἐγγὺς καὶ ἐκέλευσε καὶ ἄκων αὐτὰ ἀνοιχθῆ-
ναι· ὡς δ' οὐδὲν μᾶλλον ἐπείθοντο προϊσχόμενοι, ὅτι
μὴ ἑκούσιος, ἀλλ' ἀναγκαστὸς τὴν πρόσταξιν ἐποιεῖτο,
5 ἐχαλέπηνεν ὁ Πομπήιος καὶ ἔδησε τὸν Τιγράνην. καὶ

53, 1, 4 γε St, τε L ‖ 2, 5 et 7 Σωφανηνὴ] formam Σωφηνή, quae exstat apud Plut. Pomp. 33 et Appian. Mithrid. 105, adoptavit B ‖ 6 ⟨οὖσα⟩ οὐ σμ. Reiske ‖ 7 νεωτέρῳ B, υἱεῖ τῷ ἑτέρῳ Ma ‖ 4, 1 μηθ'] μὴ ? B ‖ 3 ἔπεμψεν Turnebus et Oddey, ἔπεμψαν Ma



οὕτως ὅ τε γέρων τοὺς θησαυροὺς παρέλαβε, καὶ αὐτὸς
ἔν τε τῇ χώρᾳ τῇ Ἀναΐτιδι καὶ πρὸς τῷ ποταμῷ τῷ
Κύρνῳ τριχῇ νείμας τὸν στρατὸν παρεχείμασε τά τε
ἄλλα παρὰ τοῦ Τιγράνου συχνὰ καὶ χρήματα πολλῷ
πλείω τῶν ὁμολογηθέντων λαβών. ἀφ' οὗπερ οὐχ 6
ἥκιστα καὶ ἐκεῖνον ἔς τε τοὺς φίλους καὶ ἐς τοὺς συμ-
μάχους ⟨οὐ⟩ πολλῷ ὕστερον ἐσέγραψε καὶ τὸν υἱὸν
αὐτοῦ ἐς τὴν Ῥώμην μετὰ φρουρᾶς ἐσήγαγεν.

οὐ μέντοι καὶ ἐν ἡσυχίᾳ διεχείμασεν. Ὀροίσης γάρ, 54
Ἀλβανῶν τῶν ὑπὲρ τοῦ Κύρνου οἰκούντων βασιλεύς,
τὸ μέν τι καὶ τῷ Τιγράνῃ τῷ νεωτέρῳ φίλῳ οἱ ὄντι
χαρίσασθαι βουληθείς, τὸ δὲ δὴ πλεῖστον δείσας, μὴ
καὶ ἐς τὴν Ἀλβανίδα οἱ Ῥωμαῖοι ἐσβάλωσι, καὶ νομί-
σας ὅτι, ἂν ἐν τῷ χειμῶνι ἀδοκήτοις σφίσι καὶ μὴ
καθ' ἓν στρατοπεδευομένοις προσπέσῃ, πάντως τι ἐξ-
εργάσεται, ἐστράτευσεν ἐπ' αὐτοὺς παρ' αὐτὰ τὰ Κρό-
νια καὶ αὐτὸς μὲν ἐπὶ Μέτελλον Κέλερα, παρ' ᾧ ὁ 2
Τιγράνης ἦν, ἤλασεν, ἄλλους δὲ ἐπὶ τὸν Πομπήιον
καὶ ἄλλους ἐπὶ Λούκιον Φλάκκον τὸν τῆς τριτημορί-
δος ἄρχοντα ἔπεμψεν, ὅπως πάντες ἅμα ταραχθέντες
μὴ συμβοηθήσωσιν ἀλλήλοις. οὐ μὴν καὶ διεπράξατο 3
οὐδαμόθι οὐδέν· ἐκεῖνόν τε γὰρ ὁ Κέλερ ἰσχυρῶς
ἀπεκρούσατο, καὶ ὁ Φλάκκος, ἐπειδὴ πολὺν τὸν περί-
βολον τῆς ταφρείας ὄντα ἀδύνατος ἦν ὑπὸ τοῦ μεγέ-
θους σῶσαι, ἑτέραν ἔνδοθεν ἐποιήσατο καὶ δόξαν ἀπ'
αὐτοῦ τοῖς ἐναντίοις ὡς καὶ φοβηθεὶς ἐμβαλὼν ἐπε-
σπάσατο αὐτοὺς ἔσω τῆς ἔξωθεν τάφρου κἀνταῦθα 4

5, 3 Ἀναΐτιδι Fabricius, ταναΐτιδι Ma et Xiphilinus ‖ 6, 3 ⟨οὐ⟩ inseruit Reiske ‖ 54, 1, 3 τὸ μέν Xylander, τῷ μέν Ma ‖ 2, 3 τριτημορίδος] τρίτης μερίδος ? B, sed ex Herodoto sumpsit Dio vocem τριτημορίς (Herod. 1, 211. 212; 7, 121. 131)

μὴ προσδεχομένοις σφίσιν ἐπεκδραμὼν πολλοὺς μὲν ἐν χερσί, πολλοὺς δὲ καὶ φεύγοντας ἐφόνευσε. κἀν τούτῳ ὁ Πομπήιος προμαθών τε τὴν πείρασιν τῶν βαρβάρων, ἣν ἐπὶ τοὺς ἄλλους ἐπεποίηντο, προαπήντησε τοῖς ἐφ' ἑαυτὸν ἐπιοῦσιν ἀπροσδοκήτως καὶ κρατήσας ἐπὶ τὸν Ὀροίσην εὐθὺς ὥσπερ εἶχεν ἠπείχθη. καὶ ἐκεῖνον μὲν οὐ κατέλαβεν (ἀπωσθείς τε γὰρ ὑπὸ τοῦ Κέλερος καὶ μαθὼν καὶ τὰ τῶν ἄλλων πταίσματα ἔφυγε), τῶν μέντοι Ἀλβανῶν συχνοὺς περὶ τὴν τοῦ Κύρνου διάβασιν συλλαβὼν ἔφθειρε. κἀκ τούτου δεηθεῖσιν αὐτοῖς ἐσπείσατο· ἄλλως μὲν γὰρ καὶ σφόδρα ἐπεθύμει ἐς τὴν χώραν αὐτῶν ἀντεμβαλεῖν, διὰ δὲ δὴ τὸν χειμῶνα ἡδέως τὸν πόλεμον ἀνεβάλετο.

4, 4 τε τὴν B, τήν τε Ma ‖ 6 ἀπιοῦσιν ἀπροσδοκήτος Ma

---

# ΔΙΩΝΟΣ
# ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΖ.

*Τάδε ἔνεστιν ἐν τῷ τριακοστῷ ἑβδόμῳ τῶν Δίωνος Ῥωμαικῶν.*

*Ὡς ὁ Πομπήιος πρὸς Ἴβηρας τοὺς ἐν τῇ Ἀσίᾳ ἐπολέμησεν.* (c. 1—7.)
*Ὡς Πομπήιος τὸν Πόντον τῇ Βιθυνίᾳ προσένειμεν· ὡς Πομπήιος τήν τε Συρίαν καὶ τὴν Φοινίκην ὑπηγάγετο.* (c. 8. 9.)
*Ὡς Μιθριδάτης ἀπέθανε.* (c. 10—14.)
*Περὶ τῶν Ἰουδαίων.* (c. 15—19.)
*Ὡς Πομπήιος καταστησάμενος τὰ ἐν τῇ Ἀσίᾳ ἐς Ῥώμην ἐπανῆλθε.* (c. 20—23.)
*Περὶ Κικέρωνος καὶ Κατιλίνου καὶ τῶν ὑπ' αὐτῶν πραχθέντων.* (c. 24—42.)
*Περὶ Καίσαρος καὶ Πομπηίου καὶ Κράσσου καὶ τῆς συνωμοσίας αὐτῶν.* (c. 43—58.)

*Χρόνου πλῆθος ἔτη ἕξ, ἐν οἷς ἄρχοντες οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο.*

*Λ. Αὐρήλιος Μ. υἱὸς Κόττας, Λ. Μάλλιος Λ. υἱ.*
*Λ. Καῖσαρ, Γ. Μάρκιος Γ. υἱὸς Φίγουλος.*
*Μ. Τούλλιος Μ. υἱὸς Κικέρων, Γ. Ἀντώνιος Μ. υἱ.*
*Δέκιμος Ἰούνιος Μ. υἱὸς Σιλανός, Λ. Λικίνιος Λ. υἱὸς Μουρήνας.*

21 *Λ. Καῖσαρ*] *Καῖσαρ* Ma ‖ 23 *Σιλλανός* et *Λικίννιος* Ma

*Μ. Πούπιος Μ. υἱὸς Πίσων, Μ. Οὐαλέριος Μ. υἱ. Μεσσάλας Νιγρός.*
*Λ. Ἀφράνιος Αὔλ. υἱός, Κ. Καικίλιος Κ. υἱ. Κέλερ.*

---

a. u. 689 (65) Τότε μὲν δὴ ταῦτ' ἔπραξε, τῷ δ' ἐπιγιγνομένῳ
ἔτει τοῦ τε Κόττου τοῦ Λουκίου καὶ τοῦ Τορκουάτου
⟨τοῦ⟩ Λουκίου ὑπατευόντων ἐπολέμησε μὲν καὶ τοῖς
Ἀλβανοῖς, ἐπολέμησε δὲ καὶ τοῖς Ἴβηρσι. καὶ προτέ-
ροις γε τούτοις καὶ παρὰ γνώμην ἠναγκάσθη συνενε-
2 χθῆναι· Ἀρτώκης γὰρ ὁ βασιλεὺς αὐτῶν (νέμονται δὲ
ἐπ' ἀμφότερα τοῦ Κύρνου, τῇ μὲν τοῖς Ἀλβανοῖς, τῇ
δὲ τοῖς Ἀρμενίοις πρόσοροι) φοβηθείς, μὴ καὶ ἐφ'
ἑαυτὸν τράπηται, πρέσβεις μὲν ὡς καὶ ἐπὶ φιλίᾳ πρὸς
αὐτὸν ἔπεμψε, παρεσκευάζετο δέ, ὅπως ἐν τῷ θαρ-
3 σοῦντι καὶ διὰ τοῦτο ἀνελπίστῳ οἱ ἐπίθηται. προμα-
θὼν οὖν καὶ τοῦτο ὁ Πομπήιος ἔς τε τὴν χώραν αὐ-
τοῦ προενέβαλε, πρὶν ἱκανῶς τε αὐτὸν ἑτοιμάσασθαι
καὶ τὴν ἐσβολὴν δυσχερεστάτην οὖσαν προκατασχεῖν,
καὶ ἔφθη καὶ πρὸς τὴν πόλιν τὴν Ἀκρόπολιν ὠνομα-
σμένην προχωρήσας, πρὶν καὶ αἰσθέσθαι τὸν Ἀρτώ-
4 κην, ὅτι παρείη. ἦν δὲ ἐπ' αὐτοῖς τοῖς στενοῖς, ἔνθεν
μὲν . . . τοῦ Καυκάσου παρατείνοντος, οὗ καὶ ἐπὶ τῇ

1 *Πούπλιος* Ma, corr. Palmerius ‖ *Γαλέριος* Ma ‖ 2 *Μεσσαλᾶς Νιπρός* Ma, corr. Palmerius ‖ 3 *Λ. Ἀφράνιος*] *Ἀφράνιος* Ma. — Praeterea legitur in Ma *ὑπ.* post *Κόττας, Καῖσαρ, Σιλλανός, Πίσων, Αὔλ. υἱ.*, *ὕπατος* post *Ἀντώνιος Μ. υἱ.*

**1**, 1, 3 ⟨*τοῦ*⟩ inseruit B ‖ 2, 4 *καὶ* del. B ‖ 3, 1 *καὶ* delendum censuit Reiske ‖ 4, 1 *ἔνθεν μὲν . . .*] lacunam esse vidit Reiske, qui ⟨*ἔνθεν δὲ τοῦ Κύρνου*⟩ addidit post *παρατείνοντος* et *οὗ* delevit, unde B *ἔνθεν μὲν* ⟨*τοῦ Κύρνου παραρρέοντος, ἔνθεν δὲ*⟩ *τοῦ Κ.*, *ἔνθεν μὲν* ⟨*καὶ ἔνθεν*⟩ R coll. Strab. XI, p. 499 sq.



φυλακῇ τῶν ἐσβολῶν ὠχύρωτο. ὅ τε οὖν Ἀρτώκης
ἐκπλαγεὶς οὐδένα καιρὸν ὥστε συντάξασθαι ἔσχεν,
ἀλλὰ καὶ διαβὰς τὸν ποταμὸν τὴν γέφυραν κατέπρησε,
καὶ οἱ ἐν τῷ τείχει πρός τε τὴν φυγὴν αὐτοῦ καὶ ἅμα 5
καὶ μάχῃ νικηθέντες ἐνέδοσαν. κρατήσας οὖν τῶν
διόδων ὁ Πομπήιος φρουράν τε ἐπ' αὐταῖς κατεστή-
σατο καὶ ἐκεῖθεν ὁρμώμενος πᾶσαν τὴν ἐντὸς τοῦ πο-
ταμοῦ κατεστρέψατο. μέλλοντος δ' αὖ καὶ τὸν Κύρνον 2
διαβήσεσθαι πέμπει πρὸς αὐτὸν ὁ Ἀρτώκης εἰρήνην
τε αἰτῶν καὶ γέφυραν τά τε ἐπιτήδεια ἑκὼν οἱ παρ-
έξειν ὑπισχνούμενος. καὶ ἐποίησε μὲν ἑκάτερον ὡς 2
καὶ συμβησόμενος, δείσας δέ, ἐπειδὴ εἶδεν αὐτὸν δια-
βεβηκότα, πρὸς τὸν Πέλωρον ἐν τῇ ἀρχῇ καὶ ἐκεῖνον
τῇ αὐτοῦ ῥέοντα ἀπέφυγεν· ὃν γὰρ ἐξῆν αὐτῷ κωλῦ-
σαι διαβῆναι, τοῦτον ἐπισπασάμενος ἀπεδίδρασκεν.
ἰδὼν οὖν τοῦθ' ὁ Πομπήιος ἐπεδίωξέ τε αὐτὸν καὶ 3
καταλαβὼν ἐνίκησε· δρόμῳ γὰρ καὶ πρὶν τοὺς τοξότας
αὐτοῦ τῇ σφετέρᾳ τέχνῃ χρήσασθαι, ὁμόσε σφίσιν
ἐχώρησε καὶ δι' ἐλαχίστου αὐτοὺς ἐτρέψατο. γενομέ- 4
νου δὲ τούτου Ἀρτώκης μὲν τόν τε Πέλωρον διαβὰς
καὶ τὴν γέφυραν καὶ τὴν ἐκείνου καύσας ἔφυγε, τῶν
δ' ἄλλων οἱ μὲν ἐν χερσίν, οἱ δὲ καὶ τὸν ποταμὸν
πεζῇ περαιούμενοι ἀπέθανον· συχνοὶ δὲ καὶ κατὰ τὰς 5
ὕλας σκεδασθέντες ἡμέρας μέν τινας ἀπὸ τῶν δένδρων
ὑπερυψήλων ὄντων ἀποτοξεύοντες διεγένοντο, ἔπειτα
δὲ καὶ αὐτοὶ ὑποτμηθέντων τῶν δένδρων ἐφθάρησαν.
καὶ οὕτω καὶ ὁ Ἀρτώκης ἐπεκηρυκεύσατο μὲν αὖθις
τῷ Πομπηίῳ καὶ δῶρα ἔπεμψεν, ἐκείνου δὲ δὴ ταῦτα

5, 1 *φυγὴν* Leunclavius, *φυλακὴν* Ma ‖ **2**, 1, 1 *μέλλοντος δ' αὖ*] *μέλλοντος δ' αὐτοῦ* vel *μέλλοντος δὲ καὶ αὐτοῦ* Reiske

6 μέν, ὅπως τὰς σπονδὰς ποιήσεσθαι ἐλπίσας μὴ περαι-
τέρω ποι προχωρήσῃ, λαβόντος, τὴν δ' εἰρήνην οὐχ
ὁμολογήσαντος δώσειν, ἂν μὴ τούς [τε] παῖδάς οἱ
7 ὁμήρους προαποστείλῃ, χρόνον τινὰ ἐπέσχε, μέχρις οὗ
οἱ Ῥωμαῖοι καὶ τὸν Πέλωρον διαβατόν πῃ τοῦ θέρους
γενόμενον οὐ χαλεπῶς ἄλλως τε καὶ μηδενὸς κωλύον-
τος ἐπεραιώθησαν. οὕτω δὲ δὴ τούς τε παῖδας αὐτῷ
ἔπεμψε καὶ μετὰ τοῦτο καὶ συνηλλάγη.

3 κἀκ τούτου μαθὼν ὁ Πομπήιος οὐ πόρρω τὸν Φᾶ-
σιν ὄντα καὶ νομίσας ἔς τε τὴν Κολχίδα παρ' αὐτὸν
καταβήσεσθαι καὶ ἐκεῖθεν ἐπὶ τὸν Μιθριδάτην ἐς τὸν
2 Βόσπορον πορεύσεσθαι προῄει μέν, ᾗ διενοεῖτο, καὶ
τούς τε Κόλχους καὶ τοὺς προσχώρους σφίσι τὰ μὲν
πείθων, τὰ δὲ καὶ ἐκφοβῶν διῆλθεν· αἰσθόμενος
δὲ ἐνταῦθα, ὅτι ἥ τε ἐπὶ τῆς ἠπείρου κομιδὴ διὰ
πολλῶν καὶ ἀγνώστων καὶ πολεμικῶν ἐθνῶν καὶ ἡ διὰ
τῆς θαλάσσης χαλεπωτέρα διά τε τὸ ἀλίμενον τῆς χώ-
3 ρας καὶ διὰ τοὺς ἐνοικοῦντας αὐτὴν εἴη, τῷ μὲν Μι-
θριδάτῃ τὸ ναυτικὸν ἐφορμεῖν ἐκέλευσεν, ὥστε ἐκεῖνόν
τε τηρεῖσθαι μηδαμόσε ἐκπλεῦσαι καὶ τὴν ἐπαγωγὴν
αὐτοῦ τῶν ἐπιτηδείων ἀφελέσθαι, αὐτὸς δὲ ἐπὶ τοὺς
Ἀλβανοὺς οὐ τὴν συντομωτάτην, ὅπως σφᾶς καὶ ὑπὸ
τούτου πρὸς ταῖς σπονδαῖς ἀνελπίστους καταλάβῃ,
4 ἀλλ' ἐς τὴν Ἀρμενίαν ἐπανελθὼν ἐτράπετο. καὶ τόν
τε Κύρνον, ᾗ πορεύσιμος ὑπὸ τοῦ θέρους ἐγεγόνει,
πεζῇ διέβη τήν τε ἵππον κατὰ τὸν ῥοῦν καὶ τὰ σκευ-

6, 1 ποιήσεσθαι Turnebus, ποιήσασθαι Ma ‖ 3 [τε] delevit Reiske ‖ 7, 1 προαποστείλῃ] προσαποστείλῃ Reiske ‖ 3, 3, 3 τε τηρεῖσθαι, μηδαμόσε ἐκπλεῦσαι] τε τηρῆσαι, μὴ μηδαμόσε ἐκπλεύσαι Reiske, τε τηρεῖσθαι, μὴ μηδαμόσε ἐκπλεύσαι Sturz, Gros ‖ ἐπαγωγὴν R coll. Thucyd. 7, 4; 24 (Dio 47, 30; 49, 26), ἀπαγωγὴν Ma



οφόρα ἑξῆς, εἶτα τοὺς πεζοὺς διιέναι κελεύσας, ἵν' οἵ
τε ἵπποι τὸ σφοδρὸν αὐτοῦ τοῖς σώμασι σφῶν δια-
χέωσι, καὶ ἐκ τῶν σκευοφόρων εἴ πού τι καὶ ὣς περι-
τραπείη, ἔς τε τοὺς ἐπὶ θάτερα παρακολουθοῦντας
ἐμπίπτῃ καὶ μὴ περαιτέρω καταφέρηται· κἀντεῦθεν 5
πρὸς τὸν Καμβύσην πορευόμενος ὑπὸ μὲν τῶν πολε-
μίων οὐδὲν δεινὸν ἔπαθεν, ὑπὸ δὲ δὴ τοῦ καύματος
καὶ διὰ τοῦτο καὶ τοῦ δίψους ἰσχυρῶς μετὰ παντὸς
τοῦ στρατοῦ καίτοι νυκτὸς τὸ πολὺ τῆς ὁδοῦ διελθὼν
ἐταλαιπώρησεν· οἱ γὰρ ἀγωγοὶ σφῶν ἐκ τῶν αἰχμα-
λώτων ὄντες οὐ τὴν ἐπιτηδειοτάτην αὐτοὺς ἤγαγον.
οὐ μὴν οὐδ' ὁ ποταμὸς ἐν δέοντί σφισιν ἐγένετο· ψυ- 6
χρότατόν τε γὰρ τὸ ὕδωρ ὂν καὶ ἀθρόον ὑπ' αὐτῶν
ποθὲν συχνοῖς ἐλυμήνατο. ὡς δ' οὖν οὐδὲ ἐνταῦθα
ἀντίπαλόν τι αὐτοῖς ὤφθη, πρὸς τὸν Ἄβαντα προσ-
εχώρησαν ὕδωρ μόνον ἐπιφερόμενοι· τὰ γὰρ ἄλλα
παρ' ἑκόντων τῶν ἐπιχωρίων ἐλάμβανον καὶ διὰ τοῦτο
οὐδὲ ἐκακούργουν οὐδέν. καί σφισι διαβεβηκόσιν ἤδη 4
τὸν ποταμὸν ὁ Ὀροίσης προσιὼν ἠγγέλθη. ὁ οὖν
Πομπήιος βουληθεὶς αὐτόν, πρὶν τὸ τῶν Ῥωμαίων
πλῆθος γνῶναι, πρὸς μάχην ὑπαγαγέσθαι, μὴ καὶ
αἰσθόμενος αὐτοῦ ἀναχωρήσῃ, τούς τε ἱππέας προέταξε 2
προειπὼν σφισιν, ἃ ποιήσουσι, καὶ τοὺς λοιποὺς ὄπι-
σθεν αὐτῶν ἔς τε τὰ γόνατα κεκλιμένους καὶ ταῖς
ἀσπίσι συγκεκαλυμμένους ἔχων ἀτρεμεῖν ἐποίησεν, ὥστε
τὸν Ὀροίσην μὴ πρότερον μαθεῖν αὐτοὺς παρόντας,
πρὶν ἐν χερσὶ γενέσθαι. κἀκ τούτου ἐκεῖνός τε τῶν 3
ἱππέων ὡς καὶ μόνων ὄντων καταφρονήσας συνέμιξέ
σφισι καὶ δι' ὀλίγου τραπέντας ἐξεπίτηδες ἀνὰ κρά-
τος ἐπεδίωξε· καὶ οἱ πεζοὶ ἀναστάντες ἐξαίφνης καὶ
διαστάντες τοῖς μὲν σφετέροις ἀσφαλῆ τὴν φυγὴν διὰ

μέσου σφῶν παρέσχον, τοὺς δὲ πολεμίους ἀπερισκέ-
πτως τῇ διώξει χρωμένους ἐσδεξάμενοι συχνοὺς ἐκυ-
4 κλώσαντο. καὶ οὗτοί τε τοὺς ἔνδον ἔκοπτον, καὶ οἱ
ἱππῆς οἱ μὲν ἐπὶ δεξιά, οἱ δ' ἐπὶ θάτερα αὐτῶν περι-
ελθόντες κατὰ νώτου τοῖς ἔξω τῆς κυκλώσεως προσ-
έπεσον. καὶ ἐκεῖ τε πολλοὺς ἐφόνευσαν ἑκάτεροι καὶ
ἑτέρους ἐς τὰς ὕλας καταφυγόντας κατέπρησαν "ἰὼ
Κρόνια [Κρόνια]" πρὸς τὴν ἐπίθεσιν σφῶν τὴν τότε
γενομένην ἐπιλέγοντες.

5 πράξας δὲ ταῦθ' ὁ Πομπήιος καὶ τὴν χώραν ἐπι-
δραμὼν τοῖς τε Ἀλβανοῖς εἰρήνην ἔδωκε καὶ ἄλλοις
τισὶ τῶν παρὰ τὸν Καύκασον μέχρι τῆς Κασπίας θα-
λάσσης, ἐς ἣν ἀπὸ τοῦ Πόντου τὸ ὄρος ἀρξάμενον
τελευτᾷ, κατοικούντων ἐπικηρυκευσαμένοις ἐσπείσατο.
2 Φραάτης δὲ ἔπεμψε μὲν πρὸς αὐτὸν ἀνανεώσασθαι τὰς
συνθήκας ἐθέλων· ὡς γὰρ ἐκεῖνόν τε οὕτω φερόμενον
ἑώρα, καὶ τῆς Ἀρμενίας τοῦ τε Πόντου ⟨τοῦ⟩ ταύτῃ
οἱ ὑποστράτηγοι αὐτοῦ τὰ λοιπὰ προσκατεστρέφοντο,
ὅ τε Γαβίνιος καὶ ὑπὲρ τὸν Εὐφράτην μέχρι τοῦ Τί-
γριδος προεχώρησεν, ἐφοβήθη τε αὐτοὺς καὶ τὴν σύμ-
βασιν βεβαιώσασθαι ἐπεθύμησεν· οὐ μέντοι καὶ διε-
3 πράξατό τι. ὁ γὰρ Πομπήιος πρός τε τὰ παρόντα καὶ
πρὸς τὰς ἐξ αὐτῶν ἐλπίδας κατεφρόνησεν αὐτοῦ καὶ
τά τε ἄλλα ὑπερφρόνως τοῖς πρέσβεσιν ἐλάλησε καὶ
τὴν χώραν τὴν Κορδουηνήν, ὑπὲρ ἧς πρὸς τὸν Τι-
4 γράνην διεφέρετο, ἀπῄτησεν. ἐπειδή τε ἐκεῖνοι μηδὲν
ἅτε μηδὲ ἐπεσταλμένοι τι περὶ αὐτῆς ἀπεκρίναντο,
ἔγραψε μέν τινα τῷ Φραάτῃ, οὐκ ἀνέμεινε δὲ ἀντι-

4, 4, 5 *ἑτέρους* Reiske, *ἑκατέρους* Ma ‖ *ἰὼ* Reiske, *ὦ* Ma ‖ 6 alterum *Κρόνια* expunxit Cobet coll. 60, 19, 3 *ἰὼ Σατουρνάλια* ‖ 7 *ἐπιλέγοντας* Ma, corr. Xylander ‖ 5, 2, 3 ⟨*τοῦ*⟩ inseruit R



πεμφθῆναί τι, ἀλλ' ἐς τὴν χώραν τὸν Ἀφράνιον παρα-
χρῆμα ἔστειλε καὶ κατασχὼν αὐτὴν ἀμαχὶ τῷ Τιγράνῃ
ἔδωκε. καὶ ὁ μὲν Ἀφράνιος διὰ τῆς Μεσοποταμίας 5
ἐς τὴν Συρίαν παρὰ τὰ συγκείμενα πρὸς τὸν Πάρθον
κομιζόμενος ἐπλανήθη καὶ πολλὰ ὑπό τε τοῦ χειμῶνος
καὶ ὑπὸ τῆς σπάνεως τῶν τροφῶν ἐκακώθη· κἂν ἀπώ-
λοντο, εἰ μὴ Καρραῖοι, Μακεδόνων τε ἄποικοι ὄντες
καὶ ἐνταῦθά που οἰκοῦντες, ὑπέλαβόν τε αὐτὸν καὶ
παρέπεμψαν . . . ταῦτά τε πρὸς τὸν Φραάτην ἀπὸ τῆς 6
παρούσης οἱ δυνάμεως ἔπραξε σαφέστατα τοῖς πλεο-
νεκτεῖν βουλομένοις ἐπιδείξας, ὅτι πάντα ἐκ τῶν
ὅπλων ἤρτηται καὶ ὁ ἐν αὐτοῖς κρατῶν νομοθέτης ὧν
βούλεται ἀναγκαῖος γίγνεται, καὶ προσέτι καὶ πρὸς
τὴν ἐπίκλησιν αὐτοῦ ὕβρισεν, ᾗπερ πρός τε τοὺς ἄλ-
λους πάντας ἠγάλλετο καὶ πρὸς αὐτοὺς τοὺς Ῥωμαίους,
οὗτοί τε αὖ πρὸς ἐκεῖνον ἀεί ποτε ἐκέχρηντο. βασι- 2
λέως γὰρ αὐτοῦ βασιλέων καλουμένου τό τε τῶν βα-
σιλέων ὄνομα περιέκοψε καὶ βασιλεῖ αὐτὸ μόνον ἐπι-
στέλλων ἔγραψε καίτοι τῷ Τιγράνῃ τῷ αἰχμαλώτῳ καὶ
τοῦτο παρὰ τὸ νομιζόμενον αὐτοῖς δούς, ὅτε τὰ ἐπι-
νίκια αὐτοῦ ἐν τῇ Ῥώμῃ ἔπεμψεν. ὁ οὖν Φραάτης 3
καίπερ δεδιώς τε αὐτὸν καὶ θεραπεύων ἠγανάκτησεν
ἐπὶ τούτῳ ὡς καὶ τῆς βασιλείας ἐστερημένος καὶ πέμ-
ψας πρέσβεις πάντα τε, ὅσα ἠδίκητο, ἐπεκάλει οἱ καὶ
τὸν Εὐφράτην ἀπηγόρευε μὴ διαβαίνειν. ἐπειδή τε 4
οὐδὲν μέτριον ἀπεκρίνατο, εὐθὺς ἐπὶ τὸν Τιγράνην
μετὰ τοῦ υἱέος αὐτοῦ, ᾧ τὴν θυγατέρα ἐδεδώκει,

5, 4 *ἀπώλοντο*] *ἀπώλετο* Oddey ‖ 6, 1 . . . . lacunam statuit B, quem explevit ⟨*ὁ δὲ Πομπήιος*⟩? ‖ 5 *ἀναγκαίως* Reiske ‖ 2, 3 *αὐτὸ* B, *αὐτῷ* Ma ‖ 4, 1 monuit Gutschmid, Geschichte Irans, p. 85, n. 1. fugisse Dionem se hic pauca quaedam iterare, quae iam supra (36, 51) alio ex fonte hausta narraverat

a. u. 690 (64) ἐστράτευσεν ἐν τῷ ἦρι, ἐν ᾧ Λούκιός τε Καῖσαρ καὶ
Γάιος Φίγουλος ὑπάτευον· καὶ νικηθεὶς μάχῃ ἔπειθ'
5 ὕστερον ἀντεπεκράτησε. τοῦ τε Τιγράνου τὸν Πομ-
πήιον ἐν Συρίᾳ ὄντα ἐπικαλεσαμένου πρέσβεις τε αὖ-
θις πρὸς αὐτὸν ἀπέστειλε καὶ πολλὰ μὲν ἐκείνου κατ-
ηγόρησε, πολλὰ δὲ καὶ ἐς τοὺς Ῥωμαίους ὑπεσήμηνεν,
ὥστε τὸν Πομπήιον καὶ αἰσχυνθῆναι καὶ καταπλαγῆ-
7 ναι. οὔκουν οὔτε τῷ Τιγράνῃ ἐπεκούρησεν οὔτε πρὸς
τὸν Φραάτην πολέμιόν τι ἔτ' ἔπραξε πρόφασιν ποιη-
σάμενος τὸ μήτε ἐκείνην οἱ τὴν στρατείαν προστετά-
χθαι καὶ τὸν Μιθριδάτην ἐν ὅπλοις ἔτ' εἶναι. ἀρκεῖ-
σθαί τε τοῖς κατειργασμένοις ἔφασκε [καὶ οὐκ ἐβού-
λετο], μὴ πλειόνων ὀρεγόμενος καὶ περὶ ἐκείνοις, ὥσ-
2 περ που καὶ ὁ Λούκουλλος, πταίσῃ. τοιαῦτα γὰρ
ἐφιλοσόφει καὶ τό τε πλεονεκτεῖν δεινὸν καὶ τὸ τῶν
ἀλλοτρίων ἐφίεσθαι ἄδικον εἶναι τότε ἔλεγεν, ὅτ'
οὐκέτ' αὐτοῖς χρῆσθαι ἠδύνατο. τάς τε γὰρ τοῦ Πάρ-
θου δυνάμεις δείσας καὶ τὸ ἀστάθμητον τῶν πραγμά-
των φοβηθεὶς οὔτε τὸν πόλεμον καίτοι πολλῶν ἐνα-
γόντων ἀνείλετο καὶ τὰ ἐγκλήματα τοῦ βαρβάρου
3 ἐφαύλισεν ἀντειπὼν μὲν οὐδέν, φήσας δὲ ὑπὲρ ὁρίων
τινῶν τὴν διαφορὰν αὐτῷ πρὸς τὸν Τιγράνην εἶναι,
περὶ ὧν δικάσειν σφίσιν ἄνδρας τρεῖς. οὓς καὶ ἔπεμψε·
καὶ αὐτοὺς ὡς ἀληθῶς ἐκεῖνοι διαιτητὰς ἐπιγραψάμε-
νοι πάντα τὰ πρὸς ἀλλήλους ἐγκλήματα διελύσαντο,
ὀργιζόμενος μὲν ὁ Τιγράνης, ὅτι τῆς ἐπικουρίας οὐκ

5, 1 τε] δὲ Reiske ‖ 7, 1, 3 στρατείαν] στρατιὰν Ma ‖ 5 [καὶ οὐκ ἐβούλετο] seclusi cum B coll. 40, 4, 1; idem coniecerat καὶ οὐκ ἐβούλετο ⟨περαιτέρω προχωρεῖν⟩ μή, secutus Reiskium, qui καὶ οὐκ ⟨ἐπὶ πλεῖον κινδυνεύειν vel προβαίνειν⟩ βούλεσθαι, μή; μὴ delent St, Gros, qui praeterea πταῖσαι legendum censent ‖ 3, 4 ἐπιγραψάμενοι] προσηκάμενοι Xiphilinus



ἔτυχε, βουλόμενος δὲ ὁ Φραάτης περιεῖναι τὸν Ἀρμέ- 4
νιον, ὅπως καὶ συμμάχῳ ποτὲ αὐτῷ, εἰ δεηθείη, κατὰ
τῶν Ῥωμαίων χρήσαιτο. καὶ γὰρ εὖ ἠπίσταντο ἀμφό-
τεροι, ὅτι, ὁπότερος αὐτῶν τοῦ ἑτέρου κρατήσειε, τῶν
τε πραγμάτων τοῖς Ῥωμαίοις προκόψει καὶ αὐτὸς εὐ-
χειρωτότερός σφισι γενήσεται.
ἐκεῖνοι μὲν δὴ διὰ ταῦτα κατηλλάγησαν, Πομπήιος 5
δὲ ἔν τε τῇ Ἀσπίδι καὶ τότε ἐχείμασε καὶ τά τε ἄλλα
⟨τὰ⟩ ἔτ' ἀνθιστάμενα προσηγάγετο καὶ Συμφόριον
τεῖχος Στρατονίκης οἱ προδούσης ἔλαβεν. αὕτη δὲ
γυνή τε τοῦ Μιθριδάτου οὖσα καὶ ὀργὴν αὐτῷ, ὅτι
ἐγκατελείφθη, ἔχουσα τούς τε φρουροὺς ἐς παρασκευὴν
δὴ τροφῆς ἐξέπεμψε καὶ τοὺς Ῥωμαίους ἐδέξατο καί-
τοι παιδὸς αὐτῆς παρὰ . . .
. . . τοῦτο μόνον ἐν τῇ ἀγορανομίᾳ ἐπῃνέθη, ἀλλ' 8
ὅτι καὶ τὰ Ῥωμαῖα καὶ τὰ Μεγαλήσια πολυτελέστατα a. u. 689 (65)
ἐποίησεν, ἔτι δὲ καὶ μονομάχων ἀγῶνας ἐπὶ τῷ πατρὶ
μεγαλοφρονέστατα διέθηκεν. ἐγένετο μὲν γὰρ τῶν
δαπανηθέντων ἐς αὐτὰ τὰ μὲν κοινῇ αὐτῷ πρὸς τὸν
συνάρχοντα Μᾶρκον Βίβουλον, τὰ δὲ καὶ ἰδίᾳ· τοσοῦ- 2

4, 5 προκόψει Reiske, cf. Thucyd. 4, 60; προσκόψει Ma ‖
εὐχειρωτότερος Leunclavius, εὐχειρότερος Ma ‖ 5, 3 ⟨τὰ⟩ inse-
ruit B ‖ 8 παιδὸς αὐτῆς παρὰ] lacuna in Ma, quia quater-
nioni tertio folium primum deest. Cf. Appian. Mithrid. c. 107.
Partim expletur lacuna ex Xiphilino, p. 7: ὑποστρέψας δὲ ἐξ
Ἀρμενίας καὶ τοῖς βασιλεῦσι καὶ τοῖς δυνάσταις τοῖς προσιοῦσιν
αὐτῷ διαιτήσας καὶ χρηματίσας καὶ τοῖς μὲν τὰς βασιλείας βε-
βαιώσας, τοῖς δὲ τὰς δυναστείας ἐπαυξήσας, τῶν δὲ καὶ τὰς
ὑπεροχὰς κολούσας καὶ ταπεινώσας, τήν τε κοίλην Συρίαν καὶ
τὴν Φοινίκην ἄρτι τε βασιλέων ἀπηλλαγμένας καὶ ὑπό τε τῶν
Ἀραβίων καὶ ὑπὸ τοῦ Τιγράνου κεκακωμένας συνεστήσατο.
ἐτόλμησε μὲν γὰρ ὁ Ἀντίοχος ἀπαιτῆσαι αὐτάς, οὐκ ἀπέλαβε
δέ, ἀλλ' ἔς τε ἀρχὴν μίαν συνετάχθησαν καὶ νόμους ἔλαβον,
ὥστε τὸν τῶν Ῥωμαίων τρόπον πολιτεύεσθαι ‖ 8, 1, 1 ἐπῃνέθη]
C. Iulius Caesar

τον δὲ δὴ ἐν τούτοις ὑπερῆρεν, ὥστε καὶ τὴν ἐπ' ἐκεί-
νοις δόξαν σφετερίσασθαι καὶ δοκεῖν ἅπαντα αὐτὸς
ἀναλωκέναι. ὁ οὖν Βίβουλος αὐτὸς ἐπισκώπτων ἔλε-
γεν, ὅτι τὸ αὐτὸ τῷ Πολυδεύκει πεπονθὼς εἴη· τοῦ
γάρ τοι ναοῦ κοινοῦ οἱ πρὸς τὸν ἀδελφὸν τὸν Κά-
στορα ὄντος ἐπ' ἐκείνου μόνου ἡ ἐπωνυμία αὐτοῦ γί-
γνεται.

9 ἐπὶ μὲν οὖν τούτοις ἔχαιρον οἱ Ῥωμαῖοι, τὰ δὲ δὴ
τέρατα καὶ πάνυ αὐτοὺς ἐθορύβει. ἐν γὰρ τῷ Καπι-
τωλίῳ ἀνδριάντες τε πολλοὶ ὑπὸ κεραυνῶν συνεχω-
νεύθησαν καὶ ἀγάλματα ἄλλα δὲ καὶ Διὸς ἐπὶ κίονος
ἱδρυμένον, εἰκών τέ τις λυκαίνης σύν τε τῷ Ῥώμῳ
2 καὶ σὺν τῷ Ῥωμύλῳ ἱδρυμένη ἔπεσε, τά τε γράμματα
τῶν στηλῶν, ἐς ἃς οἱ νόμοι ἐσεγράφοντο, συνεχύθη
καὶ ἀμυδρὰ ἐγένετο. τά τε οὖν ἄλλα ἐξεθύοντο τοῖς
μάντεσι πειθόμενοι καὶ τῷ Διὶ ἄγαλμα μεῖζον πρός
τε τὰς ἀνατολὰς καὶ πρὸς τὴν ἀγορὰν βλέπον, ὅπως
αἱ συνωμοσίαι, ὑφ' ὧν ἐταράττοντο, ἐκφανεῖεν, ἱδρυ-
θῆναι ἐψηφίσαντο.
3 ταῦτά τε ἐν ἐκείνῳ τῷ ἔτει συνέβη, καὶ οἱ τιμη-
ταὶ περὶ τῶν ὑπὲρ τὸν Ἠριδανὸν οἰκούντων διενεχ-
θέντες (τῷ μὲν γὰρ ἐς τὴν πολιτείαν αὐτοὺς ἐσάγειν
ἐδόκει, τῷ δὲ οὔ) οὐδὲν οὐδὲ τῶν ἄλλων ἔπραξαν,
4 ἀλλὰ καὶ τὴν ἀρχὴν ἀπεῖπον. καὶ διὰ τοῦτο καὶ οἱ
διάδοχοι αὐτῶν ἐν τῷ ὑστέρῳ ἔτει οὐδὲν ἐποίησαν
ἐμποδισάντων σφᾶς τῶν δημάρχων πρὸς τὸν τῆς
βουλῆς κατάλογον δέει τοῦ μὴ τῆς γερουσίας αὐτοὺς
5 ἐκπεσεῖν. κἂν τούτῳ πάντες οἱ ἐν τῇ Ῥώμῃ διατρί-
βοντες πλὴν τῶν τὴν νῦν Ἰταλίαν οἰκούντων ἐξέπε-

9, 4, 2 οὐδὲν om. Ma ‖ 5, 1 πάντες οἱ ⟨ξένοι οἱ⟩ Reiske



σον Γαΐου τινὸς Παπίου δημάρχου γνώμῃ, ἐπειδὴ
ἐπεπόλαζον καὶ οὐκ ἐδόκουν ἐπιτήδειοί σφισιν εἶναι
συνοικεῖν.

τῷ δὲ ἐχομένῳ ἔτει, τοῦ τε Φιγούλου καὶ τοῦ 10
Καίσαρος τοῦ Λουκίου ἀρχόντων, βραχέα μέν, μνήμης a. u. 690 (64)
δ' οὖν ἄξια πρὸς τοὺς τῶν ἀνθρωπείων πραγμάτων
παραλόγους συνηνέχθη. ὅ τε γὰρ τὸν Λουκρήτιον ἐκ 2
τῆς τοῦ Σύλλου προστάξεως ἀποκτείνας καὶ ἕτερός
τις συχνοὺς τῶν ἐπικηρυχθέντων ὑπ' αὐτοῦ φονεύσας
καὶ κατηγορήθησαν ἐπὶ ταῖς σφαγαῖς καὶ ἐκολάσθησαν
τοῦ Καίσαρος τοῦ Ἰουλίου τοῦθ' ὅτι μάλιστα παρα-
σκευάσαντος. οὕτω καὶ τοὺς πάνυ ποτὲ δυνηθέντας 3
ἀσθενεστάτους αἱ μεταβολαὶ τῶν πραγμάτων πολλάκις
ποιοῦσι. τοῦτό τε οὖν παρὰ δόξαν τοῖς πολλοῖς ἐχώ-
ρησε, καὶ ὅτι καὶ ὁ Κατιλίνας ἐπὶ τοῖς αὐτοῖς ἐκεί-
νοις αἰτίαν (πολλοὺς γὰρ καὶ αὐτὸς τῶν ὁμοίων ἀπ-
εκτόνει) λαβὼν ἀπελύθη. καὶ δὴ καὶ ἐκ τούτου χεί-
ρων τε πολὺ ἐγένετο καὶ διὰ τοῦτο καὶ ἀπώλετο·
τοῦ γὰρ δὴ Κικέρωνος τοῦ Μάρκου μετὰ Γαΐου Ἀν- 4
τωνίου ὑπατεύσαντος, ὅτε Μιθριδάτης οὐδὲν ἔτι δει-
νὸν τοὺς Ῥωμαίους εἰργάσατο, ἀλλὰ καὶ αὐτὸς ἑαυτὸν a. u. 691 (63)
διέφθειρεν, ἐπεχείρησεν ἐκεῖνος τήν τε πολιτείαν νεω-
τερίζειν καὶ τοὺς συμμάχους ἐπ' αὐτῇ συνιστὰς ἐς
φόβον σφᾶς οὐ σμικροῦ πολέμου ἐνέβαλεν. ἐπράχθη
δὲ ὧδε ἑκάτερον.

ὁ Μιθριδάτης αὐτὸς μὲν οὐχ ὑπεῖκε ταῖς συμφο- 11
ραῖς, ἀλλὰ τῇ βουλήσει πλέον ἢ τῇ δυνάμει νέμων
ἐνενόει, ἄλλως τε καὶ ἐπειδὴ ὁ Πομπήιος ἐν τῇ Συ-
ρίᾳ διέτριβε, πρός τε τὸν Ἴστρον διὰ τῶν Σκυθῶν

10, 1, 1 δὲ Turnebus, τε Ma

2 ἐλθεῖν κἀντεῦθεν ἐς τὴν Ἰταλίαν ἐσβαλεῖν· φύσει τε
γὰρ μεγαλοπράγμων ὢν καὶ πολλῶν μὲν πταισμάτων,
πολλῶν δὲ καὶ εὐτυχημάτων πεπειραμένος οὐδὲν οὔτε
ἀτόλμητον οὔτε ἀνέλπιστόν οἱ εἶναι ἐνόμιζεν. εἰ δὲ
δὴ καὶ σφαλείη, συναπολέσθαι τῇ βασιλείᾳ μετὰ ἀκε-
ραίου τοῦ φρονήματος μᾶλλον ἢ στερηθεὶς αὐτῆς ἔν
3 τε ταπεινότητι καὶ ἐν ἀδοξίᾳ ζῆν ἤθελεν. αὐτὸς μὲν
οὖν ἐπὶ τούτοις ἔρρωτο· ὅσῳ γὰρ τῇ τοῦ σώματος
ἀσθενείᾳ ἀπεμαραίνετο, τοσούτῳ τῇ τῆς γνώμης ῥώμῃ
ἰσχυρίζετο, ὥστε καὶ τὴν ἐκείνου ἀρρωστίαν τοῖς ταύ-
της λογισμοῖς ἀναλαμβάνειν· οἱ δ' ἄλλοι οἱ συνόντες
4 αὐτῷ, ὡς τά τε τῶν Ῥωμαίων ἰσχυρότερα καὶ τὰ τοῦ
Μιθριδάτου ἀσθενέστερα ἀεὶ ἐγίγνετο (τά τε γὰρ ἄλλα
καὶ ὁ σεισμὸς μέγιστος δὴ τῶν πώποτε συνενεχθεὶς
αὐτοῖς πολλὰς τῶν πόλεων ἔφθειρεν), ἠλλοιοῦντο, καὶ
τά τε στρατιωτικὰ ἐκινεῖτο, καὶ παῖδάς τινας αὐτοῦ
συναρπάσαντές τινες πρὸς τὸν Πομπήιον ἐκόμισαν.
12 ἐπ' οὖν τούτοις τοὺς μὲν ἐφώρα καὶ ἐκόλαζε, τοὺς δὲ
καὶ ἐξ ὑποψίας ὀργῇ προκατελάμβανε, καὶ ἦν πρὸς
οὐδένα ἔτι πιστός, ἀλλὰ καὶ τῶν λοιπῶν τέκνων ὑπο-
τοπήσας τινὰ ἀπέσφαξεν. ἰδὼν οὖν ταῦτα υἱός τις
αὐτοῦ Φαρνάκης καὶ ἐκεῖνόν τε ἅμα φοβηθεὶς καὶ
παρὰ τῶν Ῥωμαίων τὴν βασιλείαν (καὶ γὰρ ἀνὴρ ἤδη
2 ἦν) λήψεσθαι προσδοκήσας ἐπεβούλευσεν αὐτῷ. φω-
ραθεὶς δὲ (πολλοὶ γὰρ καὶ φανερῶς καὶ λάθρᾳ πάντα
τὰ πραττόμενα ὑπ' αὐτοῦ ἐπολυπραγμόνουν) εὐθὺς
ἄν, εἴπερ τι καὶ τὸ βραχύτατον εὐνοίας οἱ δορυφόροι
τῷ γέροντι εἶχον, ἐδικαιώθη· νῦν δὲ καίτοι σοφώτα-
τος ὁ Μιθριδάτης ἐς πάντα τὰ βασιλικὰ γενόμενος
οὐκ ἔγνω, ὅτι οὐδὲν οὐδενὶ οὔτε τὰ ὅπλα οὔτε τὰ
πλήθη τῶν ὑπηκόων ἄνευ τῆς παρ' αὐτῶν φιλίας



ἰσχύει, ἀλλὰ καὶ ὅσῳ τις ἂν πλείω, μὴ μέντοι καὶ
πιστὰ αὐτὰ ἔχῃ, χαλεπώτερα αὐτῷ γίγνεται. ὁ γοῦν 3
Φαρνάκης μετά τε τῶν προπαρεσκευασμένων καὶ μετὰ
τῶν ὑπὸ τοῦ πατρὸς πρὸς τὴν σύλληψιν αὐτοῦ πεμ-
φθέντων (ῥᾷστα γὰρ αὐτοὺς ᾠκειώσατο) καὶ ἐπ' αὐτὸν
ἄντικρυς τὸν πατέρα ἠπείχθη. πυθόμενος δὲ τοῦτο ὁ
γέρων (ἦν δὲ ἐν Παντικαπαίῳ) στρατιώτας τινὰς ἐπὶ
τὸν υἱὸν ὡς καὶ αὐτὸς ἐφεψόμενός σφισι προέπεμψε.
καὶ τούτους τε ἐκεῖνος διὰ βραχέος ἅτε μηδ' αὐτοὺς 4
φιλοῦντας τὸν Μιθριδάτην ἀπετρέψατο καὶ τὴν πόλιν
ἑκουσίαν ἔλαβε τόν τε πατέρα ἐς τὸ βασίλειον κατα-
φυγόντα ἀπέκτεινεν. ἐπεχείρησε μὲν γὰρ ἑαυτὸν δια- 13
χρήσασθαι καὶ τάς τε γυναῖκας καὶ τοὺς παῖδας τοὺς
λοιποὺς φαρμάκῳ προαπαλλάξας τὸ λοιπὸν ἐξέπιεν, οὐ
μέντοι οὔτε δι' ἐκείνου οὔτε διὰ ξίφους αὐτοχειρίᾳ
ἀποφθαρῆναι ἠδυνήθη. τό τε γὰρ φάρμακον καίτοι 2
θανάσιμον ὂν οὐ συνεῖλεν αὐτόν, ἐπειδὴ πολλῇ καθ'
ἑκάστην ἡμέραν προφυλακῇ ἀλεξιφαρμάκων ἐκεκρά-
τυντο· καὶ ἡ τοῦ ξίφους πληγὴ διά τε τὴν τῆς χειρὸς
αὐτοῦ ἀπό τε τῆς ἡλικίας καὶ ἀπὸ τῶν περιεστηκότων
ἀσθένειαν καὶ διὰ τὴν φαρμάκου ὁποιουδηποτοῦν λῆ-
ψιν ἀπημβλύνθη. ὡς οὖν οὔτε δι' ἑαυτοῦ ἀνηλίσκετο 3
καὶ πέρα τοῦ καιροῦ χρονίζειν ἐδόκει, προσέπεσόν τε
αὐτῷ ἐκεῖνοι, οὓς ἐπὶ τὸν υἱὸν ἐπεπόμφει, καὶ συν-
ετάχυναν τοῖς ξίφεσι καὶ ταῖς λόγχαις τὸν ὄλεθρον.
Μιθριδάτης μὲν δὴ ποικιλωτάτῃ ἀεὶ καὶ μεγίστῃ τῇ 4
τύχῃ χρησάμενος οὐδὲ τὴν τελευτὴν τοῦ βίου ἁπλῆν
ἔσχεν· ἐπεθύμησέ τε γὰρ ἀποθανεῖν μὴ βουλόμενος

12, 4, 2 ἀπετρέψατο Pflugk, ἐπετρέψατο Ma ‖ 13, 2, 3 ἐκε-
κράτυντο Reiske, ἐκεκράτηντο Ma

καὶ αὐτὸς ἑαυτὸν ἀποκτεῖναι σπουδάσας οὐκ ἠδυνήθη,
ἀλλὰ τοῦτο μὲν φαρμάκῳ, τοῦτο δὲ καὶ ξίφει αὐθέν-
της τε ἅμα ἐγένετο καὶ ὑπὸ τῶν ἐχθρῶν ἀπεσφάγη·
14 Φαρνάκης δὲ τό τε σῶμα αὐτοῦ τῷ Πομπηίῳ ταρι-
χεύσας ἔλεγχον τοῦ πεπραγμένου ἔπεμψε καὶ ἑαυτὸν
τήν τε ἀρχὴν παρέδωκε. καὶ ὃς τῷ μὲν Μιθριδάτῃ
οὐδὲν ἐλυμήνατο, ἀλλὰ καὶ ἐν τοῖς πατρῴοις ἠρίοις
ταφῆναι αὐτὸν ἐκέλευσε· τὸ γὰρ πολέμιον αὐτοῦ συν-
απεσβηκέναι τῇ ψυχῇ νομίζων οὐδὲν ἔτι τῷ νεκρῷ
2 μάτην ὠργίζετο· τὴν μέντοι βασιλείαν τοῦ Βοσπόρου
μισθὸν τῷ Φαρνάκῃ τῆς μιαιφονίας ἐχαρίσατο καὶ ἔς
γε τοὺς φίλους τούς τε συμμάχους αὐτὸν ἀνέγραψεν.
3 ὡς οὖν ἐκεῖνός τε ἀπωλώλει καὶ τὰ τῆς ἀρχῆς αὐ-
τοῦ πάντα πλὴν ὀλίγων κατέστραπτο (τείχη γάρ τινα
φρουροὶ ἔξω τοῦ Βοσπόρου ἔτι καὶ τότε ἔχοντες οὐκ
εὐθὺς ὡμολόγησαν, οὐχ ὅτι καὶ ἀνθίστασθαί οἱ διε-
νοοῦντο, ἀλλ' ὅτι ἐφοβοῦντο, μὴ τὰ χρήματα, ἃ ἐφύ-
λαττον, προδιαρπάσαντές τινες ἐκείνοις τὴν αἰτίαν
προσθῶσι, καὶ διὰ τοῦτο ἀνέμενον αὐτῷ βουλόμενοι
15 τῷ Πομπηίῳ πάντα ἐπιδεῖξαι), ὡς οὖν τά τε ἐνταῦθα
κατείργαστο καὶ ὁ Φραάτης ἡσυχίαν ἦγεν, ἥ τε Συρία
καὶ ἡ Φοινίκη καθειστήκει, τρέπεται πρὸς Ἀρέταν.
οὗτος δὲ Ἀραβίων μὲν τῶν νῦν τοῖς Ῥωμαίοις δου-
λευόντων μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης ἐβασίλευε,
πλεῖστα δὲ δὴ τὴν Συρίαν πρότερον λυπήσας καὶ διὰ
τοῦτο μάχῃ πρὸς τῶν Ῥωμαίων ἀμυνόντων αὐτῇ νι-
2 κηθεὶς ὅμως καὶ τότε ἔτ' ἐπολέμει. ἐπ' οὖν τοῦτον
τούς τε πλησιοχώρους αὐτῷ ὁ Πομπήιος ἐλάσας ἀκο-
νιτί τε αὐτοὺς προσηγάγετο καὶ φρουρᾷ παρέδωκε.

4, 5 τοῦτο μὲν — ξίφει ante οὐκ ἠδυνήθη ponere malit B



κἀντεῦθεν ἐπὶ τὴν Συρίαν τὴν Παλαιστίνην ὡς καὶ
τὴν Φοινίκην κακώσαντας ὥρμησεν. ἦρχον δὲ αὐτῶν
Ὑρκανός τε καὶ Ἀριστόβουλος ἀδελφοὶ καὶ ἐτύγχανον
ὑπὲρ τῆς τοῦ σφετέρου θεοῦ, ὅστις ποτὲ οὗτός ἐστιν,
ἱερωσύνης (οὕτω γὰρ τὴν βασιλείαν σφῶν ὠνόμαζον)
αὐτοί τε διαφερόμενοι καὶ τὰς πόλεις στασιάζοντες.
ὁ οὖν Πομπήιος Ὑρκανὸν μὲν οὐδεμίαν ἀξιόχρεων 3
ἰσχὺν ἔχοντα ἀμαχὶ εὐθὺς προσέθετο, Ἀριστόβουλον
δὲ ἔς χωρίον τι κατακλείσας ὁμολογῆσαί οἱ ἠνάγκασε
καί, ἐπειδὴ μήτε τὰ χρήματα μήτε τὸ φρούριον παρε-
δίδου, ἔδησεν αὐτόν. κἀκ τούτου τοὺς μὲν ἄλλους
ῥᾷον προσεποιήσατο, τὰ δὲ Ἱεροσόλυμα πολιορκῶν
πράγματα ἔσχε. τὴν μὲν γὰρ ἄλλην πόλιν ἐσδεξαμέ- 16
νων αὐτὸν τῶν τὰ τοῦ Ὑρκανοῦ φρονούντων ἀπραγ-
μόνως ἔλαβεν, αὐτὸ δὲ τὸ ἱερὸν προκατασχόντων τῶν
ἑτέρων οὐκ ἀπόνως εἷλεν· ἐπί τε γὰρ μετεώρου ἦν
καὶ περιβόλῳ ἰδίῳ ὠχύρωτο. καὶ εἴ γε ἐν πάσαις ταῖς 2
ἡμέραις ὁμοίως ἠμύνοντο, οὐκ ἂν αὐτὸ ἐχειρώσατο·
νῦν δὲ τὰς τοῦ Κρόνου δὴ ὠνομασμένας διαλείποντες
καὶ οὐδὲν τὸ παράπαν ἐν αὐταῖς δρῶντες παρέδωκαν
τοῖς Ῥωμαίοις καιρὸν ἐν τῷ διακένῳ τούτῳ τὸ τεῖχος
διασεῖσαι. μαθόντες γὰρ τὴν πτοίησιν αὐτῶν ταύτην 3
τὸν μὲν ἄλλον χρόνον οὐδὲν σπουδῇ ἔπραττον, ταῖς
δὲ δὴ ἡμέραις ἐκείναις, ὁπότε ἐκ τῆς περιτροπῆς ἐπ-

15, 2, 4 ὡς καὶ τὴν Φοινίκην κακώσαντας] ὡς εἰς καὶ (καὶ εἰς St) τὴν Φοινίκην καθήκουσαν ἐσώρμησεν Wakefield; καὶ in τοὺς mutandum censet Reiske ‖ 6 καὶ ἐτύγχανον] οἳ ἐτύγχανον Wakefield ‖ 3, 4 παρεδίδου] καίτοι προσιὼν αὐτῷ καὶ ὑποσχόμενος ταῦτα addit Xiphilinus ‖ 16, 3, 1 πτοίησιν i. e. *furorem et instinctum superstitiosum* Madvig, quod recepi coll. 37, 17, 4 ὅπως περὶ αὐτῶν ἐπτόηνται, ἐμποίησιν Ma ‖ 3, 3 τῆς del. Pflugk

4 ἔλθοιεν, ἐντονώτατά οἱ προσέβαλλον. καὶ οὕτως ἑάλω-
σάν τε ἐν τῇ τοῦ Κρόνου ἡμέρᾳ μηδ' ἀμυνόμενοι, καὶ
πάντα τὰ χρήματα διηρπάσθη. ἥ τε βασιλεία τῷ
Ὑρκανῷ ἐδόθη, καὶ ὁ Ἀριστόβουλος ἀνηνέχθη.
5 ταῦτα μὲν τότε ἐν τῇ Παλαιστίνῃ ἐγένετο· οὕτω
γὰρ τὸ σύμπαν ἔθνος, ὅσον ἀπὸ τῆς Φοινίκης μέχρι
τῆς Αἰγύπτου παρὰ τὴν θάλασσαν τὴν ἔσω παρήκει,
ἀπὸ παλαιοῦ κέκληται. ἔχουσι δὲ καὶ ἕτερον ὄνομα
ἐπίκτητον· ἥ τε γὰρ χώρα Ἰουδαία καὶ αὐτοὶ Ἰουδαῖοι
17 ὠνομάδαται. ἡ δὲ ἐπίκλησις αὕτη ἐκείνοις μὲν οὐκ
οἶδ' ὅθεν ἤρξατο γενέσθαι, φέρει δὲ καὶ ἐπὶ τοὺς
ἄλλους ἀνθρώπους, ὅσοι τὰ νόμιμα αὐτῶν καίπερ ἀλ-
λοεθνεῖς ὄντες ζηλοῦσι. καὶ ἔστι καὶ παρὰ τοῖς Ῥω-
μαίοις τὸ γένος τοῦτο κολουσθὲν μὲν πολλάκις, αὐξη-
θὲν δὲ ἐπὶ πλεῖστον, ὥστε καὶ ἐς παρρησίαν τῆς νο-
2 μίσεως ἐκνικῆσαι. κεχωρίδαται δὲ ἀπὸ τῶν λοιπῶν
ἀνθρώπων ἔς τε τἆλλα τὰ περὶ τὴν δίαιταν πάνθ' ὡς
εἰπεῖν, καὶ μάλισθ' ὅτι τῶν μὲν ἄλλων θεῶν οὐδένα
τιμῶσιν, ἕνα δέ τινα ἰσχυρῶς σέβουσιν. οὐδ' ἄγαλμα
οὐδὲν ⟨οὐδ'⟩ ἐν αὐτοῖς ποτε τοῖς Ἱεροσολύμοις ἔσχον,
ἄρρητον δὲ δὴ καὶ ἀειδῆ αὐτὸν νομίζοντες εἶναι περ-
3 ισσότατα ἀνθρώπων θρησκεύουσι. καὶ αὐτῷ νεών τε
μέγιστον καὶ περικαλλέστατον, πλὴν καθ' ὅσον ἀχανής
τε καὶ ἀνώροφος ἦν, ἐξεποίησαν καὶ τὴν ἡμέραν τὴν
τοῦ Κρόνου καλουμένην ἀνέθεσαν καὶ ἄλλα τε ἐν
αὐτῇ ἰδιαίτατα πολλὰ [ἃ] ποιοῦσι καὶ ἔργου οὐδενὸς
σπουδαίου προσάπτονται.

4, 4 ἀνηνέχθη] ἀπηνέχθη Turnebus ‖ 17, 2, 5 ⟨οὐδ'⟩ inseruit Herwerden ‖ ἐν αὐτοῖς] ἐπ' αὐτοῖς Xiphilinus ‖ 6 ἄρρητον] ἀόρατον Wakefield ‖ 3, 5 [ἃ] deest apud Xiphilinum, [πολλὰ ἃ] seclusit D



καὶ τὰ μὲν κατ' ἐκεῖνον, τίς τε ἔστι καὶ ὅθεν οὕ- 4
τως ἐτιμήθη, ὅπως τε περὶ αὐτὸν ἐπτόηνται, πολλοῖς
τε εἴρηται καὶ οὐδὲν τῇδε τῇ ἱστορίᾳ προσήκει· τὸ δὲ 18
δὴ ἐς τοὺς ἀστέρας τοὺς ἑπτὰ τοὺς πλανήτας ὠνομα-
σμένους τὰς ἡμέρας ἀνακεῖσθαι κατέστη μὲν ὑπ' Αἰ-
γυπτίων, πάρεστι δὲ καὶ ἐπὶ πάντας ἀνθρώπους οὐ
πάλαι ποτὲ ὡς λόγῳ εἰπεῖν ἀρξάμενον· οἱ γοῦν ἀρ-
χαῖοι Ἕλληνες οὐδαμῇ αὐτό, ὅσα γε ἐμὲ εἰδέναι, ἠπί-
σταντο. ἀλλ' ἐπειδὴ καὶ πάνυ νῦν τοῖς τε ἄλλοις 2
ἅπασι καὶ αὐτοῖς τοῖς Ῥωμαίοις ἐπιχωριάζει, καὶ ἤδη
καὶ τοῦτό σφισι πάτριον τρόπον τινά ἐστι, βραχύ τι
περὶ αὐτοῦ διαλεχθῆναι βούλομαι, πῶς τε καὶ τίνα
τρόπον οὕτω τέτακται. ἤκουσα δὲ δύο λόγους ἄλλως
μὲν οὐ χαλεποὺς γνωσθῆναι, θεωρίας δέ τινος ἐχο-
μένους. εἰ γάρ τις τὴν ἁρμονίαν τὴν διὰ τεσσάρων 3
καλουμένην, ἥπερ που καὶ τὸ κῦρος τῆς μουσικῆς
συνέχειν πεπίστευται, καὶ ἐπὶ τοὺς ἀστέρας τούτους,
ὑφ' ὧν ὁ πᾶς τοῦ οὐρανοῦ κόσμος διείληπται, κατὰ
τὴν τάξιν, καθ' ἣν ἕκαστος αὐτῶν περιπορεύεται, ἐπ-
αγάγοι καὶ ἀρξάμενος ἀπὸ τῆς ἔξω περιφορᾶς τῆς τῷ
Κρόνῳ δεδομένης, ἔπειτα διαλιπὼν δύο τὰς ἐχομένας 4
τὸν τῆς τετάρτης δεσπότην ὀνομάσειε καὶ μετ' αὐτὸν
δύο αὖ ἑτέρας ὑπερβὰς ἐπὶ τὴν ἑβδόμην ἀφίκοιτο, καὶ
τῷ αὐτῷ τούτῳ τρόπῳ αὐτάς τε ἐπιὼν καὶ τοὺς ἐφό-
ρους σφῶν θεοὺς ἀνακυκλῶν ἐπιλέγοι ταῖς ἡμέραις,
εὑρήσει πάσας αὐτὰς μουσικῶς πως τῇ τοῦ οὐρανοῦ
διακοσμήσει προσηκούσας. εἷς μὲν δὴ οὗτος λέγεται 19
λόγος, ἕτερος δὲ ὅδε. τὰς ὥρας τῆς ἡμέρας καὶ τῆς

18, 2, 5 τέτακται] πέπρακται Xiphilinus ‖ 6 δὲ Xiphilinus, om. Ma ‖ 4, 4 καὶ B, κἂν Ma ‖ 4 ἐπιὼν Ma in margine, in textu ἔπαινον, unde ἐπανιὼν Leunclavius

νυκτὸς ἀπὸ τῆς πρώτης ἀρξάμενος ἀριθμεῖν καὶ ἐκεί-
νην μὲν τῷ Κρόνῳ διδούς, τὴν δὲ ἔπειτα τῷ Διὶ καὶ
τρίτην Ἄρει, τετάρτην ἡλίῳ, πέμπτην Ἀφροδίτῃ,
2 ἕκτην Ἑρμῇ καὶ ἑβδόμην σελήνῃ κατὰ τὴν τάξιν τῶν
κύκλων, καθ' ἣν οἱ Αἰγύπτιοι αὐτὴν νομίζουσι, καὶ
τοῦτο καὶ αὖθις ποιήσας, πάσας γὰρ οὕτω τὰς τέσσα-
ρας καὶ εἴκοσιν ὥρας περιελθὼν εὑρήσεις τὴν πρώτην
τῆς ἐπιούσης ἡμέρας ὥραν ἐς τὸν ἥλιον ἀφικνου-
3 μένην. καὶ τοῦτο καὶ ἐπ' ἐκείνων τῶν τεσσάρων καὶ
εἴκοσιν ὡρῶν κατὰ τὸν αὐτὸν τοῖς πρόσθεν λόγον
πράξας τῇ σελήνῃ τὴν πρώτην τῆς τρίτης ἡμέρας
ὥραν ἀναθήσεις, κἂν οὕτω καὶ διὰ τῶν λοιπῶν
πορεύῃ, τὸν προσήκοντα ἑαυτῇ θεὸν ἑκάστη ἡμέρα
λήψεται.

20 ταῦτα μὲν οὕτω παραδέδοται. Πομπήιος δὲ ἐπειδὴ
καὶ ἐκεῖνα κατέπραξε, πρός τε τὸν Πόντον αὖθις
ἦλθε καὶ παραλαβὼν τὰ τείχη ἔς τε τὴν Ἀσίαν κἀν-
τεῦθεν ἐς τὴν Ἑλλάδα τήν τε Ἰταλίαν ἐκομίσθη. πολ-
2 λὰς μὲν δὴ οὖν μάχας ἐνίκησε, πολλοὺς δὲ καὶ δυ-
νάστας καὶ βασιλέας τοὺς μὲν προσεπολεμώσατο, τοὺς
δὲ καὶ ὁμολογίᾳ προσεποιήσατο, πόλεις τε ὀκτὼ ἀπῴ-
κισε καὶ χώρας προσόδους τε συχνὰς τοῖς Ῥωμαίοις
ἀπέδειξε, τά τε πλείω ἔθνη τῶν ἐν τῇ Ἀσίᾳ τῇ
ἠπείρῳ τότε αὐτοῖς ὄντων νόμοις τε ἰδίοις καὶ πολι-
τείαις κατεστήσατο καὶ διεκόσμησεν, ὥστε καὶ δεῦρο
⟨ἀεὶ⟩ αὐτοὺς τοῖς ὑπ' ἐκείνου νομισθεῖσι χρῆσθαι.
3 ἀλλὰ ταῦτα μὲν καίπερ μεγάλα τε ὄντα καὶ μηδενὶ

19, 2, 2 αὐτὴν] αὐτοῖς ? B, αὐτοὶ excerpt. Xiphilini in codd. Planudeis ‖ 3 γὰρ] τ' ἄρ' ? B ‖ 20, 2, 6 ἤπειρον Ma ‖ 7 δεῦρο ⟨ἀεὶ⟩ Herwerden coll. 39, 49, 2; 40, 14, 3; 50, 17, 5 ‖ 8 ὑπ' St, ἀπ' Ma



τῶν πρόσθεν Ῥωμαίων πραχθέντα καὶ τῇ τύχῃ καὶ
τοῖς συστρατευσαμένοις οἱ ἀναθείη ἄν τις· ὃ δὲ δὴ
μάλιστα αὐτοῦ τε τοῦ Πομπηίου ἔργον ἐγένετο καὶ
θαυμάσαι διὰ πάντων ἄξιόν ἐστι, τοῦτο νῦν ἤδη
φράσω. πλείστην μὲν γὰρ ἰσχὺν καὶ ἐν τῇ θαλάσσῃ 4
καὶ ἐν τῇ ἠπείρῳ ἔχων, πλεῖστα δὲ χρήματα ἐκ τῶν
αἰχμαλώτων πεπορισμένος, δυνάσταις τε καὶ βασιλεῦσι
συχνοῖς ᾠκειωμένος, τούς τε δήμους ὧν ἦρξε πάντας
ὡς εἰπεῖν δι' εὐνοίας εὐεργεσίαις κεκτημένος, δυνη- 5
θείς τ' ἂν δι' αὐτῶν τήν τε Ἰταλίαν κατασχεῖν καὶ
τὸ τῶν Ῥωμαίων κράτος πᾶν περιποιήσασθαι, τῶν
μὲν πλείστων ἐθελοντὶ ἂν αὐτὸν δεξαμένων, εἰ δὲ καὶ
ἀντέστησάν τινες, ἀλλ' ὑπ' ἀσθενείας γε πάντως ἂν
ὁμολογησάντων, οὐκ ἠβουλήθη τοῦτο ποιῆσαι, ἀλλ' 6
εὐθύς, ἐπειδὴ τάχιστα ἔς[τε] τὸ Βρεντέσιον ἐπεραιώθη,
τὰς δυνάμεις πάσας αὐτεπάγγελτος μήτε τῆς βουλῆς
μήτε τοῦ δήμου ψηφισαμένου τι περὶ αὐτῶν ἀφῆκεν
οὐδὲν οὐδὲ τοῦ ἐς τὰ νικητήρια αὐταῖς χρήσασθαι
φροντίσας. ἐπειδὴ ⟨γὰρ⟩ τά τε τοῦ Μαρίου καὶ τὰ
τοῦ Σύλλου ἐν μίσει τοῖς ἀνθρώποις ἠπίστατο ὄντα,
οὐκ ἠθέλησε φόβον τινὰ αὐτοῖς οὐδ' ἐπ' ὀλίγας ἡμέ-
ρας, ὅτι ⟨τι⟩ τῶν ὁμοίων πείσονται, παρασχεῖν. οὔκουν 21
οὐδ' ὄνομα οὐδὲν καίτοι πολλὰ ἀπὸ τῶν κατειργασμέ-
νων λαβεῖν ἂν δυνηθεὶς προσεκτήσατο. τὰ μὲν γὰρ
ἐπινίκια, λέγω δὴ τὰ μείζω νομιζόμενα, καίπερ οὐχ
ὅσιον ὂν ἔκ γε τῶν πάνυ πατρίων ἄνευ τῶν συν-
νικησάντων τινὶ πεμφθῆναι, ὅμως ψηφισθέντα ἐδέ-

5, 1 δι' εὐνοίας εὐεργεσίαις] εὐνοίᾳ καὶ εὐεργεσίαις Reiske ‖ 6, 2 [τε] del. B ‖ 6 ⟨γὰρ⟩ inseruit Reiske ‖ 21, 1, 1 ὅτι ⟨τι⟩ Turnebus (cf. 37, 26, 3), μή ⟨τι⟩ Reiske ‖ πείσονται] πειράσονται Cobet

2 ξατο. καὶ αὐτὰ μὲν ἅπαξ ἀπὸ πάντων τῶν πολέ-
μων ἤγαγε, τρόπαια δὲ ἄλλα τε πολλὰ καὶ καλῶς κε-
κοσμημένα καθ᾽ ἕκαστον τῶν ἔργων καὶ τὸ βραχύτα-
τον ἔπεμψε καὶ ἐπὶ πᾶσιν ἓν μέγα, πολυτελῶς κεκο-
σμημένον καὶ γραφὴν ἔχον, ὅτι τῆς οἰκουμένης ἐστίν.
3 οὐ μέντοι καὶ ἐπωνυμίαν τινὰ προσεπέθετο, ἀλλὰ καὶ
μόνῃ τῇ τοῦ Μάγνου, ἥνπερ που καὶ πρὸ ἐκείνων
τῶν ἔργων ἐκέκτητο, ἠρκέσθη. οὐ μὴν οὐδ᾽ ἄλλην
τινὰ τιμὴν ὑπέρογκον λαβεῖν διεπράξατο ἢ τοῖς γε
4 ψηφισθεῖσιν ἀπόντι οἱ πλὴν ἅπαξ ἐχρήσατο. ἦν δὲ
ταῦτα δαφνηφορεῖν τε αὐτὸν κατὰ πάσας ἀεὶ τὰς πα-
νηγύρεις καὶ τὴν στολὴν τὴν μὲν ἀρχικὴν ἐν πάσαις
αὐταῖς, τὴν δὲ ἐπινίκιον ἐν τοῖς τῶν ἵππων ἀγῶσιν
ἐνδύνειν. ταῦτα γὰρ αὐτῷ συμπράσσοντος ἐς [αὐτὰ]
τὰ μάλιστα τοῦ Καίσαρος καὶ παρὰ τὴν τοῦ Κάτωνος
22 τοῦ Μάρκου γνώμην ἐδόθη. καὶ περὶ μὲν ἐκείνου,
ὅστις τε ἦν καὶ ὅτι τοὺς πολλοὺς ἐθεράπευε τόν τε
Πομπήιον ἄλλως μὲν καθῄρει, δι᾽ ὧν δὲ δὴ τῷ τε
ὁμίλῳ χαριεῖσθαι καὶ αὐτὸς ἰσχύσειν ἔμελλε, προσ-
εποιεῖτο, προείρηται· ὁ δὲ δὴ Κάτων οὗτος ἦν ἐκ τοῦ
τῶν Πορκίων γένους καὶ τὸν Κάτωνα τὸν πάνυ ἐζή-
λου, πλὴν καθ᾽ ὅσον παιδείᾳ Ἑλληνικῇ μᾶλλον αὐτοῦ
2 ἐκέχρητο. ἤσκει δὲ τὰ τοῦ πλήθους ἀκριβῶς καὶ ἕνα
μὲν ἀνθρώπων οὐδένα ἐθαύμαζε, τὸ δὲ δὴ κοινὸν
ὑπερηγάπα καὶ πᾶν μὲν τὸ ὑπὲρ τοὺς ἄλλους πεφυ-
κὸς ὑποψίᾳ δυναστείας ἐμίσει, πᾶν δὲ τὸ δημοτικὸν
3 ἐλέῳ τῆς ἀσθενείας ἐφίλει. καὶ δήμου ἐραστής τε ὡς
οὐδεὶς ἄλλος ἐγίγνετο καὶ τὴν ὑπὲρ τοῦ δικαίου παρ-

4, 5 [αὐτὰ] del. Reiske ‖ 22, 1, 3 μὲν Reiske, τε Ma ‖ 3, 2 ἐγίγνετο] ἐγένετο Ma



ρησίαν καὶ μετὰ κινδύνων ἐποιεῖτο. καὶ ταῦτα μέν-
τοι πάντα οὔτε πρὸς ἰσχὺν οὔτε πρὸς δόξαν ἢ τι-
μήν τινα, ἀλλ᾽ αὐτῆς ἕνεκα τῆς τε αὐτονόμου καὶ
τῆς ἀτυραννεύτου διαίτης ἔπραττε. τοιοῦτος οὖν δή 4
τις ὢν ἔς τε τὸ κοινὸν τότε πρῶτον παρῆλθε καὶ
πρὸς τὰ ψηφιζόμενα καίπερ μηδεμίαν τῷ Πομπηίῳ
ἔχθραν ἔχων, ἀλλ᾽ ὅτι γε ἔξω τῶν πατρίων ἦν,
ἀντεῖπεν.

ἀπόντι μὲν δὴ οὖν αὐτῷ ταῦτ᾽ ἔδοσαν, ἐλθόντι δὲ 23
οὐδέν, πάντως ἄν που καὶ ἕτερα προσθέντες, εἴπερ
ἠθελήκει· ἄλλοις γοῦν τισιν ἐν ἐλάττονι αὐτοῦ κράτει
γενομένοις πολλὰ καὶ ὑπέρογκα πολλάκις ἔνειμαν. καὶ
ὅτι γε καὶ ἐκεῖνα ἄκοντες ἔπραξαν, δῆλόν ἐστιν. ὁ οὖν 2
Πομπήιος εὖ εἰδώς, ὅτι πάνθ᾽ ὅσα ἐν ταῖς δυναστείαις
τοῖς ἰσχύουσί τι παρὰ τῶν πολλῶν γίγνεται, τήν τε
ὑπόνοιαν, κἂν τὰ μάλιστα ἐθελούσιοί τι ψηφίσωνται,
ὡς καὶ κατὰ βίαν ἐκ τῆς τῶν κρατούντων παρασκευῆς
διδόμενα ἔχει καὶ δόξαν οὐδεμίαν τοῖς λαβοῦσιν
αὐτὰ ὡς καὶ μὴ παρ᾽ ἑκόντων, ἀλλ᾽ ἀναγκασθέντων
μηδ᾽ ἀπ᾽ εὐνοίας, ἀλλ᾽ ἐκ κολακείας ὑπάρξαντά σφισι
φέρει, οὐκ ἐπέτρεψεν ἀρχὴν οὐδενὶ οὐδὲν ἐσηγήσασθαι.
καὶ πολύ γε τοῦτο βέλτιον εἶναι ἔλεγεν ἢ ψηφισθέντα 3
μὴ προσίεσθαι· ἐν μὲν γὰρ τῷ μῖσός τε ἐπὶ τῇ δυ-
ναστείᾳ, ὑφ᾽ ἧς ἐγιγνώσκετο, καὶ ὑπερηφανίαν καὶ
ὕβριν τῷ μὴ δέχεσθαι τὰ διδόμενα παρὰ τῶν κρειτ-
τόνων δῆθεν ἢ πάντως γε τῶν ὁμοίων ἐνεῖναι, ἐν δὲ
τῷ ἑτέρῳ τὸ δημοτικὸν ὄντως καὶ ὄνομα καὶ ἔργον
οὐκ ἀπ᾽ ἐνδείξεως, ἀλλ᾽ ἐξ ἀληθείας ὑπάρχειν. τὰς 4
γάρ τοι ἀρχὰς καὶ τὰς ἡγεμονίας ἔξω τῶν πατρίων
ὀλίγου πάσας λαβὼν τὰ γοῦν ἄλλα τοιαῦτα, ἐξ ὧν
μήτε ὠφελῶν τινα μήτε ὠφελούμενος φθόνον ἄλλως

καὶ μῖσος καὶ πρὸς αὐτῶν τῶν διδόντων αὐτὰ σχή-
σειν ἔμελλεν, οὐκ ἐδέχετο.
24 καὶ ταῦτα μὲν ἀνὰ χρόνον ἐγένετο, τότε δὲ οἱ
Ῥωμαῖοι πολέμων ἀνάπαυσιν τὸν λοιπὸν τοῦ ἔτους
χρόνον ἔσχον, ὥστε καὶ τὸ οἰώνισμα τὸ τῆς ὑγιείας
ὠνομασμένον διὰ πάνυ πολλοῦ ποιῆσαι. τοῦτο δὲ
μαντείας τις τρόπος ἐστὶ πύστιν τινὰ ἔχων, εἰ ἐπιτρέ-
πει σφίσιν ὁ θεὸς ὑγίειαν τῷ δήμῳ αἰτῆσαι, ὡς οὐχ
ὅσιον ⟨ὂν⟩ οὐδὲ αἴτησιν αὐτῆς, πρὶν συγχωρηθῆναι,
2 γενέσθαι. καὶ ἐτελεῖτο κατ' ἔτος ἡ ἡμέρα, ἐν ᾗ μηδὲν
στρατόπεδον μήτε ἐπὶ πόλεμον ἐξῄει μήτ' ἀντιπαρε-
τάττετό τισι μήτε ἐμάχετο. καὶ διὰ τοῦτο ἐν τοῖς συν-
εχέσι κινδύνοις καὶ μάλιστα τοῖς ἐμφυλίοις οὐκ ἐποι-
εῖτο· ἄλλως τε γὰρ παγχάλεπόν σφισιν ἦν καθαρὰν
3 ἀπὸ πάντων αὐτῶν ἡμέραν ἀκριβῶς τηρῆσαι, καὶ
προσέτι καὶ ἀτοπώτατον, κακὰ αὐτοὺς ἐν ταῖς στάσε-
σιν ἑκουσίους ἀμύθητα ἀλλήλοις παρέχοντας καὶ μέλ-
λοντας, ἄν τε ἡττηθῶσιν ἄν τε καὶ νικήσωσι, κακοῦ-
σθαι, ἔπειτα σωτηρίαν παρὰ τοῦ θείου προσαιτεῖν.
25 ἀμέλει καὶ τότε ἠδυνήθη μέν πως τὸ οἰώνισμα ἐκεῖνο
ποιηθῆναι, οὐ μέντοι καὶ καθαρὸν ἐγένετο· ἔξεδροι
γάρ τινες ὄρνιθες ἐπέπταντο, καὶ διὰ τοῦτ' ἀνεμαν-
τεύσαντο. καὶ ἄλλα τε αὐτοῖς σημεῖα οὐκ αἴσια συν-
2 ηνέχθη· κεραυνοί τε γὰρ ἐν αἰθρίᾳ πολλοὶ ἔπεσον,
καὶ ἡ γῆ ἰσχυρῶς ἐσείσθη, εἴδωλά τε πολλαχόθι ἀν-
θρώπων ἐφαντάσθη, καὶ λαμπάδες ἀνεκὰς ἐς τὸν οὐ-
ρανὸν ἀπὸ τῶν δυσμῶν ἀνέδραμον, ὥστε πάντα τινὰ
καὶ ἰδιώτην τὰ σημαινόμενα ἀπ' αὐτῶν προγνῶναι.
3 οἱ γὰρ δήμαρχοι τὸν Ἀντώνιον τὸν ὕπατον ὁμοιοτρο-

**24, 1, 7** ⟨ὂν⟩ inseruerunt St, Pflugk



πώτατόν σφισιν ὄντα προσλαβόντες, ὁ μέν τις τοὺς
παῖδας τῶν ὑπὸ τοῦ Σύλλου ἐκπεσόντων πρὸς τὰς
ἀρχὰς ἦγεν, ὁ δὲ τῷ τε Παίτῳ τῷ Πουπλίῳ καὶ τῷ
Σύλλᾳ τῷ Κορνηλίῳ τῷ μετ' αὐτοῦ ἁλόντι τό τε βου-
λεύειν καὶ τὸ ἄρχειν ἐξεῖναι ἐδίδου. ἄλλος χρεῶν 4
ἀποκοπάς, ἄλλος κληρουχίας καὶ ἐν τῇ Ἰταλίᾳ καὶ ἐν
τῇ ὑπηκόῳ γενέσθαι ἐσηγεῖτο.

καὶ ταῦτα μὲν πρός τε τοῦ Κικέρωνος καὶ πρὸς
τῶν ἄλλων τῶν ὁμογνωμονούντων οἱ προκαταλη-
φθέντα, πρὶν ἔργον τι ἀπ' αὐτῶν συμβῆναι, ἐπαύθη·
Τίτος δὲ δὴ Λαβιῆνος Γάιον Ῥαβίριον ἐπὶ τῷ τοῦ 26
Σατουρνίνου φόνῳ γραψάμενος πλεῖστόν σφισι τάρα-
χον παρέσχεν. ὅ τε γὰρ Σατουρνῖνος πρὸ ἓξ που καὶ
τριάκοντα ἐτῶν ἐτεθνήκει, καὶ τὰ κατὰ τὸν πόλεμον
τὸν πρὸς αὐτὸν οἱ ὕπατοι τότε παρὰ τῆς βουλῆς
προσετετάχατο, ὥστε ἡ γερουσία ἄκυρος ἐκ τοῦ δικα-
στηρίου ἐκείνου τῶν ψηφισμάτων ἐγίγνετο. κἀκ τού- 2
του πᾶς ὁ κόσμος τῆς πολιτείας ἐταράττετο. ὁ μὲν
γὰρ Ῥαβίριος οὐδ' ὡμολόγει τὸν φόνον, ἀλλ' ἄπαρνος
ἦν· οἱ δὲ δήμαρχοι τήν τε ἰσχὺν καὶ τὴν ἀξίωσιν
τῆς βουλῆς καταλῦσαι παντελῶς ἐσπούδαζον καὶ ἐξου-
σίαν ἑαυτοῖς τοῦ πάνθ' ὅσα βούλοιντο ποιεῖν προπαρ-
εσκεύαζον· διὰ γὰρ δὴ τοῦ τά τε τῷ συνεδρίῳ δό- 3
ξαντα καὶ τὰ πρὸ τοσούτων ἐτῶν πραχθέντα εὐθύνε-
σθαι τοῖς τέ τι τῶν ὁμοίων ἐπιχειροῦσιν ἄδεια ἐδίδοτο
καὶ αἱ τιμωρίαι αὐτῶν ἐκολούοντο. ἡ οὖν γερουσία
δεινὸν μὲν καὶ ἄλλως ἐνόμιζεν εἶναι [καὶ] ἄνδρα βου-
λευτὴν μήτ' ἀδικοῦντά τι καὶ ἐς γῆρας ἤδη προελη-

**25, 4, 2** τῇ Herwerden, τῷ Ma ‖ **26, 2, 6** προσπαρεσκεύαζον Reiske ‖ **3, 1** τοῦ Leunclavius, τούτου Ma ‖ **4** ἐκολούοντο] ἐκωλύοντο Reiske, quod recepit B ‖ **5** [καὶ] del. B

λυθότα ἀπολεῖσθαι, πολλῷ δὲ δὴ μᾶλλον ἠγανάκτει,
ὅτι τό τε πρόσχημα τῆς πολιτείας διεβάλλετο καὶ τὰ
27 πράγματα τοῖς φαυλοτάτοις ἐπετρέπετο. σπουδαί τε
οὖν ταραχώδεις καὶ φιλονεικίαι ἀφ' ἑκατέρων περί τε
τοῦ δικαστηρίου, τῶν μέν, ὅπως μὴ συναχθῇ, τῶν δέ,
ἵνα καθιζήσῃ, δικαιούντων καί, ἐπειδὴ τοῦτο διά τε
τὸν Καίσαρα καὶ δι' ἄλλους τινὰς ἐνίκησε, περί τε
2 τῆς κρίσεως αὖθις συνέβησαν· καὶ (ἦν γὰρ αὐτὸς
ἐκεῖνος καὶ μετὰ τοῦ Καίσαρος τοῦ Λουκίου δικάζων,
οὐ γὰρ ἁπλῶς, ἀλλὰ τὸ δὴ λεγόμενον περδουελλίωνος
ὁ Ῥαβίριος ἐκρίθη) κατεψηφίσαντο αὐτοῦ καίτοι μὴ
πρὸς τοῦ δήμου κατὰ τὰ πάτρια, ἀλλὰ πρὸς αὐτοῦ
3 τοῦ στρατηγοῦ οὐκ ἐξὸν αἱρεθέντες. καὶ ἐφῆκε μὲν
ὁ Ῥαβίριος, πάντως δ' ἂν καὶ παρὰ τῷ δήμῳ ἑάλω,
εἰ μὴ ὁ Μέτελλος ὁ Κέλερ οἰωνιστής τε ὢν καὶ στρα-
τηγῶν ἐνεπόδισεν· ἐπειδὴ γὰρ οὔτε ἄλλως ἐπείθοντό
οἱ οὔθ' ὅτι παρὰ τὰ νενομισμένα ἡ κρίσις ἐγεγόνει
ἐνεθυμοῦντο, ἀνέδραμεν ἐς τὸ Ἰανίκουλον, πρὶν καὶ
ὁτιοῦν σφᾶς ψηφίσασθαι, καὶ τὸ σημεῖον τὸ στρατιω-
τικὸν κατέσπασεν, ὥστε μηδὲν ἔτ' αὐτοῖς ἐξεῖναι δια-
γνῶναι.

28 τοῦτο δέ, τὸ κατὰ τὸ σημεῖον, τοιόνδε τί ἐστι.
πολλῶν τὸ ἀρχαῖον πολεμίων τῇ πόλει προσοικούντων
φοβούμενοι, μήποτε ἐκκλησιαζόντων σφῶν κατὰ τοὺς
λόγους ἐπίθωνταί τινες τῇ πόλει τὸ Ἰανίκουλον κατα-
λαβόντες, ἐνόμισαν μὴ πάντες ἅμα ψηφίζεσθαι, ἀλλά
τινας ἀεὶ ἐνόπλους τὸ χωρίον ἐκεῖνο ἐκ διαδοχῆς φυ-
2 λάττειν. καὶ αὐτό, ἕως μὲν ἡ ἐκκλησία ἦν, ἐφρού-
ρουν, ὁπότε δὲ διαλυθήσεσθαι ἔμελλε, τό τε σημεῖον

27, 1, 5 περί τε] περί γε B



καθῃρεῖτο καὶ οἱ φύλακες ἀπηλλάσσοντο· οὐ γὰρ ἐξῆν
μὴ φρουρουμένου τοῦ χωρίου ἐκείνου οὐδὲν ἔτι χρη-
ματισθῆναι. τοῦτο δὲ ἐν μόναις ταῖς κατὰ τοὺς λό- 3
χους ἀθροιζομέναις ἐκκλησίαις ἐγίγνετο, ὅτι τε ἔξω
τοῦ τείχους καὶ ὅτι πάντες οἱ τὰ ὅπλα ἔχοντες ἀνάγ-
κην εἶχον ἐς αὐτὰς συνιέναι· καὶ ἔτι [τε] καὶ νῦν
ὁσίας ἕνεκα ποιεῖται.

οὕτω μὲν δὴ τότε ἥ τε ἐκκλησία καθαιρεθέντος 4
τοῦ σημείου διελύθη καὶ ὁ Ῥαβίριος ἐσώθη· ἐξῆν μὲν
γὰρ τῷ Λαβιήνῳ καὶ αὖθις δικάσασθαι, οὐ μέντοι
καὶ ἐποίησεν αὐτό· ὁ δὲ δὴ Κατιλίνας ὧδέ τε καὶ διὰ 29
τάδε ἀπώλετο. ἔδοξε τῇ βουλῇ, τήν τε ὑπατείαν καὶ
τότε αἰτήσαντος καὶ πᾶν ὁτιδήποτε ἐνεδέχετο, ὅπως
ἀποδειχθῇ, μηχανωμένου, δέκα ἐτῶν φυγὴν τοῦ Κικέ-
ρωνος ἐς τὰ μάλιστα ἐνάγοντος τοῖς ἐπιτιμίοις τοῖς
ἐπὶ τῷ δεκασμῷ τεταγμένοις προσνομοθετῆσαι. τοῦτ' 2
οὖν καὶ ἐκεῖνος δι' ἑαυτόν, ὅπερ που καὶ ἀληθὲς ἦν,
ἐγνῶσθαι νομίσας ἐπεχείρησε μὲν χεῖρά τινα παρα-
σκευάσας τὸν Κικέρωνα καὶ ἄλλους τινὰς τῶν πρώτων
ἐν αὐταῖς ταῖς ἀρχειρεσίαις, ἵν' ὕπατος εὐθὺς χειροτο-
νηθῇ, φονεῦσαι, οὐκ ἠδυνήθη δέ. ὁ γὰρ Κικέρων προ- 3
μαθὼν τὸ ἐπιβούλευμα τῇ τε γερουσίᾳ ἐμήνυσεν αὐτὸ
καὶ κατηγορίαν αὐτοῦ πολλὴν ἐποιήσατο· ἐπειδή τε οὐκ
ἔπεισε σφᾶς ψηφίσασθαί τι ὧν ἠξίου (οὔτε γὰρ πι-
θανὰ ἐξηγγελκέναι καὶ διὰ τὴν ἑαυτοῦ ἔχθραν κατα-
ψεύδεσθαι τῶν ἀνδρῶν ὑπωπτεύθη), ἐφοβήθη ἅτε καὶ
προσπαρωξυγκὼς τὸν Κατιλίναν, . . . . . καὶ οὐκ ἐτόλ- 4

28, 3, 4 [τε] del. B ‖ 29, 1, 1 ὧδέ τε] ὧδέ τί ⟨πῃ?⟩ Herwerden ‖ 2 καὶ τότε] ἐκείνου τότε Herwerden ‖ 4, 1 προσπαρωξυγκὼς Ma, προπαρωξυγκὼς Reiske ‖ Κατιλίναν . . .] lacuna in Ma, quia quaternioni tertio (έ) deest fol. ultimum

μησεν ἁπλῶς ἐς τὴν ἐκκλησίαν ἐσελθεῖν, ὥσπερ εἰώ-
θει, ἀλλὰ τούς τε ἐπιτηδείους συνεπηγάγετο παρεσκευ-
ασμένους ἀμῦναί οἱ, εἴ τι δεινὸν γένοιτο, καὶ θώρακα
τῆς τε ἑαυτοῦ ἀσφαλείας καὶ τῆς ἐκείνων διαβολῆς ἕνεκα
ὑπὸ μὲν τὴν ἐσθῆτα, παραφαίνων δ' αὐτὸν ἐξεπίτηδες
5 ἐνεδύσατο. ἔκ τε οὖν τούτου καὶ ὅτι καὶ ἄλλως φήμη
τις ἐγένετο, ὅτι ἐπιβουλεύεται, ὅ τε δῆμος δεινῶς
ἠγανάκτησε καὶ οἱ συνομωμοκότες τῷ Κατιλίνᾳ φοβη-
30 θέντες αὐτὸν ἡσύχασαν. καὶ οὕτως ὕπατοί τε ἕτεροι
ᾑρέθησαν, καὶ ἐκεῖνος οὐκέτι λάθρᾳ οὐδὲ ἐπὶ τὸν
Κικέρωνα τούς τε σὺν αὐτῷ μόνους, ἀλλὰ καὶ ἐπὶ πᾶν
2 τὸ κοινὸν τὴν ἐπιβουλὴν συνίστη. ἔκ ⟨τε⟩ γὰρ τῆς
Ῥώμης αὐτῆς τούς τε κακίστους καὶ καινῶν ἀεί ποτε
πραγμάτων ἐπιθυμητὰς κἀκ τῶν συμμάχων ὅτι πλεί-
στους χρεῶν τε ἀποκοπὰς καὶ γῆς ἀναδασμοὺς ἄλλα
τε, ἐξ ὧν μάλιστα δελεάσειν αὐτοὺς ἔμελλεν, ὑπισχνού-
3 μενός σφισι συνῆγε. καὶ τούς γε πρώτους αὐτῶν ⟨καὶ⟩
δυνατωτάτους (ἦσαν δὲ ἄλλοι τε καὶ Ἀντώνιος ὁ ὕπα-
τος) καὶ ἐς ἀθεμίτων ὁρκωμοσιῶν ἀνάγκην προήγαγε·
παῖδα γάρ τινα καταθύσας καὶ ἐπὶ τῶν σπλάγχνων
αὐτοῦ τὰ ὅρκια ποιήσας ἔπειτ' ἐσπλάγχνευσεν αὐτὰ
4 μετὰ τῶν ἄλλων. συνέπραττον δὲ αὐτῷ τὰ μάλιστα
τὰ μὲν ἐν τῇ Ῥώμῃ ὅ τε ὕπατος καὶ ὁ Λέντουλος ὁ
Πούπλιος ὁ μετὰ τὴν ὑπατείαν ἐκ τῆς γερουσίας ἐκ-
πεσὼν (ἐστρατήγει γάρ, ὅπως τὴν βουλείαν ἀναλάβῃ),
τὰ δὲ ἐν ταῖς Φαισούλαις, ἐς ἃς οἱ στασιῶται αὐτοῦ
5 συνελέγοντο, Γάιός τις Μάλλιος, τῶν τε πολεμικῶν

4, 4 γένοιτο B, γίνοιτο Ma ‖ 30, 2, 1 ⟨τε⟩ inser. Reiske ‖ 2 τε ante κακίστους delendum censet B ‖ 3, 1 ⟨καὶ⟩ inseruit Xylander ‖ 3 προήγαγε Reiske, προσήγαγε Ma ‖ 4, 5 στασιῶται] στρατιῶται B



ἐμπειρότατος (μετὰ γὰρ τῶν τοῦ Σύλλου λοχαγῶν
ἐστράτευτο) καὶ πολυδαπανώτατος ὤν· σύμπαντα γοῦν,
ὅσα τότε ἐκτήσατο, καίπερ πάμπολλα ὄντα κακῶς κατ-
αναλώσας, ἑτέρων ἔργων ὁμοίων ἐπεθύμει.

παρασκευαζομένων οὖν ταῦτα αὐτῶν μηνύεται τῷ 31
Κικέρωνι πρότερα μὲν τὰ ἐν τῷ ἄστει γιγνόμενα διὰ
γραμμάτων τινῶν, ἃ τὸν μὲν γράψαντα οὐκ ἐδήλου,
τῷ δὲ δὴ Κράσσῳ καὶ ἄλλοις τισὶ τῶν δυνατῶν
ἐδόθη· καὶ ἐπ' αὐτοῖς δόγμα ἐκυρώθη, ταραχήν τε
εἶναι καὶ ζήτησιν τῶν αἰτίων αὐτῆς γενέσθαι. δεύτερα 2
δὲ τὰ ἀπὸ τῆς Τυρσηνίδος, καὶ προσεψηφίσαντο τοῖς
ὑπάτοις τὴν φυλακὴν τῆς τε πόλεως καὶ τῶν ὅλων
αὐτῆς πραγμάτων, καθάπερ εἰώθεσαν· καὶ γὰρ τούτῳ
τῷ δόγματι προσεγράφη τὸ διὰ φροντίδος αὐτοὺς
σχεῖν, ὥστε μηδεμίαν ἀποτριβὴν τῷ δημοσίῳ συμβῆ-
ναι. γενομένου δὲ τούτου καὶ φρουρᾶς πολλαχόθι 3
καταστάσης τὰ μὲν ἐν τῷ ἄστει οὐκέτ' ἐνεωτερίσθη,
ὥστε καὶ ἐπὶ συκοφαντίᾳ τὸν Κικέρωνα διαβληθῆναι,
τὰ δὲ ἐκ τῶν Τυρσηνῶν ἀγγελλόμενα τήν τε αἰτίαν
ἐπιστώσατο καὶ βίας ἐπ' αὐτοῖς γραφὴν τῷ Κατιλίνᾳ
παρεσκεύασε. καὶ ὃς τὰ μὲν πρῶτα καὶ πάνυ αὐτὴν 32
ἑτοίμως ὡς καὶ ἀπὸ χρηστοῦ τοῦ συνειδότος ἐδέξατο
καὶ πρός τε τὴν δίκην δῆθεν ἡτοιμάζετο καὶ τῷ Κι-
κέρωνι αὐτῷ τηρεῖν ἑαυτόν, ὅπως δὴ μὴ φύγῃ που,
παρεδίδου. μὴ προσδεξαμένου δὲ ἐκείνου τὴν φρου- 2
ρὰν αὐτοῦ παρὰ τῷ Μετέλλῳ τῷ στρατηγῷ τὴν δίαι-
ταν ἑκουσίως ἐποιεῖτο, ἵν' ὡς ἥκιστα ὑποπτευθῇ νεω-
τερίζειν τι, μέχρις ἂν καὶ ἐκ τῶν αὐτόθεν συνωμοτῶν

5, 3 ἐστράτευτο Turnebus, ἐστρατεύετο Ma ‖ 5, 5 ἑτέρων (sc. χρημάτων) ⟨δι'⟩ ἔργων ὁμ. Reiske

3 ἰσχυρόν τι προσλάβῃ. ὡς δ' οὐδέν οἱ προεχώρει (ὅ τε
γὰρ Ἀντώνιος φοβηθεὶς ὑπεστέλλετο καὶ ὁ Λέντουλος
ἥκιστα δραστήριος ἦν), προεῖπεν αὐτοῖς νυκτὸς ἐς οἰ-
κίαν τινὰ συλλεγῆναι καὶ λαθὼν τὸν Μέτελλον ἦλθέ
τε πρὸς αὐτοὺς καὶ ἐπετίμησέ σφισιν ἐπί τε τῇ ἀτολ-
4 μίᾳ καὶ ἐπὶ τῇ μαλακίᾳ. κἀκ τούτου διεξελθών, ὅσα
τε πείσοιντο φωραθέντες καὶ ὅσων τεύξοιντο κατορ-
θώσαντες, οὕτως αὐτοὺς καὶ ἐπέρρωσε καὶ παρώξυνεν,
ὥσθ' ὑποσχέσθαι δύο τινὰς ἔς τε τὴν τοῦ Κικέρωνος
οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἐσάξειν κἀνταῦθα αὐτὸν φονεύ-
33 σειν. ὡς δὲ καὶ τοῦτο προεμηνύθη (ὁ γὰρ Κικέρων
πολὺ δυνάμενος συχνούς τε ἐκ τῶν συνηγορημάτων
τοὺς μὲν οἰκειούμενος, τοὺς δὲ ἐκφοβῶν πολλοὺς τοὺς
διαγγέλλοντάς οἱ τὰ τοιαῦτα ἔσχε), μεταστῆναι ἡ γε-
2 ρουσία τὸν Κατιλίναν ἐψηφίσατο. καὶ ὃς ἀσμένως τε
ἐπὶ τῇ προφάσει ταύτῃ ἐξεχώρησε καὶ πρὸς τὰς Φαι-
σούλας ἐλθὼν τόν τε πόλεμον ἄντικρυς ἀνείλετο καὶ
τὸ ὄνομα καὶ τὴν σκευὴν τῶν ὑπάτων λαβὼν καὶ τοὺς
προσυνειλεγμένους ὑπὸ τοῦ Μαλλίου συνεκρότει κἀν
τούτῳ καὶ ἄλλους τινάς, πρῶτον μὲν ἐκ τῶν ἐλευθέ-
3 ρων, ἔπειτα δὲ καὶ ἐκ τῶν δούλων προσεποιεῖτο. ὅθεν-
περ καὶ οἱ Ῥωμαῖοι τήν τε βίαν αὐτοῦ κατεψηφίσαντο
καὶ τὸν Ἀντώνιον ἐς τὸν πόλεμον ἀγνοοῦντές που
τὴν συνωμοσίαν σφῶν ἔστειλαν αὐτοί τε τὴν ἐσθῆτα
μετέβαλον. καὶ διὰ ταῦτα καὶ ὁ Κικέρων κατὰ χώραν
4 ἔμεινεν. εἰλήχει γὰρ τῆς Μακεδονίας ἄρξαι, οὔτε δὲ
ἐς ἐκείνην (τῷ γὰρ συνάρχοντι αὐτῆς διὰ τὴν περὶ
τὰς δίκας σπουδὴν ἐξέστη) οὔτε ἐς τὴν Γαλατίαν τὴν
πλησίον, ἣν ἀντέλαβε, διὰ τὰ παρόντα ἐξήλασεν, ἀλλ'

32, 4, 5 ἐσάξειν D, ἐσήξειν Ma ‖ 33, 1, 2 συνηγορημάτων ⟨καὶ τῶν κατηγοριῶν⟩ vel κατηγοριῶν pro συνηγορημάτων Reiske



αὐτὸς μὲν τὴν πόλιν διὰ φυλακῆς ἐποιήσατο, ἐς δὲ
τὴν Γαλατίαν τὸν Μέτελλον, ὅπως μὴ καὶ ὁ Κατιλίνας
αὐτὴν σφετερίσηται, ἔπεμψε.

καὶ ἐν καιρῷ γε ἐς τὰ μάλιστα τοῖς Ῥωμαίοις κατ- 34
έμεινε. παρασκευαζομένου γὰρ τοῦ Λεντούλου κατα-
πρῆσαί τε τὸ ἄστυ καὶ σφαγὰς ἐργάσασθαι μετά τε
τῶν ἄλλων τῶν συνομωμοκότων καὶ μετὰ Ἀλλοβρίγων,
οὓς κατὰ πρεσβείαν παρόντας ἀνέπεισε συμφρονῆσαί
τε αὐτῷ .... καὶ συλλαβὼν τοὺς ἐπ' αὐτὴν σταλέντας 2
ἔς τε τὸ βουλευτήριον μετὰ τῶν γραμμάτων ἐσήγαγε
καὶ ἄδειαν αὐτοῖς δοὺς πᾶσαν οὕτω τὴν συνωμοσίαν
ἤλεγξε. κἀκ τούτου ὁ Λέντουλος ἀπειπεῖν τὴν στρα-
τηγίαν ὑπὸ τῆς γερουσίας ἀναγκασθεὶς ἐν φρουρᾷ
μετὰ τῶν ἄλλων τῶν συλληφθέντων ἐγένετο, καὶ οἱ
λοιποὶ ἀνεζητοῦντο. καὶ ταῦτα καὶ τῷ δήμῳ ὁμοίως 3
ἤρεσε καὶ μάλιστ' ἐπειδὴ τοῦ Κικέρωνος δημηγοροῦν-
τός τι περὶ αὐτῶν τὸ ἄγαλμα τὸ τοῦ Διὸς ἔς τε τὸ
Καπιτώλιον παρ' αὐτὸν τὸν καιρὸν τῆς ἐκκλησίας ἀν-
ιδρύθη καὶ κατὰ τὴν ὑφήγησιν τῶν μάντεων πρός τε
τὰς ἀνατολὰς καὶ πρὸς τὴν ἀγορὰν βλέπον ἀνετέθη.
ἐπειδὴ γὰρ ἐκεῖνοί τε συνωμοσίαν τινὰ ἐξελεγχθήσε- 4
σθαι ἐκ τῆς τοῦ ἀγάλματος στάσεως εἰρήκεσαν, καὶ ἡ
ἀνάθεσις αὐτοῦ τοῖς φωραθεῖσι συνέβαινε, τό τε θεῖον
ἐμεγάλυνον καὶ τοὺς τὴν αἰτίαν λαβόντας δι' ὀργῆς
μᾶλλον ἐποιοῦντο.

34, 1, 2 καταπρῆσαί τε τὸ ἄστυ B, κ. τέ τινας Ma, κ. τέ τινα Oddey, κ. τε ⟨συνοικίας⟩ τινὰς Reiske, κ. τε τὴν πόλιν N, καταπρήσεις τέ τινας Palmerius ‖ 2, 1 αὐτῷ ....] lacunam supplevit Reiske: ⟨καὶ τοῖς ἄλλοις τοῦ νεωτερισμοῦ κοινωνοῖς· πυθόμενος περὶ τῆς συνωμοσίας ὁ ὕπατος⟩ καὶ ‖ αὐτὴν] αὐτὸν sc. Κατιλίναν Turnebus, quem secutus est Reiske ‖ 4 ὅ ⟨τε⟩? B ‖ 4, 2 στάσεως Gros, πτώσεως Ma

35 διῆλθε μὲν οὖν λόγος, ὅτι καὶ ὁ Κράσσος ἐν αὐ-
τοῖς εἴη, καὶ τοῦτο καὶ τῶν συλληφθέντων τις ἐμή-
νυσεν, οὐ μέντοι πολλοὶ ἐπίστευσαν· οἱ μὲν γὰρ ἀρ-
χὴν οὐδ' ἠξίουν τοιοῦτό τι ἐς αὐτὸν ὑποπτεύειν, οἱ
2 δὲ καὶ ἐκ τῶν ὑπαιτίων ὑπετόπουν αὐτό, ὅπως βοη-
θείας τινὸς διὰ τοῦτο παρ' αὐτοῦ, ὅτι πλεῖστον ἠδύ-
νατο, τύχωσι, λογοποιεῖσθαι. εἰ δ' οὖν τισι καὶ πι-
στὸν ἐδόκει εἶναι, ἀλλ' οὔτι γε ἐδικαίουν ἄνδρα τε ἐν
τοῖς πρώτοις σφῶν ὄντα ἀπολέσαι καὶ τὴν πόλιν ἐπὶ
3 πλεῖον ἐκταράξαι. ὥστε τοῦτο μὲν παντελῶς διέπεσε·
παρασκευαζομένων δὲ δὴ πολλῶν καὶ δούλων καὶ ἐλευ-
θέρων, τῶν μὲν ὑπὸ δέους, τῶν δὲ καὶ οἴκτῳ τοῦ τε Λεν-
τούλου καὶ τῶν ἄλλων ἐξαρπάσαι πάντας αὐτούς, ὅπως
μὴ ἀποθάνωσι, προπυθόμενος τοῦθ' ὁ Κικέρων τό τε
Καπιτώλιον καὶ τὴν ἀγορὰν τῆς νυκτὸς φρουρᾷ προ-
4 κατέσχε καί τινα παρὰ τοῦ δαιμονίου χρηστὴν ἐλπίδα
ἅμα τῇ ἕῳ λαβών, ὅτι ἱερῶν ἐν τῇ οἰκίᾳ αὐτοῦ ὑπὸ
τῶν ἀειπαρθένων ὑπὲρ τοῦ δήμου ποιηθέντων τὸ πῦρ
ἐπὶ μακρότατον παρὰ τὸ εἰκὸς ἤρθη, τὸν μὲν δῆμον
τοῖς στρατηγοῖς ὁρκῶσαι ἐς τὸν κατάλογον, εἰ δή τις
χρεία στρατιωτῶν γένοιτο, ἐκέλευσεν, αὐτὸς δὲ ἐν
τούτῳ τὴν βουλὴν ἤθροισε καὶ σφᾶς συνταράξας τε
καὶ ἐκφοβήσας ἔπεισε θάνατον τῶν συνειλημμένων
36 καταγνῶναι. ἐγένοντο μὲν γὰρ ἀμφίβολοι καὶ παρ'
ὀλίγον αὐτοὺς ἀπέλυσαν. ὁ γὰρ Καῖσαρ πάντων τῶν
πρὸ αὐτοῦ ψηφισαμένων ἀποθανεῖν σφᾶς γνώμην
ἔδωκε δῆσαί τε αὐτοὺς καὶ ἐς πόλεις ἄλλους ἄλλῃ
2 καταθέσθαι τῶν οὐσιῶν ἐστερημένους ἐπὶ τῷ μήτε

35, 2, 4 οὔτι γε] οὗτοί γε οὐκ Reiske, οὗτοι γε B ‖ 5 ἀπο-
λέσαι Reiske, ἀπολέσθαι Ma



περὶ ἀδείας ἔτι αὐτῶν χρηματισθῆναί τί ποτε, κἂν
διαδρᾷ τις, ἐν πολεμίων μοίρᾳ τὴν πόλιν, ἐξ ἧς ἂν
φύγῃ, εἶναι· καὶ τοῦτο πάντες οἱ μετὰ ταῦτα ἀποφη-
νάμενοι μέχρι τοῦ Κάτωνος ἐψηφίσαντο, ὥστε καὶ
τῶν προτέρων τινὰς μεταγνῶναι. ἐπεὶ δὲ οὗτος αὐτός 3
τε [τὸν] θάνατον αὐτῶν κατεδίκασε καὶ τοὺς λοιποὺς
πάντας ὁμοψήφους ἐποιήσατο, οὕτω δὴ ἐκεῖνοί τε ἐκ
τῆς νικώσης ἐκολάσθησαν, καὶ ἐπ' αὐτοῖς καὶ θυσία
καὶ ἱερομηνία ἐψηφίσθη, ὃ μηπώποτε ἐπὶ τοιούτῳ τινὶ
ἐγεγόνει· καὶ οἱ ἄλλοι οἱ μηνυθέντες ἐζητοῦντο, καί
τινες καὶ ἐπὶ τῷ μελλῆσαι συμφρονήσειν αὐτοῖς ὑπο-
πτευθέντες εὐθύνοντο. καὶ τὰ μὲν ἄλλα οἱ ὕπατοι 4
διῴκουν, Αὖλον δὲ Φουλούιον ἄνδρα βουλευτὴν αὐτὸς
ὁ πατὴρ ἀπέσφαξεν οὔτι γε καὶ μόνος, ὥς γέ τισι
δοκεῖ, τοῦτ' ἐν ἰδιωτείᾳ ποιήσας· συχνοὶ γὰρ δὴ καὶ
ἄλλοι, οὐχ ὅτι ὕπατοι, ἀλλὰ καὶ ἰδιῶται παῖδας σφῶν
ἀπέκτειναν.

τότε μὲν δὴ τόδε ἐγένετο, καὶ τὰς αἱρέσεις τῶν 37
ἱερέων γράψαντος μὲν τοῦ Λαβιήνου, σπουδάσαντος
δὲ τοῦ Καίσαρος ἐς τὸν δῆμον αὖθις ὁ ὅμιλος παρὰ
τὸν τοῦ Σύλλου νόμον ἐπανήγαγεν ἀνανεωσάμενος
τὸν τοῦ Δομιτίου. ὁ γὰρ Καῖσαρ τοῦ Μετέλλου τοῦ
εὐσεβοῦς τελευτήσαντος τῆς τε ἱερωσύνης αὐτοῦ καί-
τοι καὶ νέος καὶ μηδέπω ἐστρατηγηκὼς ἐπεθύμησε
καὶ ἐν τῷ πλήθει τὴν ἐλπίδα αὐτῆς διά τε τἆλλα καὶ 2
ὅτι τῷ τε Λαβιήνῳ κατὰ τοῦ Ῥαβιρίου συνηγώνιστο
καὶ τὸν Λέντουλον ἀποθανεῖν οὐκ ἐψήφιστο, λαβὼν

36, 2, 3 διαδρᾷ D, cf. Cobet, Mnemosyne X, p. 194; δια-
δράσῃ Ma ‖ 3, 1 μεταγνῶναι Turnebus, καταγνῶναι Ma ‖ 2 [τὸν]
expunxit Cobet l. l., cf. 37, 42, 2; 60, 33, 3; 68, 1, 2 ‖ 37, 1, 1
τόδε ⟨τ'⟩? B ‖ 2, 2 συνηγώνιστο B, συνηγωίσατο Ma

τοῦτό τε ἔπραξε καὶ ἀρχιέρεως τῶν ποντιφίκων καί-
περ ἄλλων τε τῆς τιμῆς πολλῶν καὶ τοῦ Κατούλου
3 μάλιστα ἀντιποιουμένων ἀπεδείχθη. καὶ γὰρ θερα-
πεῦσαι καὶ κολακεῦσαι πάντα τινὰ καὶ τῶν τυχόντων
ἑτοιμότατος ἐγένετο καὶ οὔτε λόγου οὔτε ἔργου οὐδε-
νὸς ἐς τὸ κατατυχεῖν ὧν ἐσπούδαζεν ἐξίστατο· οὐδὲ
ἔμελέν οἱ τῆς αὐτίκα ταπεινότητος πρὸς τὴν ἐκ τοῦ
ἔπειτα ἰσχύν, ἀλλ' ὧν ἐπεχείρει πρωτεῦσαι, τούτους
ὡς καὶ κρείττονας ὑπήρχετο.

38 τῷ μὲν οὖν Καίσαρι διὰ ταῦθ' οἱ πολλοὶ προσφι-
λεῖς ἦσαν, τὸν δὲ δὴ Κικέρωνα ἐν ὀργῇ ἐπὶ τῷ τῶν
πολιτῶν θανάτῳ ποιούμενοι τά τε ἄλλα ἤχθαιρον καὶ
τέλος ἀπολογεῖσθαί τε καὶ καταλέξαι πάνθ' ὅσα ἐν τῇ
ὑπατείᾳ ἐπεποιήκει, τῇ τελευταίᾳ τῆς ἀρχῆς ἡμέρᾳ ἐθε-
2 λήσαντα (πάνυ γάρ που ἡδέως οὐχ ὅπως ὑφ' ἑτέρων
ἐπῃνεῖτο, ἀλλὰ καὶ αὐτὸς ἑαυτὸν ἐνεκωμίαζεν) ἐσίγα-
σαν οὐδὲ ἐπέτρεψαν αὐτῷ ἔξω τι τοῦ ὅρκου φθέγξα-
σθαι συναγωνιστῇ Μετέλλῳ Νέπωτι δημαρχοῦντι χρη-
σάμενοι, πλὴν καθ' ὅσον ἀντιφιλονεικήσας προσεπώ-
μοσεν, ὅτι σεσωκὼς τὴν πόλιν εἴη.

39 καὶ ὁ μὲν καὶ ἐκ τούτου πολὺ μᾶλλον ἐμισήθη,
a. u. 692 (62) Κατιλίνας δὲ ἐν ἀρχῇ εὐθὺς τοῦ ἔτους, ἐν ᾧ Ἰούνιός
τε Σιλανὸς καὶ Λούκιος Λικίνιος ἦρξαν, ἀπεφθάρη.
τέως μὲν γὰρ καίπερ δύναμιν οὐκ ὀλίγην ἔχων ἐκα-
ραδόκει τὰ τοῦ Λεντούλου καὶ διέμελλεν ἐλπίζων, ἂν
φθάσωσιν ὅ τε Κικέρων καὶ οἱ σὺν αὐτῷ σφαγέντες,
2 ῥᾳδίως τὰ λοιπὰ προσκατεργάσεσθαι· ἐπεὶ δὲ ἐκεῖνόν
τε ἀπολωλότα ἐπύθετο καὶ τῶν συνόντων οἱ συχνοὺς
μεθισταμένους διὰ τοῦτ' ᾔσθετο, ὅ τε Ἀντώνιος καὶ

**39**, 1, 2 Ἰούνιος Xylander, Ἰούλιος Ma ‖ 2, 1 προσκατεργά-
σεσθαι D, προσκατεργάσασθαι Ma



ὁ Μέτελλος ὁ Κέλερ πρὸς ταῖς Φαισούλαις προσεδρεύ-
οντες οὐδαμῇ προελθεῖν αὐτῷ ἐπέτρεπον, ἀποκινδυ-
νεῦσαι ἠναγκάσθη καὶ (ἦσαν γὰρ δίχα ἐστρατοπεδευ-
μένοι) πρὸς τὸν Ἀντώνιον ἐτράπετο καίπερ τῷ ἀξιώ-
ματι προέχοντα τοῦ Μετέλλου καὶ δύναμιν πλείω περι-
βεβλημένον. αἴτιον δέ, ὅτι ἐλπίδα αὐτοῦ κατὰ τὸ 3
συνώμοτον ἐθελοκακήσειν ἔσχεν. ὑποπτεύσας οὖν τοῦτ'
ἐκεῖνος καὶ μήτε δι' εὐνοίας ἔτ' αὐτῷ ἅτε ἀσθενεῖ ὄντι
ὢν (πρός τε γὰρ τὰς δυνάμεις τινῶν καὶ πρὸς τὰ
ἑαυτῶν συμφέροντα καὶ τὰς ἔχθρας τάς τε φιλίας οἱ
πολλοὶ ποιοῦνται) καὶ προσκαταδείσας, μή πως προ- 4
θύμως σφᾶς ἀγωνιζομένους ἰδὼν ἐξονειδίσῃ τι καὶ
προενέγκῃ οἱ τῶν ἀπορρήτων, αὐτὸς μὲν νοσεῖν προ-
εφασίσατο, Μάρκῳ δὲ Πετρηΐῳ τὴν μάχην ἐπέτρεψε.
συμβαλὼν οὖν οὗτός σφισι τὸν Κατιλίναν καὶ ἄλλους 40
τρισχιλίους προθυμότατα ἀγωνιζομένους οὐκ ἀναιμωτὶ
κατέκοψεν· οὔτε γὰρ ἔφυγεν αὐτῶν οὐδείς, καὶ ἐν
χώρᾳ πάντες ἔπεσον, ὥστε καὶ αὐτοὺς τοὺς κρατήσαν-
τας πολὺ τῶν κοινῶν ὀδύρασθαι, ὅτι καὶ τοιούτους
καὶ τοσούτους, εἰ καὶ δικαίως, ἀλλὰ καὶ πολίτας τε
καὶ συμμάχους ἀπωλωλέκεσαν. ὁ δ' οὖν Ἀντώνιος 2
τήν τε κεφαλὴν αὐτοῦ ἐς τὸ ἄστυ, ὅπως πιστεύσαντες
αὐτὸν τετελευτηκέναι μηδὲν ἔτι δεδίωσιν, ἔπεμψε καὶ
αὐτοκράτωρ ἐπὶ τῇ νίκῃ καίτοι τοῦ ἀριθμοῦ τῶν [τε]
πεφονευμένων ἐλάττονος παρὰ τὸ νενομισμένον ὄντος
ἐπεκλήθη. βουθυτηθῆναί τε ἐψηφίσθη, καὶ τὴν ἐσθῆτα
ὡς καὶ πάντων τῶν δεινῶν ἀπηλλαγμένοι μετέβαλον.

2, 5 προελθεῖν Leunclavius, προσελθεῖν Ma ‖ 3, 1 αὐτοῦ]
τοῦ Reiske ‖ 4, 3 προενέγκῃ St ex cod. Taurinensi, προσενέγκῃ
Ma, προσεσενέγκῃ Leunclavius ‖ **40**, 1, 6 τε] γε Pflugk ‖ 2, 3 δε-
δίωσιν D, Cobet, δεδιῶσιν Ma ‖ 2, 4 [τε] del. Gros ‖ 2, 7 μετέ-
βαλλον Ma

41 οὐ μὴν οἵ γε σύμμαχοι οἱ μετασχόντες τῷ Κατι-
λίνᾳ τῶν πραγμάτων καὶ τότε ἔτι περιόντες ἡσύχαζον,
ἀλλὰ καὶ δέει τῆς τιμωρίας ἐταράττοντο. καὶ ἐκείνους
μὲν στρατηγοὶ καθ᾽ ἑκάστους πεμφθέντες προκατέλα-
βον τρόπον τινὰ ἐσκεδασμένους καὶ ἐτιμωρήσαντο·
2 ἕτεροι δὲ τῶν λανθανόντων μηνύσει Λουκίου Οὐετ-
τίου ἀνδρὸς ἱππέως, συγκοινωνήσαντος μέν σφισι τῆς
συνωμοσίας, τότε δὲ ἐπ᾽ ἀδείᾳ αὐτοὺς ἐκφαίνοντος
ἐλεγχόμενοι ἐδικαιοῦντο, μέχρις οὗ ἐσαγγείλας τινὰς
τά τε ὀνόματα αὐτῶν ἐς δελτίον συγγράψας ὕστερον
3 καὶ ἄλλους συχνοὺς προσεγγράψαι ἠθέλησεν. ὑποπτεύ-
σαντες γὰρ αὐτὸν οἱ βουλευταὶ μηδὲν ὑγιὲς πράττειν
τὸ μὲν γραμματεῖον οὐκέτ᾽ αὐτῷ ἔδωκαν, μὴ καὶ ἀπ-
αλείψῃ τινάς, εἰπεῖν δὲ ἀπὸ γλώσσης ἐκέλευσαν, ὅσους
παραλελοιπέναι ἔφασκε. καὶ οὕτως αἰδεσθεὶς καὶ φο-
4 βηθεὶς οὐκέτι πολλοὺς ἐνέδειξε. θορύβου δ᾽ οὖν ⟨καὶ⟩
ὣς ἔν τε τῇ πόλει καὶ παρὰ τοῖς συμμάχοις ἀγνοίᾳ
τῶν ὠνομασμένων ὄντος καὶ τῶν μὲν περὶ σφίσιν
αὐτοῖς μάτην θορυβουμένων, τῶν δὲ καὶ ἐς ἑτέρους
οὐκ ὀρθῶς ὑποπτευόντων ἔδοξε τῇ γερουσίᾳ τὰ ὀνό-
ματα αὐτῶν ἐκτεθῆναι. κἀκ τούτου οἵ τε ἀναίτιοι
κατέστησαν, καὶ τοῖς ὑπευθύνοις δίκαι ἐγένοντο. καὶ
αὐτῶν οἱ μὲν παρόντες, οἱ δὲ καὶ ἐρήμην ὦφλον.

42 Κατιλίνας μὲν ταῦτ᾽ ἐποίησε καὶ οὕτω κατελύθη·
καὶ ἐπὶ πλεῖόν γε τῆς τῶν πραχθέντων ἀξίας ὄνομα
πρὸς τὴν τοῦ Κικέρωνος δόξαν καὶ πρὸς τοὺς λόγους
τοὺς κατ᾽ αὐτοῦ λεχθέντας ἔσχε· Κικέρων δὲ ὀλίγου

41, 1, 3 ἐταράττοντο] ἐτάραττον malit St coll. 37, 43, 1 ‖ 3, 3 αὐτῷ] αὐτῶν Ma ‖ 4, 1 ⟨καὶ⟩ ὣς B, ὡς Ma, ὡς del. Leunclavius, ὣς R ‖ 4 θορυβουμένων] ταραττομένων ? B ‖ 8 παρόντες ⟨ἑάλωσαν⟩ B, sed cf. Thuc. 3, 70, 5 ‖ 42, 1, 2 γε St, τε Ma



μὲν καὶ παραχρῆμα ἐπὶ τῇ τοῦ Λεντούλου τῶν τε ἄλ-
λων τῶν δεθέντων σφαγῇ ἐκρίθη. τὸ δὲ ἔγκλημα 2
τοῦτο λόγῳ μὲν ἐκείνῳ ἐπεφέρετο, ἔργῳ δὲ ἐπὶ τῇ
βουλῇ κατεσκευάζετο· ὡς γὰρ οὐκ ἐξόν σφισιν ἄνευ
τοῦ δήμου θάνατον πολίτου τινὸς καταψηφίσασθαι
πολλὴν καταβοὴν ἐν τῷ ὁμίλῳ πρὸς τοῦ Μετέλλου
τοῦ Νέπωτος ὅτι μάλιστα εἶχον. οὐ μὴν καὶ ὦφλε 3
τότε οὐδέν· τῆς γὰρ γερουσίας ἄδειαν πᾶσι τοῖς δια-
χειρίσασι τὰ τότε πραχθέντα δούσης καὶ προσέτι καὶ
προειπούσης, ὅτι, κἂν αὖθίς τις εὐθῦναί τινα αὐτῶν
τολμήσῃ, ἔν τε ἐχθροῦ καὶ ἐν πολεμίου μοίρᾳ ἔσται,
ἐφοβήθη τε ὁ Νέπως καὶ οὐδὲν ἔτ᾽ ἐκίνησεν.

ἔν τε οὖν τούτῳ ἡ βουλὴ ἐπεκράτησε καὶ ἐν ἐκεί- 43
νῳ, ὅτι τὸν Πομπήιον τοῦ Νέπωτος μεταπεμφθῆναι
σὺν τῷ στρατεύματι (ἐν γὰρ τῇ Ἀσίᾳ ἔτ᾽ ἦν) προ-
φάσει μὲν τοῦ τὰ παρόντα κατασταθῆναι, ἐλπίδι δὲ
τοῦ δι᾽ αὐτοῦ ἅτε τὰ τοῦ πλήθους φρονοῦντος ἰσχύ-
σειν ἐν οἷς ἐτάρασσεν, ἐσηγησαμένου διεκώλυσαν αὐτὸ
κυρωθῆναι. τὰ μὲν γὰρ πρῶτα ὅ τε Κάτων καὶ Κύ- 2
ιντος Μινούκιος δημαρχοῦντες ἀντέλεγον τοῖς γραφεῖσι
καὶ τόν ⟨τε⟩ γραμματέα τὸν ἀναγιγνώσκοντα τήν [τε]
γνώμην ἐπέσχον καὶ τοῦ Νέπωτος τὸ γραμματεῖον,
ὅπως αὐτὸς ἀναλέξῃ, λαβόντος ἐξήρπασαν, ἐπειδή τε
καὶ ὣς ἀπὸ γλώσσης τινὰ εἰπεῖν ἐπεχείρησε, τὸ στόμα
αὐτοῦ ἐπέλαβον. μάχης δὲ ἐκ τούτου καὶ ἐκείνων καὶ 3
ἄλλων τινῶν ἑκατέροις βοηθησάντων ξύλοις καὶ λί-
θοις, ἔτι δὲ καὶ ξίφεσι γενομένης οἱ βουλευταὶ συν-
ῆλθον αὐθημερὸν ἐς τὸ συνέδριον καὶ τά τε ἱμάτια

3, 1 εἶχον] εἶχεν Reiske ‖ 2 τότε ⟨γε⟩ Reiske ‖ 4 προειπούσης Reiske, προσειπούσης Ma ‖ 43, 1, 1 ἐν ἐκείνῳ Reiske, ἐπ᾽ ἐκείνῳ Ma ‖ 2, 3 ⟨τε⟩ inseruit Reiske, quod post τὴν delevit

ἠλλάξαντο καὶ τοῖς ὑπάτοις τὴν φυλακὴν τῆς πόλεως,
4 ὥστε μηδὲν ἀπ' αὐτῆς ἀποτριβῆναι, ἐπέτρεψαν. φο-
βηθεὶς οὖν καὶ τότε ὁ Νέπως ἔκ τε τοῦ μέσου εὐθὺς
ἐξεχώρησε καὶ μετὰ τοῦτο γραφήν τινα κατὰ τῆς
βουλῆς ἐκθεὶς πρὸς τὸν Πομπήιον ἀφώρμησε καίτοι
μηδεμίαν αὐτῷ νύκτα ἀπολιπεῖν ἐκ τῆς πόλεως ἐξόν.
44 γενομένου δὲ τούτου οὐδ' ὁ Καῖσαρ (ἐστρατήγει
δὲ) οὐδὲν ἔτ' ἐνεωτέρισεν. ἔπραττε μὲν γάρ, ὅπως
τὸ μὲν τοῦ Κατούλου ὄνομα ἀπὸ τοῦ ναοῦ τοῦ Διὸς
τοῦ Καπιτωλίου ἀφαιρεθείη (κλοπῆς τε γὰρ αὐτὸν
ηὔθυνε καὶ τὸν λογισμὸν τῶν ἀναλωμένων χρημάτων
ἀπῄτει), τῷ δὲ δὴ Πομπηίῳ τὰ λοιπὰ προσεξεργάσα-
2 σθαι ἐπιτραπείη. ἦν γάρ τινα ὡς ἐν τηλικούτῳ καὶ
τοιούτῳ ἔργῳ ἡμιτέλεστα· ἢ ἐκεῖνός γε ἐπλάττετο
εἶναι, ὅπως ὁ Πομπήιος τήν τε δόξαν τῆς ἐκποιήσεως
αὐτοῦ λάβῃ καὶ τὸ αὐτοῦ ὄνομα ἀντεπιγράψῃ. οὐ μὴν
οὕτω γε χαρίζεσθαι αὐτῷ ἤθελεν, ὥστε καὶ ἐφ' ἑαυτῷ
διὰ τοῦτο ψηφισθῆναί τι τοιοῦτον, οἷον ἐπὶ τῷ Νέ-
πωτι δέδοκται, ὑπομεῖναι. οὐδὲ γὰρ οὐδὲ ἐκείνου
ἕνεκα ταῦτ' ἐποίει, ἀλλ' ἵνα αὐτὸς καὶ διὰ τούτων τὸ
3 πλῆθος σφετερίσηται· καίπερ οὕτω πάντες τὸν Πομ-
πήιον ἐδέδισαν (οὐδέπω γὰρ τὰ στρατεύματα ἀφήσων
δῆλος ἦν), ὥστε, ἐπειδὴ Μᾶρκον Πίσωνα ὑποστράτη-
γον πρὸς αἴτησιν ὑπατείας προύπεμψε, τάς τε ἀρχαι-
ρεσίας, ὅπως ἀπαντήσῃ ἐς αὐτάς, ἀναβαλέσθαι καὶ
παρόντα αὐτὸν ὁμοθυμαδὸν ἀποδεῖξαι. καὶ γὰρ ἐκεῖ-

4, 2 *καὶ τότε* delendum censet Reiske ‖ 5 *ἀπολιπεῖν* Herwerden coll. Thucyd. 3, 10, 2; 5, 4, 4, idem fortasse *ἀποκοιτᾶν* vel *ἀπεῖναι*, *ἀποκοιτεῖν* Schenkl, *ἀπολιπῆναι* Ma, *ἀπολιπῆναι τῆς πόλεως* Reiske ‖ **44**, 2, 7 *δέδοκται*] *λέλεκται* = *εἴρηται* Reiske ‖ 3, 2 *ἐδέδισαν*, quod iam commendaverat St, Naber et Cobet, *ἐδεδείεσαν* Ma ‖ 6 *παρόντα*] *παρόντος* Reiske



νος οὐχ ὅτι τοῖς φίλοις, ἀλλὰ καὶ τοῖς ἐχθροῖς συν-
έστησεν αὐτόν.

κἂν τούτῳ ὁ Καῖσαρ, τοῦ Κλωδίου τοῦ Πουπλίου 45
τὴν γυναῖκα αὐτοῦ ἔν τε τῇ οἰκίᾳ καὶ παρὰ τὴν ποί-
ησιν τῶν ἱερῶν, ἅπερ αἱ ἀειπαρθένοι παρά τε τοῖς
ὑπάτοις καὶ παρὰ τοῖς στρατηγοῖς ἄγνωστα ἐκ τῶν
πατρίων ἐς πᾶν τὸ ἄρρεν ἐπετέλουν, αἰσχύναντος
ἐκείνῳ μὲν οὐδὲν ἐνεκάλεσε (καὶ γὰρ εὖ ἠπίστατο, ὅτι 2
οὐχ ἁλώσεται διὰ τὴν ἑταιρείαν), τὴν δὲ δὴ γυναῖκα
ἀπεπέμψατο εἰπὼν ἄλλως μὲν μὴ πιστεύειν τῷ λεγο-
μένῳ, μὴ μέντοι καὶ συνοικήσειν ἔτ' αὐτῇ δύνασθαι,
διότι καὶ ὑπωπτεύθη ἀρχὴν μεμοιχεῦσθαι· τὴν γὰρ
σώφρονα χρῆναι μὴ μόνον μηδὲν ἁμαρτάνειν, ἀλλὰ
μηδ' ἐς ὑποψίαν αἰσχρὰν ἀφικνεῖσθαι.

τότε μὲν ταῦτά τε ἐγένετο, καὶ ἡ γέφυρα ἡ λιθίνη 3
⟨ἡ⟩ ἐς τὸ νησίδιον τὸ ἐν τῷ Τιβέριδι ὂν φέρουσα
κατεσκευάσθη, Φαβρικία κληθεῖσα. τῷ δὲ ἑξῆς ἔτει 46
ἐπί τε Πίσωνος καὶ ἐπὶ Μάρκου Μεσσάλου ὑπάτων a. u. 693 (61)
μισοῦντές τε ἄλλως οἱ δυνατοὶ τὸν Κλώδιον καὶ ἅμα
καὶ τὸ μίασμα αὐτοῦ ἀποδιοπομπούμενοι, ἐπειδὴ οἱ
ποντίφικες ἀνατυθῆναι τὰ ἱερὰ ὡς οὐχ ὁσίως διὰ
τοῦτο τελεσθέντα ἔγνωσαν, δικαστηρίῳ αὐτὸν παρέδω-
καν, καὶ κατηγορήθη μὲν τῆς τε μοιχείας καίπερ τοῦ 2
Καίσαρος σιωπῶντος καὶ τῆς μεταστάσεως τῆς περὶ
Νίσιβιν καὶ προσέτι καὶ ὅτι τῇ ἀδελφῇ συγγίγνοιτο,
ἀφείθη δὲ καίτοι τῶν δικαστῶν φρουρὰν παρὰ τῆς
βουλῆς, ὅπως μηδὲν κακὸν ὑπ' αὐτοῦ πάθωσι, καὶ

**45**, 1, 1 *Πουπλίου*] *Πομπηίου* Ma ‖ 4 *ἄγνωστα* R, *ἁγνῶς τὰ* Ma ‖ 2, 4 *καὶ* delendum et aut *συνοικεῖν* emendandum aut *δύνασθαι* secludendum censet Herwerden ‖ 3, 2 ⟨ἡ⟩ inseruit St ‖ *τὸ ἐν* Leunclavius, *τότε ἐν* Ma ‖ **46**, 1, 1 *ἔτει* om. Ma

3 αἰτησάντων καὶ λαβόντων. ἐφ' ὥπερ καὶ ὁ Κάτουλος
ἐπισκώπτων ἔλεγεν, ὅτι τὴν φυλακὴν ᾔτησαν, οὐχ ἵνα
ἀσφαλῶς τοῦ Κλωδίου καταψηφίσωνται, ἀλλ' ἵν' αὐτοὶ
τὰ χρήματα, ἃ ἐδεδωροδοκήκεσαν, διασώσωνται. καὶ
ὁ μὲν διαφανέστατα τῶν πώποτε τὸ δημόσιον ἀεὶ πρὸ
4 παντὸς προτιμήσας ἐτελεύτησεν οὐ πολλῷ ὕστερον· ἐν
δὲ δὴ τῷ ἔτει ἐκείνῳ οἵ τε τιμηταὶ πάντας τοὺς ἐν
ταῖς ἀρχαῖς γενομένους ἐς τὸ βουλευτικὸν καὶ ὑπὲρ
τὸν ἀριθμὸν ἐσέγραψαν, καὶ ὁ δῆμος ἄπαυστι μέχρι
τότε τὰς ὁπλομαχίας θεώμενος ἐξανέστη τε μεταξὺ
τοῦ ἔργου καὶ ἄριστον εἵλετο. καὶ τοῦτ' ἐκεῖθεν ἀρ-
ξάμενον καὶ νῦν, ὁσάκις ἂν ὁ τὸ κράτος ἔχων ἀγωνο-
θετῇ, γίγνεται.

47 ἐν μὲν οὖν τῇ πόλει ταῦθ' οὕτως ἐπράχθη, τῶν
δὲ Ἀλλοβρίγων τὴν Γαλατίαν τὴν περὶ Νάρβωνα πορ-
θούντων Γάιος Πομπτῖνος ὁ ἄρχων αὐτῆς τοὺς μὲν
ὑποστρατήγους ἐπὶ τοὺς πολεμίους ἔπεμψεν, αὐτὸς δὲ
ἐν ἐπιτηδείῳ ἱδρυθεὶς ἐπετήρει τὰ γιγνόμενα, ὅπως
κατὰ καιρὸν πρὸς τὸ ἀεὶ χρήσιμον καὶ γνώμην σφίσι
2 διδόναι καὶ ἐπαμύνειν δύνηται. καὶ Μάλλιος μὲν
Λεντῖνος ἐπὶ Οὐαλεντίαν πόλιν στρατεύσας οὕτως
αὐτοὺς κατέπληξεν, ὥστε τοὺς πλείους ἐκδρᾶναι καὶ
τοὺς λοιποὺς ὑπὲρ εἰρήνης πρεσβεύσασθαι. κἀν τούτῳ
συμβοηθησάντων τῶν ἐν τοῖς ἀγροῖς ὄντων καὶ προσ-
πεσόντων αἰφνιδίως τοῦ μὲν τείχους ἀπεώσθη, τὴν
3 δὲ δὴ χώραν ἀδεῶς ἐλεηλάτει, μέχρις οὗ ὅ τε Κατού-
γνατος ὁ τοῦ παντὸς αὐτῶν ἔθνους στρατηγὸς καί

47, 2, 2 *Οὐαλεντίαν* H. J. Heller, Philolog. 1864, p. 149 et E. Blanc, Révue archéol. XXXI (1876) p. 268 sq., quod probavit Herwerden, *Οὐεντίαν* Ma ‖ 2, 3 *κατέπληξεν* Reiske, *κατέπτηξε* Ma ‖ 6 *ἀπώσθη* Ma ‖ 3, 1 *Κατούγνατος*] *καὶ τοῦ γνᾶτος* Ma



τινες καὶ ἄλλοι τῶν παρὰ τὸν Ἴσαρα οἰκούντων ἐπε-
κούρησάν σφισι. τότε γὰρ οὐκ ἐτόλμησε μὲν αὐτοὺς
ὑπὸ τοῦ πλήθους τῶν πλοίων περαιωθῆναι κωλῦσαι,
μὴ καὶ συστραφῶσιν ἰδόντες σφᾶς ἀντιπαρατεταγμέ-
νους. ὑλώδους δὲ τοῦ χωρίου μετὰ τὸν ποταμὸν εὐ- 4
θὺς ὄντος ἐνέδρας ἐν αὐτῷ ἐποιήσατο καὶ τοὺς ἀεὶ
διαβαίνοντας ὑπολαμβάνων ἔφθειρε. φεύγουσι δέ τι-
σιν ἐπισπόμενος περιέπεσεν αὐτῷ Κατουγνάτῳ· κἂν
πασσυδὶ διώλετο, εἰ μὴ χειμὼν σφοδρὸς ἐξαίφνης ἐπι-
γενόμενος ἐπέσχε τοὺς βαρβάρους τῆς διώξεως. καὶ 48
ὁ μὲν μετὰ τοῦτο τοῦ Κατουγνάτου πόρρω ποι ἀφορ-
μήσαντος τήν τε χώραν αὖθις κατέδραμε καὶ τὸ τεῖ-
χος, παρ' ᾧ ἐδυστύχησεν, ἐξεῖλεν· Λούκιος δὲ δὴ
Μάριος καὶ Σερούιος Γάλβας τόν τε Ῥοδανὸν ἐπεραι-
ώθησαν καὶ τὰ τῶν Ἀλλοβρίγων λυμηνάμενοι τέλος
πρὸς Σολώνιον πόλιν ἦλθον καὶ χωρίον μέν τι ὑπὲρ 2
αὐτῆς ἰσχυρὸν κατέλαβον μάχῃ τε τοὺς ἀντιστάντας
σφίσιν ἐνίκησαν καί τινα καὶ τοῦ πολίσματος ξυλίνου
πῃ ὄντος ἐνέπρησαν, οὐ μέντοι καὶ εἷλον αὐτό· ὁ γὰρ
Κατούγνατος ἐπελθὼν ἐκώλυσε. μαθὼν οὖν τοῦτο ὁ
Πομπτῖνος ἐπεστράτευσέ τε ἐπ' αὐτὸν παντὶ τῷ στρατῷ
καὶ πολιορκήσας σφᾶς ἐχειρώσατο πλὴν τοῦ Κατουγνάτου.
καὶ ὁ μὲν καὶ τὰ λοιπὰ ῥᾷον ἐκ τούτου προσκατ- 49
εστρέψατο, Πομπήιος δὲ ἦλθε μὲν ἐς τὴν Ἰταλίαν ἐν a. u.
τῷ χρόνῳ τούτῳ καὶ τόν τε Ἀφράνιον τὸν Λούκιον 694 (60)
καὶ τὸν Μέτελλον τὸν Κέλερα ὑπάτους ἀποδειχθῆναι
ἐποίησεν μάτην ἐλπίσας δι' αὐτῶν πάνθ' ὅσα ἐβου-

48, 1, 5 *Σερούιος* ceteri codices, *Σέργιος* Ma et Leunclavius ‖ 2, 1 *πρὸς Σολώνιον*] *ad Solonem*, Liv. epit. l. 103 ‖ 6 *ἐπ' αὐτὸν* R, *ἐπ' αὐτὸ* Ma ‖ 49, 1, 5 *μάτην ἐλπίσας δι' αὐτῶν* Reiske, *ἐλπίσας δι' αὐτῶν μάτην* Ma

2 λετο καταπράξειν. ἤθελε μὲν γὰρ ἄλλα τε καὶ ἐν τοῖς
μάλιστα χώραν τέ τινα τοῖς συνεστρατευμένοις οἱ δο-
θῆναι καὶ τὰ πεπραγμένα αὐτῷ πάντ' ἐπικυρωθῆναι,
διήμαρτε δὲ σφῶν τότε. οἵ τε γὰρ δυνατοὶ μηδὲ ἐκ
τοῦ πρὶν αὐτῷ ἀρεσκόμενοι διεκώλυσαν αὐτὰ ψηφι-
3 σθῆναι· καὶ αὐτῶν τῶν ὑπάτων Ἀφράνιος μὲν (ὀρχεῖ-
σθαι γὰρ βέλτιον ἤ τι διαπράσσειν ἠπίστατο) πρὸς
οὐδὲν αὐτῷ συνήρατο, Μέτελλος δὲ ὀργῇ, ὅτι τὴν
ἀδελφὴν αὐτοῦ καίτοι παῖδας ἐξ αὐτῆς ἔχων ἀπεπέ-
4 πεμπτο, καὶ πάνυ πρὸς πάντα ἀντέπραξεν. ὅ τε Λού-
κουλλος ὁ Λούκιος, ᾧ ποτε ἐν τῇ Γαλατίᾳ ὁ Πομ-
πήιος ἐντυχὼν ὑπερφρόνως ἐκέχρητο, πολύς τε αὐτῷ
ἐνέκειτο καὶ ἐκέλευσεν αὐτὸν ἰδίᾳ καὶ καθ' ἕκαστον
ὧν ἔπραξεν ἐπεξελθεῖν καὶ μὴ πᾶσιν ἅμα αὐτοῖς τὴν
5 κύρωσιν αἰτεῖν. ἄλλως τε γὰρ δίκαιον εἶναι ἔλεγε μὴ
πάντα ἁπλῶς, ὅσα ἐπεποιήκει, καὶ ἃ μηδεὶς σφῶν
ἠπίστατο ὁποῖα εἶναι, βεβαιωθῆναι ὥσπερ ὑπὸ δεσπό-
του τινὸς γεγενημένα· καὶ ἐπειδὴ καὶ τῶν ἑαυτοῦ ἔρ-
γων κατελελύκει τινά, ἠξίου ἐξετασμὸν ἑκατέρων ἐν
τῇ βουλῇ γενέσθαι, ἵν' ὁπότερ' ⟨ἂν⟩ αὐτοῖς ἀρέσῃ,
κυρώσωσι. καὶ αὐτῷ καὶ ὁ Κάτων ὅ τε Μέτελλος οἵ
τε ἄλλοι οἱ τὰ αὐτά σφισι βουλόμενοι ἰσχυρῶς συν-
50 εμάχουν. τοῦ γοῦν δημάρχου τοῦ τὴν γῆν τοῖς τῷ
Πομπηίῳ συνεξητασμένοις κατανεῖμαι ἐσηγουμένου
προσγράψαντος τῇ γνώμῃ τὸ καὶ πᾶσι τοῖς πολίταις,
ὅπως τοῦτό τε αὐτὸ ῥᾷον ψηφίσωνται καὶ τὰ πρα-
χθέντα αὐτῷ βεβαιώσωσι, κλήρους τινὰς δοθῆναι ἐπὶ
πᾶν ὁ Μέτελλος ἀνθιστάμενος ἐπεξῆλθεν, ὥστε καὶ ἐς

2, 4 τότε ⟨γε⟩ Reiske ‖ μηδὲ Reiske, μήτε Ma ‖ 3, 4 ἀπεπέπεμπτο scripsi coll. Plut. Pomp. 42, ἀπεπέμπετο Ma ‖ 5, 3 ὁποῖα εἶναι] ὁπ. εἶεν R, ὁπ. ἐστιν Reiske, sed cf. 38, 41, 6 ‖ 6 ⟨ἂν⟩ ins. Pflugk



τὸ οἴκημα ὑπ' αὐτοῦ ἐμβληθῆναι καὶ τὴν γερουσίαν
ἐνταῦθα ἀθροῖσαι ἐθελῆσαι. ἐπεί τε ἐκεῖνος (Λούκιος 2
δὲ δὴ Φλαούιος ὠνομάζετο) τό τε βάθρον τὸ δημαρ-
χικὸν ἐν αὐτῇ τῇ ἐσόδῳ αὐτοῦ ἔθηκε καὶ ἐπ' αὐτῷ
καθεζόμενος ἐμποδὼν ὥστε μηδένα ἐσιέναι ἐγίγνετο,
τόν τε τοῖχον τοῦ δεσμωτηρίου διακοπῆναι ἐκέλευσεν,
ὅπως δι' αὐτοῦ ἡ βουλὴ ἐσέλθῃ, καὶ ὡς νυκτερεύσων
κατὰ χώραν παρεσκευάζετο. μαθὼν οὖν τοῦθ' ὁ Πομ- 3
πήιος καὶ αἰσχυνθείς τε ἅμα καὶ δείσας, μὴ καὶ ὁ
δῆμος ἀγανακτήσῃ, προσέταξε τῷ Φλαουίῳ ἀπαναστῆναι.
ἔλεγε μὲν γὰρ ὡς τοῦ Μετέλλου τοῦτ' ἀξιώσαντος, οὐ
μὴν ἐπιστεύετο· τὸ γὰρ φρόνημα αὐτοῦ κατάδηλον
πᾶσιν ἦν. ἀμέλει τῶν ἄλλων δημάρχων ἐξελέσθαι 4
αὐτὸν βουληθέντων οὐκ ἠθέλησεν. οὔκουν οὐδ' αὖθις
ἀπειλήσαντι τῷ Φλαουίῳ μηδὲ ἐς τὸ ἔθνος, ὃ ἐκεκλή-
ρωτο, ἐπιτρέψειν αὐτῷ, εἰ μὴ συγχωρήσειέν οἱ διανο-
μοθετῆσαι, ἐξελθεῖν, ὑπεῖξεν, ἀλλὰ καὶ πάνυ ἄσμενος
ἐν τῇ πόλει κατέμεινεν. ὁ οὖν Πομπήιος, ἐπειδὴ μη- 5
δὲν διά τε τὸν Μέτελλον καὶ διὰ τοὺς ἄλλους διε-
πράξατο, ἔφη μὲν φθονεῖσθαί τε ὑπ' αὐτῶν καὶ τῷ
πλήθει τοῦτο δηλώσειν, φοβηθεὶς δέ, μὴ καὶ ἐκείνου
διαμαρτὼν μείζω αἰσχύνην ὄφλῃ, κατέβαλε τὴν ἀξίω-
σιν. καὶ ὁ μὲν οὕτω γνούς, ὅτι μηδὲν ὄντως ἴσχυεν, 6
ἀλλὰ τὸ μὲν ὄνομα καὶ τὸν φθόνον ἐφ' οἷς ἠδυνήθη
ποτὲ εἶχεν, ἔργῳ δὲ οὐδὲν ἀπ' αὐτῶν ἀπώνητο, μετε-
μέλετο, ὅτι τά τε στρατόπεδα προαφῆκε καὶ ἑαυτὸν
τοῖς ἐχθροῖς ἐξέδωκε· Κλώδιος δὲ ἐπεθύμησε μὲν διὰ 51
τοὺς δυνατοὺς ἐπὶ τῇ δίκῃ δημαρχῆσαι καί τινας τῶν

50, 2, 1 ἐπεί τε] ἐπειδή τε Pflugk ‖ 4, 3 ἐκεκλήρωτο Reiske, ἐνεκεκλήρωτο Ma ‖ 6, 1 ὄντως Reiske, οὕτως Ma ‖ 2 ἐφ' Pflugk, ἐπ Ma

δημαρχούντων προκαθῆκεν ἐσηγήσασθαι τὸ καὶ τοῖς
εὐπατρίδαις τῆς ἀρχῆς μεταδίδοσθαι, ὡς δ' οὐκ ἔπεισε,
τήν τε εὐγένειαν ἐξωμόσατο καὶ πρὸς τὰ τοῦ πλήθους
δικαιώματα ἐς αὐτὸν σφῶν τὸν σύλλογον ἐσελθὼν
2 μετέστη. καὶ ᾔτησε μὲν εὐθὺς τὴν δημαρχίαν, οὐκ
ἀπεδείχθη δὲ ἐναντιωθέντος οἱ τοῦ Μετέλλου· ἐν γέ-
νει τε γὰρ αὐτῷ ἦν καὶ τοῖς πραττομένοις ὑπ' αὐτοῦ
οὐκ ἠρέσκετο. πρόφασιν δὲ ἐποιήσατο, ὅτι μὴ κατὰ
τὰ πάτρια ἡ ἐκποίησις αὐτοῦ ἐγεγόνει· ἐν γὰρ τῇ
ἐσφορᾷ τοῦ φρατριατικοῦ νόμου μόνως ἐξῆν τοῦτο
γίγνεσθαι.

3 ταῦτά τε οὖν οὕτως ἐπράχθη, καὶ ἐπειδὴ τὰ τέλη
δεινῶς τήν τε πόλιν καὶ τὴν ἄλλην Ἰταλίαν ἐλύπει,
ὁ μὲν νόμος ὁ καταλύσας αὐτὰ πᾶσιν ἀρεστὸς ἐγένετο,
τῷ δὲ στρατηγῷ τῷ ἐσενεγκόντι αὐτὸν ἀχθόμενοι οἱ
βουλευταὶ (ὁ γὰρ Μέτελλος ὁ Νέπως ἦν) ἠθέλησαν
τό τε ὄνομα αὐτοῦ ἀπαλεῖψαι ἀπὸ τοῦ νόμου καὶ ἕτε-
4 ρον ἀντεγγράψαι. καὶ οὐκ ἐπράχθη μὲν τοῦτο, κατα-
φανὲς μέντοι πᾶσιν ἐγένετο, ὅτι μηδὲ τὰς εὐεργεσίας
παρὰ τῶν φαύλων ἀνδρῶν ἡδέως ἐδέχοντο. κἀν τῷ
αὐτῷ τούτῳ χρόνῳ Φαῦστος ὁ τοῦ Σύλλου παῖς ἀγῶνά
τε μονομαχίας ἐπὶ τῷ πατρὶ ἐποίησε καὶ τὸν δῆμον
λαμπρῶς εἱστίασε τά τε λουτρὰ καὶ ⟨τὸ⟩ ἔλαιον
προῖκα αὐτοῖς παρέσχεν.

52 ἐν μὲν δὴ τῇ πόλει ταῦτ' ἐγίγνετο, ὁ δὲ δὴ Καῖ-
σαρ τῆς τε Λυσιτανίας μετὰ τὴν στρατηγίαν ἦρξε καὶ
δυνηθεὶς ἂν τὰ ληστικά, ἅπερ που ἀεὶ παρ' αὐτοῖς
ἦν, ἄνευ μεγάλου τινὸς πόνου καθήρας ἡσυχίαν ἔχειν
οὐκ ἠθέλησε· δόξης τε γὰρ ἐπιθυμῶν καὶ τὸν Πομ-

**51**, 1, 3 τὸ Leunclavius, τι Ma ‖ 4, 6 τὸ inseruit Reiske ‖
**52**, 1, 4 καθήρας Reiske, καθῆραι Ma



πήιον τούς τε ἄλλους τοὺς πρὸ αὐτοῦ μέγα ποτὲ δυ-
νηθέντας ζηλῶν οὐδὲν ὀλίγον ἐφρόνει, ἀλλ' ἤλπιζεν, 2
ἄν τι τότε κατεργάσηται, ὕπατός τε εὐθὺς αἱρεθήσε-
σθαι καὶ ὑπερφυᾶ ἔργα ἀποδείξεσθαι διά τε τἆλλα
καὶ ὅτι ἐν τοῖς Γαδείροις, ὅτε ἐταμίευε, τῇ μητρὶ
συγγίγνεσθαι ὄναρ ἔδοξε, καὶ παρὰ τῶν μάντεων ἔμα-
θεν, ὅτι ἐν μεγάλῃ δυνάμει ἔσται. ὅθενπερ καὶ εἰκόνα
Ἀλεξάνδρου ἐνταῦθα ἐν τῷ Ἡρακλέους ἀνακειμένην
ἰδὼν ἀνεστέναξε καὶ κατωδύρατο, ὅτι μηδέν πω μέγα
ἔργον ἐπεποιήκει. ἀπ' οὖν τούτων ἐξὸν αὐτῷ εἰρη- 3
νεῖν, ὥσπερ εἶπον, πρὸς τὸ ὄρος τὸ Ἑρμίνιον ἐτρά-
πετο καὶ ἐκέλευσε τοὺς οἰκήτορας αὐτοῦ ἐς τὰ πεδινὰ
μεταστῆναι, πρόφασιν μέν, ὅπως μὴ ἀπὸ τῶν ἐρυμνῶν
ὁρμώμενοι ληστεύωσιν, ἔργῳ δὲ εὖ εἰδώς, ὅτι οὐκ ἄν
ποτε αὐτὸ ποιήσειαν, κἀκ τούτου πολέμου τινὰ ἀφορ-
μὴν λήψεται. ὃ καὶ ἐγένετο. τούτους τε οὖν ἐς ὅπλα 4
ἐλθόντας ὑπηγάγετο· καὶ ἐπειδὴ τῶν πλησιοχώρων τι-
νὲς δείσαντες, μὴ καὶ ἐπὶ σφᾶς ὁρμήσῃ, τούς τε παῖ-
δας καὶ τὰς γυναῖκας τά τε ἄλλα τὰ τιμιώτατα ὑπὲρ
τὸν Δώριον ὑπεξέθεντο, τὰς πόλεις σφῶν, ἐν ᾧ τοῦτ'
ἔπραττον, προκατέσχε καὶ μετὰ ταῦτα καὶ ἐκείνοις
προσέμιξε. προβαλλομένων τε τὰς ἀγέλας αὐτῶν, ὅπως 5
σκεδασθεῖσι τοῖς Ῥωμαίοις πρὸς τὴν τῶν βοσκημάτων
ἁρπαγὴν ἐπίθωνται, τὰ τετράποδα παρῆκε καὶ αὐτοὺς
ὑπολαβὼν ἐνίκησε. κἀν τούτῳ μαθὼν τοὺς τὸ Ἑρμί- 53
νιον οἰκοῦντας ἀφεστηκέναι τε καὶ ἐπανιόντα αὐτὸν
ἐνεδρεύειν μέλλειν τότε μὲν ἑτέραν ἀνεχώρησεν, αὖθις
δὲ ἐπεστράτευσέ σφισι καὶ κρατήσας πρὸς τὸν ὠκεανὸν
φεύγοντας αὐτοὺς κατεδίωξεν. ἐπειδή τε τὴν ἤπειρον 2

2, 2 τότε ⟨μέγα⟩ Reiske ‖ 5, 3 τετράποδα Reiske, τε στρα-
τόπεδα Ma, βοσκήματα N

ἐκλιπόντες ἐς νῆσόν τινα ἐπεραιώθησαν, αὐτὸς μὲν
(οὐ γὰρ πλοίων εὐπόρει) κατὰ χώραν ἔμεινε, σχεδίας
δὲ συμπήξας μέρος τι τοῦ στρατοῦ δι' αὐτῶν ἔπεμψε
καὶ συχνοὺς ἀπέβαλε· χηλῇ γάρ τινι πρὸς τῇ νήσῳ
οὔσῃ προσχὼν ὁ τὴν ἡγεμονίαν σφῶν ἔχων καὶ [ἅτε]
ὡς καὶ πεζῇ διαβαδίσοντας αὐτοὺς ἐκβιβάσας ἔπειτα
αὐτός τε ὑπὸ τῆς ἀναρροίας ἐκβιασθεὶς ἐξανήχθη καὶ
3 ἐκείνους ἐγκατέλιπε, καὶ αὐτῶν οἱ μὲν ἄλλοι γενναίως
ἀμυνόμενοι ἔπεσον, Πούπλιος δὲ δὴ Σκαιούιος μόνος
τε περιλειφθεὶς καὶ τῆς ἀσπίδος στερηθεὶς πολλά τε
τραυματισθεὶς ἔς τε τὸ ὕδωρ ἐσεπήδησε καὶ διενήξατο.
4 τότε μὲν δὴ ταῦτ' ἐγένετο· ὕστερον δὲ ὁ Καῖσαρ
πλοῖα ἀπὸ Γαδείρων μεταπεμψάμενος ἐς τὴν νῆσον
παντὶ τῷ στρατῷ ἐπεραιώθη καὶ ἀκονιτὶ αὐτοὺς κακῶς
ὑπὸ σιτοδείας ἔχοντας παρεστήσατο. κἀντεῦθεν ἐς
Βριγάντιον πόλιν Καλλαικίας παραπλεύσας τῷ τε ῥο-
θίῳ σφᾶς τοῦ πρόσπλου οὐπώποτε ναυτικὸν ἑορακότας
ἐξεφόβησε καὶ κατεστρέψατο.

54 πράξας δὲ ταῦτα καὶ νομίσας ἱκανὴν ἀπ' αὐτῶν
ἐπιβασίαν πρὸς τὴν ὑπατείαν εἰληφέναι σπουδῇ πρὸς
τὰς ἀρχαιρεσίας, καὶ πρὶν τὸν διάδοχον ἐλθεῖν, ὥρ-
μησε καὶ ἠξίου καὶ πρὸ τοῦ πέμψαι τὰ ἐπινίκια,
ἐπειδὴ μὴ οἷά τε προδιεορτασθῆναι ἦν, αἰτῆσαι αὐτήν.
2 μὴ τυχὼν δὲ τοῦ Κάτωνος ὅτι μάλιστα ἐναντιωθέντος
ἐκεῖνα μὲν εἴασε· καὶ γὰρ ἤλπιζε πολὺ πλείω καὶ

53, 2, 3 οὐ γὰρ R, γὰρ οὐ Ma ‖ 5 χηλῇ Schenkl, γῇ Ma, πέτρᾳ Madvig, adv. crit. III, p. 81 ‖ 6 προσχὼν] προσσχὼν B, Gros ‖ ἅτε aut delendum aut in εὐθέως vel ἀδεῶς vel ἀμελῶς vel ἀπερισκέπτως vel simile adverbium mutandum censet Reiske ‖ 8 ὑπὸ St, ἀπὸ Ma ‖ 4, 5 ῥοθίῳ Turnebus coll. Thucyd. 4, 10, ὀρθίῳ Ma ‖ 54, 1, 2 ἐπιβασίαν St, ἐπίβασιν Xylander, ἐπιβάθραν Cobet, Mnemos. VI, p. 446, ἐπὶ βασιλείαν Ma



μείζω ὕπατος ἀποδειχθεὶς καὶ ἔργα πράξειν καὶ ἐπι-
νίκια πέμψειν. πρὸς γὰρ τοῖς εἰρημένοις, ἐφ' οἷς μέγα
ἀεί ποτε ἐφρόνει, ἵππος τις αὐτῷ διαφυὰς ἐν ταῖς τῶν
προσθίων ποδῶν ὁπλαῖς ἔχων ἐγεννήθη καὶ ἐκεῖνον
μὲν γαυρούμενος ἔφερεν, ἄλλον δὲ ἀναβάτην οὐδένα
ἀνεδέχετο. ὥστε καὶ ἐκ τούτου μικρὸν οὐδὲν προσ- 3
δοκῶν τὰ μὲν νικητήρια ἑκὼν ἀφῆκεν, ἐς δὲ τὴν πό-
λιν ἐσελθὼν καὶ ἐπαγγειλάμενος τὴν ἀρχὴν οὕτω τούς
τε ἄλλους καὶ τὸν Πομπήιον τόν τε Κράσσον ἐξεθε-
ράπευσεν, ὥστε δι' ἔχθρας ἀλλήλοις ἔτι καὶ τότε αὐ-
τοὺς ὄντας καὶ τὰς ἑταιρείας ἔχοντας καὶ πρὸς πάνθ'
ὅσα ὁ ἕτερος τὸν ἕτερον ἐθέλοντα αἴσθοιτο, ἀντιστα-
σιάζοντας προσποιήσασθαι καὶ ὑπὸ πάντων αὐτῶν
ὁμοθυμαδὸν ἀποδειχθῆναι. καίτοι τοῦτο τὴν σοφίαν 4
ἐς τὰ μάλιστα αὐτοῦ τεκμηριοῖ, ὅτι τόν τε καιρὸν καὶ
τὸ μέτρον τῆς θεραπείας αὐτῶν καὶ ἔγνω καὶ διέθετο
οὕτως, ὥστ' ἀμφοτέρους ἅμα καίπερ ἀντιπράττοντάς
σφισι προσθέσθαι.

καὶ οὐδὲ τοῦτ' αὐτῷ ἀπέχρησεν, ἀλλὰ καὶ αὐτοὺς 55
ἐκείνους συνήλλαξεν, οὐχ ὅτι συνενεχθῆναι σφᾶς ἤθε-
λεν, ἀλλ' ὅτι δυνατωτάτους τε ἑώρα ὄντας καὶ εὖ
ἠπίστατο, ὅτι οὔτε χωρὶς τῆς παρ' ἐκείνων ἀμφοτέρων
ἢ καὶ θατέρου βοηθείας μέγα τι ἰσχύσει, κἂν τὸν
ἕτερον ὁποτερονοῦν αὐτῶν προσεταιρίσηται, ἀνταγω-
νιστήν τε διὰ τοῦτο τὸν ἕτερον ἕξει καὶ πλέον ὑπ'
αὐτοῦ σφαλήσεται ἢ ὑπὸ τοῦ συναιρομένου οἱ κατερ-
γάσεται. τοῦτο μὲν γὰρ προθυμότερον ἐδόκουν αὐτῷ 2
πάντες ἄνθρωποι τοῖς ἐχθροῖς ἀντιπράττειν ἢ συν-
αγωνίζεσθαι τοῖς ἐπιτηδείοις, οὐ κατ' ἐκεῖνο μόνον,

4, 4 καίπερ R, Reiske, καθάπερ Ma ‖ 55, 1, 5 ἰσχύσει B, ἰσχύσειε Ma ‖ 8 συναιρομένου St, συναιρουμένου Ma

ὅτι ἥ τε ὀργὴ καὶ τὸ μῖσος σφοδροτέρας τὰς σπουδὰς
πάσης φιλίας ποιεῖ, ἀλλὰ καὶ ὅτι ὁ μὲν ὑπὲρ ἑαυτοῦ,
ὁ δὲ ὑπὲρ ἑτέρου πράττων τήν τε ἡδονὴν κατορθώσας
3 καὶ τὴν λύπην σφαλεὶς οὐχ ὁμοίας ἔχουσι· τοῦτο δὲ
προχειρότερον ἐμποδίζειν τέ τινας καὶ κωλύειν μηδε-
μίαν αὔξησιν λαβεῖν ἢ ἐπὶ μέγα προάγειν ἐθέλειν
διά τε τἆλλα καὶ μάλισθ᾽ ὅτι ὁ μὲν οὐκ ἐῶν τινα
αὐξηθῆναι τοῖς τε ἄλλοις ἅμα καὶ ἑαυτῷ χαρίζεται, ὁ
δὲ ἐξαίρων τινὰ ἐπαχθῆ αὐτὸν ἀμφοτέροις σφίσι ποιεῖ.
56 τούτων δὴ οὖν ἕνεκα καὶ ὁ Καῖσαρ τότε ⟨τε⟩ αὐ-
τοὺς ὑπῆλθε καὶ μετὰ τοῦτο ἀλλήλοις κατήλλαξεν.
οὔτε γὰρ δίχα τούτων δυνήσεσθαί τι ἀεὶ καὶ οὐκ ἂν
θατέρῳ ποτὲ αὐτῶν προσκροῦσαι ἐνόμιζεν οὔτ᾽ αὖ
ἐφοβήθη, μὴ καὶ συμφρονήσαντες κρείττους αὐτοῦ
γένωνται· πάνυ γὰρ εὖ ἠπίστατο, ὅτι τῶν μὲν ἄλλων
εὐθὺς διὰ τῆς ἐκείνων φιλίας, αὐτῶν δ᾽ οὐ πολλῷ
2 ὕστερον δι᾽ ἀλλήλων κρατήσοι. καὶ ἔσχεν οὕτω. [τού-
των μὲν οὖν ἕνεκα καὶ συνεβίβασεν αὐτοὺς καὶ προσ-
εποιήσατο.] καὶ γὰρ ὁ Πομπήιος ὅ τε Κράσσος ὡς
ἀπ᾽ οἰκείας καὶ αὐτοὶ αἰτίας πρός τε ἀλλήλους, ἐπειδὴ
τάχιστα ὥρμησαν, κατελύσαντο καὶ ἐκεῖνον ἐς τὴν κοι-
3 νωνίαν τῶν πραγμάτων προσέλαβον. [ὁ] Πομπήιος μὲν
γὰρ οὔτ᾽ αὐτὸς ὅσον ἤλπισεν ἰσχύων καὶ τὸν Κράσσον
ἐν δυνάμει ὄντα τόν τε Καίσαρα αὐξανόμενον ὁρῶν
καὶ ἔδεισε, μὴ παντάπασιν ὑπ᾽ αὐτῶν καταλυθῇ, καὶ
ἐπήλπισε προσκοινωνήσας σφίσι τῶν παρόντων τὴν
4 ἀρχαίαν δι᾽ αὐτῶν ἐξουσίαν ἀναλήψεσθαι· Κράσσος
δὲ ἠξίου τε πάντων ἀπό τε τοῦ γένους καὶ ἀπὸ τοῦ

3, 2 τινας] τινα malit Leunclavius ‖ **56**, 1, 1 ⟨τε⟩ inseruit Reiske ‖ 2, 1 [τούτων — προσεποιήσατο] secl. B ‖ 3, 1 [ὁ] delevit B ‖ 2 αὐτὸς ὅσον B, αὖ τοσοῦτον ⟨ὡς⟩ R, αὖ τοσοῦτον Ma ‖ 3, 5 ἐπήλπισε] ἔτι ἤλπισε Reiske



πλούτου περιεῖναι, καὶ ἐπειδὴ τοῦ τε Πομπηίου παρὰ
πολὺ ἠλαττοῦτο καὶ τὸν Καίσαρα ἐπὶ μέγα ἀρθήσε-
σθαι ἐνόμιζεν, ἐς ἀντίπαλον αὐτοὺς ἀλλήλοις κατα-
στῆσαι ἠθέλησεν, ὅπως μηδέτερος σφῶν ὑπέρσχῃ,
προσδοκήσας ἐκείνους τε ἀνταγωνιστὰς ἰσοκρατεῖς
ἔσεσθαι, καὶ αὐτὸς ἐν τούτῳ τήν τε ἑκατέρου φιλίαν
ἐκκαρπώσεσθαι καὶ ὑπὲρ ἀμφοτέρους τιμηθήσεσθαι.
ἀκριβῶς μὲν γὰρ οὔτε τὰ τοῦ πλήθους οὔτε τὰ τῆς 5
βουλῆς ἐπολίτευε, τῆς δὲ ἰδίας αὐτοῦ δυναστείας
ἕνεκα πάντ᾽ ἔπραττε καὶ διὰ τοῦθ᾽ ὑπήρχετό τε ἀμφο-
τέρους σφᾶς ὁμοίως καὶ τὴν πρὸς ἑκατέρους ἔχθραν
ἐξέκλινεν ἐπὶ τοσοῦτον ἐν τῷ μέρει κεχαρισμένα ἀμ-
φοῖν σπουδάζων, ἐφ᾽ ὅσον ἔμελλε τοῦ μὲν καταθυμίου
παντὸς ἑκατέροις αἰτιαθήσεσθαι, τῶν δὲ δυσχερεστέ-
ρων μὴ μεταλήψεσθαι.
οὕτω μὲν δὴ καὶ διὰ ταῦτα οἱ τρεῖς τήν τε φιλίαν 57
συνέθεντο καὶ ὅρκοις αὐτὴν πιστωσάμενοι τά τε κοινὰ
δι᾽ ἑαυτῶν ἐποιήσαντο κἀκ τούτου καὶ ἀντεδίδοσάν
σφισι καὶ ἀντελάμβανον παρ᾽ ἀλλήλων, ὅσα ἔν τε ἐπι-
θυμίᾳ εἶχον καὶ πρὸς τὰ παρόντα ἥρμοττεν αὐτοῖς
πράττεσθαι. συμφρονησάντων δὲ ἐκείνων καὶ τὰ ἑται- 2
ρικὰ σφῶν ὡμολόγησαν καὶ ἐποίουν καὶ οὗτοι μετὰ
ἀδείας ὅσα ἤθελον, ἡγεμόσι πρὸς πάντα αὐτοῖς χρώ-
μενοι, ὥστε τὸ σωφρονοῦν ὀλίγον ἔν τε τῷ Κάτωνι,
καὶ εἰ δή τις ἄλλος τὰ αὐτὰ αὐτῷ φρονεῖν δοκεῖν
ἐβούλετο, καταλειφθῆναι. καθαρῶς μὲν γὰρ καὶ ἄνευ 3
τινὸς ἰδίας πλεονεξίας οὐδεὶς τῶν τότε τὰ κοινὰ πλὴν

4, 6 σφῶν ⟨αὐτοῦ⟩ Reiske ‖ 5, 2 αὐτοῦ St, B ‖ 5 ⟨τὰ⟩ κεχαρισμένα Reiske ‖ 7 δυσχερεστέρων Reiske, δυστυχεστέρων Ma ‖ **57**, 2, 1 πράττεσθαι D, παρατάττεσθαι Ma, παραλλάττεσθαι vel προστάττεσθαι Reiske, idem postea παραγίνεσθαι vel διαπράττεσθαι, διατάττεσθαι B ‖ 3, 1 ἐβούλετο Reiske, ἐβουλεύετο Ma

τοῦ Κάτωνος ἔπραττεν· αἰσχυνόμενοι δέ τινες τοῖς δρωμένοις, καὶ ἕτεροι καὶ ζηλοῦν αὐτὸν ἐφιέμενοι προσήπτοντο μέν πῃ τῶν πραγμάτων καί τι τῶν ὁμοίων οἱ διεδείκνυντο, οὐ μὴν καὶ διαρκεῖς ἅτε ἐξ ἐπιτηδεύσεως, ἀλλ' οὐκ ἀπ' ἀρετῆς ἐμφύτου ὁρμώμενοι ἦσαν.

58 ἐς τοῦτο μὲν δὴ τότε τὰ τῶν Ῥωμαίων πράγματα
οἱ ἄνδρες ἐκεῖνοι προήγαγον ἐπὶ πλεῖστον ὅσον τὴν
συνωμοσίαν σφῶν ἀποκρυψάμενοι. ἐποίουν μὲν γὰρ
ὅσα ἐδέδοκτό σφισιν, ἐσχηματίζοντο δὲ καὶ προεβάλ-
λοντο τὰ ἐναντιώτατα, ὅπως ἔτ' ἐπὶ μακρότατον δια-
2 λάθωσι, μέχρις ἂν ἱκανῶς παρασκευάσωνται. οὐ μέν-
τοι καὶ τὸ δαιμόνιον τὰ πραττόμενα ὑπ' αὐτῶν ἠγνόει,
ἀλλὰ καὶ πάνυ τοῖς τι συνεῖναι τῶν τοιούτων δυνα-
μένοις εὐθὺς τότε πάντα τὰ ἔπειτα ἀπ' αὐτῶν ἐσόμενα
3 ἐξέφηνε· χειμών τε γὰρ τοιοῦτος ἐξαίφνης τήν τε πό-
λιν ὅλην καὶ τὴν χώραν ἅπασαν κατέσχεν, ὥστε πάμ-
πολλα μὲν δένδρα πρόρριζα ἀνατραπῆναι, πολλὰς δὲ
οἰκίας καταρραγῆναι, τά τε πλοῖα τὰ ἐν τῷ Τιβέριδι
καὶ πρὸς τὸ ἄστυ καὶ πρὸς τὰς ἐκβολὰς αὐτοῦ ναυλο-
χοῦντα βαπτισθῆναι, καὶ τὴν γέφυραν τὴν ξυλίνην
4 διαφθαρῆναι, καί τι καὶ θέατρον πρὸς πανήγυρίν τινα
ἐκ ξύλων ᾠκοδομημένον ἀνετράπη, καὶ ἄνθρωποι παρὰ
πάντα ταῦτα παμπληθεῖς ἀπώλοντο. ἐκεῖνα μὲν δὴ
οὖν καθάπερ εἰκὼν τῶν μελλόντων σφίσι καὶ ἐν τῇ
γῇ καὶ ἐν τῷ ὕδατι συμβήσεσθαι προεδείχθη.

58, 1, 5 ἔτ' ἐπὶ] ἔτ' aut expungendum aut ὅτι scribendum censet Reiske ‖ 4, 2 ξύλων Lipsius, Σύρων Ma, λαφύρων Leunclavius, σκύλων vel σύλων N, ἰκρίων Naber (coll. 43, 22 θέατρόν τι κυνηγετικὸν ἰκριώσας).

# ΔΙΩΝΟΣ
## ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΗ.

*Τάδε ἔνεστιν ἐν τῷ τριακοστῷ ὀγδόῳ τῶν Δίωνος Ῥωμαικῶν.*

Ὡς ἐστασίασαν Καῖσαρ καὶ Βίβουλος. (c. 1—8.)
Ὡς Κικέρων ἔφυγεν. (c. 9—17.)
Ὡς Κικέρωνα ἐπὶ τῇ φυγῇ Φιλίσκος παρεμυθήσατο. (c. 18—30.)
Ὡς Καῖσαρ Ἑλουητίοις καὶ Ἀριοουίστῳ ἐπολέμησε. (c. 31—50.)

*Χρόνου πλῆθος ἔτη δύο, ἐν οἷς ἄρχοντες οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο.*

Γ. Ἰούλιος Γ. υἱ. Καῖσαρ, Μ. Καλπούρνιος ⟨Βίβουλος⟩.
⟨Λ. Καλπούρνιος⟩ Λ. υἱ. Πίσων, Αὖλ. Γαουίνιος Αὔλ. υἱός.

Τῷ δὲ ἑξῆς ἔτει ὁ Καῖσαρ τὸ σύμπαν θεραπεῦσαι a. u.
πλῆθος ἠθέλησεν, ὅπως σφᾶς ἔτι καὶ μᾶλλον σφετερί- 695 (59)
σηται. βουληθεὶς δὲ καὶ τὰ τῶν δυνατῶν δοκεῖν, ἵνα
μὴ καὶ δι' ἀπεχθείας αὐτῷ ὦσι, πράττειν εἶπέ σφισι
πολλάκις, ὅτι οὔτε γράψοι τι, ὃ μὴ καὶ ἐκείνοις συν-
οίσει, καὶ δὴ γνώμην τινὰ περὶ τῆς χώρας, ἣν παντὶ 2
τῷ ὁμίλῳ κατένειμεν, οὕτω συνέγραψεν, ὥστε μηδὲ
μικρόν τι αὐτῆς αἰτιαθῆναι· καὶ οὐδὲ ταύτην μέντοι

7 Φιλίσκος] Φλίσκος Ma ‖ 13 ⟨Βίβουλος⟩ et 14 ⟨Λ. Καλπούρνιος⟩ inseruit Palmerius; om. Ma ‖ 15 υἱὸς ὕπατος Ma

ἐσοίσειν, εἰ μὴ βουλομένοις σφίσιν εἴη, ἐπλάττετο.
τοῦ μὲν δὴ οὖν νόμου ἕνεκα οὐδεὶς αὐτῷ οὐδὲν ἐπι-
καλέσαι ἠδύνατο· τό τε γὰρ πλῆθος τῶν πολιτῶν
ὑπέρογκον ὄν, ἀφ' οὗπερ καὶ τὰ μάλιστα ἐστασίαζον,
3 πρός τε τὰ ἔργα καὶ πρὸς γεωργίας ἐτράπετο, καὶ τὰ
πλεῖστα τῆς Ἰταλίας ἠρημωμένα αὖθις συνῳκίζετο,
ὥστε μὴ μόνον τοὺς ἐν ταῖς στρατείαις τεταλαιπωρη-
μένους, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας διαρκῆ τὴν
τροφὴν ἔχειν μήτε τῆς πόλεως οἴκοθέν τι δαπανωμέ-
νης μήτε τῶν δυνατῶν ζημιουμένων, ἀλλὰ καὶ τιμὴν
καὶ ἀρχὴν πολλῶν προσλαμβανόντων. τὴν δὲ χώραν
4 τήν τε κοινὴν ἅπασαν πλὴν τῆς Καμπανίδος ἔνεμε
(ταύτην γὰρ ἐν τῷ δημοσίῳ ἐξαίρετον διὰ τὴν ἀρετὴν
συνεβούλευσεν εἶναι) καὶ τὴν λοιπὴν οὔτε παρὰ ἄκον-
τός τινος οὔτ' αὖ, ὅσου ἂν οἱ γεωνόμοι βουληθῶσιν,
ἀλλὰ πρῶτον μὲν παρ' ἑκόντων, ἔπειτα δὲ τοσούτου,
ὅσου ἐν ταῖς ἀπογραφαῖς ἐτετίμητο, ἀγορασθῆναι ἐκέ-
5 λευσε. χρήματά τε γὰρ πολλὰ ἀπό τε τῆς λείας, ἣν
ὁ Πομπήιος εἰλήφει, καὶ ἀπὸ τῶν φόρων τῶν τε τε-
λῶν τῶν προκαταστάντων περιεῖναί σφισιν ἔλεγε καὶ
χρῆναι αὐτὰ ἅτε καὶ τοῖς τῶν πολιτῶν κινδύνοις πε-
6 πορισμένα ἐς αὐτοὺς ἐκείνους ἀναλωθῆναι. καὶ μέν-
τοι καὶ τοὺς γεωνόμους οὔτ' ὀλίγους, ὥστε καὶ δυνα-
στείᾳ τινὶ ἐοικέναι, οὔτ' ἐξ ὑπευθύνων, ὥστε τινὰ
δυσχερᾶναι, καθίστη, ἀλλὰ πρῶτον μὲν τοῦ συχνοὺς
τῆς τιμῆς μετασχεῖν, εἴκοσιν, ἔπειτα δὲ τοὺς ἐπιτη-
7 δειοτάτους πλὴν ἑαυτοῦ. πάνυ γάρ τι τοῦτο προδιω-

1, 5, 3 προκαταστάντων] προσκαταστάντων Ma ‖ 6, 2 οὔτ' ὀλίγους B, μήτ' ὀλίγους Ma ‖ 3 ἐξ ὑπευθύνων offendit Naberum, qui Mnemos. XVI, p. 109 proposuit ἐξ ὑπατευκότων ‖ 4 τοῦ συχνοὺς τῆς τιμῆς μετασχεῖν, εἴκοσι R ex Leunclavi versione, τοῦ συχνοῦ τῆς τιμῆς εἴκοσιν μετασχεῖν Ma ‖ 7, 1 τι B, τοι Ma



μολογήσατο, ὅπως μὴ δι' ἑαυτόν τι γράφειν νομισθείη·
αὐτὸς μὲν γὰρ τῇ τε εὑρήσει καὶ τῇ ἐσηγήσει τοῦ
πράγματος ἠρκεῖτο, ὥς γε ἔλεγε, τῷ δὲ δὴ Πομπηίῳ
καὶ τῷ Κράσσῳ τοῖς τε ἄλλοις φανερῶς ἐχαρίζετο.
ἕνεκα μὲν οὖν τῶν γραφέντων ἀναίτιος ἦν, ὥστε 2
μηδὲ διᾶραι τὸ στόμα ὑπεναντίον οἱ μηδένα τολμῆσαι·
καὶ γὰρ προανέγνω αὐτὰ ἐν τῇ βουλῇ καὶ ὀνομαστὶ
ἕνα ἕκαστον αὐτῶν ἀνακαλῶν ἐπηρώτησε, μή τί τις
αἰτιᾶται, μεταγράψειν ἢ καὶ παντελῶς ἀπαλείψειν, εἴ
γέ τῳ μὴ ἀρέσειέ τι, ὑποσχόμενος. τὸ δὲ δὴ σύμπαν 2
καὶ πάνυ πάντες οἱ δυνατοὶ οἵ γε ἔξω τῆς συνωμοσίας
ὄντες ἐδυσχέραινον. καὶ αὐτό γε τοῦτο αὐτοὺς ἐς τὰ
μάλιστα ἐλύπει, ὅτι τοιαῦτα συγγεγραφὼς ἦν, ὥστε
μήτε τινὰ αἰτίαν δύνασθαι λαβεῖν καὶ πάντας σφᾶς
βαρύνειν· ὑπώπτευον γὰρ αὐτόν, ἐφ' ᾧπέρ που καὶ 3
ἐγίγνετο, τό τε πλῆθος ἀπ' αὐτῶν ἀναρτήσεσθαι καὶ
ὄνομα καὶ ἰσχὺν καὶ ἐπὶ πάντας ἀνθρώπους ἕξειν. καὶ
διὰ τοῦτο, εἰ καὶ μηδεὶς οἱ ἀντέλεγεν, ἀλλ' οὔτι γε
καὶ συνεπῄνουν. τοῖς μὲν δὴ οὖν ἄλλοις ἐξήρκει
τοῦτο, καὶ ἐπηγγέλλοντο μὲν ἀεὶ αὐτῷ προβουλεύσειν,
ἐποίουν δὲ οὐδέν, ἀλλὰ διατριβαὶ καὶ ἀναβολαὶ τὴν
ἄλλως ἐγίγνοντο· ὁ δὲ δὴ Κάτων ὁ Μᾶρκος [ὁ ὕπατος] (ἦν 3
δὲ ἄλλως μὲν ἐπιεικὴς καὶ οὐδενὶ νεοχμῷ ἀρεσκόμενος,
οὐ μὴν καὶ ῥώμην τινὰ οὔτε ἐκ φύσεως οὔτε ἐκ παι-
δείας ἔχων) τοῖς μὲν γεγραμμένοις οὐδὲν οὐδ' αὐτὸς

2, 1, 2 μηδὲ Herwerden, μὴ Ma ‖ 2, 5 μήτε τινὰ B, μηδένα Ma, μηδεμίαν St ‖ 3, 3 καὶ post ἰσχὺν delendum censet Reiske ‖ 4 οὔτοι γε καὶ Reiske, οὔτοι καὶ Oddey, οὔτοι καὶ Ma ‖ 6 ἐπηγγέλλοντο] ἐπηγγέλλετο Ma ‖ 3, 1, 1 [ὁ ὕπατος] delevit R ‖ 3 οὐ μὴν ⟨οὐ⟩ καὶ H. I. Heller ‖ ῥώμην suspectum videtur Herwerdeno coll. iis, quae dicuntur de Catone 42, 57, 2 et 43, 11; forte ⟨πρὸς τοὺς λόγους⟩ ἔχων iam Oddey

ἐπεκάλει, τὸ δ' ὅλον ἠξίου τῇ τε παρούσῃ σφᾶς κατα-
2 στάσει χρῆσθαι καὶ μηδὲν ἔξω αὐτῆς ποιεῖν. καὶ ἐμέλ-
λησε μὲν ἐπὶ τούτοις ὁ Καῖσαρ ἐς τὸ δεσμωτήριον
τὸν Κάτωνα ἐξ αὐτοῦ τοῦ συνεδρίου ἐξελκύσας ἐμβα-
λεῖν· ἐπεὶ δὲ ἐκεῖνός τε ἑτοιμότατα ἑαυτὸν ἀπάγεσθαι
ἐπέδωκε, καὶ τῶν ἄλλων οὐκ ὀλίγοι οἱ ἐφέσποντο, καί
τις αὐτῶν Μᾶρκος Πετρήιος ἐπιτιμηθεὶς ὑπ' αὐτοῦ,
ὅτι μηδέπω διαφειμένης τῆς βουλῆς ἀπαλλάττοιτο, ἔφη,
ὅτι μετὰ Κάτωνος ἐν τῷ οἰκήματι μᾶλλον ἢ μετὰ σοῦ
3 ἐνταῦθα εἶναι βούλομαι, κατῃδέσθη καὶ τόν τε Κά-
τωνα ἀφῆκε καὶ τὴν γερουσίαν ἀπήλλαξε τοσοῦτον
μόνον ὑπειπών, ὅτι ἐγὼ μὲν ὑμᾶς καὶ δικαστὰς τοῦ
νόμου καὶ κυρίους ἐποιησάμην, ὅπως, εἴ τι μὴ ἀρέ-
σειεν ὑμᾶς, μηδ' ἐς τὸν δῆμον ἐσενεχθείη· ἐπεὶ δ' οὐκ
ἐθέλετε προβουλεῦσαι, ἐκεῖνος αὐτὸς αἱρήσεται.
4 κἀκ τούτου οὐδ' ἄλλο τι τῇ γερουσίᾳ ἐν τῇ ἀρχῇ
ταύτῃ ἐπεκοινώνησεν, ἀλλ' ἐς τὸν δῆμον ἄντικρυς
2 πάνθ' ὅσα ἐβούλετο ἐσέφερεν. ἐθελήσας δ' οὖν καὶ
ὣς ὁμογνώμονας τῶν πρώτων τινὰς ἐν τῇ ἐκκλησίᾳ
λαβεῖν (καὶ γὰρ ἤλπιζε μετεγνωκέναι τε αὐτοὺς καί
πῃ καὶ τὸ πλῆθος φοβηθήσεσθαι) ἤρξατο ἀπὸ τοῦ
συνάρχοντος καὶ ἐπύθετο αὐτοῦ, εἰ τὰ τοῦ νόμου
3 μέμφοιτο. ἐπεί τ' ἐκεῖνος οὐδὲν ἀπεκρίνατο πλὴν ὅτι
οὐκ ἂν ἀνάσχοιτο ἐν τῇ ἑαυτοῦ ἀρχῇ νεωτερισθῆναί
τι, αὐτός τε πρὸς ἱκετείαν αὐτοῦ ἐτράπετο καὶ τὸν
ὅμιλον συνδεηθῆναί οἱ ἔπεισεν εἰπών, ὅτι ἕξετε τὸν
νόμον, ἂν οὗτος ἐθελήσῃ. ὁ οὖν Βίβουλος μέγα ἀνα-

2, 6 *Πετρήιος*] *Πετρώνιος* Xiphilinus ‖ 3, 3 *ὑπειπὼν*] *ἐπειπὼν* Herwerden, sed cf. Thuc. 1, 90, 4; 2, 102, 4 et Dio 40, 64, 3; 46, 36, 1; 52, 28, 1; 53, 9, 6; 58, 24, 4; 63, 27, 2 ‖ 6 *ἐθέλετε* B, *ἠθέλετε* Ma ‖ 4, 2, 4 *πῃ*] *τι* Reiske ‖ 5 *εἰ τὰ*] *εἴ τι* Oddey, *εἴ τῳ* Reiske



βοήσας "οὐχ ἕξετε" ἔφη "τὸν νόμον τοῦτον ἐν τῷ
ἔτει τούτῳ, οὐδ' ἂν πάντες ἐθελήσητε". καὶ ὁ μὲν 4
ταῦτ' εἰπὼν ἀπηλλάγη· ὁ δὲ δὴ Καῖσαρ τῶν μὲν ἄλ-
λων τῶν ἐν ταῖς ἀρχαῖς ὄντων οὐδένα ἔτι διήρετο
δείσας, μὴ καὶ ἐκείνων τις ἐναντιωθῇ οἱ, τὸν δὲ δὴ
Πομπήιον τόν τε Κράσσον καίπερ ἰδιωτεύοντας παρ-
αγαγὼν ἐκέλευσε γνώμην περὶ τῶν γεγραμμένων ἀπο-
φήνασθαι, οὐχ ὅτι οὐκ ἠπίστατο τὴν διάνοιαν αὐτῶν 5
(σύμπαντα γὰρ κοινῇ ἔπραττον), ἀλλ' ἵνα αὐτοῖς τε
ἐκείνοις τιμήν, ὅτι καίτοι μηδεμίαν ἀρχὴν ἔχουσι συμ-
βούλοις περὶ τοῦ νόμου χρῷτο, προσθείη καὶ τοὺς
ἄλλους προσκαταπλήξειεν ὁμογνώμονας τοὺς πρώτους
τε ὁμολογουμένως ἐν τῇ πόλει τότε ὄντας καὶ μέγιστον
παρὰ πάντας δυναμένους λαβών, τῷ τε πλήθει καὶ 6
κατ' αὐτὸ τοῦτο χαρίσαιτο τεκμηριῶν, ὅτι μήτ' ἀτό-
που μήτ' ἀδίκου τινὸς ὀρέγοιντο, ἀλλ' ὧν καὶ ἐκεῖ-
νοι καὶ δοκιμασταὶ καὶ ἐπαινέται γίγνοιντο. ὅ τε οὖν 5
Πομπήιος μάλα ἀσμένως "οὐκ ἐγὼ" ἔφη "μόνος, ὦ
Κυιρῖται, τὰ γεγραμμένα δοκιμάζω, ἀλλὰ καὶ ἡ ἄλλη
βουλὴ πᾶσα, δι' ὧν οὐχ ὅτι τοῖς μετ' ἐμοῦ, ἀλλὰ καὶ
τοῖς μετὰ τοῦ Μετέλλου συστρατευσαμένοις ποτὲ γῆν
δοθῆναι ἐψηφίσατο. τότε μὲν οὖν (οὐ γὰρ ηὐπόρει 2
τὸ δημόσιον) εἰκότως ἡ δόσις αὐτῆς ἀνεβλήθη· ἐν δὲ
δὴ τῷ παρόντι (παμπλούσιον γὰρ ὑπ' ἐμοῦ γέγονε)
προσήκει καὶ ἐκείνοις τὴν ὑπόσχεσιν καὶ τοῖς ἄλλοις
τὴν ἐπικαρπίαν τῶν κοινῶν πόνων ἀποδοθῆναι." ταῦτ' 3
εἰπὼν ἐπεξῆλθέ τε καθ' ἕκαστον τῶν γεγραμμένων
καὶ πάντα αὐτὰ ἐπῄνεσεν, ὥστε τὸν ὅμιλον ἰσχυρῶς
ἡσθῆναι. ὁ οὖν Καῖσαρ ἰδὼν τοῦτο ἐκεῖνόν τε ἐπή-

5, 5 *προσκαταπλήξειεν* B, *προσκαταπλήξῃ* Ma

ρετο, εἰ βοηθήσοι οἱ προθύμως ἐπὶ τοὺς τἀναντία
σφίσι πράττοντας, καὶ τῷ πλήθει παρήνεσε προσδεη-
4 θῆναι πρὸς τοῦτο αὐτοῦ. γενομένου δὲ τούτου ἐπαρ-
θεὶς ὁ Πομπήιος, ὅτι τῆς παρ' ἑαυτοῦ ἐπικουρίας
καίπερ μηδεμίαν ἡγεμονίαν ἔχοντος καὶ ὁ ὕπατος καὶ
ὁ ὅμιλος ἔχρῃζεν, ἄλλα τε πολλὰ ἀνατιμῶν τε καὶ
ἀποσεμνύνων ἑαυτὸν διελέξατο καὶ τέλος εἶπεν ὅτι, ἄν
τις τολμήσῃ ξίφος ἀνελέσθαι, καὶ ἐγὼ τὴν ἀσπίδα ἀντ-
5 αναλήψομαι. ταῦθ' οὕτως ὑπὸ τοῦ Πομπηίου λεχθέντα
καὶ Κράσσος ἐπήνεσεν. ὥστ' εἰ καί τισι τῶν ἄλλων
μὴ ἤρεσκεν, . . . οἱ ἄλλως τε ἄνδρες ἀγαθοὶ νομιζόμε-
νοι καὶ πρὸς τὸν Καίσαρα ἐχθρῶς, ὥς γε καὶ ἐδόκουν
σφίσιν, ἔχοντες (οὐ γάρ πω ἡ καταλλαγὴ αὐτῶν ἔκ-
δηλος ἦν) συνῄνουν οἷς ἐγεγράφει, πρόθυμοι πρὸς
τὴν τοῦ νόμου κύρωσιν ἐγένοντο.
6 οὐ μέντοι καὶ ὁ Βίβουλος ἐνεδίδου, ἀλλὰ τρεῖς
δημάρχους συναγωνιστὰς προσθέμενος ἐκώλυε τὸ νο-
μοθέτημα καὶ τέλος, ἐπειδὴ μηκέτ' αὐτῷ μηδεμία ἄλλη
σκῆψις ἀναβολῆς ὑπελείπετο, ἱερομηνίαν ἐς πάσας
ὁμοίως τὰς λοιπὰς τοῦ ἔτους ἡμέρας, ἐν ᾗ οὐδ' ἐς
ἐκκλησίαν ὁ δῆμος ἐκ τῶν νόμων συνελθεῖν ἠδύνατο,
2 προηγόρευσε. καὶ ἐπειδὴ ὅ τε Καῖσαρ βραχὺ αὐτοῦ
φροντίσας ῥητήν τινα ἡμέραν προεῖπεν, ἵν' ἐν αὐτῇ
νομοθετήσῃ, καὶ τὸ πλῆθος νυκτὸς τὴν ἀγορὰν προ-
κατέλαβεν, ἐπῆλθε μετὰ τῶν παρεσκευασμένων καὶ
πρὸς μὲν τὸ Διοσκόρειον, ἀφ' οὗπερ ἐκεῖνος ἐδημηγό-
ρει, διέπεσε τὰ μὲν αἰδοῖ τῶν ἀνθρώπων ὑπεικόντων

5, 5, 1 ἀνταναλήψομαι Naber, ἀναλήψομαι Ma ‖ 3 ἤρεσκεν, . . . ] ⟨ὅμως ἐπεὶ⟩ Leunclavius, ὅτι ἄλλως R, ⟨ἐπειδὴ οὗτ⟩οι, ἄλλως κ. τ. λ. Reiske, ⟨ἀλλ' ὅτι⟩ St ‖ 6, 1, 2 ἐκώλυε D, ἐκώλυσε Ma ‖ 5 ᾗ B, αἷς Ma



οἱ, τὰ δὲ καὶ νομιζόντων αὐτὸν μὴ καὶ ἐναντιωθήσε- 3
σθαί σφισιν, ὡς δὲ ἄνω τε ἐγένετο καὶ ἀντιλέγειν
ἐπειρᾶτο, αὐτός τε κατὰ τῶν ἀναβασμῶν ἐώσθη καὶ
⟨αἱ⟩ ῥάβδοι αὐτοῦ συνετρίβησαν, πληγάς τε καὶ τραύ-
ματα ἄλλοι τε καὶ οἱ δήμαρχοι ἔλαβον. καὶ ὁ μὲν 4
νόμος οὕτως ἐκυρώθη, Βίβουλος δὲ τότε μὲν ἀγαπη-
τῶς ἐσώθη, τῇ δ' ὑστεραίᾳ ἐπείρασε μὲν ἐν τῷ συν-
εδρίῳ αὐτὸν λῦσαι, ἐπέρανε δ' οὐδέν· τῇ γὰρ τοῦ
πλήθους σπουδῇ δεδουλωμένοι πάντες ἡσύχαζον. ἀν- 5
εχώρησέ τε οὖν οἴκαδε καὶ οὐκέτι τὸ παράπαν ἐς τὸ
κοινὸν μέχρι τῆς τελευταίας τοῦ ἔτους ἡμέρας παρῆλ-
θεν, ἀλλ' ἐν τῇ οἰκίᾳ καταμένων ἀεὶ τῷ Καίσαρι,
ὁσάκις γε ἐνεωτέριζέ τι, ἐνετέλλετο διὰ τῶν ὑπηρε-
τῶν, ὅτι ἱερομηνία τε εἴη καὶ οὐδὲν ὁσίως ἐκ τῶν
νόμων ἐν αὐτῇ δύναιτο δρᾶσθαι. ἐπεχείρησε μὲν γὰρ 6
αὐτὸν ἐπὶ τούτοις Πούπλιός τις Οὐατίνιος δήμαρχος
ἐς τὸ οἴκημα καταθέσθαι, τῶν δὲ συναρχόντων οἱ
ἐναντιωθέντων οὐκ ἐνέβαλεν, ἀλλ' ἐκεῖνός τε οὕτω
τῶν πολιτικῶν ἐξέστη καὶ οἱ δήμαρχοι οἱ συνεξετα-
σθέντες αὐτῷ οὐκέτ' οὐδὲν δημόσιον ἔπραξαν. ὁ δ' 7
οὖν Μέτελλος ὁ Κέλερ ὅ τε Κάτων καὶ Μᾶρκος τις
δι' αὐτὸν Φαουώνιος, ζηλωτὴς ἐς τὰ μάλιστα αὐτοῦ
ὤν, τέως μὲν οὔτ' ὤμοσαν [τι] περὶ τοῦ νόμου (τοῦτο
γὰρ ἀρξάμενον τότε, ὥσπερ εἶπον, καὶ ἐπὶ τῶν ἄλλων
τῶν ἀτόπων ἐγίγνετο) καὶ ἀπισχυρίζοντο, ἄλλοι τε
καὶ ὁ Μέτελλος ⟨ὁ⟩ ἐς τὸν Νουμιδικὸν ἀναφέρων, μη-
δέποτε αὐτὸν συνεπαινέσειν· ὡς μέντοι . . . . ἡμέρα, ᾗ 2

3, 1 μὴ καὶ] μηκέτ'? B ‖ 3 ἀναβαθμῶν Leunclavius ‖ 4 ⟨αἱ⟩ addidit Reiske ‖ 6, 2 Οὐατίνιος Fabricius, Ἀτίνιος Ma ‖ 7, 1, 4 [τι] delevit Reiske ‖ 5 τότε Reiske, ποτε Ma ‖ 6 ἄλλοι τε R, ἄλλως τε Ma ‖ 7 ⟨ὁ⟩ ins. R ‖ 2, 1 ὡς μέντοι . . . ἡμέρα] τῇ μ. ἡμέρᾳ Leunclavius, ⟨ἐπέστη⟩ vel tale quid supplendum censet Oddey,

καὶ ἔμελλον⟨τὰ⟩τεταγμένα ἐπιτίμια ὀφλήσειν, ὤμοσαν
ἤτοι κατὰ τὸ ἀνθρώπειον, ὑφ᾽ οὗ πολλοὶ ὑπισχνοῦν-
ταί τέ τι καὶ ἀπειλοῦσι ῥᾷον ἢ καὶ τῷ ἔργῳ ἐπεξίασιν,
ἢ καί, ὅτι μάτην ζημιωθήσεσθαι ἔμελλον μηδὲν ἐκ τῆς
3 ἰσχυρογνωμοσύνης σφῶν τὸ κοινὸν ὠφελήσαντες. ὅ τε
οὖν νόμος οὕτως ἐκυρώθη, καὶ προσέτι καὶ ἡ τῶν
Καμπανῶν γῆ τοῖς τρία τε πλείω τε ἔτι τέκνα ἔχουσιν
ἐδόθη. καὶ διὰ τοῦτο καὶ ἄποικος τῶν Ῥωμαίων ἡ
Καπύη τότε πρῶτον ἐνομίσθη.

4 τὸ μὲν οὖν πλῆθος ἐκ τούτων ὁ Καῖσαρ ἀνηρτή-
σατο, τοὺς δ᾽ ἱππέας τὸ τριτημόριόν σφισι τῶν τελῶν,
ἃ ἐμεμίσθωντο, ἀφείς· πᾶσαί τε γὰρ αἱ τελωνίαι δι᾽
αὐτῶν ἐγίγνοντο, καὶ πολλάκις τῆς βουλῆς δεηθέντες,
ὅπως ἐκδικίας τινὸς τύχωσιν, οὐχ εὕροντο ἄλλων τε
5 καὶ τοῦ Κάτωνος ἀντιπραξάντων. ὡς δ᾽ οὖν καὶ τοῦτο
τὸ ἔθνος μηδ᾽ ἀντειπόντος τινὸς ᾠκειώσατο, πρῶτον
μὲν τὰ πραχθέντα ὑπὸ τοῦ Πομπηίου πάντα μήτε τοῦ
Λουκούλλου μήτ᾽ ἄλλου τινὸς ἀντιστάντος ἐβεβαίωσεν,
ἔπειτα δὲ καὶ ἄλλα πολλὰ διενομοθέτησε μηδενὸς
6 ἐναντιουμένου. οὐδὲ γὰρ οὐδ᾽ ὁ Κάτων ἀντεῖπέ τι
καίπερ ἐν τῇ στρατηγίᾳ, ἣν μετὰ ταῦτα οὐ πολλῷ
ὕστερον ἔσχε, μηδαμοῦ τῆς τῶν νόμων αὐτοῦ προσ-
ηγορίας, ὡς καὶ Ἰουλίων ἐπικαλουμένων, ἐπιμνησθείς·
τὰ γὰρ δικαστήρια κατ᾽ αὐτοὺς ἀποκληρῶν τὸ ὄνομα
αὐτῶν γελοιότατα ἀπεκρύπτετο.

---

ὡς μ. ἡ ἡμ. ⟨ἧκεν⟩, ἐν ᾗ ἔμελλον Reiske ‖ 2 ⟨τὰ⟩ ins. St ‖ 3, 1 ὠφελήσαντες B, ὠφεληθήσεσθαι Ma, quamobrem pro antecedente μηδὲν ἐκ Leunclav. μηδὲ ἐκ, Oddey τῷ μηδὲν ἐκ, Reiske μηδὲν δ᾽ ἐκ scribendum censuerat ‖ 4, 2 τριτημέριον Ma ‖ 3 ἐμεμίσθωντο H. Stephanus, ἐμεμίσθωτο Ma ‖ αἱ B, αὖ Ma ‖ 5, 3 πραχθέντα Xylander, προσταχθέντα Ma ‖ 6, 5 ἀποκληρῶν B, ἀπεκλήρουν Ma ‖ 6 αὐτῶν] αὐτοῦ Ma



τούτους μὲν οὖν, ὅτι πάμπολλοί τέ εἰσι καὶ οὐδ᾽
ὁτιοῦν τῇδε τῇ συγγραφῇ συμβάλλονται, παραλείψω·
Κύιντος δὲ δὴ Φούφιος Καλῆνος ἀναμὶξ πάντων τὰς 8
ψήφους ἔν γε ταῖς φιλονεικίαις (τά τε κρείττω πρὸς
σφᾶς ὡς ἑκάστου τῶν γενῶν ἄγοντος καὶ τὰ ἀτοπώ-
τερα ἐς ἑτέρους ἀπωθοῦντος) οὔσας εὑρὼν ἐνομοθέτησε
στρατηγῶν χωρὶς αὐτοὺς ὡς ἑκάστους ψηφίζεσθαι, ἵν᾽
εἰ μὴ καὶ κατ᾽ ἄνδρα τῷ κρύφα σφᾶς τοῦτο ποιεῖν,
ἀλλὰ τά γε ἔθνη αὐτῶν ἔκδηλα ὅπως φρονοίη γίγνοιτο.

τὰ μὲν οὖν ἄλλα αὐτὸς ὁ Καῖσαρ καὶ ἐσηγεῖτο καὶ 2
συνεβούλευε καὶ διέταττε πάντα καθάπαξ τὰν τῇ πό-
λει ὡς καὶ μόνος αὐτῆς ἄρχων· ὅθενπερ χαριεντιζό-
μενοί τινες τὸ μὲν τοῦ Βιβούλου ὄνομα παντάπασιν
ἀπεσιώπων, τὸν δὲ δὴ Καίσαρα δὶς καὶ ὠνόμαζον καὶ
ἔγραφον Γάιόν τε Καίσαρα καὶ Ἰούλιον Καίσαρα
ὑπατεύειν λέγοντες· τὰ δὲ δὴ καθ᾽ ἑαυτὸν δι᾽ ἑτέρων 3
διῆγε. τοῦτο γὰρ δὴ καὶ πάνυ ἰσχυρῶς ἐφυλάξατο,
μηδὲν αὐτὸς ἑαυτῷ δοῦναι· καὶ διὰ τοῦτο καὶ ῥᾷον
πάνθ᾽ ὅσων ἐπεθύμει κατειργάσατο. αὐτὸς μὲν γὰρ
οὐδενὸς προσδεῖσθαι ἔλεγεν, ἀλλὰ καὶ σφόδρα τοῖς
παροῦσιν ἀρκεῖσθαι ἐσκήπτετο· ἕτεροι δὲ ὡς καὶ 4
ἀναγκαίου καὶ χρησίμου τοῖς πράγμασιν αὐτοῦ ὄντος
καὶ ἐσηγήσαντο ὅσα ἠθέλησε καὶ κυρωθῆναι ἐποίησαν
οὐκ ἐν τῷ πλήθει μόνον, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ γε-
ρουσίᾳ. ὅ τε γὰρ ὅμιλος τοῦ τε Ἰλλυρικοῦ καὶ τῆς 5
Γαλατίας τῆς ἐντὸς τῶν Ἄλπεων ἄρξαι αὐτῷ μετὰ
τριῶν στρατοπέδων ἐπὶ ἔτη πέντε ἔδωκε, καὶ ἡ βουλὴ

---

8, 1, 2 γε Reiske, τε Ma ‖ 3 ἀπώτερα Ma ‖ 6 εἰ μὴ καὶ] εἰ καὶ μὴ Reiske ‖ 7 ἔθνη Leunclavius, ἤθη Ma, γένη Reiske ‖ γίγνοιτο St, γένοιντο Ma ‖ 2, 3 αὐτῆς] αὐτὸς Reiske ‖ 5 δὶς vel ⟨ὡς⟩ δύο Reiske, δύο Ma (cf. Suet. Caes. 20) ‖ 3, 3 ⟨τὸ⟩ μηδὲν St

τήν τε Γαλατίαν τὴν ἐπέκεινα τῶν ὀρῶν καὶ στρατό-
πεδον ἕτερον προσεπέτρεψε.

9 φοβηθεὶς δ' οὖν καὶ ὥς, μή τι ὁ Πομπήιος ἐν τῇ
ἀπουσίᾳ αὐτοῦ, ἐπειδὴ ὁ Γαβίνιος ὁ Αὖλος ὑπατεύ-
σειν ἔμελλε, νεωτερίσῃ, ἐκεῖνόν τε ἅμα καὶ τὸν ἕτε-
ρον ὕπατον Λούκιον Πίσωνα συγγενείας ἀνάγκῃ προσ-
ηταιρίσατο· τῷ μὲν γὰρ Πομπηίῳ τὴν θυγατέρα καί-
περ ἄλλῳ τινὶ ἠγγυηκὼς συνῴκισε καὶ αὐτὸς τὴν τοῦ
2 Πίσωνος ἔγημε. καὶ ὁ μὲν οὕτω πανταχόθεν ἐκρα-
τύνθη, Κικέρων δὲ καὶ Λούκουλλος οὐκ ἀρεσκόμενοι
τούτοις ἀποκτεῖναι τόν τε Καίσαρα καὶ τὸν Πομπήιον
διὰ Λουκίου τινὸς Οὐεττίου ἐπεχείρησαν μέν, οὐκ
ἠδυνήθησαν δέ, ἀλλ' ὀλίγου καὶ αὐτοὶ προσαπώλοντο.
προμηνυθεὶς γὰρ ἐκεῖνος καὶ συλληφθείς, πρίν τι
3 δρᾶσαι, κατεῖπεν αὐτῶν· καὶ εἴ γε μὴ καὶ τὸν Βίβου-
λον ὡς καὶ συνεπιβουλεύοντά σφισιν ἐσηγγέλκει, πάν-
τως ἄν τι δεινὸν ἐπεπόνθεσαν· νῦν δέ, ὅτι τοῦτον τῷ
Πομπηίῳ τὸ πραττόμενον δηλώσαντα ἀμυνόμενος ᾐτι-
ᾶτο, ὑπωπτεύθη μηδὲ ἐπὶ τῶν λοιπῶν ἀληθεύειν, ἀλλ'
ἐκ κατασκευασμοῦ τινος πρὸς συκοφαντίαν τῶν ἀντι-
στασιωτῶν σφῶν παρεσκευάσθαι. καὶ περὶ μὲν τού-
4 των ἄλλοι ἄλλα διεθρύλουν· οὐ γάρ που καὶ διηλέγ-
χθη τι, ἀλλ' ἐς τὸ πλῆθος ὁ Οὐέττιος ἐσαχθεὶς καὶ
μόνους οὓς εἶπον ὀνομάσας ἔς τε τὸ οἴκημα ἐσέπεσε
10 κἀνταῦθα οὐ πολλῷ ὕστερον ἐδολοφονήθη· ὕποπτος
δ' οὖν ἐκ τούτων ὁ Κικέρων τῷ τε Καίσαρι καὶ τῷ
Πομπηίῳ γενόμενος ἐβεβαιώσατο τὴν ὑπόνοιαν ἐν τῇ
ὑπὲρ τοῦ Ἀντωνίου ἀπολογίᾳ. οὗτος γὰρ πολλὰ μὲν

**9**, 1, 4 *συγγενείας* Reiske, *συγγενεῖς* Ma ‖ 2, 4 *Οὐεττίου*] *Ὀνεπτίου* Ma ‖ 3, 6 *τῶν*] *ὑπὸ τῶν* Reiske ‖ 4, 1 *διελέγχθη* Ma ‖ **10**, 1, 2 *δ'* B, *τε* Ma



καὶ δεινὰ καὶ τὸ ὑπήκοον τὸ ἐν τῇ Μακεδονίᾳ, ἄρξας
αὐτῆς, καὶ τὸ ἔνσπονδον εἰργάσατο, πολλὰ δὲ καὶ
ἀντέπαθε. τά τε γὰρ τῶν Δαρδάνων καὶ τὰ τῶν πλη- 2
σιοχώρων σφίσι πορθήσας οὐκ ἐτόλμησεν ἐπιόντας
αὐτοὺς ὑπομεῖναι, ἀλλ' ὡς καὶ ἐπ' ἄλλο τι μετὰ τῶν
ἱππέων ὑποχωρήσας ἔφυγε, καὶ οὕτω τοὺς πεζοὺς
ἐκεῖνοι περισχόντες ἔκ τε τῆς χώρας βιαίως ἐξήλασαν
καὶ τὴν λείαν προσαφείλοντο. τὸ δ' αὐτὸ τοῦτο καὶ 3
περὶ τοὺς συμμάχους τοὺς ἐν τῇ Μυσίᾳ ποιήσας ἡτ-
τήθη ⟨πρὸς⟩ τῇ τῶν Ἰστριανῶν πόλει πρὸς τῶν Σκυ-
θῶν τῶν Βασταρνῶν ἐπιβοηθησάντων αὐτοῖς καὶ ἀπ-
έδρα. οὐ μέντοι καὶ ἐπὶ τούτοις αἰτίαν ἔσχεν, ἀλλ'
ἐγράφη μὲν ἐπὶ τῇ τοῦ Κατιλίνου συνωμοσίᾳ, ἑάλω
δὲ δι' ἐκεῖνα, καὶ συνέβη αὐτῷ, ὧν μὲν ἐκρίνετο, μὴ
ἐλεγχθῆναι, ὧν δ' οὐκ ᾐτιάζετο, κολασθῆναι. καὶ ὁ 4
μὲν οὕτως ἀπήλλαξεν, ὁ δὲ δὴ Κικέρων ὑπὲρ αὐτοῦ
τότε ἅτε καὶ συνάρχοντός οἱ ὑπερδικῶν πλείστην κατὰ
τοῦ Καίσαρος ὡς καὶ αἰτίου τῆς δίκης αὐτῷ γεγε-
νημένου καταδρομὴν ἐποιήσατο καί τινα αὐτῷ καὶ
προσελοιδόρησεν. ὁ δ' ἤχθετο μὲν ἐπ' αὐτοῖς ὥσπερ 11
εἰκὸς ἦν, οὐ μὴν οὔτ' εἶπεν οὔτ' ἔπραξεν ὑβριστικὸν
ἐς αὐτὸν οὐδὲν καίπερ ὑπατεύων. τοὺς γὰρ πολλοὺς
ἔλεγε συχνὰ καὶ μάταια ἐξεπίτηδες ἐς τοὺς κρείττονας
σφῶν ἐς φιλονεικίαν αὐτοὺς ὑπάγοντας . . . , ἵν' ἴσοι
σφίσι καὶ ὅμοιοι, ἄν γέ τι ὁμοιότροπον ἀντακούσωσι,
δόξωσιν εἶναι· καὶ οὐκ ἠξίου ἀντίπαλον ἐκ τούτου
οὐδένα ἑαυτῷ ποιεῖν. καὶ διὰ τοῦτο τοῖς τε ἄλλοις 2

1, 6 *ἔνσπονδον* Oddey (cf. Dio 38, 36, 5; 41, 55, 3; 51, 23, 4; 54, 9, 1), *ἔκσπονδον* Ma ‖ 3, 3 ⟨*πρὸς*⟩ inseruit Leunclavius coll. Dio 51, 26, 5, ⟨*ἐπὶ*⟩ St ‖ 4, 3 *συνάρχοντος*] *συνάρξαντος* Reiske ‖ 4 *αὐτῷ* R, *αὐτῶν* Ma ‖ **11**, 1, 5 *ὑπάγοντας* B, *ὑπαγαγόντας* Ma ‖ lacunam statuit Reiske, quam supplevit ⟨*ἀπορρίπτειν*⟩

τοῖς τι προπηλακίζουσιν αὐτὸν οὕτω προσεφέρετο καὶ
τότε τὸν Κικέρωνα ὁρῶν οὐχ ἑαυτῷ [τι] τοσοῦτον λοι-
δορήσασθαι ἐθέλοντα, ὅσον ἀντακοῦσαί τι τῶν ὁμοίων,
ὥς γε καὶ παρισωθῆναί οἱ ἐπιθυμοῦντα, βραχύ τε
αὐτοῦ ἐφρόντισε καὶ οὐδὲν ὧν ἔλεγε προσεποιήσατο,
ἀλλ' εἴα αὐτὸν ἀφθόνως, καθάπερ τισὶν ἐπαίνοις ἑαυ-
3 τοῦ, ταῖς λοιδορίαις χρῆσθαι. οὐ μέντοι καὶ παντά-
πασιν ὀλιγώρως αὐτοῦ ἔσχεν. ἐπιεικεστέραν μὲν γὰρ
ὄντως φύσιν εἰλήχει καὶ οὐ πάνυ ῥᾳδίως ἐθυμοῦτο·
συχνοὺς δ' οὖν ἅτε καὶ ἐν τοσούτοις πράγμασιν ἐδι-
καίου, οὐ μὴν ὥστε καὶ δι' ὀργῆς ἢ καὶ παραχρῆμα
4 πάντως αὐτὸ ποιεῖν. θυμῷ μὲν δὴ οὐδὲν ἐχαρίζετο,
τοῦ δὲ δὴ καιροῦ διεσκόπει καὶ τούς γε πλείους οὐδὲ
αἰσθανομένους μετῄει. οὐ γὰρ ὅπως δόξειεν ἀμύνε-
σθαί τινας ἔπρασσεν, ἀλλ' ὅπως ὅτι ἀνεπιφθονώτατα
πρὸς τὸ συμφέρον ἑαυτῷ πάντα διοικήσειε. καὶ διὰ
τοῦτο καὶ ἀδήλως καὶ ἐν οἷς ἥκιστα ἄν τις προσεδό-
5 κησε, τὰς τιμωρίας ἐπῆγε τῆς τε φήμης ἕνεκα, τοῦ
μὴ δοκεῖν ὀργίλως ἔχειν, καὶ τοῦ μή τινα προαισθα-
νόμενον προφυλάξασθαι ἢ καὶ προποιῆσαί τι δεινὸν
αὐτόν, πρὶν παθεῖν, ἐπιχειρῆσαι. οὐ γὰρ τῶν ἤδη
6 γεγονότων μᾶλλόν τι αὐτῷ ἔμελεν ἢ ἵνα . . . . καὶ λυ-
θείη. κἀκ τούτου πολλοῖς μὲν καὶ τῶν μεγάλα αὐτὸν
λυπησάντων συνεγίγνωσκεν ἢ καὶ ἐπὶ βραχὺ ἐπεξῄει,
ὅτι οὐδὲν ἔτι κακουργήσειν αὐτοὺς ἐπίστευε· πολλοὺς
δὲ καὶ ἐπὶ πλεῖον τοῦ καθήκοντος ἐς ἀσφάλειαν ἐτι-
μωρεῖτο λέγων, ὅτι τὸ μὲν . . . . οὐκ ἄν ποτε ἀγένητον
. . . τῆς κολάσεως ὑπερβολῇ πάντως τι δεινὸν πείσεται.

2, 3 [τι] delevit B ‖ 5 ὥς γε Pflugk, ὥστε Ma ‖ 3, 2 αὐτοῦ] αὐτῶν Leunclavius (sc. τῶν λοιδοριῶν) ‖ 3 ὄντως] πως Reiske ‖ 6, 1 ἢ ἵνα . . . καὶ λυθείη] lacunam vidit Xylander, ἢ ἵνα μὴ λυπηθείη Leunclavius, ἢ ἵνα καταλυθείη R, ἢ ἵνα ⟨τὰ μέλλοντα⟩



ἐξ οὖν τούτων τῶν λογισμῶν καὶ τότε αὐτὸς μὲν 12
τὴν ἡσυχίαν ἦγε, τὸν δὲ δὴ Κλώδιον ἀντιχαρίσασθαί
τι αὐτῷ, ὅτι τῆς μοιχείας αὐτοῦ οὐ κατηγόρησε, βου-
λόμενον αἰσθόμενος παρεσκεύασε κρύφα κατὰ τοῦ Κι-
κέρωνος. καὶ πρῶτον μὲν ἐς τὰ τοῦ πλήθους δικαιώ- 2
ματα αὖθις αὐτόν, ὅπως νομίμως ἐκποιηθῇ, συμπράτ-
τοντος αὐτῷ καὶ τοῦ Πομπηίου μετέστησεν, ἔπειτα δὲ
δήμαρχον εὐθὺς ἀποδειχθῆναι διεπράξατο. οὗτος οὖν 3
ὁ Κλώδιος ἐπεστόμισε μὲν καὶ τὸν Βίβουλον ἐσελθόντα
τε ἐς τὴν ἀγορὰν ἐπ' ἐξόδῳ τῆς ἀρχῆς καὶ διανοού-
μενον μετὰ τῆς τοῦ ὅρκου πιστώσεως καὶ περὶ τῶν
παρόντων δημηγορῆσαι, ἐπέθετο δὲ καὶ τῷ Κικέρωνι.
καὶ ἐπειδὴ μὴ ἐδόκει οἱ ῥᾴδιον εἶναι, ἄνδρα πάμπολυ 4
ἐν τῇ πολιτείᾳ διὰ τὴν τῶν λόγων δεινότητα δυνά- a. u.
μενον καταλῦσαι, τρέπεται πρὸς οἰκείωσιν οὐχ ὅτι τοῦ 696 (58)
πλήθους, ἀλλὰ καὶ τῶν ἱππέων τῆς τε βουλῆς, παρ'
οἷσπερ που καὶ ὁ Κικέρων πλεῖστος ἐφέρετο, ἐλπίσας,
ἂν τούτους σφετερίσηται, ῥᾳδίως αὐτὸν ἅτε καὶ διὰ
φόβον μᾶλλον ἢ δι' εὔνοιαν ἰσχύοντα καθαιρήσειν.
παμπληθεῖς γὰρ ἐκ τῶν λόγων ἐλύπει, καὶ οὐκ ἐς το- 5
σοῦτον οἵ τι ὠφελούμενοι ὑπ' αὐτοῦ ᾠκειοῦντο, ἐς
ὅσον οἱ βλαπτόμενοι ἠλλοτριοῦντο. πρὸς γάρ τοι τῷ
τοὺς πλείους τῶν ἀνθρώπων προχειρότερον ἐπὶ τοῖς
δυσχερεστέροις ἀγανακτεῖν ἢ τῶν ἀμεινόνων χάριν τι-
σὶν ἔχειν καὶ τοῖς μὲν συναγορεύσασί σφισιν ἀποδε-
δωκέναι τὸν μισθὸν νομίζειν, τοὺς δ' ἀντιδικήσαντας
ἀμύνεσθαι τρόπον τινὰ προαιρεῖσθαι, πικροτάτους 6

κωλυθείη Reiske ‖ 6, 6 μὲν . . . οὐκ ἄν ποτε ἀγένητον . . .] lacunas iam vidit Leunclavius, qui supplevit ὅτι τὸ μὲν ⟨γεγονὸς⟩ οὐκ ἄν ποτε ἀγένητον ⟨γένοιτο⟩, τῆς ⟨δὲ⟩ κ. ὑ. π. ⟨οὐκέτι⟩ τι δ. π.; Reiske: τὸ μὲν ⟨γεγονὸς⟩ οὐκ ἄν ποτε ἀγένητον ⟨ποιήσειεν· εἰ δὲ τοῦ μέλλοντος (vel τοῦ ἔπειτα) μὴ προσκοποίη, τῇ⟩ τῆς κ. ὑ. π. δι δ. π.

ἐχθροὺς ἑαυτῷ ἐσεποίει περιεῖναί τε καὶ τῶν κρατί-
στων ἀεί ποτε ἐπιχειρῶν καὶ τῇ παρρησίᾳ πρὸς πάν-
τας ὁμοίως ἀκράτῳ καὶ κατακορεῖ χρώμενος ἅτε καὶ
τὴν δόξαν τοῦ δύνασθαι συνεῖναί τε καὶ εἰπεῖν ἃ
μηδεὶς ἄλλος, καὶ πρὸ τοῦ χρηστὸς εἶναι δοκεῖν θη-
7 ρώμενος. ἔκ τε οὖν τούτου καὶ διότι μέγιστόν τε
ἀνθρώπων ηὔχει καὶ οὐδένα ἐξ ἴσου ἑαυτῷ ἦγεν, ἀλλὰ
ἔν τε τοῖς λόγοις ὁμοίως καὶ ἐν τῷ βίῳ πάντας τε
ὑπερεφρόνει καὶ ἰσοδίαιτος οὐδενὶ ἠξίου εἶναι, φορ-
τικός τε καὶ ἐπαχθὴς ἦν καὶ ἀπὸ τούτων καὶ ὑπ' αὐ-
τῶν ἐκείνων, οἷς ἤρεσκε, καὶ ἐφθονεῖτο καὶ ἐμισεῖτο.
13 ὁ οὖν Κλώδιος ἐλπίσας αὐτὸν διὰ ταῦτα, ἂν τήν τε
βουλὴν καὶ τοὺς ἱππέας τόν τε ὅμιλον προπαρασκευά-
σηται, ταχὺ κατεργάσεσθαι τόν τε σῖτον προῖκα αὖθις
διένειμε (τὸ γὰρ μετρεῖσθαι τοῖς ἀπόροις τοῦ τε Γα-
βινίου ἤδη καὶ τοῦ Πίσωνος ὑπατευόντων ἐσηγήσατο)
2 καὶ τὰ ἑταιρικὰ κολλήγια ἐπιχωρίως καλούμενα, ὄντα
μὲν ἐκ τοῦ ἀρχαίου, καταλυθέντα δὲ χρόνον τινά,
ἀνενεώσατο· τοῖς τε τιμηταῖς ἀπηγόρευσε μήτ' ἀπαλεί-
φειν ἔκ τινος τέλους μήτ' ἀτιμάζειν μηδένα, χωρὶς ἢ
3 εἴ τις παρ' ἀμφοτέροις σφίσι κριθεὶς ἁλοίη. τούτοις
οὖν αὐτοὺς δελεάσας καὶ ἕτερόν τινα νόμον ἔγραψε,
περὶ οὗ διὰ πλειόνων ἀναγκαῖόν ἐστιν εἰπεῖν, ὅπως
σαφέστερος τοῖς πολλοῖς γένηται. τῆς γὰρ μαντείας
τῆς δημοσίας ἔκ τε τοῦ οὐρανοῦ καὶ ἐξ ἄλλων τινῶν,
ὥσπερ εἶπον, ποιουμένης, τὸ μέγιστον κῦρος ἡ ἐκ τοῦ
οὐρανοῦ εἶχεν, οὕτως ὥστε τὰ μὲν ἄλλα οἰωνίσματα

12, 6, 2 ἐσεποίει] ἐποίει R, ἐπεποιήκει Reiske ‖ 5 συνεῖναι] συνιέναι Leunclavius ‖ 7, 3 λόγοις ὁμοίως Reiske, λογισμοῖς ὡς Ma ‖ 3 ἐν ante τῷ βίῳ delevit Reiske ‖ 13, 2, 1 ⟨τὰ⟩ κολλήγια ? B ‖ 2 χρόνον ⟨ἤδη⟩ vel ⟨δὴ⟩ Reiske



πολλὰ καὶ καθ' ἑκάστην πρᾶξιν, ἐκεῖνο δὲ ἐσάπαξ ἐπὶ
πάσῃ τῇ ἡμέρᾳ γίγνεσθαι. τοῦτό τε οὖν ἰδιώτατον 4
ἐν αὐτῷ ἦν, καὶ ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων ἢ
ἐπέτρεπε πραχθῆναί τινα, καὶ ἐγίγνετο μηδενὸς ἔτι
καθ' ἕκαστον οἰωνίσματος ἐπαγομένου, ἢ ἐκώλυε, καὶ
ἀνεχειρίζετό τι, τὰς δὲ δὴ τοῦ δήμου διαψηφίσεις
πάντως ἐπῖσχεν, καὶ ἦν πρὸς αὐτὰς ἀεὶ διοσημία, εἴτε
ἐναίσιον εἴτε ἐξαίσιον ἐγένετο. καὶ τὸ μὲν αἴτιον τῆς 5
νομίσεως ταύτης οὐκ ἔχω φράσαι, γράφω δὲ τὰ λεγό-
μενα. ἐπεὶ οὖν πολλοὶ ἐμποδίζειν ἢ νόμων ἐσφορὰς
ἢ ἀρχόντων καταστάσεις ἐς τὸν δῆμον ἐσαγομένας
βουλόμενοι προεπήγγελλον ὡς καὶ ἐκ τοῦ οὐρανοῦ τὴν
ἡμέραν ἐκείνην μαντευσόμενοι, ὥστε μηδεμίαν ἐν αὐτῇ
κύρωσιν τὸν δῆμον σχεῖν, φοβηθεὶς ὁ Κλώδιος, μὴ 6
γραψαμένου αὐτοῦ τὸν Κικέρωνα ἀναβολήν τέ τινες
ἐκ τοῦ τοιούτου καὶ τριβὴν τῇ δίκῃ ἐμποιήσωσιν, ἐσ-
ήνεγκε μηδένα τῶν ἀρχόντων ἐν ταῖς ἡμέραις, ἐν αἷς
ψηφίσασθαί τι τὸν δῆμον ἀναγκαῖον εἴη, τὰ ἐκ τοῦ
οὐρανοῦ γιγνόμενα παρατηρεῖν.

τοιαῦτα μὲν τότε ἐπὶ τὸν Κικέρωνα συνέγραψε. 14
καὶ ἐπειδὴ ἐκεῖνος συνεὶς τὸ γιγνόμενον Λούκιον
Νίννιον Κουαδρᾶτον δημαρχοῦντα ἐναντιωθῆναι πᾶσί
σφισιν ἀντιπαρεσκεύασεν, ἔδεισε, μὴ καὶ θόρυβος ἐκ
τούτου καὶ διατριβή τις γένηται, καὶ ὑπῆλθεν αὐτὸν
ἀπατήσας. προδιομολογησάμενος γὰρ αὐτῷ μηδ' ὁτι- 2
οῦν, ἂν μηδὲν τῶν νομοθετουμένων ἐμποδίσῃ, κατ'
αὐτοῦ γράψειν, ἔπειτα τὴν ἡσυχίαν καὶ ἐκείνου καὶ

4, 5 τι] τοι Reiske ‖ 6 ἐπῖσχεν B, ἐπισχεῖν Ma, quamobrem Reiske antecedens τὰς δὲ δὴ in ὥστε δὴ vel ὥστε mutari iubet, ἐπέσχε iam correxerat R ‖ 5, 2 λεγόμενα] γιγνόμενα vel δρώμενα Reiske ‖ 14, 1, 1 μὲν] τε ? B ‖ συνέγραψε] συνέρραψε Reiske

τοῦ Νιννίου ἄγοντος διενομοθέτησεν αὐτὰ καὶ μετὰ
3 τοῦτο καὶ τῷ Κικέρωνι ἐπεχείρησε. καὶ ὁ μὲν οὕτω
καίτοι φρονιμώτατος ἀξιῶν εἶναι τότε ὑπὸ τοῦ Κλω-
δίου, εἴ γε ἐκεῖνον, ἀλλὰ μὴ τὸν Καίσαρα τούς τε
ἄλλους τοὺς μετ' αὐτῶν συνεστηκότας δεῖ λέγειν,
4 ἠπατήθη· ὁ δὲ δὴ νόμος, ὃν μετὰ ταῦτα ὁ Κλώδιος
ἐσήνεγκεν, ἄλλως μὲν οὐκ ἐδόκει ἐπ' αὐτῷ τίθεσθαι
(οὐδὲ γὰρ τὸ ὄνομα αὐτοῦ εἶχεν), ἀλλὰ κατὰ πάντων
ἁπλῶς τῶν πολίτην τινὰ ἄνευ τῆς τοῦ δήμου κατα-
γνώσεως ἀποκτενούντων ἢ καὶ ἀπεκτονότων ἐσήγετο,
5 ἔργῳ δὲ ἐπ' αὐτὸν ὅτι μάλιστα συνεγράφετο. ἔφερε
μὲν γὰρ καὶ ἐπὶ πᾶσαν τὴν βουλήν, ὅτι τοῖς τε ὑπά-
τοις τὴν φυλακὴν τῆς πόλεως, δι' ἧσπερ καὶ τὰ τοι-
αῦτά σφισι ποιεῖν ἐξὸν ἐγίγνετο, προσετετάχει καὶ
μετὰ τοῦτο καὶ τοῦ Λεντούλου καὶ τῶν ἄλλων τῶν
6 τότε θανατωθέντων κατεψήφιστο· οὐ μέντοι ἀλλ' ὁ
Κικέρων, ἐπειδὴ καὶ ἐσηγγέλκει περὶ αὐτῶν καὶ ἐσή-
γητο ἀεὶ καὶ ἐπεψηφίκει καὶ τέλος καὶ τὴν τιμωρίαν
σφῶν διά γε τῶν τὰ τοιαῦτα ὑπηρετούντων ἐπεποίητο,
7 καὶ τὴν αἰτίαν μόνος ἢ καὶ μάλιστα ἔσχε. καὶ διὰ
τοῦτο τά τε ἄλλα ἰσχυρῶς αὐτῷ ἀντέπρασσε καὶ τὴν
βουλευτικὴν ἐσθῆτα ἀπορρίψας ἐν τῇ ἱππάδι περιενό-
στει πάντας τε τούς τι δυναμένους, οὐχ ὅπως τῶν
ἐπιτηδείων, ἀλλὰ καὶ τῶν ἀντιστασιωτῶν, καὶ μάλιστα
τόν τε Πομπήιον καὶ τὸν Καίσαρα ἅτε μηδὲ τὴν ἔχ-
θραν αὐτοῦ προσποιούμενον καὶ ἡμέρας καὶ νυκτὸς
15 ὁμοίως περιιὼν ἐθεράπευε. καί (ἐβούλοντο γὰρ καὶ

4, 4 πολίτην Reiske, πολιτῶν Ma ‖ 5 ἐσήγετο B, συνεσήγετο Ma ‖ 6, 2 ἐσήγητο Reiske, ἐσηγεῖτο Ma ‖ 7, 1 ἔσχε R Stephanus, qui etiam ὡς ἔοικεν, ἔλαβε vel ἔσχε, ἔοικε Ma, εἶχεν Leunclavius, ⟨ἔχειν⟩ ἔοικε Reiske ‖ 3 ἱππάδι Xylander, ἱππίδι Ma ‖ 15, 1, 1 ἐθεράπευε] ἐθεράπευσε Ma



ἐκεῖνοι μήτε τὸν Κλώδιον αὐτοὶ παρεσκευακέναι μήτε
τοῖς γεγραμμένοις ὑπ' αὐτοῦ ἀρέσκεσθαι δοκεῖν) τοι-
άνδε τινὰ ἐπὶ τὸν Κικέρωνα ἀπάτην, σφίσι μὲν εὐ-
πρεπῆ, ἐκείνῳ δὲ δὴ ἀφανῆ προσεξεῦρον. ὁ μὲν γὰρ 2
Καῖσαρ ὑπείκειν αὐτῷ συνεβούλευε, μὴ καὶ κατὰ χώραν
μείνας ἀπόληται· καὶ ἵνα γε [καὶ] μᾶλλον ὑπ' εὐνοίας
τοῦτο ποιεῖν πιστευθῇ, ὑποστρατήγῳ οἱ χρήσεσθαι
ὑπισχνεῖτο, ὅπως μὴ μετ' ὀνείδους ὡς καὶ ὑπεύθυνος
ὤν, ἀλλ' ἐπί τε ἀρχῆς καὶ μετὰ τιμῆς ἐκποδὼν δὴ τῷ
Κλωδίῳ γένηται. ὁ δὲ δὴ Πομπήιος τούτου μὲν αὐ- 3
τὸν τό τε πρᾶγμα ἀπόδρασιν ἄντικρυς ὀνομάζων καὶ
ἐς τὸν Καίσαρα ὥς γε καὶ κατ' ἔχθραν οὐκ ἐπιτηδείως
οἱ συμβουλεύοντα ὑποσημαίνων ἀπέτρεπε, γνώμην δὲ
ἐδίδου καταμεῖναι καὶ ἑαυτῷ τε ἅμα καὶ τῇ βουλῇ
μετὰ παρρησίας βοηθῆσαι τόν τε Κλώδιον εὐθὺς
ἀμύνασθαι· οὔτε γὰρ διαπράξασθαί τι αὐτὸν παρόντος 4
τε ἐκείνου καὶ ἐναντιουμένου δυνήσεσθαι ἔλεγε καὶ
προσέτι καὶ ⟨δίκην⟩ δώσειν καὶ ἑαυτοῦ τι πρὸς τοῦτο
συμπράξαντος. τοιούτους αὐτῶν λόγους λεγόντων, οὐχ
ὅτι ἐναντία ἀλλήλοις ἐγίγνωσκον, ἀλλ' ἵν' ἐκεῖνον ἀν-
υπόπτως ἀπατήσωσι, τῷ Πομπηίῳ προσέθετο. οὔτε 5
γὰρ προϋπώπτευέ τι ἐς αὐτὸν καὶ ἐπίστευε πάντως
ὑπ' αὐτοῦ σωθήσεσθαι. τῶν τε γὰρ ἄλλων πολλοὶ καὶ
ᾐδοῦντο αὐτὸν καὶ ἐτίμων, ὥστε καὶ κινδυνεύοντας
συχνούς, τοὺς μὲν παρὰ τῶν δικαστῶν, τοὺς δὲ καὶ παρ'
αὐτῶν τῶν κατηγόρων ῥύεσθαι· καὶ ὁ Κλώδιος ἅτε 6
καὶ ἐν γένει ποτὲ αὐτῷ γενόμενος καὶ συστρατεύσας

2, 3 [καὶ] om. St, Gros ‖ 5 ὡς καὶ R, ὥς γε καὶ Pflugk, ὥστε καὶ Ma ‖ 4, 3 ⟨δίκην⟩ inseruit Oddey, ἐνδώσειν pro δώσειν Leunclavius ‖ 4 αὐτῶν R, αὐτῷ Ma ‖ 5, 2 πάντως iam Leonicenus in versione, πάντας Ma

*ἐπὶ πολὺν χρόνον οὐδὲν ὅ,τι οὐ κατὰ γνώμην αὐτοῦ*
*ἐδόκει ποιήσειν. τόν τε Γαβίνιον ἄντικρυς ἅτε καὶ πάνυ*
*φίλον αὐτῷ ὄντα καὶ τὸν Πίσωνα ἀπό τε τῆς ἐπιεικείας*
16 *καὶ διὰ τὴν τοῦ Καίσαρος συγγένειαν ὑπάρξειν οἱ προσ-*
*εδόκησε. τούτοις τε οὖν τοῖς λογισμοῖς κρατήσειν ἐλ-*
*πίσας (καὶ γὰρ ἐθάρσει παρὰ λόγον, ὥσπερ ἀνεξετάστως*
*ἐδεδίει) καὶ φοβηθείς, μὴ καὶ ἐκ πονηροῦ συνειδότος*
*τὴν ἀποδημίαν πεποιῆσθαι δόξῃ, τῷ μὲν Καίσαρι χά-*
*ριν δή τινα ἔχειν ἔλεγε, τῷ δὲ δὴ Πομπηίῳ ἐπείσθη.*
2 *καὶ ὁ μὲν οὕτως ἀπατηθεὶς παρεσκευάζετο ὡς καὶ*
*πολὺ τῶν ἐχθρῶν ὑπεροίσων. πρὸς γὰρ δὴ τοῖς εἰρη-*
*μένοις οἵ τε ἱππῆς συνελθόντες ἐς τὸ Καπιτώλιον*
*πρέσβεις ὑπὲρ αὐτοῦ πρός τε τοὺς ὑπάτους καὶ τὴν*
*γερουσίαν ἄλλους τέ τινας ἐκ σφῶν καὶ βουλευτὰς*
*τόν τε Ὁρτήσιον τὸν Κύιντον καὶ Γάιον Κουρίωνα*
3 *ἔπεμψαν· καὶ ὁ Νίννιος τά τε ἄλλα αὐτῷ συνήρετο*
*καὶ τὴν ἐσθῆτα τῷ πλήθει ὡς καὶ ἐπί τινι κοινῇ*
*συμφορᾷ μεταβαλεῖν παρῄνεσε. καὶ πολλοὶ τοῦτο καὶ*
*τῶν βουλευτῶν . . . . καὶ οὐ πρότερόν γε μετεβάλοντο,*
*πρὶν τοὺς ὑπάτους σφίσι διὰ προγραφῆς ἐπιτιμῆσαι.*
4 *ἀλλ' (ἦν γὰρ τὰ τῶν ἀντιστασιωτῶν αὐτοῦ δυνατώτερα)*
*οὔτε ὁ Κλώδιος χρηματίσασθαί τι ὑπὲρ αὐτοῦ τῷ*
*Νιννίῳ ἐπέτρεψεν, οὔτε Γαβίνιος τὴν πρόσοδον τοῖς*
*ἱππεῦσιν ἐς τὴν βουλὴν ἔδωκεν, ἀλλὰ καὶ ἕνα τινὰ*
*αὐτῶν, ὡς πολὺς ἐνέκειτο, καὶ ἐκ τῆς πόλεως ἐξήλασε,*
*τῷ τε Ὁρτησίῳ καὶ τῷ Κουρίωνι, ὅτι καὶ ἀθροισθεῖσί*
*σφισι συνεγένοντο καὶ τὴν πρεσβείαν ὑπέστησαν, ἐπ-*

**16**, 2, 4 ⟨*πρὸς*⟩ *τὴν γ.* B ‖ 3, 3 *μεταβαλεῖν* B, *μεταβάλλειν* Ma ‖ *πολλοὶ*] *πολὺ* Ma ‖ 4 *βουλευτῶν . . .*] ⟨*ἐποίησαν*⟩ Xylander ‖ *μετεβάλοντο* B, *μετεβάλλοντο* Ma ‖ 4, 2 *τῷ Νιννίῳ* Leunclavius, *τὸν Νίννιον* Reiske, *τοῦ Νιννίου* Ma ‖ 5 *πόλεως* Cobet, Mnemos. VI, p. 447 coll. Cic. pro Sestio 12, 29, *πολιτείας* Ma



*εκάλει. καὶ αὐτοὺς ὁ Κλώδιος ἐς τὸ πλῆθος ἐσαγαγὼν* 5
*πληγαῖς ἐπὶ τῇ πρεσβείᾳ διά τινων προπαρεσκευασμέ-*
*νων συνέκοψε. καὶ μετὰ ταῦτα ὅ τε Πίσων καίπερ*
*εὐνοϊκῶς τῷ Κικέρωνι δοκῶν ἔχειν καὶ συμβουλεύσας*
*γε αὐτῷ, ὡς ἑώρα ἀδύνατον ὂν ἄλλως αὐτὸν σωθῆναι,*
*προϋπεξελθεῖν, ὅμως, ἐπειδὴ διὰ τοῦτο ἐκεῖνος ὠρ-* 6
*γίσθη, παρῆλθεν ἐς τὴν ἐκκλησίαν, ὅτε πρῶτον ἠδυ-*
*νήθη (τὰ γὰρ πολλὰ ἠρρώστει) καὶ πυθομένου τοῦ*
*Κλωδίου, τίνα γνώμην περὶ τῶν γεγραμμένων ἔχοι,*
*εἶπεν, ὅτι οὐδέν μοι οὔτε ὠμὸν οὔτε σκυθρωπὸν ἔργον*
*ἀρέσκει· καὶ ὁ Γαβίνιος ἐρωτηθεὶς τὸ αὐτὸ τοῦτο οὐχ*
*ὅπως ἐκεῖνον ἐπῄνεσεν, ἀλλὰ καὶ τῶν ἱππέων τῆς τε*
*βουλῆς προσκατηγόρησεν. ὁ μέντοι Καῖσαρ (ἔξω γὰρ* 17
*τοῦ τείχους ὁ Κλώδιος δι' αὐτόν, ἐπειδήπερ ἐξεστρά-*
*τευτο, τὸν ὅμιλον συναγαγὼν καὶ ἐκεῖνον ἐπιγνώμονα*
*τῶν γεγραμμένων ἐποιήσατο) τὴν [γὰρ] μὲν παρανο-*
*μίαν τῶν περὶ τὸν Λέντουλον πραχθέντων κατεψηφί-*
*σατο, τὴν μέντοι τιμωρίαν τὴν ἐπ' αὐτοῖς γραφομένην* 2
*οὐκ ἐδοκίμασεν· ὅσα μὲν γὰρ περὶ τῶν τότε γενομέ-*
*νων ἐφρόνησε, πάντας εἰδέναι ἔφη (τὴν γὰρ σώζουσαν*
*σφᾶς ψῆφον δεδωκὼς ἦν), οὐ μὴν καὶ προσήκειν ἐπὶ*
*τοῖς παρεληλυθόσι τοιοῦτόν τινα νόμον συγγράφεσθαι.*
*Καῖσαρ μὲν ταῦτ' εἶπε, Κράσσος δὲ διὰ μὲν τοῦ υἱέος* 3
*βοήθειάν τινα τῷ Κικέρωνι ἐνεδείκνυτο, αὐτὸς δὲ τὰ*
*τοῦ πλήθους ἔπραττε. καὶ ὁ Πομπήιος ὑπισχνεῖτο μὲν*
*αὐτῷ τὴν ἐπικουρίαν, σκήψεις δέ τινας ἄλλοτε ἄλλας*
*ποιούμενος καὶ ἀποδημίας συχνὰς ἐπίτηδες στελλόμε-*
*νος οὐκ ἐπήμυνεν. ἰδὼν οὖν ταῦθ' ὁ Κικέρων καὶ* 4

5, 1 *ἐσαγαγὼν*] *ἐπαγαγὼν* Ma ‖ 6, 1 *προϋπεξελθεῖν* St, *προϋπεξέχειν* Ma ‖ 3 *πυθομένου* Xylander, *πυθόμενος* Ma ‖ 5 *οὔτε ὠμὸν* Xylander, *οὕτω μόνον* Ma ‖ *οὔτε σκ.* St, *οὐδὲ σκ.* Ma ‖ **17**, 1, 4 [*γὰρ*] delevit St

φοβηθεὶς αὖθις ἐπεχείρησε μὲν ὅπλα ἄρασθαι (τά τε
γὰρ ἄλλα καὶ τὸν Πομπήιον φανερῶς προεπηλάκιζε),
κωλυθεὶς δὲ ὑπό τε τοῦ Κάτωνος καὶ τοῦ Ὁρτησίου,
μὴ καὶ ἐμφύλιος ἐκ τούτου πόλεμος γένηται, τότε δὴ
καὶ ἄκων μετά τε αἰσχύνης καὶ μετὰ κακοδοξίας ὡς
καὶ ἐκ τοῦ συνειδότος ἐθελοντὴς πεφευγὼς μετέστη.
5 πρὶν δὲ δὴ ἀφορμῆσαι, ἔς τε τὸ Καπιτώλιον ἀνέβη
καὶ ἀγαλμάτιόν τι Ἀθηνᾶς ἀνέθηκε φυλακίδα αὐτὴν
ὀνομάσας. ὑπεξῆλθε δὲ ἐς Σικελίαν· προστάτης τε
γὰρ αὐτῇ ἐγεγόνει καὶ ἐλπίδα πολλὴν ἔν τε τοῖς δή-
μοις καὶ ἐν τοῖς ἰδιώταις τῷ τε ἄρχοντι αὐτῆς εἶχε
6 τιμηθήσεσθαι. φυγόντος δ' αὐτοῦ ὁ νόμος τὸ κῦρος
οὐχ ὅπως οὐκ ἐναντιωθέντος τινός, ἀλλὰ καὶ σπουδα-
σάντων ἄλλων τε καὶ αὐτῶν ἐκείνων, οἳ ὑπὲρ τοῦ
Κικέρωνος ἀνὰ πρώτους πράττειν ἐδόκουν, ἐπειδήπερ
ἅπαξ ἐκποδὼν ἐγεγόνει, ἔλαβε· καὶ ἥ τε οὐσία αὐτοῦ
ἐδημεύθη, καὶ ἡ οἰκία ὥσπερ τινὸς πολεμίου κατε-
σκάφη, τό τε ἔδαφος αὐτῆς ἐς νεὼν ἐλευθερίας ἀνέ-
7 θηκαν. αὐτῷ τε ἐκείνῳ ἥ τε φυγὴ ἐπετιμήθη καὶ ἡ
ἐν τῇ Σικελίᾳ διατριβὴ ἀπερρήθη· τρισχιλίους τε γὰρ
καὶ ἑπτακοσίους καὶ πεντήκοντα σταδίους ὑπὲρ τὴν
Ῥώμην ὑπερωρίσθη, καὶ προσεπεκηρύχθη, ἵν' εἰ δή
ποτε ἐντὸς αὐτῶν φανείη, καὶ αὐτὸς καὶ οἱ ὑποδεξά-
μενοι αὐτὸν ἀνατὶ διόλωνται.

18 καὶ ὁ μὲν ἐς τὴν Μακεδονίαν διὰ τοῦτο μετέστη
καὶ ἐκεῖ διέτριβεν ὀδυρόμενος· ἐντυχὼν δ' αὐτῷ Φι-
λίσκος τις ἀνὴρ ἔν τε ταῖς Ἀθήναις συγγεγονὼς οἱ
καὶ τότε κατὰ τὴν τύχην συντυχὼν "οὐκ αἰσχύνῃ"

4, 7 ⟨πονηροῦ⟩ τοῦ Reiske ‖ 5, 4 αὐτῇ] αὐτῶν Ma ‖ 5 αὐτῆς B, αὐτῶν Ma ‖ 6, 3 οἳ ὑπὲρ] ὃ ὑπὲρ Ma ‖ 18, 1, 3 Φ. τις ἐξ Ἀθηνῶν αὐτῷ γενόμενος γνώριμος Xiphilinus



ἔφη, "ὦ Κικέρων, θρηνῶν καὶ γυναικείως διακείμε-
νος; ὡς ἔγωγε οὔποτ' ἄν σε προσεδόκησα οὕτω μαλα-
κισθήσεσθαι, πολλῆς μὲν παιδείας καὶ παντοδαπῆς
μετεσχηκότα, πολλοῖς δὲ καὶ συνηγορηκότα." καὶ ὃς 2
ὑπολαβὼν εἶπεν "ἀλλ' οὐδέν τοι ὅμοιόν ἐστιν, ὦ Φι-
λίσκε, ὑπὲρ ἄλλων τέ τινα λέγειν καὶ ἑαυτῷ συμβου-
λεύειν. τὰ μὲν γὰρ ὑπὲρ τῶν ἀλλοτρίων λεγόμενα
ἀπὸ ὀρθῆς καὶ ἀδιαφθόρου τῆς γνώμης προϊόντα και-
ρὸν ἐς τὰ μάλιστα λαμβάνει· ὅταν δὲ δὴ πάθημά τι
τὴν ψυχὴν καταλάβῃ, θολοῦται καὶ σκοτοῦται καὶ οὐ-
δὲν δύναται καίριον ἐννοῆσαι. ὅθεν που πάνυ καλῶς
εἴρηται, ὅτι ῥᾷον παραινέσαι ἑτέροις ἐστὶν ἢ αὐτὸν
παθόντα καρτερῆσαι." "λέγεις μέν τι" ἔφη ὁ Φιλί- 3
σκος "ἀνθρώπινον· οὐ μέντοι καὶ ἠξίουν σε, τοσαύτῃ
μὲν φρονήσει κεχρημένον, τοσαύτην δὲ σοφίαν ἠσκη-
κότα, μὴ οὐ προπαρεσκευάσθαι πρὸς πάντα τὰ ἀν-
θρώπινα, ἵν' εἴ τι καὶ παράλογόν σοι προσπέσοι, μήτι
γε καὶ ἄφρακτόν σε εὕροι. ἐπεὶ δ' οὖν ἐν τούτῳ 4
καθέστηκας, καὶ γὰρ ἄν τι ὠφελήσαιμί σε διαλεξάμε-
νός τι τῶν προσφόρων, ἵν' ὥσπερ οἱ τὰ φορτία συν-
αιρόμενοί τισιν ἐπικουφίζουσιν αὐτούς, καὶ ἐγώ σοι
τὸ πάθος τοῦτο ἐπελαφρύναιμι τοσούτῳ ῥᾷον ἐκείνων,
ὅσῳ μηδὲ τὸ βραχύτατον αὐτοῦ μεταλήψομαι. οὐ γάρ 5
που καὶ ἀπαξιώσεις παραμυθίου τινὸς παρ' ἑτέρου τυ-
χεῖν. εἰ μὲν γὰρ αὐτάρκης ἑαυτῷ ἦσθα, οὐδὲν ἂν
ἡμῖν τῶν λόγων τούτων ἔδει· νῦν δ' ὅμοιον πέπονθας
ὥσπερ εἰ Ἱπποκράτης ἢ Δημοκήδης ἢ καὶ ἄλλος τις

3, 5 μήτι γε D, μήτοι γε Ma, μὴ μέντοι γε Reiske ‖ 4, 2 post καθέστηκας lacunae signum posuit B, καὶ γὰρ in καὶ ἐγὼ mutandum censet St, πειρατέον vel πειράσω, ἄν τι malit R ‖ διαλεξάμενος ⟨σκοπῶμεν περὶ⟩ τ. πρ. vel διαλεξάμενος ⟨ἀκούειν πειρῶ (vel τόλμα)⟩ τι τ. πρ. Reiske ‖ 4 ἐπικουφίζωσιν Ma ‖ 5, 5

τῶν πάνυ ἰατρῶν νοσήματι δυσιάτῳ περιπεσὼν ἀλλο-
τρίας χειρὸς πρὸς τὴν ἄκεσιν αὐτοῦ προσεδεήθη.”
19 “ἀλλ' εἴ γέ τινα” ἔφη ὁ Κικέρων “τοιοῦτον ἔχεις
λόγον, ὥστε τὴν ἀχλύν μου ταύτην ἀπὸ τῆς ψυχῆς
ἀφελεῖν καὶ ἐς τὸ ἀρχαῖόν με φῶς ἐπαναγαγεῖν, ἑτοι-
μότατός εἰμι ἀκούειν. ὥσπερ γὰρ τῶν φαρμάκων,
οὕτω δὴ καὶ τῶν λόγων καὶ διαφοραὶ πολλαὶ καὶ δυ-
νάμεις ποικίλαι εἰσίν, ὥστ' οὐδὲν θαυμαστόν, εἰ καὶ
ἐμὲ τὸν λαμπρὸν ἔν τε τῇ γερουσίᾳ καὶ ἐν ταῖς ἐκκλη-
σίαις τοῖς τε δικαστηρίοις σοφίᾳ τινὶ καταιονήσειας.”
2 “φέρε οὖν” εἶπεν ὁ Φιλίσκος, “ἐπειδήπερ ἀκούειν
ἕτοιμος εἶ, σκεψώμεθα πρῶτον μέν, εἰ κακὰ ὡς ἀλη-
θῶς ἐστι ταῦτα τὰ περιεστηκότα σε, ἔπειτα δέ, τίνα
τρόπον αὐτὰ ἀκεσόμεθα. ἐγὼ τοίνυν πρῶτον μὲν
ἁπάντων ὁρῶ σε ὑγιαίνοντα τῷ σώματι καὶ εὖ μάλα
ἐρρωμένον, ὅπερ που πρῶτον κατὰ φύσιν ἀγαθόν
3 ἐστιν ἀνθρώποις, ἔπειτα δὲ τὰ ἐπιτήδεια αὐτάρκη
κεκτημένον, ὥστε μήτε πεινῆν μήτε διψῆν ἢ ῥιγοῦν ἢ
καὶ ἄλλο τι ἄτοπον ὑπ' ἀπορίας ὑπομένειν, ὃ δὴ καὶ
δεύτερον εἰκότως ἄν τις ἀγαθὸν ἀνθρώπῳ φύσει τι-
θείη. ὅταν γάρ τινι ἥ τε τοῦ σώματος σύστασις εὖ
ἔχῃ καὶ διαρκεῖν ἀφροντιστῶν δύνηται, πάντα τὰ
20 πρὸς εὐδαιμονίαν ἐπιβάλλοντα καρποῦται.” ὁ οὖν
Κικέρων ὑπολαβὼν ἔφη “ἀλλ' οὐδὲν τῶν τοιούτων
ὄφελός ἐστιν, ὅταν του τὴν ψυχὴν λυπῇ τι καὶ δάκνῃ·
πολλῷ γὰρ πλεῖον αἱ ἐκείνης φροντίδες ταλαιπωροῦσί
τινα ἢ αἱ τοῦ σώματος εὐπάθειαι τέρπουσιν. ὥσπερ
καὶ ἐγὼ νῦν οὐδὲν οὔτε τῆς τοῦ σώματος ὑγιείας

ὥσπερ <ἂν> εἰ Pflugk ‖ 5,7 προσεδεήθη Reiske, προσδεηθῇ Ma ‖ **19**, 3, 5 τε, quod post εὖ exhibet Ma, suo loco inseruit Reiske ‖ **20**, 1, 4 πλεῖον Reiske, πλείονα Ma



προτιμῶ, νοσῶν γε τὴν γνώμην, οὔτε τῆς τῶν ἐπιτη-
δείων εὐπορίας· πολλῶν γὰρ ἀπεστέρημαι.” καὶ ὃς 2
“καὶ τοῦτό σε” ἔφη “λυπεῖ; εἰ μὲν γὰρ ἐνδεήσεσθαι
τῶν ἀναγκαίων ἔμελλες, λόγον ἄν τινα εἶχεν ἄχθεσθαί
σε τοῖς ἀπολωλόσιν· εἰ δὲ ἔκπλεά σοι πάντα τὰ ἐπι-
τήδεια ὑπάρχει, τί ἀνιᾷ, ὅτι μὴ καὶ πλείω κέκτησαι;
πᾶν γὰρ τὸ ὑπὲρ τὴν χρείαν τινὶ ὂν περιττόν ἐστι
καὶ ἐν τῷ ἴσῳ καὶ παρὸν καὶ ἀπὸν καθέστηκεν, ἐπεί 3
τοι καὶ πρότερον οὐδὲν δήπου τοῖς μὴ ἀναγκαίοις
ἐχρῶ, ὥστε καὶ τότε μὴ εἶναι, ὧν μὴ ἔχρῃζες, ἢ καὶ
νῦν εἶναι, ὧν μὴ δέῃ, νόμιζε. καὶ γὰρ οὐδὲ πατρῷά
σοι τὰ πολλὰ αὐτῶν γέγονεν, ὥστε σε σπουδὴν ἰδιω-
τέραν περὶ αὐτὰ ποιεῖσθαι, ἀλλ' ὑπό τε τῆς γλώττης
καὶ ὑπὸ τῶν λόγων σου πεπόρισται, δι' οὓς καὶ ἀπό-
λωλεν. οὔκουν ἀγανακτεῖν προσήκει, εἰ καθάπερ ἐκ- 4
τήθη τινά, οὕτω καὶ ἀπεβλήθη. οὐδὲ γὰρ οὐδ' οἱ
ναύκληροι πάνυ χαλεπῶς φέρουσι πολλὰ ζημιούμενοι·
λογίζεσθαι γάρ, οἶμαι, φρονίμως ἐπίστανται, ὅτι ἡ
θάλαττα ἡ διδοῦσά σφισιν αὐτὰ καὶ ἀφαιρεῖται.

καὶ περὶ μὲν τούτων ἱκανά· ἀποχρῆν τε γὰρ ἀν- 21
θρώπῳ πρὸς εὐδαιμονίαν τὸ τὰ ἀρκοῦντα κεκτῆσθαι
καὶ μηδενός, ὧν τὸ σῶμα χρῄζει, προσδεῖσθαι νομίζω,
καὶ πᾶν τὸ περιττὸν καὶ φροντίδας καὶ πράγματα καὶ
φθόνους ἔχειν ἡγοῦμαι. ἐπειδὴ δὲ ἔφησθα, ὅτι οὐδε- 2
μία ἀπόλαυσις τῶν τοῦ σώματος ἀγαθῶν ἐστιν, ἂν μὴ
καὶ τὰ τῆς ψυχῆς προσυπάρχῃ τινί, ἔστι μὲν ἀληθὴς
ὁ λόγος (ἀδύνατον γὰρ κακῶς αὐτῆς ἐχούσης μὴ οὐ

3, 3 ὥστε — νόμιζε] ὥστε καὶ τότε μη<δὲν μᾶλλον κύριος> εἶναι, ὧν μὴ ἔχρῃζες, ἢ καὶ νῦν <ἐστερῆσθαι>, ὧν μὴ δέῃ, νόμιζε Reiske ‖ 3, 6 ὑπό τε τῆς γλ. καὶ ὑπὸ τ. λ.] ἀπὸ Cobet, Mnemos. X, p. 195, sed conferri iubet Schenkl Isocrat. 15, 278

καὶ τοῦτ᾽ αὐτῇ συννοσεῖν), ἐγὼ μέντοι πολλῷ ῥᾷον
οἶμαι εἶναι τῆς εὐεξίας τῆς γνώμης ἐπιμεληθῆναί τινι
3 ἢ τῆς τοῦ σώματος. τοῦτο μὲν γὰρ ἅτε καὶ σάρκινον
ὂν πολλὰ μὲν ἄτοπα ἐν ἑαυτῷ ἔχει, πολλῆς δὲ ἐπι-
κουρίας παρὰ τοῦ δαιμονίου δεῖται· ἐκείνη δὲ δὴ οἷα
θειοτέρας φύσεως οὖσα καὶ ῥυθμίζεσθαι καὶ νουθετεῖ-
σθαι ῥᾳδίως δύναται. οὐκοῦν κἀνταῦθα ἴδωμεν, τί
τέ σοι τῶν τῆς ψυχῆς ἀγαθῶν ἀπέστη, καὶ τί τῶν
22 κακῶν προσγενόμενον οὐκ ἂν ἀποτριψαίμεθα. ὁρῶ
τοίνυν ἔγωγε πρῶτον μὲν φρονιμώτατόν σε ἀνθρώπων
ὄντα· τεκμήριον δέ, ὅτι πλεῖστα μὲν καὶ τὴν βουλὴν
καὶ τὸν δῆμον, ἐν οἷς συνεβούλευσάς τι αὐτοῖς, ἔπει-
σας, πλεῖστα δὲ καὶ τοὺς ἰδιώτας, ἐν οἷς συνηγόρη-
2 σάς σφισιν, ὠφέλησας· ἔπειτα δὲ καὶ δικαιότατον·
πανταχοῦ γοῦν ὑπέρ τε τῆς πατρίδος καὶ τῶν φίλων
ἀνταγωνιζόμενος τοῖς ἐπιβουλεύουσιν αὐτοῖς ἐξήτασαι·
καὶ αὐτά γε ταῦτα, ἃ νῦν πέπονθας, οὐ δι᾽ ἄλλο τι
συμβέβηκέ σοι ἢ ὅτι πάνθ᾽ ὑπὲρ τῶν νόμων καὶ τῆς
3 πολιτείας καὶ λέγων καὶ πράττων διετέλεις. καὶ μὴν
ὅτι καὶ σωφροσύνης ἐς τὰ πρῶτα ἀνήκεις, αὐτὸ τὸ
ἐπιτήδευμά σου δηλοῖ· οὐ γὰρ οἷόν τ᾽ ἐστὶ δουλεύ-
οντά τινα ταῖς τοῦ σώματος ἡδοναῖς ἐν μέσῳ τε ἀεὶ
φαίνεσθαι καὶ ἐν τῇ ἀγορᾷ ἀναστρέφεσθαι μαρτύρια
4 τὰ ἡμερινὰ ἔργα τῶν νυκτερινῶν ποιούμενον. οὕτω
δὲ δὴ τούτων ἐχόντων ἐγὼ μέν σε καὶ ἀνδρειότατον
ᾤμην εἶναι τοσαύτῃ μὲν ῥώμῃ διανοίας, τοσαύτῃ δὲ
καὶ ἰσχύι λόγων χρώμενον· σὺ δέ, ὡς ἔοικας, αὐτὸς
ἑαυτοῦ ἐκπλαγείς, ὅτι παρά τε τὴν ἐλπίδα καὶ παρὰ
τὴν ἀξίαν ἔπταισας, παρῄρησαί τι τοῦ σφόδρα ἀν-

21, 3, 6 ἀπέστη] ἄπεστι Cobet, Mnem. X, p. 205 (hoc iam coniecerat Reiske)



δρείου. ἀλλὰ τοῦτο μὲν εὐθὺς ἀπολήψῃ· τοιούτων δὲ 5
τῶν κατὰ σὲ ὄντων καὶ εὖ μὲν ἥκοντος τοῦ σώματος,
εὖ δὲ καὶ τῆς ψυχῆς οὐχ ὁρῶ, τί τὸ λυποῦν ἐστί σε."
ταῦτα αὐτοῦ εἰπόντος ὁ Κικέρων ἔφη "οὐ δοκεῖ 23
οὖν σοι μέγα κακὸν εἶναι ἀτιμία καὶ φυγὴ καὶ τὸ
μήτ᾽ οἴκοι διατρίβειν ⟨μήτε⟩ μετὰ τῶν φίλων εἶναι,
ἀλλὰ ἐκ τῆς πατρίδος μεθ᾽ ὕβρεως ἐκπεπτωκότα ζῆν
ἐν ἀλλοτρίᾳ γῇ καὶ ἀλᾶσθαι φυγάδα προσαγορευόμε-
νον καὶ γέλωτα μὲν τοῖς ἐχθροῖς, αἶσχος δὲ τοῖς
οἰκείοις παρέχοντα." "οὐδαμῇ ἔμοιγε" εἶπεν ὁ Φι- 2
λίσκος. "δύο γὰρ τούτων ὄντων, ἐξ ὧν συνεστήκαμεν,
ψυχῆς τε καὶ σώματος, καὶ ῥητῶν ἑκατέρῳ παρ᾽ αὐτῆς
τῆς φύσεως καὶ ἀγαθῶν καὶ κακῶν δεδομένων, εἰ μέν
τι περὶ ταῦθ᾽ ἁμαρτάνοιτο, καὶ βλαβερὸν ἂν εἰκότως
καὶ αἰσχρὸν νομίζοιτο, εἰ δ᾽ ὀρθῶς ἔχοι, καὶ μᾶλλον
ἂν ὠφέλιμον εἴη. ὃ καὶ σοὶ νῦν ὑπάρχει. τὰ γὰρ δὴ 3
ἄλλ᾽ ἐκεῖνα καὶ αἱ ἀτιμίαι, καὶ εἰ δή τι τοιοῦτον ἕτε-
ρον, νόμῳ τε καὶ δοκήσει τινὶ καὶ αἰσχρὰ καὶ κακά
ἐστι καὶ οὐδὲν οὔτε τῷ σώματι οὔτε τῇ ψυχῇ λυμαί-
νεται. ποῖον μὲν γὰρ ⟨ἂν⟩ σῶμα εἰπεῖν ἔχοις νενο-
σηκὸς ἢ καὶ ἀπολωλός, ποίαν δὲ ψυχὴν ἀδικωτέραν ἢ
καὶ ἀμαθεστέραν γεγονυῖαν ὑπ᾽ ἀτιμίας καὶ φυγῆς ἢ
καὶ ἄλλου τινὸς τῶν τοιούτων; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.
τὸ δὲ αἴτιον, ὅτι οὐδὲν σφῶν φύσει κακόν ἐστιν, ὥσ- 4
περ οὐδ᾽ ἡ ἐπιτιμία οὐδ᾽ ἡ ἐν τῇ πατρίδι διατριβὴ
φύσει χρηστή, ἀλλ᾽ ὁποῖά ποτ᾽ ἄν τις ἕκαστος ἡμῶν
περὶ αὐτὰ δοξάσῃ, τοιαῦτα καὶ δοκεῖ εἶναι. αὐτίκα 5
τὴν ἀτιμίαν οὐκ ἐπὶ τοῖς αὐτοῖς παντελῶς ἄνθρωποι

23, 1, 3 ⟨μήτε⟩ inseruerunt Gros, Herwerden, ⟨μήτ᾽ ἐπίτιμον⟩? B ‖ 3, 2 ἐκεῖνα ⟨αἱ φυγαὶ⟩ Reiske coll. 23, 1, 2 ἀτιμία καὶ φυγὴ et infra 23, 3, 7 ἀτιμίας καὶ φυγῆς ‖ 5 ⟨ἂν⟩ ins. Pflugk

νομίζουσιν [ἐπιτιμίαν], ἀλλ' ἔστιν ἃ τῶν ἔργων ἐπαίτια
παρά τισιν ὄντα παρ' ἄλλοις ἐπαινεῖται, καὶ ἕτερα πρὸς
τινῶν τιμώμενα πρὸς ἑτέρων κολάζεται· εἰσὶ δὲ οἳ καὶ
6 τὴν ἀρχὴν οὔτε τὸ ὄνομα οὔτε τὸ ἔργον αὐτῆς ἴσασι. καὶ
πάνυ εἰκότως· ὅσα γὰρ μὴ προσάπτεται τῶν τῇ φύσει
τοῦ ἀνθρώπου προσηκόντων, οὐδ' ἀνήκειν ἐς αὐτὸν
νομίζεται. ὥσπερ ἂν οὖν, εἰ κρίσις τις ἢ καὶ ψήφισμά
τι ἐγένετο τὸν δεῖνα νοσεῖν ἢ τὸν δεῖνα αἰσχρὸν εἶναι,
γελοιότατον ἂν δήπουθεν ἦν, οὕτω καὶ περὶ τῆς ἀτι-
24 μίας ἔχει. τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ τὴν φυγὴν
ἔγωγε ὁρῶ ὄν. ἀποδημία γάρ τις ἄτιμός ἐστιν, ὥστ'
εἴπερ αὐτὴ καθ' αὑτὴν ἡ ἀτιμία μηδεμίαν κακίαν ἔχει,
οὐδὲ τῇ φυγῇ δήπου προστρίψασθαί τι κακὸν δύναται,
2 ἐπεὶ τήν γε ἄλλως συχνοὶ πλεῖστον ὅσον χρόνον οἱ
μὲν ἄκοντες, οἱ δὲ καὶ ἑκόντες ἀποδημοῦσι καί τινες
καὶ πάντα τὸν βίον καταναλίσκουσι περινοστοῦντες,
ὥσπερ ἀεὶ πανταχόθεν ἐξελαυνόμενοι, καὶ οὐδὲν μέν-
3 τοι παρὰ τοῦτο βλάπτεσθαι νομίζουσιν. οὐ μὴν οὐδὲ
διαφέρει τι ἑκούσιόν τινα ἢ μὴ τοῦτο ποιεῖν· οὐδὲ
γὰρ οὐδ' ὁ ἄκων σωμασκῶν ἧττόν τι ἔρρωται τοῦ
ἐθελοντὶ αὐτὸ δρῶντος, οὐδ' ὁ ἄκων ναυτιλλόμενος
ἥττονά τινα ὠφέλειαν τοῦ ἑτέρου κτᾶται. καὶ αὐτό
γε τοῦτο τὸ ἀκούσιον οὐχ ὁρῶ δυνάμενον ἀνδρὶ φρο-
4 νίμῳ συμβῆναι. ὥστ' εἴπερ ἐν τούτῳ τὸ διάφορον
τοῦ τε εὖ καὶ τοῦ κακῶς πράττειν ἐστίν, ⟨ὅτι⟩ τὰ μὲν

5, 3 [ἐπιτιμίαν] seclusit B, ⟨οὔτ'⟩ ἐπιτιμίαν Xylander, ⟨ἢ⟩ ἐ. Leunclavius, ⟨οὐδὲ τὴν⟩ ἐ. vel ⟨οὐ μᾶλλον ἢ τὴν⟩ ἐ. Reiske, τῇ ἐπιτιμίᾳ St ‖ 6, 1 αὐτῆς] αὐτῶν Oddey ‖ 2 προσάπτηται Ma ‖ 4 ἡ κρίσις Ma ‖ 5 inter δεῖνα et αἰσχρὸν Reiske ⟨χωλεύειν⟩ vel ⟨πένεσθαι⟩ vel tale quid deesse putat ‖ 24, 2, 1 τήν γε] τοί γε Leunclavius ‖ 3, 1 οὐδὲ] οὐδὲν Reiske ‖ 3, 5 ἥττονα] ἧττον Reiske ‖ 4, 2 κακῶς ⟨τι⟩ πράττειν Reiske ‖ ⟨ὅτι⟩ inseruit Leunclavius



ἐθελονταὶ ἑτοίμως, τὰ δ' ἄκοντες χαλεπῶς ποιοῦμεν,
εὐθεράπευτον· ἐὰν γάρ τοι πάντα τὰ ἀναγκαῖα ἑκού-
σιοι ὑπομένωμεν καὶ πρὸς μηδὲν αὐτῶν ἡττώμεθα,
συνανῄρηται πάντα κἀκεῖνα, ὅσα ἂν ἐν τῷ ἀκουσίῳ
θῇ τις εἶναι. καὶ γάρ που καὶ ἀρχαῖος λόγος καὶ 5
μάλα εὖ ἔχων ἐστίν, ὅτι δεῖ ἡμᾶς μὴ ὅσα ἂν βουλώ-
μεθα, ἀξιοῦν γίγνεσθαι, ἀλλ' ὅσα ἂν ἔκ τινος ἀνάγκης
γίγνηται, βούλεσθαι. οὔτε γὰρ αὐθαίρετον τὸν τοῦ
βίου τρόπον ἔχομεν οὐθ' αὐτῶν ἐσμέν· ἀλλ' ὅπως ἂν 6
τῇ τύχῃ δόξῃ, καὶ ὁποῖος ἂν ἑκάστῳ ἡμῶν δαίμων
ἐκπληρωτὴς τοῦ τεταγμένου δοθῇ, τοιοῦτον ἀνάγκη
καὶ ἐκεῖνον ἡμᾶς ποιεῖσθαι.

ταῦτα μὲν δὴ τοιαῦτά ἐστιν, ἄν τ' ἐθέλωμεν ἄν 25
τε καὶ μή· εἰ δέ σε οὐχὶ ἡ ἀτιμία αὐτὴ οὐδ' ἡ φυγὴ
αὐτὴ λυπεῖ, ἀλλ' ὅτι μὴ μόνον μηδὲν ἠδικηκὼς τὴν
πατρίδα, ἀλλὰ καὶ πολλὰ εὐηργετηκὼς ἠτίμωσαί τε καὶ
ἐξελήλασαι, λόγισαι τοῦθ' ὅτι, ἐπειδήπερ ἅπαξ ἐπέ-
πρωτό σοι τοιοῦτό τι παθεῖν, κάλλιστον δήπου καὶ
ἄριστον συμβέβηκε τὸ μηδὲν ἀδικήσαντά σε ἐπηρεάσθαι.
[καὶ] σὺ μὲν γὰρ πάντα τὰ καθήκοντα τοῖς πολίταις συν- 2
εβούλευσας καὶ ἔπραξας οὐκ ἰδιωτεύων, ἀλλ' ὑπατεύων,
οὐδ' ἰδίᾳ τι πολυπραγμονῶν, ἀλλὰ τοῖς τῆς βουλῆς
δόγμασι πειθόμενος, οὐ κατὰ στάσιν, ἀλλ' ἐπὶ τῷ
βελτίστῳ γενομένοις· ὁ δεῖνα δὲ καὶ ὁ δεῖνα ἐκ δυνα- 3
στείας καὶ ἐπηρείας πάντα κατὰ σοῦ συνεσκευάσαντο,

4, 3 ποιοῦμεν] ποιῶμεν Ma ‖ 4 εὐθεράπευτον ⟨τὸ πρᾶγμα⟩ Reiske, εὐθεράπευτος Ma ‖ 5 ἡττώμεθα] ἐναντιώμεθα Reiske ‖ 6 συνανῄρηται Reiske, συνανήρτηται Ma ‖ 5, 4 γίγνηται St, γίγνεται M$_{A}$ ‖ 6, 1 οὐθ' αὐτῶν R. Stephanus, οὔτ' αὐτῶν Ma ‖ 25, 1, 1 ταῦτα] ταὐτὰ St ‖ 2 et 3 αὐτὴ Reiske, αὕτη Ma ‖ 7 ἐπηρεάσθαι. σὺ Tafel (ἐπηρεάζεσθαι iam R. Stephanus), ἐπηρέσθαι Ma ‖ 2, 1 [καὶ] del. Pflugk ‖ 3, 1 γενομένοις Pflugk, Cobet Mnem. X, p. 195, γενόμενος Ma

ὥστ' ἐκείνοις μὲν καὶ ἄχθεσθαι καὶ λυπεῖσθαι ἐπὶ τῇ
ἀδικίᾳ προσήκει, σοὶ δὲ δὴ ἀνδρείως φέρειν τὰ δό-
4 ξαντα τῷ δαίμονι καὶ καλὸν καὶ ἀναγκαῖόν ἐστιν. οὐ
γάρ που μᾶλλον ἂν ἐθελήσαις τῷ τε Κατιλίνᾳ συμ-
πράξας καὶ τῷ Λεντούλῳ συνομόσας καὶ πάντα μὲν
τἀναντία τῶν συμφερόντων τῇ πατρίδι παραινέσας,
μηδὲν δὲ τῶν προσταχθέντων σοι ὑπ' αὐτῆς ποιήσας
5 οἴκοι μένειν ἀδικήσας ⟨ἢ⟩ κατορθώσας φυγεῖν. οὐκ-
οῦν εἴ καὶ τῆς δόξης σοι μέλει, πολλῷ που αἱρετώ-
τερόν ἐστι μηδὲν ἀδικήσαντά σε ἐκπεπτωκέναι ἢ κακ-
ουργήσαντά τι οἴκοι μεμενηκέναι· τά τε γὰρ ἄλλα καὶ
ἡ αἰσχύνη τοῖς ἀδίκως ἐκβαλοῦσί τινα, ἀλλ' οὐ τῷ
26 κατ' ἐπήρειαν ἐξελαθέντι προσγίγνεται. καίτοι ἔγωγε
ἀκούω τοῦθ', ὅτι οὐκ ἄκων οὐδ' ἁλοὺς μετέστης, ἀλλ'
ἐθελοντὴς ἐμίσησας τὸν μετ' αὐτῶν βίον ἅτε μήτε
βελτίους σφᾶς ποιῆσαι δυνάμενος μήτε συναπολέσθαι
σφίσιν ὑπομένων καὶ ἔφυγες οὐ τὴν πατρίδα, ἀλλὰ
τοὺς ἐπιβουλεύοντας αὐτῇ. ὥστ' ἐκεῖνοι μὲν καὶ ἄτι-
2 μοι καὶ ἐξόριστοι εἶεν ἂν πάντα τἀγαθὰ ἐκ τῶν ψυ-
χῶν ἐκβεβληκότες, σὺ δὲ ἐπίτιμος καὶ εὐδαίμων μήτ'
ἀτόπως τινὶ δουλεύων καὶ πάντα τὰ προσήκοντα ἔχων,
ἄν τε ἐν Σικελίᾳ ἄν τε ἐν Μακεδονίᾳ ἄν τε καὶ ἄλ-
λοθί που τῆς οἰκουμένης ζῆν ἐθελήσῃς. οὐ γὰρ δή-
που τὰ χωρία οὔτε εὐτυχίαν οὔτε κακοδαιμονίαν τινὰ
δίδωσιν, ἀλλὰ καὶ αὐτὸς ἕκαστος αὑτῷ καὶ πατρίδα
3 καὶ εὐδαιμονίαν ἀεὶ καὶ πανταχοῦ ποιεῖ. καὶ ταῦθ'
ὁ Κάμιλλος ἐννοήσας ἡδέως ἐν Ἀρδέᾳ κατῴκησε, ταῦθ'
ὁ Σκιπίων λογισάμενος ἀλύπως ἐν Λιτέρνῳ κατεβίω.

5, 1 ⟨ἢ⟩ ins. Turnebus e Xiphil. ‖ 2 μέλλει Ma ‖ 5 ἐκβαλοῦσι B, ἐκβάλλουσι Ma ‖ **26**, 1, 1 ἐξελαθέντι D, ἐξελασθέντι Ma ‖ 2 μετέστης B, μετέστησας Ma ‖ 3, 2 ἐννοήσας Reiske, εὖ νοήσας Ma



τί γὰρ δεῖ τὸν Ἀριστείδην, τί δὲ τὸν Θεμιστοκλέα
λέγειν, οὓς ἐνδοξοτέρους ἡ φυγὴ ἐποίησε, τί τὸν Ἄν-
νιον, τί τὸν Σόλωνα, ὃς ἑκὼν ἔτη δέκα ἀπεξενώθη;
μὴ οὖν μηδὲ σὺ μήτε χαλεπόν τι τῶν τοιούτων, ἃ 4
μήτε ⟨τῇ⟩ τοῦ σώματος μήτε τῇ τῆς ψυχῆς ἡμῶν
φύσει προσήκει, νόμιζε εἶναι, μήτ' ἀγανάκτει τοῖς
προσπεπτωκόσιν. οὐδὲ γὰρ οὐδ' αἵρεσίς τις ἔστιν ἡμῖν
τοῦ ζῆν, ὅπως ἂν ἐθελήσωμεν, ὥσπερ εἶπον, ἀλλ'
ἀνάγκη πᾶσα ὑπομένειν ἡμᾶς τὰ δοκοῦντα τῷ δαιμονίῳ.
τοῦτο δὲ ἂν μὲν ἐθελονταὶ ποιῶμεν, οὐ λυπησόμεθα, 5
ἂν δὲ ἀκόντως, οὔτε ἐκφευξόμεθά τι τῶν πεπρωμένων
καὶ τὸ μέγιστον τῶν κακῶν προσεπικτησόμεθα, τὸ
μάτην ἀνιᾶσθαι. τεκμήριον δέ, ὅτι οἱ μὲν καὶ τὰ ἀτο- 6
πώτατα εὐκόλως φέροντες ἐν οὐδενὶ δεινῷ καθεστη-
κέναι νομίζουσιν, οἱ δὲ καὶ τοῖς ἐλαφροτάτοις βαρυ-
νόμενοι πάντα τὰ ἐξ ἀνθρώπων κακὰ ἔχειν ὑποπτεύ-
ουσι· καὶ ἕτεροι οἱ μὲν καὶ τὰ ἀμείνω κακῶς, οἱ δὲ
καὶ τὰ χείρω καλῶς μεταχειριζόμενοι τοιαῦτα καὶ τοῖς
⟨ἄλλοις⟩ ἑκάτερα δοκεῖν εἶναι ποιοῦσιν, οἷα αὑτοῖς
εἶναι παρασκευάζουσι. καὶ σὺ οὖν ταῦτα λογιζόμενος 27
μήτε τοῖς παροῦσιν ἄχθου, μήτ', ἂν τοὺς ἐκβαλόντας
σε εὐτυχοῦντας πυνθάνῃ, λυποῦ. κοῦφαι μὲν γὰρ καὶ
ἐφήμεροι καὶ ἄλλως αἱ τῶν ἀνθρώπων εὐπραγίαι εἰσί,
καὶ ὅσῳ ἂν μᾶλλόν τις ἀπ' αὐτῶν ἐπαύξῃ, ῥᾷον ὥσ-
περ πνεῦμα πίπτει, μάλιστα δὲ ἐν ταῖς στάσεσιν. ἅτε 2
γὰρ ἐν τεταραγμένοις καὶ ἀκαταστάτοις πράγμασι φε-

3, 5 ἐποίησεν. τί τὸν Ἄννιον; τι κτλ. Ma, Αἰνείαν Leunclavius, Ἀννίβαν Fabric., [τί τὸν Ἄννιον] deleverunt BD ‖ 4, 2 ⟨τῇ⟩ inseruit Leunclavius ‖ 5, 1 ἐθελονταὶ] ἐθελοντὶ B ‖ 2 οὔτε Reiske, οὐδὲ Ma ‖ 6, 7 ⟨ἄλλοις⟩ vel ⟨ἑτέροις⟩ inseruit Reiske ‖ αὑτοῖς Ma, αὐτοῖς vulg. ‖ 27, 1, 3 κοῦφαι Leunclavius, κωφαὶ Ma ‖ 5 ἐπαύξῃ] ἐπαυξηθῇ ? B, ἐπαρθῇ Reiske ‖ 2, 2 φερόμενος Ma

ρόμενοι μικρόν, μᾶλλον δὲ οὐδὲν τῶν χειμαζομένων
διαφέρουσιν, ἀλλ' ἄνω τε καὶ κάτω, ποτὲ μὲν δεῦρο,
ποτὲ δὲ ἐκεῖσε· κἂν ἄρα τι καὶ τὸ βραχύτατον σφα-
3 λῶσι, παντελῶς βαπτίζονται. καὶ ἵνα γε μήτε τὸν
Δροῦσον μήτε τὸν Σκιπίωνα μήτε τοὺς Γράκχους ἢ
καὶ ἄλλους τινὰς εἴπω, μέμνησο μέν, ὅπως ὁ Κάμιλ-
λος ὁ φυγὰς ἄμεινον τοῦ Καπιτωλίνου μετὰ ταῦτα
ἀπήλλαξε, μέμνησο δέ, ὅσον Ἀριστείδης τοῦ Θεμιστο-
4 κλέους ὕστερον διήνεγκεν. ὥστε καὶ σὺ μάλιστα μὲν
ἔλπιζε καὶ καταχθήσεσθαι (οὔτε γὰρ ἐξ ἀδικίας ἐξελή-
λασαι, καὶ ἐπιζητήσουσι μέν σε, ὡς πυνθάνομαι, καὶ
αὐτοὶ οἱ ἐκβεβληκότες, ποθήσουσι δὲ πάντες), ἂν δὲ
δὴ καὶ ἐν τοῖς παροῦσιν ἐμμείνῃς, μήτι γε καὶ ἀνια-
28 θῇς παρὰ τοῦτο μηδέν. ἂν μὲν γάρ μοι πεισθῇς, καὶ
πάνυ ἀγαπήσεις χωρίον τέ τι παραθαλασσίδιον ἔξω
πάτου ἐκλεξάμενος καὶ ἐν αὐτῷ γεωργῶν τε ἅμα καὶ
2 συγγράφων τι, ὡς Ξενοφῶν, ὡς Θουκυδίδης. τό τε
γὰρ εἶδος τοῦτο τῆς σοφίας διαρκέστατόν ἐστι καὶ
παντὶ μὲν ἀνδρί, πάσῃ δὲ πολιτείᾳ ἁρμοδιώτατον, καὶ
ἡ φυγὴ φέρει τινὰ σχολὴν γονιμωτέραν. ὥστ' εἴπερ
ὄντως ἀθάνατος καθάπερ ἐκεῖνοι γενέσθαι ἐθέλεις,
3 ζήλωσον αὐτούς. τά τε γὰρ ἐπιτήδεια ἀρκοῦντα ἔχεις
καὶ οὔτ' ἀξιώματός τινος προσδέῃ· εἰ γάρ τι καὶ ἐν
τούτοις ἀγαθόν ἐστιν, ὑπάτευκας· καὶ πλέον οὐδὲν
τοῖς καὶ δεύτερον καὶ τρίτον ἢ καὶ τέταρτον ἄρξασι
πλὴν γραμμάτων ἀριθμοῦ κενῶν ὑπάρχει, ἃ μήτε
4 ζῶντα μήτ' ἀποθανόντα τινὰ ὠφελεῖ· οὔκουν ἂν ἕλοιο

2, 4 ποτὲ — ποτὲ] τοτὲ — τοτὲ Ma ‖ 5 ἐκεῖσε ⟨ἄττουσι⟩ R coll. Dio 65, 16, ⟨στρέφονται⟩ Leuncl., similia Reiske ‖ 3, 3 et 5 μέμνησο (vel μέμνησαι vel μεμνῆσθαι sc. χρή) Reiske, μέμνησθε Ma ‖ 4 Καπιτωλίνου St, Καπιτωλίου Ma ‖ 28, 3, 2 τι] τοι Ma



οὔτε Κορουῖνος οὔτε Μάριος ὁ ἑπτάκις ὑπατεύσας
μᾶλλον ἢ Κικέρων εἶναι· οὔτ' αὖ ἡγεμονίας τινὸς ἐπι-
θυμεῖς, ὅς γε καὶ τὴν δοθεῖσάν σοι ἐξέστης, κατα-
φρονήσας μὲν τῶν ἀπ' αὐτῆς κερδῶν, καταφρονήσας
δὲ καὶ τῆς ὀλιγοχρονίου τε καὶ ὑπευθύνου πᾶσι
τοῖς συκοφαντεῖν ἐθέλουσιν ἐξουσίας. καὶ ταῦτ' 5
εἶπον, οὐχ ὅτι καὶ ἀναγκαῖόν ⟨τι⟩ αὐτῶν πρὸς εὐδαι-
μονίαν ἐστίν, ἀλλ' ὅτι καὶ ἐν τοῖς πολιτικοῖς, ἐπείπερ
ἐχρῆν, ἱκανῶς ἐξήτασαι, ἵνα καὶ ἐξ ἐκείνων τὸ διάφο-
ρον τῶν βίων μαθὼν τὰ μὲν ἕλῃ, τὰ δὲ ἀπώσῃ, καὶ
τὰ μὲν διώξῃς, τὰ δὲ φύγῃς. σμικρὸς γὰρ ὁ βίος
ἡμῶν, καὶ δεῖ σε μὴ πάντα αὐτὸν ἄλλοις βιῶναι, ἀλλ'
ἤδη τι καὶ σεαυτῷ χαρίσασθαι. σκέψαι δέ, ὅσον ἥ τε 6
ἡσυχία τῆς ταραχῆς καὶ ἡ εὔροια τῶν θορύβων ἥ τε
ἐλευθερία τῆς δουλείας καὶ ἡ ἀσφάλεια τῶν κινδύνων
διαφέρει, ἵν' ἐπιθυμήσῃς ζῆσαι, ὡς ἐγώ σοι παραινῶ.
οὕτω μὲν γὰρ εὐδαιμονήσεις, καί σου μέγα ὄνομα
καὶ τοῦτο ἀεὶ καὶ ζῶντος ἐπὶ τούτῳ καὶ τελευτήσαν-
τος ἔσται· ἂν δὲ δὴ τήν τε κάθοδον σπουδάσῃς καὶ 29
τὴν ἐν τῇ πολιτείᾳ λαμπρότητα ζηλώσῃς, δυσχερὲς μὲν
οὐδὲν εἰπεῖν βούλομαι, φοβοῦμαι δὲ ἔς τε τὰ πράγ-
ματα ἀποβλέπων καὶ τὴν σὴν παρρησίαν ἐννοῶν, τήν
τε δύναμιν καὶ τὸ πλῆθος τῶν ἀντιστασιωτῶν σου
θεωρῶν, μήποτέ τι καὶ αὖθις σφαλῇς. καὶ εἰ μὲν ἐν 2
φυγῇ γένοιο, μεταγνώσῃ μόνον, εἰ δέ τι ἕτερον ἀνή-
κεστον πάθοις, οὐδὲ μετανοῆσαι δυνήσῃ. καίτοι πῶς
μὲν οὐ δεινόν, πῶς δ' οὐκ αἰσχρὸν ἀποτμηθῆναί τέ
τινος τὴν κεφαλὴν καὶ ἐς τὴν ἀγορὰν τεθῆναι, κἂν

28, 4, 3 ἐπιθυμεῖς] ἐπιθυμείης Reiske, ἐπιθυμοῖς R ‖ 5, 2 ⟨τι⟩ inseruit Oddey ‖ 5 ἀπώσῃ D, ἀπωθήσῃ Ma ‖ 6, 2 εὔρεια Ma ‖ 5 ὄνομα εἶ Ma ‖ 29, 2, 2 μόνον B, μὲν Ma

οὕτω τύχῃ, κἂν ἄνδρα τινὰ αὐτῇ κἂν γυναῖκα ἐνυβρί-
3 σαι; καί με μὴ ὡς φαῦλά σοι οἰωνιζόμενον μισήσῃς,
ἀλλ᾽ ὡς διοσημίαν τινὰ προδεικνύντα φύλαξαι. μηδέ
σε ἐξαπατάτω τοῦθ᾽, ὅτι καὶ φίλους τινὰς τῶν δυνα-
τῶν ἔχεις· οὐδὲν γάρ σε ὠφελήσουσιν οἱ δοκοῦντες
φιλεῖν πρὸς τοὺς ἐχθρῶς διακειμένους, ὥσπερ που καὶ
4 πεπείρασαι. οἱ γὰρ δυναστείας ἐρῶντες παρ᾽ οὐδὲν
πάντα τἆλλα πρὸς τὸ τυχεῖν ὧν βούλονται, τίθενται,
ἀλλὰ καὶ τοὺς φιλτάτους καὶ τοὺς συγγενεστάτους
πολλάκις ἀντὶ τῶν ἐχθίστων ἀντικαταλλάσσονται."

30 καὶ Κικέρων μὲν ταῦτα ἀκούσας ῥᾴων πως ἐγέ-
νετο, οὐ μέντοι καὶ ἐπὶ πολὺ ἔφυγεν, ἀλλὰ καὶ ὑπ᾽
αὐτοῦ τοῦ Πομπηίου τοῦ μάλιστα αὐτὸν ἐκβαλόντος
κατήχθη. αἴτιον δέ, ὅτι ὁ Κλώδιος τόν τε Τιγράνην
τὸν νεώτερον ἐν δεσμοῖς ἔτι καὶ τότε παρὰ Λουκίῳ
2 Φλαουίῳ ὄντα πεισθεὶς ὑπὸ χρημάτων ἐξήρπασε καὶ
ἀφῆκε καὶ τὸν Πομπήιον τόν τε Γαβίνιον ἀγανακτή-
σαντας ἐπὶ τούτῳ περιύβρισε τοῖς τε ἀμφ᾽ αὐτοὺς
οὖσι καὶ πληγὰς καὶ τραύματα ἔδωκε καὶ τοῦ ὑπάτου
τάς τε ῥάβδους συνέτριψε καὶ τὴν οὐσίαν καθιέρωσεν.
3 ὀργισθεὶς γὰρ διὰ ταῦθ᾽ ὁ Πομπήιος ἄλλως τε καὶ
ὅτι τῇ ἐξουσίᾳ, ἣν αὐτὸς τοῖς δημάρχοις ἀπεδεδώκει,
κατ᾽ αὐτοῦ ὁ Κλώδιος ἐκέχρητο, ἀνακαλέσασθαι τὸν
Κικέρωνα ἠθέλησε καὶ αὐτῷ τὴν κάθοδον εὐθὺς διὰ
4 τοῦ Νιννίου πράττειν ἤρξατο. καὶ ὃς ἐσήνεγκε μὲν
ἐς τὸ βουλευτήριον τὴν ὑπὲρ αὐτοῦ γνώμην ἀπόντα
τὸν Κλώδιον τηρήσας· ἀντιστάντος δέ οἱ ἑτέρου τινὸς

2, 6 κἂν ἄνδρα — κἂν γυναῖκα] καὶ ἄ. — καὶ γ. B ‖ 3, 2 προδεικνύντα] προδεικνύντος Reiske ‖ 5 ἐχθροὺς Ma ‖ 4, 1 παρ᾽ οὐδὲν R, παρ᾽ οὐδενὶ Ma ‖ 30, 1, 1 ῥᾴων R, ῥᾳδίως Ma ‖ 3, 2 τῇ Xylander, Turnebus, ἐν Ma



δημάρχου ἐκείνην τε ὡς καὶ τῷ πλήθει κοινώσων ἐξ-
έθηκε καὶ τῷ Κλωδίῳ πρὸς πάντα καθάπαξ ἠναντι-
οῦτο. κἀκ τούτου καὶ φιλονεικίαι καὶ τραύματα ἀπ᾽
αὐτῶν πολλὰ ἑκατέροις ἐγίγνετο. πρὶν δὲ ἢ ἐς τοῦτο
ἀφικέσθαι, βουληθεὶς ὁ Κλώδιος τόν τε Κάτωνα ἐκπο-
δών, ὅπως ῥᾷον ὅσα ἔπραττε κατορθώσῃ, ποιήσασθαι
καὶ τὸν Πτολεμαῖον ⟨τὸν⟩ τότε τὴν Κύπρον ἔχοντα
ἀμύνασθαι, ὅτι αὐτὸν παρὰ τῶν καταποντιστῶν οὐκ
ἐλύσατο, τήν τε νῆσον ἐδημοσίωσε καὶ πρὸς τὴν διοί-
κησιν αὐτῆς τὸν Κάτωνα καὶ μάλα ἄκοντα ἀπέστειλε.

ταῦτα μὲν ἐν τῇ πόλει ἐγίγνετο· Καῖσαρ δὲ εὗρε 31
μὲν οὐδὲν ἐν τῇ Γαλατίᾳ πολέμιον, ἀλλὰ ἀκριβῶς
πάντα ἡσύχαζεν, οὐ μέντοι καὶ ἐν εἰρήνῃ διεγένετο,
ἀλλὰ καὶ αὐτομάτου τὸ πρῶτον πολέμου τινὸς αὐτῷ
συμβάντος ἕτερος συνηνέχθη, ὥστ᾽ αὐτόν, ὥσπερ ἐς
τὰ μάλιστα ἐπεθύμει, πάντα καὶ πολεμῆσαι καὶ κατορ-
θῶσαι. Ἑλουήτιοι γὰρ πλήθει τε ἀκμάζοντες καὶ 2
χώραν οὐκ αὐτάρκη τῇ πολυανθρωπίᾳ σφῶν ἔχοντες
μέρος μέν τι ἐκπέμψαι ἐς ἀποικίαν οὐκ ἠθέλησαν, μὴ
καὶ διασπασθέντες εὐεπιβουλευτότεροι τοῖς λυπηθεῖσί
ποτε ὑπ᾽ αὐτῶν γένωνται, πάντες δὲ δὴ ἀπαναστῆναι
βουληθέντες ὡς καὶ ἐς ἑτέραν τινὰ καὶ πλείω καὶ
βελτίω χώραν μετοικισθησόμενοι τάς τε κώμας καὶ
τὰς πόλεις σφῶν ἁπάσας ἔκαυσαν, ὥστε μηδένα μετά-
μελον τῆς ἀναστάσεως ποιήσασθαι. καί τινας [μὲν] 3
καὶ ἑτέρους τῶν αὐτῶν δεομένους προσλαβόντες ἀπῆ-

5, 4 τὸν Πτολεμαῖον τότε Ma, Πτολεμαῖον τὸν τότε Reiske coll. 39, 22, 2, unde τὸν Πτ. ⟨τὸν⟩ τότε scripsi ‖ 6 ἐδημοσίωσε Ma, cf. 41, 41, 4; 43, 2, ἐδημοσίευσε vulgo ‖ 31, 1, 5 ἕτερος ⟨ἐξ ἑτέρου⟩ πόλεμος συνήχθη Reiske ‖ 6 πάντα] διὰ πάντα Oddey, πάντα ⟨τὸν τῆς ἡγεμονίας χρόνον⟩ καὶ? an πάντα ⟨τὰ ε̅ ἔτη⟩ καὶ? B ‖ πολεμῆσαι] πολεμῶσαι R, καταπολεμῆσαι Reiske ‖ 3, 1 [μὲν] secl. B

ραν, Ὀρκετόριγός σφισιν ἡγουμένου, ⟨ἐν νῷ⟩ ἔχοντες
τόν τε Ῥοδανὸν διαβῆναι καὶ πρὸς ταῖς Ἄλπεσί που
κατοικισθῆναι. καὶ ἐπειδὴ ὁ Καῖσαρ τήν τε γέφυραν
διέκοψε καὶ τἆλλα ὡς κωλύσων αὐτοὺς διαβῆναι ἡτοι-
μάζετο, ἔπεμψαν πρὸς αὐτὸν δίοδόν τε αἰτούμενοι καὶ
προσυπισχνούμενοι μηδὲν τὴν τῶν Ῥωμαίων γῆν κα-
4 κώσειν. καὶ ὅς, εἰ καὶ τὰ μάλιστα μήτε ἐπίστευεν
αὐτοῖς μήτε προχωρῆσαί ποι ἐπιτρέψειν ἔμελλεν, ἀλλ'
ὅτι γε οὐδέπω καλῶς παρεσκεύαστο, βουλεύσεσθαί τε
ὑπὲρ ὧν ἠξίουν μετὰ τῶν ὑποστρατήγων ἔφη καὶ τὴν
ἀπόκρισιν ἐν ῥητῇ τινι ἡμέρᾳ δώσειν. καί τι καὶ ἐλ-
πίδος ὡς καὶ ἐπιτρέψων σφίσι τὴν δίοδον ὑπετείνατο.
κἂν τούτῳ τὰ ἐπικαιρότατα διετάφρευσε καὶ ἀπετείχι-
32 σεν, ὥστ' ἄπορον αὐτοῖς τὴν ὁδὸν γενέσθαι. οἱ οὖν
βάρβαροι χρόνον μέν τινα ἐπέσχον, ἔπειτ' ἐπειδὴ μη-
δὲν ἤκουσαν κατὰ τὸ συγκείμενον, ἄραντες τὸ μὲν
πρῶτον διὰ τῶν Ἀλλοβρίγων ἐπορεύοντο, ᾗπερ ὥρ-
μηντο, ἔπειτ' ἐντυχόντες τοῖς κωλύμασιν ἐς Σηκουα-
2 νοὺς ἀπετράποντο καὶ διά τε τούτων καὶ διὰ τῶν
Αἰδούων ἐθελοντί σφισι τὴν δίοδον, ἐφ' ᾧ μηδὲν ἀδι-
κηθῶσι, παρεχόντων διιόντες οὐκ ἐνέμειναν τοῖς ὡμο-
λογημένοις, ἀλλὰ τὴν χώραν αὐτῶν ἐλεηλάτουν. πέμ-
ψαντες οὖν οἵ τε Σηκουανοὶ καὶ οἱ Αἴδουοι πρὸς τὸν
Καίσαρα ἐπικουρίαν τε παρ' αὐτοῦ ᾔτουν καὶ ἐδέοντο
3 μὴ σφᾶς περιιδεῖν ἀπολλυμένους. καὶ ἔλεγον μὲν
οὐδὲν ὅμοια οἷς ἔπραξαν, ἔτυχον δ' οὖν ὅμως ὧν
ἠξίουν· ὁ γὰρ Καῖσαρ φοβηθείς, μὴ καὶ ἐπὶ τὴν Τό-
λοσαν οἱ Ἐλουήτιοι τράπωνται, εἵλετο μετ' ἐκείνων

3, 3 ⟨ἐν νῷ⟩ supplevit Leunclavius ‖ 4, 1 ἐπίστευσεν Ma ‖ 3 βουλεύσεσθαι H. Stephanus, βουλεύσασθαι Ma ‖ 32, 3, 1 ἀπολλυμένους Herwerden, ἀπολουμένους Ma



αὐτοὺς ἀμύνασθαι μᾶλλον ἢ συμφρονήσασί σφισιν,
ὅπερ εὔδηλον ἦν ἐσόμενον, πολεμῆσαι. προσπεσὼν 4
οὖν διὰ ταῦτα τοῖς Ἐλουητίοις τὸν Ἄραριν διαβαί-
νουσι τοὺς μὲν τελευταίους ἐπακολουθοῦντας ἐν αὐτῷ
τῷ πόρῳ διέφθειρε, τοὺς δὲ προκεχωρηκότας ἐς το-
σοῦτον ἐκ τοῦ αἰφνιδίου καὶ ἐκ τοῦ τάχους τῆς διώ-
ξεως καὶ ⟨ἐκ⟩ τῆς πύστεως τῶν ἀπολωλότων ἐξέπληξεν,
ὥστε ἐς ὁμολογίαν ἐπὶ χώρᾳ τινὶ ἐθελῆσαι ἐλθεῖν. οὐ 33
μέντοι καὶ συνέβησαν· ἐπειδὴ γὰρ ὁμήρους ᾐτήθησαν,
ἠγανάκτησαν οὐχ ὅτι ἠπιστοῦντο, ἀλλ' ὅτι ἀπηξίουν
ὁμήρους τισὶ δοῦναι. καὶ τῶν μὲν σπονδῶν κατεφρό-
νησαν, προχωροῦντες δὲ αὖθις τήν τε ἵππον τοῦ
Καίσαρος ἀπό τε τοῦ πεζοῦ πολὺ προδραμοῦσαν καὶ
τοὺς ὀπισθοφύλακας αὐτῶν παραλυποῦσαν ὑποστάντες
τῷ ἱππικῷ ἐνίκησαν κἀκ τούτου αὐτοί τε φρόνημα 2
λαβόντες καὶ ἐκεῖνον φυγεῖν διά τε τὴν ἐλάττωσιν,
καὶ ὅτι σπανίσας τῶν ἐπιτηδείων πρὸς πόλιν τινὰ ἔξω
τῆς ὁδοῦ οὖσαν ἐξετράπετο, νομίσαντες τοῦ τε πρόσω
ἀφεῖντο καὶ ἐπεδίωξαν αὐτόν. ἰδὼν οὖν τοῦτο ὁ 3
Καῖσαρ καὶ φοβηθεὶς τήν τε ὁρμὴν αὐτῶν καὶ τὸ
πλῆθος τῷ μὲν πεζῷ πρὸς μετέωρόν τι ὥρμησε, τοὺς
δὲ ἱππέας προεβάλετο προκινδυνεῦσαί σφισιν, ἕως ἐν
ἐπιτηδείῳ παρατάξῃ. τρεψαμένων τε αὖθις αὐτοὺς
ἐκείνων καὶ πρὸς αὐτὸ τὸ ὄρθιον θυμῷ φερομένων
ἐπικατέδραμέ σφισιν ἐξαίφνης καὶ ἅτε συντεταγμένος
σποράδας ἐξ ὑπερδεξίων οὐ χαλεπῶς ἀπεώσατο. τρα- 4

4, 5 ἐκ ⟨τε⟩ τοῦ αἰφνιδίου ⟨τῆς ἐφόδου⟩ καὶ τοῦ τάχους τῆς διώξεως καὶ ⟨ἐκ⟩ τῆς ? B, cum B ⟨ἐκ⟩ inserui ante πύστεως ‖ 33, 1, 1 ἐπὶ χώρᾳ τινὶ H. Stephanus, ἐπιχωρίᾳ τινὶ Ma ‖ 7 παραλυποῦσαν Sauppe coll. 38, 48, 2; 54, 33, 4, sed iam proposuerat Reiske, παραλιποῦσαν Ma, παραλλάττουσαν D Reiskium secutus; *novissimum agmen insecuti* Caes. b. G. 1, 15, 2 ‖ 3, 4 προεβάλετο R, προσεβάλλετο Ma

πομένων δὲ τούτων ἄλλοι τινὲς τῶν μὴ μαχομένων
(ὑπό τε γὰρ τοῦ πλήθους καὶ ὑπὸ τῆς σπουδῆς οὐ
πάντες ἅμα παρεγένοντο) προσέμιξαν ἐξαίφνης κατὰ
νώτου τοῖς ἐπιδιώκουσι σφᾶς καὶ ἐθορύβησαν μὲν
5 αὐτούς, πλεῖον δὲ οὐδὲν ἔσχον· ὁ γὰρ Καῖσαρ τοῖς
ἱππεῦσι τοὺς φεύγοντας προστάξας αὐτὸς τῷ ὁπλιτικῷ
πρὸς ἐκείνους ἐτράπετο καὶ κρατήσας πρός τε τὰς
ἁμάξας ἀμφοτέροις σφίσι συγκαταφυγοῦσιν ἐφέσπετο
κἀνταῦθα αὖθις ἰσχυρῶς ἀπ' αὐτῶν ἀμυνομένους σφᾶς
ἐνίκησε. παθόντες δὲ ταῦθ' οἱ βάρβαροι δίχα διῃρέ-
6 θησαν. οἱ μὲν γὰρ ὡμολόγησαν αὐτῷ καὶ ἔς τε τὴν
οἰκείαν, ὅθεν ἐξανέστησαν, ἐπανῆλθον κἀνταῦθα τὰς
πόλεις ἀνορθώσαντες ᾤκησαν· οἱ δὲ οὐκ ἐθελήσαντες
τὰ ὅπλα παραδοῦναι πρὸς τὸν Ῥῆνον ὡς καὶ ἐς τὴν
ἀρχαίαν σφῶν γῆν ἐπανελθεῖν δυνάμενοι ὥρμησαν,
καὶ αὐτοὺς οἱ σύμμαχοι τῶν Ῥωμαίων, δι' ὧν διῄεσαν
ῥᾳδίως, ἅτε καὶ ὀλίγους καὶ νενικημένους, ἔφθειραν.

34 οὕτω μὲν δὴ τὸν πρῶτον πόλεμον ὁ Καῖσαρ ἐπο-
λέμησεν, ἀρξάμενος δὲ ἐκεῖθεν οὐχ ἡσύχασεν, ἀλλ'
αὐτός τε τὸ ἑαυτοῦ βούλημα ἅμα ἀπεπλήρωσε καὶ τοῖς
συμμάχοις ἐχαρίσατο. οἵ τε γὰρ Σηκουανοὶ καὶ οἱ
Αἴδουοι τήν τε προθυμίαν αὐτοῦ ἰδόντες καὶ τὰ ἔργα
ὁμολογοῦντα ταῖς ἐλπίσιν αἰσθόμενοι ἐκείνῳ τε εὐερ-
γεσίαν ἅμα καταθέσθαι καὶ τοὺς Κελτοὺς τοὺς ὁμο-
2 χώρους σφίσι τιμωρήσασθαι ἠθέλησαν· τὸν γὰρ Ῥῆνον
πάλαι ποτὲ διαβάντες τῆς τε χώρας αὐτῶν τινα παρε-
τέτμηντο καὶ αὐτοὺς ὑποτελεῖς ἐπεποίηντο ὁμήρους
σφῶν ἔχοντες. καὶ (ἐτύγχανον γὰρ δεόμενοι ὧν ὠρέ-

5, 1 πλεῖον] St malit πλέον ‖ 5 ἀπ' Reiske, ἐπ' Ma ‖ 34, 1, 3 βούλημα B, βούλευμα Ma ‖ 5 προθυμίαν Leunclavius e codd. exc. de legationibus, ἐπιθυμίαν Ma ‖ 2, 3 αὐτοὺς B, ἑαυτοῖς Ma



γετο) ῥᾳδίως αὐτὸν ἀνέπεισαν ἐπικουρῆσαί σφισιν.
ἦρχε μὲν γὰρ Ἀριοουίστος τῶν Κελτῶν ἐκείνων καὶ 3
τήν τε κύρωσιν τῆς βασιλείας παρὰ τῶν Ῥωμαίων
εἰλήφει καὶ ἐς τοὺς φίλους τούς τε συμμάχους αὐτῶν
ὑπ' αὐτοῦ τοῦ Καίσαρος ὑπατεύοντος ἐνεγέγραπτο·
πρὸς δὲ δὴ τὴν ἐκ τοῦ πολέμου δόξαν καὶ τὴν ἀπ'
αὐτῆς ἰσχὺν οὐδὲν τούτων ἐφρόντισε, πλὴν καθ' ὅσον
παρὰ τοῦ βαρβάρου πρόφασιν τῆς διαφορᾶς, μὴ καὶ
προϋπάρχειν τι ἐς αὐτὸν νομισθῇ, λαβεῖν ἠθέλησε.
καὶ διὰ τοῦτο μετεπέμψατο αὐτὸν ὡς καὶ διαλεχθῆναί 4
τι αὐτῷ δεόμενος. ἐπειδή τε οὐχ ὑπήκουσεν, ἀλλὰ
καὶ ἔφη ὅτι "εἴ τί μοι βούλεται Καῖσαρ εἰπεῖν, αὐτὸς
πρὸς ἐμὲ ἐλθέτω· οὔτε γὰρ ἄλλως καταδεέστερος αὐ-
τοῦ εἰμι, καὶ τὸν χρείαν τινὸς ἔχοντα αὐτὸν πρὸς
ἐκεῖνον ἀφικνεῖσθαι δεῖ", ὀργήν τε ὡς καὶ πάντας 5
τοὺς Ῥωμαίους προπεπηλακικότος αὐτοῦ ἐν τούτῳ
ἐποιήσατο καὶ παραχρῆμα τούς τε ὁμήρους τῶν συμ-
μάχων ἀπῄτησεν αὐτὸν καὶ προσαπηγόρευσεν αὐτῷ
μήτε τῆς χώρας σφῶν ἐπιβαίνειν μήτ' ἐπικουρίας οἴ-
κοθεν ἐπάγεσθαι. ταῦτα δὲ ἔπραξεν οὐχ ὅτι καὶ κατα- 6
πλήξειν αὐτόν, ἀλλ' ὅτι ἐξοργιεῖν κἀκ τούτου πρόφα-
σιν τοῦ πολέμου καὶ μεγάλην καὶ εὐπρεπῆ λήψεσθαι
ἤλπισεν. ὅπερ ἐγένετο· ἀχθεσθεὶς γὰρ ὁ βάρβαρος
τοῖς ἐπιτάγμασι πολλὰ καὶ δεινὰ ἀπεκρίνατο, ὥστε τὸν
Καίσαρα λόγους μὲν μηκέτ' αὐτῷ ἀντιπέμψαι, τὸν δὲ
δὴ Οὐεσοντίωνα, τὴν τῶν Σηκουανῶν πόλιν, εὐθὺς καὶ
πρὶν αἰσθέσθαι τινὰ προκατασχεῖν.

3, 4 ἐνεγέγραπτο Reiske, ἐγέγραπτο Ma ‖ 5 ⟨ὁ δὲ Καῖσαρ⟩ πρός τε τὴν ἐκ τοῦ ⟨προτέρου⟩ πολέμου δόξαν καὶ τὴν ἀπ' αὐτοῦ ἰσχὺν Reiske ‖ 6 αὐτῆς sc. δόξης B, αὐτοῦ sc. πολέμου Reiske, αὐτῶν Ma ‖ 5, 2 προπεπηλακηκότος Ma ‖ 6, 4 ὅπερ ⟨καὶ⟩ Reiske ‖ 8 αἰσθέσθαι Reiske, Pflugk et habet cod. Monac. de

35 κἂν τούτῳ οἱ στρατιῶται ἀγγελίας ἐλθούσης, ὅτι
τε ὁ Ἀριοούιστος ἰσχυρῶς παρασκευάζεται, καὶ ὅτι καὶ
ἕτεροι τῶν Κελτῶν πολλοὶ οἱ μὲν διαβεβήκασιν ἤδη
τὸν Ῥῆνον ὡς ἐπὶ βοήθειαν αὐτοῦ, οἱ δὲ καὶ ἐπ' αὐτῷ
τῷ ποταμῷ συνειλέχαται, ὅπως ἐξαίφνης σφίσιν ἐπί-
2 θωνται, δεινῶς ἠθύμησαν· τά τε γὰρ μεγέθη αὐτῶν
καὶ τὸ πλῆθος τό τε θράσος καὶ τὰς ἀπ' αὐτοῦ προ-
χείρους ἀπειλὰς ἐκπλαγέντες οὕτω διετέθησαν ὡς μηδὲ
πρὸς ἀνθρώπους τινάς, ἀλλὰ πρὸς θηρία [ἄπορα καὶ]
ἄγρια προσοισόμενοι. καὶ ἐθρύλουν, ὅτι πόλεμον οὔτε
προσήκοντα οὔτε ἐψηφισμένον διὰ τὴν ἰδίαν τοῦ Καί-
σαρος φιλοτιμίαν ἀναιροῖντο, καὶ προσεπηπείλουν ἐγ-
3 καταλείψειν αὐτόν, ἂν μὴ μεταβάληται. μαθὼν οὖν
ταῦτ' ἐκεῖνος τῷ μὲν πλήθει τῶν στρατιωτῶν οὐδὲν
διελέξατο (οὔτε γὰρ καλὸν ἐνόμιζεν εἶναι τοιαῦτα πρὸς
πολλοὺς λέγειν καὶ ταῦτ' ἐς τοὺς πολεμίους μέλλοντα
ἐκφοιτήσειν καὶ ἔδεισε, μή πως ἀπειθήσαντες θορυ-
βήσωσι καὶ κακόν τι ἐξεργάσωνται), τοὺς δὲ δὴ ὑπάρ-
χους καὶ τοὺς ὑπομείονας ἀθροίσας τοιάδε ἐν αὐτοῖς
ἔλεξεν.

36 "οὐ τὸν αὐτόν, ὦ ἄνδρες φίλοι, τρόπον ἡγοῦμαι
δεῖν ἡμᾶς περί τε τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν
βουλεύεσθαι. οὐδὲ γὰρ τὸν αὐτὸν ὁρῶ σκοπὸν ἰδίᾳ
τε ἑκάστῳ καὶ δημοσίᾳ ἅπασιν ὄντα. ἡμῖν μὲν γὰρ
τὰ ἐπιεικέστατα καὶ ἀσφαλέστατα, τῷ δὲ δήμῳ τὰ
2 κράτιστα καὶ προαιρεῖσθαι καὶ πράττειν προσήκει. δεῖ
μὲν γὰρ ἐν τοῖς ἰδίοις δραστηρίους εἶναι· τὸ γὰρ ἐπι-

legationibus, *αἰσθήσεσθαι* Ma, *αἰσθήσασθαι* Leunclavius ‖ 35, 1, 4 *βοήθειαν*] *βοηθείᾳ* Reiske ‖ 5 *συνειλέχαται* St, *συνειλόχαται* Ma ‖ 2, 4 [*ἄπορα καὶ*] ut ex dittographia nata delet Cobet, Mnemos. X, p. 205; *ἄκορα* Leunclavius ‖ 7 *ἀναιροῖντο* R, *ἀναίροιντο* Ma, quod praefert Herw., *ἀναιροῖτο* sc. *Καῖσαρ* Reiske



εικὲς οὐκ ἐθέλει ⟨εἰ⟩ μὴ καὶ ἐκ τούτου σῴζεσθαι· οὐ
μὴν ἀλλὰ ἀνὴρ μέν, ὅστις ἀπραγμονέστατός ἐστι, καὶ
ἀσφαλέστατος εἶναι δοκεῖ, πόλις δὲ ἄλλως τε καὶ ἀρ-
χὴν ἔχουσα τάχιστ' ἂν ὑπὸ τοῦ τοιούτου καταλυθείη.
ταῦτα γὰρ οὕτως οὐχ ὑπ' ἀνθρώπων ταχθέντα, ἀλλ' 3
ὑπ' αὐτῆς τῆς φύσεως νομοθετηθέντα καὶ ἦν ἀεὶ καὶ
ἔστι καὶ ἔσται, μέχριπερ ἂν καὶ τὸ θνητὸν γένος
συνεστήκῃ. τούτων οὖν οὕτως ἐχόντων οὐδ' ὑμῶν
οὐδένα χρὴ τὸ ἴδιον ἡδὺ καὶ ἀσφαλὲς ἐν τῷ παρόντι
μᾶλλον ἢ τὸ τοῖς πᾶσι Ῥωμαίοις καὶ εὐπρεπὲς καὶ
συμφέρον προσκοπεῖν. λογίζεσθε γὰρ τά τε ἄλλα, ὅσα 4
εἰκός ἐστι, καὶ μάλισθ' ὅτι δεῦρ' ἤλθομεν αὐτοί τε
τοσοῦτοι καὶ τοιοῦτοι ἔκ τε τῆς βουλῆς καὶ ἐκ τῶν
ἱππέων ὄντες καὶ πλῆθος πολὺ στρατιωτῶν χρήματά
τε ἄφθονα λαβόντες, οὐχ ἵνα ῥᾳθυμῶμεν οὐδ' ἵνα 5
ἀμελῶμεν, ἀλλ' ὅπως τά τε τῶν ὑπηκόων ὀρθῶς διοι-
κήσωμεν καὶ τὰ τῶν ἐνσπόνδων ἀσφαλῶς διασώσωμεν
τούς τε ἀδικεῖν ἐπιχειροῦντας σφᾶς ἀμυνώμεθα καὶ
τὰ ἡμέτερα ἐπαυξήσωμεν. ὡς εἴ γε μὴ ταῦθ' οὕτω 6
φρονοῦντες ἤλθομεν, τί ποτε καὶ ἀρχὴν ἐξεστρατεύσα-
μεν, ἀλλ' οὐ τρόπον γέ τινα οἴκοι καὶ ἐπὶ τοῖς ἰδίοις
κατεμείναμεν; καὶ γάρ που καὶ ἄμεινον ἦν μηδ' ὑπο-
στῆναι τὴν στρατείαν ἢ προσταχθέντας αὐτὴν προ-
δοῦναι. εἰ δ' οἱ μὲν ὑπὸ τῶν νόμων ἀναγκαζόμενοι 7
τὸ προστασσόμενον ὑπὸ τῆς πατρίδος πράττειν, οἱ δὲ
δὴ πλείους ἐθελονταὶ διά τε τὰς τιμὰς καὶ διὰ τὰς
ὠφελίας τὰς ἀπὸ τῶν πολέμων περιγιγνομένας πάρ-
εσμεν, πῶς ἂν ἢ καλῶς ἢ ὁσίως ἡμῖν ἔχοι ψεύσασθαι
καὶ τὰς τῶν ἐκπεμψάντων ἡμᾶς ἅμα καὶ τὰς ἡμετέρας

36, 2, 3 ⟨*εἰ*⟩ *μὴ καὶ* R vel *μὴ* ⟨*ἄνευ*⟩ *τούτου* ‖ 6, 3 *γε* B, *τε* Ma

8 αὐτῶν ἐλπίδας; ἰδίᾳ μὲν γὰρ οὐδ' ἂν εἷς οὕτως εὖ
πράξειεν, ὥστε μὴ οὐ τῷ κοινῷ πταίσαντι συναπολέ-
σθαι· τὸ δὲ δημόσιον εὐτυχοῦν πάσας καὶ τὰς ἑκάστου
συμφορὰς ἀναφέρει.

37 λέγω δὲ ταῦτα οὐ πρὸς ὑμᾶς, ἄνδρες ἑταῖροί τε
καὶ φίλοι, τοὺς ἐνταῦθα ὄντας (οὔτε γὰρ ἄλλως ἀγνο-
εῖτε αὐτὰ ὥστε καὶ μαθεῖν δεῖσθαι, οὔτ' ὀλιγώρως
αὐτῶν ἔχετε ὥστε καὶ προτροπῆς χρῄζειν), ἀλλ' ὅτι
τινὰς τῶν στρατιωτῶν ᾔσθημαι αὐτούς τε θρυλοῦντας,
2 ὡς οὐ προσήκοντα τόνδε τὸν πόλεμον ἀνῃρήμεθα, καὶ
τοὺς ἄλλους προσστασιάζοντας, ἵν' αὐτοί τε βεβαιοτέ-
ραν ἐκ τῶν παρ' ἐμοῦ λόγων τὴν ὑπὲρ τῆς πατρίδος
προθυμίαν ποιήσησθε καὶ ἐκείνους πάνθ' ἃ προσήκει
διδάξητε· πλείω γὰρ ἂν παρ' ὑμῶν ἰδίᾳ καὶ πολλάκις
ἀκούοντες αὐτὰ ὠφεληθεῖεν ἢ παρ' ἐμοῦ ἅπαξ πυθό-
3 μενοι. λέγετε τοίνυν αὐτοῖς, ὅτι οἱ πρόγονοι ἡμῶν
οὐκ οἴκοι μένοντες οὐδὲ τὰς στρατείας ὀκνοῦντες οὐδὲ
τοὺς πολέμους φεύγοντες οὐδὲ τὰς ῥᾳθυμίας διώκον-
τες τηλικαύτην τὴν πόλιν ἐποίησαν, ἀλλὰ ταῖς γνώ-
μαις πάντα τὰ προσήκοντα προχείρως τολμῶντες καὶ
τοῖς σώμασι πάντα τὰ ἀρέσαντα προθύμως ἐκπονοῦν-
4 τες καὶ τὰ μὲν ἴδια ὡς ἀλλότρια ἀεί ποτε παραβαλ-
λόμενοι, τὰ δὲ δὴ τῶν πέλας ὡς καὶ οἰκεῖα ἑτοίμως
κτώμενοι καὶ μήτε εὐδαιμονίαν ἄλλο τι ἢ τὸ τὰ δέ-
οντα πράττειν νομίζοντες μήτε δυστυχίαν ἄλλο τι ἢ
5 τὸ μετ' ἀπραξίας ἡσυχάζειν ἡγούμενοι. τοιγαροῦν ἐκ
τούτων τῶν πολιτευμάτων αὐτοί τε ὀλίγιστοι τὸ κατ'
ἀρχὰς γενόμενοι καὶ πόλιν οὐδεμίαν ἧς οὐκ ἐλάττω
τὸ πρῶτον νεμόμενοι Λατίνους ἐκράτησαν, Σαβίνους

37, 5, 1 ἀπραξίας Oddey, εὐπραξίας Ma



ἐνίκησαν, Τυρσηνούς, Οὐόλσκους, Ὀπικούς, Λευκα-
νούς, Σαυνίτας ἐχειρώσαντο, πᾶσαν ἐνὶ λόγῳ τὴν ἐν-
τὸς τῶν Ἄλπεων γῆν κατεστρέψαντο, πάντας τοὺς
ἀλλοφύλους τοὺς ἐπελθόντας σφίσιν ἀπεώσαντο. καὶ 38
αὐτοὺς καὶ οἱ μετὰ ταῦτα Ῥωμαῖοι οἵ τε πατέρες
ἡμῶν ζηλώσαντες οὐκ ἠρκέσθησαν τοῖς παροῦσιν οὐδ'
ἠγάπησαν οἷς παρέλαβον, ἀλλ' ὄλεθρον μὲν αὐτῶν
σαφῆ τὴν ῥᾳστώνην, σωτηρίαν δὲ ἀκριβῆ τὴν ταλαι-
πωρίαν νομίσαντες εἶναι καὶ φοβηθέντες μέν, μὴ
μείναντα αὐτὰ ἐφ' ἑαυτὰ κατατριφθείη καὶ καταγηρά-
σειεν, αἰσχυνθέντες δέ, εἰ τοσαῦτα παραδεξάμενοι μη-
δὲν ἐπικτήσαιντο, πολλῷ πλείω καὶ μείζω προσκατειρ-
γάσαντο. τί γὰρ ἄν τις καθ' ἕκαστον λέγοι τὴν Σαρδώ, 2
τὴν Σικελίαν, τοὺς Μακεδόνας, τοὺς Ἰλλυριούς, τὴν
Ἑλλάδα, τὴν Ἀσίαν τὴν περὶ τὴν Ἰωνίαν, Βιθυνούς,
Ἴβηρας, Ἄφρους; καίτοι συχνὰ μὲν ἂν χρήματα ἔδο-
σαν αὐτοῖς Καρχηδόνιοι, ὥστε μὴ ἐκεῖσε ἐκπλεῦσαι,
συχνὰ δὲ Φίλιππος καὶ Περσεύς, ὥστε μὴ ἐπ' αὐτοὺς
στρατεῦσαι, πολλὰ Ἀντίοχος, πολλὰ οἱ παῖδες αὐτοῦ
καὶ ἔγγονοι, ὥστε ἐπὶ τῆς Εὐρώπης καταμεῖναι. ἀλλ' 3
οὔτε ἐκεῖνοι πρό τε τῆς δόξης καὶ πρὸ τοῦ μεγέθους
τῆς ἀρχῆς ἀργεῖν τε ἀκλεῶς καὶ πλουτεῖν ἀδεῶς εἵ-
λοντο, οὔτ' αὐτῶν ἡμῶν οἱ πρεσβύτεροι οἱ καὶ νῦν
ἔτ' ὄντες, ἀλλ' ἅτε εὖ εἰδότες, ὅτι διὰ τῶν αὐτῶν
ἐπιτηδευμάτων καὶ κτᾶται τὰ ἀγαθὰ καὶ σώζεται,
πολλὰ μὲν ἐβεβαιώσαντο τῶν προϋπαρχόντων, πολλὰ
δὲ καὶ προσεκτήσαντο. τί γὰρ δεῖ κἀνταῦθα καθ' 4

5, 6 ἐνὶ λόγῳ Pflugk, ἐν ὀλίγῳ Ma ‖ 38, 1, 2 Ῥωμαῖοι ut glossema expunxit Sauppe ‖ 7 ἐφ' ἑαυτὰ] ἐφ' ἑαυτῶν vel ὑφ' ἑαυτῶν Reiske ‖ καταγηράσειεν αἰσχυνθέντες B, καταγηράσῃ ἐναισχυνθέντες Ma ‖ 2, 7 πολλὰ ⟨δ'⟩ Reiske ‖ 3, 5 ἀλλ' ἅτε B, ἀλλά γε Ma

ἕκαστον ἐπεξιέναι τὴν Κρήτην, τὸν Πόντον, τὴν Κύ-
προν, τὴν Ἰβηρίαν τὴν Ἀσιανήν, τὴν Ἀλβανίαν τὴν
ἐκεῖ, Σύρους ἀμφοτέρους, Ἀρμενίους ἑκατέρους, Ἀρα-
βίους, Παλαιστίνους; ὧν οὐδὲ τὰ ὀνόματα πρότερον
ἀκριβῶς εἰδότες νῦν τῶν μὲν αὐτοὶ δεσπόζομεν, τὰ δὲ
ἑτέροις ἐχαρισάμεθα, ὥστε ἐξ αὐτῶν καὶ προσόδους
καὶ δυνάμεις καὶ τιμὰς καὶ συμμαχίας προσειληφέναι.
39 τοιαῦτα γοῦν ἔχοντες παραδείγματα μήτε τὰ τῶν
πατέρων ἔργα καταισχύνητε μήτε τὴν ἀρχὴν μεγίστην
ἤδη οὖσαν πρόησθε. οὐδὲ γὰρ οὐδ' ἐπ' ἴσης ἡμῖν τε
καὶ τοῖς ἄλλοις τοῖς μηδὲν τῶν ὁμοίων κεκτημένοις
2 βουλευτέον ἐστίν. ἐκείνοις μὲν γὰρ ἐξαρκεῖ ῥαστω-
νεύειν καὶ μετὰ ἀσφαλείας ἄλλοις ὑποπεπτωκέναι, ἡμῖν
δ' ἀναγκαῖόν ἐστι καὶ πονεῖν καὶ στρατεύεσθαι καὶ
μετὰ κινδύνων τὴν παροῦσαν εὐδαιμονίαν φυλάττειν.
πολλοί [τε] γὰρ ἐπιβουλεύουσιν αὐτῇ· πᾶν γὰρ τὸ
ὑπεραῖρόν τινας καὶ ζηλοῦται καὶ φθονεῖται, κἀκ τού-
του πόλεμος ἀίδιός ἐστιν ἅπασι τοῖς καταδεεστέροις
3 πρὸς τοὺς ἔν τινι αὐτῶν ὑπερέχοντας. ἢ οὖν ἀπὸ
πρώτης ἐχρῆν μηδὲν διαφερόντως ἡμᾶς τῶν ἄλλων
ἀνθρώπων ηὐξῆσθαι· ἢ ἐπείπερ τηλικοῦτοι γεγόναμεν
καὶ τοσαῦτα κεκτήμεθα, πέπρωταί τε ἢ ἄρχειν τῶν
ἄλλων ἐγκρατῶς ἢ καὶ αὐτοὺς παντελῶς ἀπολέσθαι
(τοῖς γὰρ ἔς τε ἀξίωμα τοσοῦτον καὶ ἐς δύναμιν τη-
λικαύτην προκεχωρηκόσιν ἀδύνατόν ἐστιν ἀκινδύνως

4, 3 Ἀσιανὴν B secutus Penzelium, qui Ἀσιατικήν, Ἀσίαν Ma ‖ 39, 1, 1 γοῦν] δὴ οὖν ? B ‖ 3 πρόησθε B, πρόεσθε Ma ‖ ἐπ' ἴσης D, ἀπ' ἴσης R, ἀπίσης Ma ‖ 2, 5 [τε] seclusit B, in γε corr. St ‖ ἐπιβουλεύουσιν Wagner coll. cap. 40, 1; ἐπιθυμοῦσιν Ma, quamobrem αὐτῇ in αὐτῆς corr. R. Stephanus, Xylander, Turnebus, ἐπιθυμοῦσιν ⟨αὐτῆς καὶ φθονοῦσιν⟩ αὐτῇ Reiske, ἐποφθαλμοῦσιν B, ἐπιθέουσιν St ‖ 3, 1 ἢ Reiske, μὴ Ma



ἰδιωτεῦσαι), πειθώμεθα τῇ τύχῃ μηδὲ ἑκοῦσαν αὐτὴν
καὶ αὐτεπάγγελτον τοῖς τε πατράσιν ἡμῶν ὑπάρξασαν
καὶ ἡμῖν παραμένουσαν ἀπωσώμεθα. ἔσται δὲ τοῦτο 4
οὐκ ἂν τὰ ὅπλα ῥίψωμεν οὐδ' ἂν τὰς τάξεις ἐκλίπω-
μεν οὐδ' ἂν διὰ κενῆς οἴκοι καθώμεθα ἢ παρὰ τοῖς
συμμάχοις πλανώμεθα, ἀλλ' ἂν τά τε ὅπλα διὰ χειρὸς
ἀεὶ ἔχωμεν (οὕτω γὰρ μόνως εἰρήνη σώζεται) καὶ τὰ
ἔργα τοῦ πολέμου διὰ κινδύνων ἀσκῶμεν (οὕτω γὰρ
μόνως οὐκ ἀεὶ πολεμήσομεν) τοῖς τε δεομένοις τῶν 5
συμμάχων ἀπροφασίστως ἐπικουρῶμεν (οὕτω γὰρ πολὺ
πλείους ἕξομεν) καὶ τοῖς ἀεί τι παρακινοῦσι τῶν πο-
λεμίων μὴ ἐπιτρέπωμεν (οὕτω γὰρ οὐδεὶς ἔθ' ἡμᾶς
ἀδικεῖν ἐθελήσει). εἰ μὲν γάρ τις τῶν θεῶν ἐγγυητὴς 40
ἡμῖν ἐγένετο, ὅτι, κἂν ταῦτα ⟨μὴ⟩ ποιῶμεν, οὔτε τις
ἡμῖν ἐπιβουλεύσει καὶ πάνθ' ὅσα κεκτήμεθα ἀσφαλῶς
ἀεὶ καρπωσόμεθα, αἰσχρὸν μὲν ἂν ⟨ἦν⟩ εἰπεῖν, ὅτι
τὴν ἡσυχίαν ἄγειν ἐχρῆν, ὅμως δ' οὖν εἶχον ἄν τινα
σκῆψιν εὐπρεπῆ οἱ μηδὲν τῶν δεόντων πράττειν βου-
λόμενοι. εἰ δ' ἀνάγκη τε τοὺς κεκτημένους τινὰ ὑπὸ 2
πολλῶν ἐπιβουλεύεσθαι, καὶ προσήκει τὰς ἐπιθέσεις
αὐτῶν προκαταλαμβάνεσθαι, καὶ οἱ μὲν ἐπὶ τοῖς
οἰκείοις ἡσυχάζοντες καὶ περὶ τούτοις κινδυνεύουσιν,
οἱ δὲ ἐκ περιουσίας τῷ πολέμῳ καὶ τὰ τῶν ἀλλοτρίων
κτώμενοι καὶ ἐκεῖνα φυλάσσουσιν (οὐδεὶς γὰρ περὶ 3
τοῖς ἑαυτοῦ δεδιὼς τῶν τοῦ πέλας ἐφίεται· ὁ γὰρ περὶ

4, 1 ἀπωσόμεθα Ma ‖ 2 ἐκλίπωμεν D, ἐκλείψωμεν Ma, quod defendit Lobeck ad Phrynich. p. 715 ‖ 3 καθώμεθα Pflugk, καθήμεθα Ma ‖ 5, 3 πολεμίων Xylander, πολέμων Ma ‖ 40, 1, 2 ⟨μὴ⟩ inser. Xylander, Turnebus ‖ 4 ἂν ⟨ἦν⟩ Pflugk, ἦν B, ἂν Ma ‖ 2, 5 καὶ τὰ τ. ἀ. κτώμενοι Hug, καὶ κατὰ τ. ἀ. χρώμενοι Ma, χρώμενοι ⟨καὶ ταῦτα (sc. τὰ ἀλλοτρία) προσκτῶνται⟩ κ. ἐ. φ. coniecerat Reiske

τῶν ὑπαρχόντων οἵ φόβος ἰσχυρῶς τοῦ πολυπραγμο-
νεῖν τὰ μὴ προσήκοντα αὐτὸν ἀποτρέπει), τί τοῦτο
4 λέγει τις, ὡς οὐ χρὴ ἡμᾶς ἀεί τι προσκτᾶσθαι; οὐ
μέμνησθε, τὰ μὲν ἀκηκοότες, τὰ δὲ ἑορακότες, ὅτι
οὔτε τῶν ἐν τῇ Ἰταλίᾳ γενῶν οὐδὲν πρότερον ἀπέ-
σχετο τοῦ τῇ πατρίδι ἡμῶν ἐπιβουλεύειν, πρὶν τοὺς
πολέμους ἐν τῇ ἐκείνων χώρᾳ τοὺς προγόνους ἡμῶν
ποιήσασθαι, οὔτε οἱ Ἠπειρῶται, πρὶν ἐς τὴν Ἑλλάδα
5 αὐτοὺς περαιωθῆναι· οὐ Φίλιππος μελλήσας καὶ ἐπὶ
τὴν Ἰταλίαν στρατεύσειν, πρὶν φθάσαντας τὴν ἐκείνου
κακῶς ποιῆσαι· οὐ Περσεύς, οὐκ Ἀντίοχος, οὐ Μι-
6 θριδάτης, πρὶν τὰ αὐτὰ αὐτοὺς ἐργάσασθαι; καὶ τί
τἆλλα λέγοι τις ἄν; ἀλλ' οἱ Καρχηδόνιοι τέως μὲν
οὐδὲν δεινὸν ἀφ' ἡμῶν ἐν τῇ Ἀφρικῇ εἶχον, ἔς τε τὴν
Ἰταλίαν διέπλεον καὶ τὴν χώραν κατέτρεχον τάς τε
πόλεις ἐπόρθουν καὶ παρ' ὀλίγον καὶ τὸ ἄστυ αὐτὸ
εἷλον, ἐπειδὴ δ' ἀντιπολεμεῖσθαι ἤρξαντο, παντάπασιν
7 ἐκ τῆς γῆς ἡμῶν ἐξέδρασαν. τὰ δ' αὐτὰ ταῦτα καὶ
περὶ τῶν Γαλατῶν καὶ Κελτῶν ἄν τις εἰπεῖν ἔχοι. καὶ
γὰρ οὗτοι, μέχρι μὲν ἐντὸς τῶν Ἄλπεων ἐμένομεν,
πολλάκις αὐτὰς ὑπερέβησαν καὶ πολλὰ τῆς Ἰταλίας
ἐπόρθησαν· ἐπεὶ δὲ ἐτολμήσαμέν ποτε ἔξω τε τῶν
ὅρων ἐκστρατεῦσαι καὶ τὸν πόλεμόν σφισι περιστῆσαι
καί τινα καὶ τῆς χώρας αὐτῶν ἀπετεμόμεθα, οὐκέτ'
οὐδένα πόλεμον ἀπ' αὐτῶν ἐν τῇ Ἰταλίᾳ πλὴν ἅπαξ
8 εἴδομεν. ὅταν οὖν τούτων οὕτως ἐχόντων λέγῃ τις,
ὅτι οὐ χρὴ πολεμεῖν ἡμᾶς, οὐδὲν ἄλλο φησὶν ἤ, ὅτι

3, 4 τί τοῦτο λέγει τις B secutus Reiskium, qui τί τ. καὶ λέγει τ., λέγεις Ma, τί τοῦτο, ὃ λέγει τις Leunclavius, τί οὖν λέγοι τις R ‖ 6, 2 τέως] ἕως Cobet, Mnemos. X, p. 196 ‖ 7, 3 ἐμένομεν Oddey, ἔμενον Ma, ἐμείναμεν R



οὐ χρὴ πλουτεῖν, οὐ χρὴ ἑτέρων ἄρχειν, οὐκ ἐλευθέ-
ρους, οὐ Ῥωμαίους εἶναι. ὥσπερ οὖν ἄν, εἴπερ τι 9
τούτων εἶπέ τις, οὐκ ἂν ἠνέσχεσθε, ἀλλὰ κἂν ἐν χερ-
σὶν αὐτὸν ἀπεκτείνατε, οὕτω καὶ νῦν, ὦ ἄνδρες ἑταῖροι,
πρὸς τοὺς ἐκεῖνα λέγοντας διατίθεσθε μὴ τοῖς ῥήμασι
σφῶν, ἀλλὰ τοῖς ἔργοις τὸν νοῦν τεκμαιρόμενοι.

οὐκοῦν ὅτι μὲν ⟨οὐχ⟩ οὕτω χρὴ φρονεῖν, οὐδέν' ἂν
ἀντειπεῖν ὑμῶν νομίζω· εἰ δ' ὅτι μήτε ἐξήτασται περὶ 41
τοῦ πολέμου τούτου παρά [τε] τῇ βουλῇ καὶ παρὰ τῷ
δήμῳ μὴ ἐψήφισται, διὰ τοῦτό τις ἧττον οἴεται δεῖν
ἡμᾶς προθυμηθῆναι, λογισάσθω τοῦθ', ὅτι πάντες οἱ
πόλεμοι, ὅσοι πώποτε γεγόνασιν ἡμῖν, οἱ μὲν ἐκ
παρασκευῆς καὶ προεπαγγέλσεως, οἱ δὲ καὶ ἐπὶ καιροῦ
συμβεβήκασι. καὶ διὰ τοῦτο ὅσα μὲν ⟨ἂν⟩ οἴκοι τε 2
μενόντων ἡμῶν καὶ τὴν ἡσυχίαν ἀγόντων κινηθῇ καὶ
ἐκ πρεσβείας τινὸς τὴν ἀρχὴν τῶν ἐγκλημάτων λάβῃ,
καὶ σκέψιν ὑπὲρ αὐτῶν καὶ δεῖ· καὶ ἀναγκαῖόν ἐστι
γίγνεσθαι καὶ ψῆφον ἐπάγεσθαι, καὶ μετὰ τοῦτο τούς
τε ὑπάτους ἢ καὶ στρατηγοὺς προστάττεσθαί σφισι καὶ
τὰς δυνάμεις ἐκπέμπεσθαι· ὅσα δ' ἂν ἐξεληλυθότων 3
ἤδη καὶ ἐξεστρατευμένων τινῶν ἐκφανῇ, ταῦτ' οὐκέτ'
ἐς διαγνώμην ἄγεσθαι χρή, ἀλλ' ὡς καὶ δεδογμένα
καὶ κεκυρωμένα ὑπ' αὐτῆς τῆς χρείας προκαταλαμβά-
νεσθαι πρὶν αὐξηθῆναι. ἢ τίνος μὲν ἕνεκα ὑμᾶς ἐν- 4
ταῦθ' ὁ δῆμος ἐξέπεμψε, τίνος δ' ἕνεκα ἐμὲ μετὰ τὴν
ὑπατείαν εὐθὺς ἔστειλε, τοῦτο μὲν ἐπὶ πέντε ἔτη κα-
θάπαξ, ὃ μήπω πρότερον ἐγεγόνει, ἄρχειν ἑλόμενος,
τοῦτο δὲ τέσσαρσι στρατοπέδοις ὁπλίσας, εἰ μὴ καὶ

9, 6 ⟨οὐχ⟩ οὕτω Pflugk ‖ οὐδὲν ἂν Pflugk, οὐδένα Ma ‖ **41**, 1, 1 ὑμῶν B, ὑμῖν Ma ‖ 2 [τε] delevit Reiske ‖ 4 τοῦθ' Pflugk, ταῦθ' Ma ‖ 2, 1 ⟨ἂν⟩ inseruit B

5 πολεμῆσαι πάντως ἡμᾶς δεήσειν ἐνόμιζεν; οὐ γάρ που
ἵνα μάτην τρεφώμεθα οὐδ' ἵνα τάς τε πόλεις τὰς
συμμαχίδας καὶ τὴν χώραν τὴν ὑπήκοον περιιόντες
χαλεπώτεροι καὶ τῶν πολεμίων αὐτοῖς γιγνώμεθα (οὐδ'
ἂν εἷς ταῦτα φήσειεν), ἀλλ' ἵνα τὴν οἰκείαν φυλάξω-
μεν, ἵνα τὴν τῶν πολεμίων πορθήσωμεν, ἵν' ἄξιόν τι
καὶ τοῦ πλήθους καὶ τῶν ἀναλωμάτων ἐργασώμεθα.
6 οὐκοῦν ἐν τούτῳ καὶ οὗτος ὁ πόλεμος καὶ πᾶς ὁστισ-
οῦν ἄλλος καὶ ἐπιτέτραπται ἡμῖν καὶ ἐγκεχείρισται·
καὶ πάνυ γε φρονίμως ἐποίησαν ἐφ' ἡμῖν τὸ τίσι πο-
λεμητέον εἶναι διαγνῶναι καταλιπόντες καὶ μὴ αὐτοὶ
τὸν πόλεμον ψηφισάμενοι. οἱ μὲν γὰρ οὔτ' ἀκριβῶσαι
τὰ τῶν συμμάχων [καὶ] τοσοῦτον αὐτῶν ἀφεστηκότες
ἠδυνήθησαν ἂν καὶ πρὸς εἰδότας καὶ προπαρεσκευα-
σμένους τοὺς πολεμίους οὐκ ἂν ὁμοίως ἐπιτηδείως
7 προσηνέχθησαν· ἡμεῖς δὲ δὴ κριταὶ ἅμα καὶ λειτουρ-
γοὶ τοῦ πολέμου γιγνόμενοι καὶ προσέτι καὶ ἐπ' αὐτο-
φώρους τοὺς ἐχθροὺς τὰ ὅπλα εὐθὺς ἐπιφέροντες
οὔτ' ἀνεξετάστως οὔτ' ἀδίκως οὔτ' ἀπροφυλάκτως αὐ-
τὸν ποιησόμεθα.

42 καί μοι εἴ τις ὑμῶν ἐκεῖνο ὑπολαμβάνει, τί δὴ
τηλικοῦτον ὁ Ἀριοούιστος πεπλημμέληκεν, ὥστ' ἀντὶ
φίλου καὶ συμμάχου πολέμιος ἡμῖν γενέσθαι, σκοπείτω
τοῦθ', ὅτι τοὺς ἀδικεῖν τι ἐπιχειροῦντας οὐκ ἐφ' οἷς
ποιοῦσι μόνον, ἀλλὰ καὶ ἐφ' οἷς φρονοῦσιν ἀμύνασθαι
δεῖ καὶ τήν τε αὔξησιν αὐτῶν πρὶν καὶ βλαβῆναί τι
προκαταλαμβάνειν καὶ μὴ περιμείναντας κακῶς ἔργῳ

6, 4 εἶναι] εἴη Leunclavius, Cobet, Mnemos. X, p. 205 ‖ 6 [καὶ] expunxit Cobet ibid., <ἄλλως τε> καὶ Pflugk ‖ 7 προπαρεσκευασμένους Pflugk, πρὸς παρεσκευασμένους Ma ‖ 8 ἐπιτηδείως expunxit Cobet ibid. ‖ 42, 1, 1 μοι] μὴν Reiske



παθεῖν τότε τιμωρεῖσθαι. ὅτι τοίνυν καὶ ἐχθρὸς καὶ 2
ἔχθιστός ἐστιν ἡμῖν, πῶς ἂν ἄλλως μᾶλλον ἐλεγχθείη
ἢ ἐξ ὧν ἐποίησε; πέμψαντος γάρ μου πρὸς αὐτὸν φι-
λικῶς, ὅπως ἔλθῃ τε πρὸς ἡμᾶς καὶ κοινῇ μεθ' ἡμῶν
βουλεύσηται περὶ τῶν παρόντων, οὔτ' ἦλθεν οὔθ' ἥξειν
ὑπέσχετο. καίτοι τί μὲν ἐγὼ ἄδικον ἢ ἀνεπιεικὲς ἢ 3
φορτικὸν ἐποίησα μεταπεμψάμενος αὐτὸν ὡς φίλον
καὶ σύμμαχον; τί δὲ ἐκεῖνος ὕβρεως καὶ ἀσελγείας
οὐκ ἐθελήσας ἐλθεῖν ἐκλέλοιπεν; ἆρ' οὐ δυοῖν ἀνάγκη
θάτερον, ἤτοι ὑπωπτευκότα αὐτόν τι κακὸν πείσεσθαι
ἢ ὑπερπεφρονηκότα ἡμᾶς τοῦτο πεποιηκέναι; οὐκοῦν 4
εἴτε τι ὑποτετόπηκε, σαφέστατα αὐτὸς ἑαυτὸν ἐξελέγχει
ἐπιβουλεύοντα ἡμῖν· οὐδεὶς γὰρ ἡμῖν μηδὲν δεινὸν
παθὼν ὕποπτός ἐστιν οὐδ' ἀπ' ὀρθῆς καὶ ἀδόλου τῆς
γνώμης γίγνεται, ἀλλ' οἱ προπαρεσκευασμένοι τινὰς
ἀδικῆσαι ἑτοίμην τὴν ὑποψίαν κατ' αὐτῶν ἐκ τοῦ συν-
ειδότος σφῶν ἔχουσιν· εἴτ' αὖ μηδενὸς τοιούτου 5
ὑπόντος ὑπερεώρακέ τε ἡμᾶς καὶ λόγοις ὑπερηφάνοις
ὕβρικε, τί χρὴ τοῦτον, ἐπειδὰν ἔργου τινὸς ἐπιλάβη-
ται, προσδοκῆσαι πράξειν; ὁ γὰρ ἐν οἷς μηδὲν κερ-
δανεῖν ἔμελλε, τοσαύτῃ ὑπεροψίᾳ κεχρημένος πῶς οὐ
πόρρωθεν ἐξελήλεγκται μηδὲν δίκαιον μήτε φρονῶν
μήτε πράττων; οὐ τοίνυν ἀπέχρησεν αὐτῷ τοῦτο, ἀλλὰ
καὶ ἐμὲ ἐλθεῖν πρὸς αὐτὸν ἐκέλευσεν, εἴπερ τι αὐτοῦ
δεοίμην. καὶ μή μοι μικρὰν τὴν προσθήκην ταύτην 43
εἶναι νομίσητε· μεγάλη γάρ ἐστιν ἐπίδειξις τῆς δια-
νοίας αὐτοῦ. τὸ μὲν γὰρ αὐτὸν μὴ ἐθελῆσαι πρὸς
ἡμᾶς ἀφικέσθαι τάχ' ἄν τις καὶ ὄκνῳ καὶ ἀρρωστίᾳ
καὶ φόβῳ ἀπολογούμενος ὑπὲρ αὐτοῦ ἀνέθηκε· τὸ δὲ 2

5, 3 τί B, τίνα Ma

δὴ καὶ ἐμὲ μεταπέμψασθαι οὔτε σκῆψιν οὐδεμίαν ἐν-
δέχεται καὶ προσεξελέγχει καὶ ἐκεῖνο αὐτὸν οὐ κατ'
ἄλλο τι πεποιηκότα ἤ, ὅτι οὐδ' ὑπακούειν ἐς οὐδὲν
ἡμῖν καὶ προσέτι καὶ προσαντεπιτάττειν πάντα παρ-
3 εσκεύασται. καίτοι καὶ αὐτὸ τοῦτο πόσης ὕβρεως καὶ
πόσου προπηλακισμοῦ μεστόν ἐστι; μεταπέμπεταί τινα
ὁ ἀνθύπατος ὁ Ῥωμαίων, καὶ ἐκεῖνος οὐκ ἔρχεται·
μεταπέμπεταί τις τὸν ἀνθύπατον τῶν Ῥωμαίων Ἀλλό-
βριξ ὤν. μὴ γὰρ ὅτι ἐμοῦ τοῦ Καίσαρος οὐκ ἐπείσθη
μηδ' ὅτι ἐμὲ τὸν Καίσαρα ἐκάλεσε, σμικρόν τι τοῦτο
4 καὶ φαῦλον εἶναι νομίσητε. οὔτε γὰρ ἐγὼ αὐτὸν
μετεπεμψάμην, ἀλλ' ὁ Ῥωμαῖος, ὁ ἀνθύπατος, αἱ ῥά-
βδοι, τὸ ἀξίωμα, τὰ στρατόπεδα, οὔτε ἐγὼ μετεπέμ-
φθην ὑπ' αὐτοῦ, ἀλλὰ ταῦτα πάντα. ἰδίᾳ μὲν γὰρ
ἐμοὶ πρὸς αὐτὸν οὐδέν ἐστι συμβόλαιον· κοινῇ δὲ δὴ
πάντες καὶ εἴπομέν τι καὶ ἐποιήσαμεν καὶ ἀντηκούσα-
44 μεν καὶ ἐπάθομεν. ὥσθ' ὅσῳ τις ἂν αὐτὸν ἔν τε τοῖς
φίλοις καὶ ἐν τοῖς συμμάχοις ἡμῶν ἀναγεγράφθαι
φήσῃ, τοσούτῳ μᾶλλον ἀξιομίσητον ὄντα ἀποδείξει.
διὰ τί; ὅτι οἷα μηδὲ τῶν ἐχθίστων τις ὁμολογούντων
ἡμῖν εἶναι ἐτόλμησέ ποτε ποιῆσαι, ταῦτ' ἐκεῖνος ἔν τε
τοῖς τῆς φιλίας καὶ ἐν τοῖς τῆς συμμαχίας ὀνόμασιν
ἐξείργασται καθάπερ ἐπ' αὐτὸ τοῦτο πεποιημένος αὐ-
2 τάς, ἵν' ἡμᾶς ἀδικεῖν ἀδεῶς ἔχῃ. ἀλλ' οὔτε τότε ἐπὶ
τῷ προπηλακίζεσθαι καὶ ἐπιβουλεύεσθαι ἐσπεισάμεθα
αὐτῷ, οὔτε νῦν αὐτοὶ τὰς σπονδὰς λύσομεν· ἡμεῖς μὲν
γὰρ ὡς πρὸς φίλον καὶ σύμμαχον ἔτ' αὐτὸν ὄντα

43, 3, 4 Ἀλλόβριξ] ἀλλότριος Xylander, βάρβαρος Penzel ‖ 5 *Καίσαρος* ⟨καλοῦντος⟩ St ‖ 4, 5 συμβόλαιον Oddey, συμβούλιον Ma ‖ 6 ⟨ἄν⟩ τι Reiske ‖ ἐποιήσαμεν] ἐπείσαμεν Reiske ‖ 44, 1, 1 ἐπάθομεν] ἐπείσθημεν Reiske ‖ 2, 3 λύσομεν] λύομεν Reiske, ἐλύσαμεν Oddey



ἐπρεσβευσάμεθα, ὁ δ' ὁρᾶτε ὅπως ἡμῖν κέχρηται. ὥσ- 3
περ οὖν, ἡνίκα εὐεργετεῖν τε ἡμᾶς ἐβούλετο κἀντ' εὖ
πάσχειν ἠξίου, δικαίως ἐκείνων ἐτύγχανεν, οὕτω καὶ
νῦν, ἐπειδὴ τἀναντία αὐτῶν πάντα ποιεῖ, δικαιότατα
ἂν ἐν ἐχθροῦ μέρει νομισθείη. καὶ μὴ θαυμάσητε, εἰ
αὐτὸς ἐγὼ πρότερόν ποτε καὶ ἐν τῇ βουλῇ καὶ ἐν τῷ
δήμῳ χρηματίσας τινὰ ὑπὲρ αὐτοῦ εἶτα ταυτὶ νυνὶ
λέγω. ἐγὼ μὲν γὰρ καὶ τότε καὶ νῦν τὴν αὐτὴν γνώ- 4
μην ἔχω καὶ οὐ μεταβάλλομαι. τίς δέ ἐστιν αὕτη;
τοὺς μὲν ἀγαθοὺς καὶ πιστοὺς καὶ τιμᾶν καὶ ἀμείβε-
σθαι, τοὺς δὲ κακοὺς καὶ ἀπίστους καὶ ἀτιμάζειν καὶ
ἀμύνεσθαι. ἐκεῖνος δέ ἐστιν ὁ μεταβαλλόμενος, ὁ
μήτε καλῶς μήτε δεόντως τοῖς δοθεῖσιν αὐτῷ παρ'
ἡμῶν χρώμενος.

ὥσθ' ὅτι μὲν δικαιότατα ἂν αὐτῷ πολεμήσαιμεν, 45
οὐδένα ἀμφισβητήσειν οἶμαι· ὅτι δὲ οὔτε ἄμαχος οὔτε
δυσπολέμητός ἐστιν, ὁρᾶτε μὲν καὶ ἐκ τῶν ἄλλων τῶν
ὁμοφύλων αὐτῷ, οὓς πολλάκις μὲν καὶ πρότερον,
ῥᾷστα δὲ καὶ νῦν ἐνικήσαμεν, λογίζεσθε δὲ καὶ ἐξ ὧν
περὶ αὐτοῦ ἐκείνου πυνθανόμεθα. οὔτε γὰρ ἄλλως 2
δύναμίν τινα οἰκείαν συνεστηκυῖαν καὶ συγκεκροτη-
μένην ἔχει· νῦν τε ἅτε μηδὲν δεινὸν προσδοκῶν καὶ
παντελῶς ἀπαράσκευός ἐστιν. οὐ τοίνυν οὐδὲ ἐκ τῶν
ὁμοχώρων ἄν τις αὐτῷ προθύμως, οὐδ' εἰ πάνυ ἐπ-
αγγέλλεται, βοηθήσειε. τίς μὲν γὰρ ἂν ἕλοιτο ἐκείνῳ 3
συμμαχήσας πολεμῆσαι ἡμῖν μηδὲν ὑφ' ἡμῶν λελυπη-
μένος; πῶς δ' οὐκ ἂν μᾶλλον ἡμῖν πάντες ἢ ἐκείνῳ
συναράμενοι τήν τε τυραννίδα αὐτοῦ ὅμορόν σφισιν
οὖσαν καταλῦσαι καὶ τῆς χώρας μέρος τι παρ' ἡμῶν

3, 2 κἀντευπάσχειν Reiske, κἄν τι εὖ πάσχειν Ma ‖ 45, 2, 3 τε B, δὲ Ma ‖ 5 αὐτῷ] αὐτὸν Ma

4 προσλαβεῖν ἐθελήσειαν; εἰ δὲ δὴ καὶ συσταῖέν τινες,
οὔτι γε καὶ κρείττους ἂν ἡμῶν γένοιντο. ἵνα γὰρ
τἆλλα ἐάσω, τὸ πλῆθος ἡμῶν, τὴν ἡλικίαν, τὴν ἐμ-
πειρίαν, τὰ ἔργα, ἐκεῖνό γε τίς οὐκ οἶδεν, ὅτι ἡμεῖς
μὲν κατὰ πᾶν ὁμοίως τὸ σῶμα ὡπλίσμεθα, ἐκεῖνοι δὲ
δὴ γυμνοὶ τὸ πλεῖστόν εἰσι, καὶ ἡμεῖς μὲν καὶ λο-
γισμῷ καὶ τάξει χρώμεθα, ἐκεῖνοι δὲ δὴ θυμῷ πρὸς
5 πάντα ἀσύντακτοι φέρονται; μὴ γάρ τοι μήτε τὴν ὁρ-
μὴν αὐτῶν μήτε τὸ μέγεθος ἢ τῶν σωμάτων ἢ τῆς
βοῆς φοβηθῆτε. φωνὴ τε γὰρ οὐδένα πώποτε ἀν-
θρώπων ἀπέκτεινε, καὶ τὰ σώματα αὐτῶν δρᾶν μὲν
οὐδὲν πλέον ἅτε τὰς αὐτὰς ἡμῖν χεῖρας ἔχοντα, πά-
σχειν δὲ πολὺ πλείω ἅτε καὶ μεγάλα καὶ γυμνὰ ὄντα
δυνήσεται· ἥ τε ὁρμὴ ἄμετρος καὶ προπετὴς τὸ κατ'
ἀρχὰς οὖσα καὶ ἐκκενοῦται ῥᾳδίως καὶ ἐπ' ὀλίγον ἀν-
46 θεῖ. πεπειραμένοις δέ που ὧν λέγω καὶ νενικηκόσιν
ὑμῖν τοὺς ὁμοίους αὐτοῖς ταυτὶ παραινῶ, ὥσθ' ὑμᾶς
μήτε τῷ λόγῳ δοκεῖν ὑπ' ἐμοῦ παράγεσθαι καὶ τῷ
ἔργῳ ἐχυρωτάτην τὴν ἐλπίδα τῆς νίκης ἐκ τῶν προ-
2 κατειργασμένων ποιεῖσθαι. καὶ μέντοι καὶ τῶν Γαλα-
τῶν αὐτῶν τῶν ὁμοίων σφίσι συχνοὶ ἡμῖν συμμαχή-
σουσιν, ὥστ' εἰ καί τι φοβερὸν τὰ ἔθνη ταῦτα εἶχε,
τοῦτο καὶ ἡμῖν καὶ ἐκείνοις ὑπάρξει.

ταῦτ' οὖν αὐτοί τε οὕτω λογίζεσθε καὶ τοὺς ἄλλους
3 διδάσκετε· ὡς εἴ γε καὶ ὑμῶν τινες ἄλλως πως φρο-
νοῦσιν, ἀλλ' ἔγωγε καὶ ὣς πολεμήσω οὐδὲ ἐγκατα-
λείψω ποτὲ τὴν τάξιν, ἣν ἐτάχθην ὑπὸ τῆς πατρίδος.
καί μοι τὸ δέκατον στρατόπεδον ἀρκέσει· καὶ γὰρ εὖ

4, 5 πᾶν R, πάνθ' Ma ‖ 46, 2, 4 ἡμῖν οὐχ ἧττον ἢ καὶ ἐκεί-
νοις Reiske ‖ ἐκείνοις] ἐκείνων Ma ‖ 3, 4 καί μοι Pflugk, καί-
τοι Ma



οἶδ' ὅτι, κἂν διὰ πυρὸς δέῃ, καὶ γυμνοὶ χωρήσουσι
προθύμως. οἱ δὲ δὴ ἄλλοι τὴν ταχίστην ἀπαγάγετε 4
μηδέ μοι μάτην ἐνταῦθα τρύχεσθε τά τε κοινὰ εἰκῇ
ἀναλίσκοντες καὶ τῶν ἀλλοτρίων πόνων μεταποιούμε-
νοι, τήν τε λείαν [καὶ] τὴν ὑφ' ἑτέρων κτωμένην
σφετεριζόμενοι."

ταῦτα τοῦ Καίσαρος εἰπόντος οὐ μόνον οὐδεὶς 47
ἀντεῖπεν, εἰ καὶ τὰ μάλιστά τινες [ἐς] τἀναντία σφί-
σιν ἐγίγνωσκον, ἀλλὰ καὶ συνῄνεσαν πάντες καὶ οὐχ
ἥκιστα οἱ δι' ὑποψίας αὐτῷ ὄντες λογοποιεῖν ἃ ἤκου-
σαν. καὶ τούς γε στρατιώτας οὐ χαλεπῶς ἔπεισαν
πειθαρχῆσαι, τοὺς μὲν ἐκ τοῦ προκεκρίσθαι προθυμου-
μένους, τοὺς δ' ἄλλους δι' ἐκείνους φιλοτιμουμένους.
ἐξαίρετον δὲ δὴ τὸ δέκατον στράτευμα ἐποιήσατο, ὅτι
εὔνοιάν πως ἀεὶ αὐτοῦ εἶχεν. οὕτω δὲ δὴ τὰ πολι- 2
τικὰ στρατόπεδα πρὸς τὴν τῶν καταλόγων τάξιν ὠνο-
μάζετο· ὅθενπερ καὶ νῦν ὁμοίως τὰ νῦν ὄντα τὰς
ἐπικλήσεις ἔχει.

ὡρμημένων οὖν αὐτῶν ὁ Καῖσαρ οὐκέτι κατὰ χώ- 3
ραν ἔμεινε, μὴ καὶ χρονίσαντες ἀμβλύτεροι αὖθις γέ-
νωνται, ἀλλ' εὐθὺς ἄρας ἐπὶ τὸν Ἀριοούιστον ἤλασε.
καὶ οὕτω γε αὐτὸν τῷ αἰφνιδίῳ τῆς ἐφόδου κατέπλη-
ξεν, ὥστε καὶ ἐς λόγους οἱ ὑπὲρ εἰρήνης ἐλθεῖν κατ-
ηνάγκασεν. οὐ μέντοι καὶ συνέβησαν· αὐτός τε γὰρ 4
πάντα προστάξαι καὶ ἐκεῖνος οὐδὲν ὑπακοῦσαι ἠθέ-
λησεν. ὅ τε οὖν πόλεμος συνερρώγει, καὶ μετέωροι
οὐ μόνον αὐτοὶ ἑκάτεροι, ἀλλὰ καὶ οἱ σύμμαχοι οἵ τε

4, 2 τρύχεσθε B, ἐντρύχεσθε Ma ‖ 4 [καὶ] del. Reiske,
καὶ γῆν Leunclavius ‖ 47, 1, 2 [ἐς] delevit Reiske ‖ 4 οἱ]
ἡ Ma ‖ ἤκουσαν] ἤκουσεν Oddey ‖ 5 γε B, τε Ma, μὲν Reiske ‖
ἔπησαν (i. e. ἔπεισαν) Ma, ἔπεισε vulgo ‖ 3, 4 γε B, τε Ma

πολέμιοι σφῶν οἱ ἐκείνῃ πάντες ἦσαν, τήν τε μάχην
αὐτῶν ὅτι τάχιστα ἔσεσθαι καὶ τοῖς ἅπαξ κρατήσασι
5 καὶ τἄλλα δουλεύσειν νομίζοντες. προεῖχον δὲ οἱ μὲν
βάρβαροι τῷ τε πλήθει καὶ τοῖς μεγέθεσιν, οἱ δὲ δὴ
Ῥωμαῖοι τῇ τε ἐμπειρίᾳ καὶ ταῖς ὁπλίσεσι· καί πως
καὶ πρὸς τὸν θυμὸν τῶν Κελτῶν τήν τε ἄκριτον καὶ
προπετῆ αὐτῶν ὁρμὴν ἀντίρροπον τὸ τοῦ Καίσαρος
φρόνημα εὑρίσκετο, ὥστε ἰσοπαλεῖς ἐκ τούτων ὄντες
καὶ τὰς ἐλπίδας τήν τε ἐπ' αὐταῖς προθυμίαν ἰσοστα-
σίας ἐποιοῦντο.

48 ἀντικαθημένων δὲ αὐτῶν ἀλλήλοις αἱ γυναῖκες αἱ
τῶν βαρβάρων ἀπηγόρευσάν σφισι θειάσασαι μηδεμίαν
2 πρὸ τῆς νέας σελήνης μάχην συνάψαι. καὶ διὰ τοῦτο
ὁ Ἀριοούιστος (πάνυ γὰρ αὐταῖς προσεῖχεν, ὁπότε τοι-
οῦτό τι ποιήσειαν) οὐχ ἁπάσῃ εὐθὺς τῇ δυνάμει καί-
τοι τῶν Ῥωμαίων προκαλουμένων σφᾶς συνέμιξεν,
ἀλλὰ τοὺς ἱππέας μετὰ τῶν συντεταγμένων σφίσι πε-
ζῶν μόνους ἐκπέμπων ἰσχυρῶς αὐτοὺς ἐλύπει. κἀκ
τούτου καταφρονήσας χωρίον τι ὑπὲρ τοῦ ταφρεύματος
3 σφῶν καταλαβεῖν ἐπεχείρησε. καὶ κατέσχε μὲν αὐτό,
ἀντικαταλαβόντων δὲ καὶ ἐκείνων ἕτερον ἐς μὲν μάχην
καίπερ καὶ μέχρι τῆς μεσημβρίας τὸν στρατὸν ἔξω τοῦ
Καίσαρος παρατάξαντος οὐχ ὥρμησεν, ἐπαναχωρήσαν-
τος δὲ αὐτοῦ πρὸς ἑσπέραν ἐπῆλθέ τε ἐξαπιναίως
4 σφίσι καὶ ὀλίγου καὶ τὸ χαράκωμα αὐτῶν εἷλε. προ-
χωρούντων οὖν οὕτως οἱ τῶν πραγμάτων σμικρόν τε
ἔτι τῶν γυναικῶν ἐφρόντισε καὶ τῇ ὑστεραίᾳ παρατα-
ξαμένων τῶν Ῥωμαίων, ὅπερ που καθ' ἡμέραν ἐποι-
49 οῦντο, ἀντεπεξήγαγε. καὶ αὐτοὺς ἐκεῖνοι προϊόντας

5, 1 *δουλεύσειν* vulgo, *δουλεύειν* Ma ‖ 7 *ἰσοστασίας*] *ἰσοστα-σίους* H. I. Heller



ἐκ τῶν σκηνωμάτων ἰδόντες οὐχ ἡσύχασαν, ἀλλ' ἐξά-
ξαντες οὔτε συντάξασθαί σφισιν ἀκριβῶς ἐπέτρεψαν
καὶ τὴν ἀκόντισιν αὐτῶν, ἐφ' ᾗ ἐς τὰ μάλιστα ἐθάρ-
σουν, δρόμῳ μετὰ βοῆς προσπεσόντες ὑπετέμοντο καὶ 2
οὕτω γε ὁμόσε αὐτοῖς ἐχώρησαν, ὥστε σφᾶς μήτε τοῖς
κοντοῖς μήτε τοῖς ξίφεσι τοῖς μακροτέροις χρήσασθαι.
ὠθίζοντό τε οὖν καὶ τοῖς σώμασι τὸ πλεῖον ἢ τοῖς
ὅπλοις ἐμάχοντο ἀνατρέψαι τε τὸν προσκείμενον καὶ
καταβαλεῖν τὸν ἀνθεστηκότα ἀγῶνα ποιούμενοι. καὶ 3
πολλοὶ καὶ τῆς τῶν βραχυτέρων ξιφῶν χρήσεως στε-
ρηθέντες ταῖς τε χερσὶ καὶ τοῖς στόμασιν ἀντ' ἐκείνων
ἠγωνίζοντο κατασπῶντες τοὺς ἀντιπάλους, δάκνοντες,
σπαράττοντες, ἅτε καὶ τῷ μεγέθει τῶν σωμάτων πολὺ
αὐτῶν ὑπερέχοντες. οὐ μέντοι καὶ μεγάλα τινὰ ἐκ 4
τούτου σφᾶς ἔβλαψαν· συμπλεκόμενοι γὰρ αὐτοῖς οἱ
Ῥωμαῖοι ἰσόρροποί πως τῇ τε ὁπλίσει καὶ τῇ τέχνῃ
ἐγίγνοντο. καὶ τέλος ἐπὶ μακρότατον τοιουτοτρόπῳ
μάχῃ χρησάμενοι ὀψέ ποτε ἐπεκράτησαν· τά τε γὰρ
ξιφίδια καὶ σμικρότερα τῶν Γαλατικῶν ὄντα καὶ τὰς
προσβολὰς χαλυβδικὰς ἔχοντα χρησιμώτατά σφισιν ἐγέ-
νετο, καὶ αὐτοὶ τῷ αὐτῷ πόνῳ ἐπὶ πλεῖον συσχεθέν- 5
τες μᾶλλον τῶν βαρβάρων ἀντήρκεσαν ἅτε οὐχ ὅμοιον
ταῖς ὀξύτησι τῶν ἐφόδων τὸ διαρκὲς σφῶν ἐχόντων.
διὰ μὲν οὖν ταῦτα ἡττήθησαν ἐκεῖνοι, οὐ μέντοι καὶ
ἐτράποντο, οὐχ ὅτι οὐκ ἠθέλησαν, ἀλλ' ὅτι οὐκ ἠδυ-
νήθησαν φυγεῖν ὑπ' ἀπορίας τε ἅμα καὶ ἐκλύσεως.
συστρεφόμενοι οὖν κατὰ τριακοσίους καὶ πλείους καὶ 6
ἐλάττους τάς τε ἀσπίδας ἁπανταχόθεν σφῶν προεβάλ-
λοντο καὶ ὀρθοὶ ἱστάμενοι ἀπρόσμικτοι μὲν ὑπὸ τῆς

49, 2, 4 *τὸ* delendum putat St ‖ 3, 3 *ταῖς τε* St, *τοῖς τε* Ma ‖ 4, 7 *προσβολὰς*] *προβολὰς* Reiske ‖ 6, 3 *ἀπρόσμικτοι* Xylander,

συγκλείσεως, δυσκίνητοι δὲ ὑπὸ τῆς πυκνότητος ἐγί-
50 γνοντο καὶ οὔτε ἔδρων οὐδὲν οὔτε ἔπασχον. οἱ οὖν
Ῥωμαῖοι, ἐπειδὴ μήτε ἐκεῖνοι ἀντεπῄεσάν σφισιν ἢ
καὶ ἔφευγον, ἀλλ' ἐν ταὐτῷ μένοντες ὥσπερ ἐν πύρ-
γοις εἱστήκεσαν, καὶ αὐτοὶ τά τε δοράτια κατὰ πρώ-
τας εὐθὺς ἅτε μηδεμίαν χρῆσιν ἔχοντα ἀπετέθειντο
2 καὶ τοῖς ξίφεσιν οὐκ ἠδύναντο οὔτε συστάδην μάχεσθαι
οὔτε τῶν κεφαλῶν αὐτῶν, ᾗπερ καὶ μόνον ἁλωτοί οἷά
που γυμναῖς αὐταῖς μαχόμενοι ἦσαν, ἐφικνεῖσθαι, τάς
τε ἀσπίδας ἀπέρριψαν καὶ προσπίπτοντές σφισιν, οἱ
μὲν ἐξ ἐπιδρομῆς, οἱ δὲ καὶ ἐγγύθεν, ἀνήλοντο τρό-
3 πον τινὰ καὶ ἔκοπτον αὐτούς. κἀκ τούτου πολλοὶ μὲν
εὐθὺς ἅτε καὶ μιᾶς ἐπικοπῆς ὄντες ἔπιπτον, πολλοὶ
δὲ καὶ πρὶν πεσεῖν ἀπέθνησκον· ὑπὸ γὰρ τῆς πυκνό-
τητος τῆς συστάσεως καὶ τεθνηκότες ὀρθοὶ ἀνείχοντο.
4 τοῦ μὲν οὖν πεζοῦ τὸ πλεῖστον οὕτω καὶ ἐκεῖ καὶ
πρὸς ταῖς [ἁμάξαις, ὅσον γε καὶ ἐξωσθὲν ἐς αὐτὰς
ἐτύγχανε, σύν τε ταῖς γυναιξὶ καὶ σὺν τοῖς παισὶν
αὐτῶν ἐφθάρησαν· ὁ δὲ Ἀριοούιστος μεθ' ἱππέων
⟨πεντήκοντα⟩ τήν τε χώραν παραχρῆμα ἐξέλιπε καὶ
πρὸς τὸν Ῥῆνον [παραχρῆμα] ὁρμήσας ἐπεδιώχθη μέν,
5 οὐ κατελήφθη δέ. ἀλλ' ὁ μὲν ἐπὶ πλοίου προεξέφυγε,
τῶν δ' ἄλλων τοὺς μὲν οἱ Ῥωμαῖοι ἐς τὸν ποταμὸν
ἐσβαίνοντες ἀπέκτειναν, τοὺς δὲ καὶ αὐτὸς ἐκεῖνος
ὑπολαβὼν ἀπήνεγκεν.

Turnebus, *πρόσμικτοι* Ma ‖ 6, 4 *συγκλείσεως* Leuncl., *συγκλίσεως* Ma ‖ **50**, 1, 3 *ἐν πύργοις*] *εἰ πύργοι*? B ‖ 2, 5 *ἀνήλοντο*] *ἐνήλοντο* Cobet coll. Caes. b. G. I, 52 *qui in phalangas insilirent* ‖ 3, 2 *ἐπικοπῆς* Xylander, Turnebus (cf. 49, 29, 3), *ἐπισκοπῆς* Ma, *ἐπὶ ῥοπῆς*? B coll. Thucyd. 5, 103 ‖ 4, 4 post *ἱππέων* notam numeri *ν'* i. e. *πεντήκοντα* excidisse vidit Cobet ‖ 6 alterum [*παραχρῆμα*] delevit B ‖ 5, 3 *ἐσβαίνοντες* B, *ἐσβαίνοντας* Ma

# ΔΙΩΝΟΣ
## ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΘ.

*Τάδε ἔνεστιν ἐν τῷ τριακοστῷ ἐνάτῳ τῶν Δίωνος Ῥωμαικῶν.*

Ὡς *Καῖσαρ Βελγικοῖς ἐπολέμησεν.* (c. 1—5.)
Ὡς *Κικέρων κατῆλθεν.* (c. 6—11.)
Ὡς *Πτολεμαῖος ἐκπεσὼν ἐξ Αἰγύπτου ἐς Ῥώμην ἀνῆλθεν.* (c. 12—16.)
Ὡς *Κάτων τὰ ἐν Κύπρῳ κατεστήσατο.* (c. 17—23.)
Ὡς *Πομπήιος καὶ Κράσσος ὕπατοι ᾑρέθησαν.* (c. 24—37.)
Ὡς *τὸ θέατρον τὸ Πομπηίου καθιερώθη.* (c. 38. 39.)
Ὡς *Δέκιμος Βροῦτος Καίσαρος ὑποστράτηγος Οὐενετοὺς ναυμαχίᾳ ἐνίκησεν.* (c. 40—43.)
Ὡς *Πούπλιος Κράσσος Καίσαρος ὑποστράτηγος Ἀκυϊτανοῖς ἐπολέμησεν.* (c. 44—46.)
Ὡς *Καῖσαρ Κελτῶν τισι πολεμήσας τὸν Ῥῆνον διέβη· καὶ περὶ τοῦ Ῥήνου.* (c. 47—49.)
Ὡς *Καῖσαρ ἐς Βρεττανίαν ἐπεραιώθη· καὶ περὶ τῆς νήσου.* (c. 50—54.)
Ὡς *Πτολεμαῖος ὑπὸ Γαουινίου ἐς Αἴγυπτον κατήχθη, καὶ ὡς ὁ Γαουίνιος ἐπὶ τούτῳ ἐκρίθη.* (c. 55—65.)

5 *Βελτικοῖς* Ma ‖ 13 *Δεκίμιος* Ma

*Χρόνου πλῆθος ἔτη τέσσαρα, ἐν οἷς ἄρχοντες οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο.*

Π. Κορνήλιος Π. υἱ. Λεντοῦλος Σπινθήρ, Κ. Καικίλιος Κ. υἱ. Μέτελλος Νέπως.

Γν. Κορνήλιος Π. υἱ. Λεντοῦλος Μαρκελλῖνος, Λ. Μάρκιος Λ. υἱ. Φίλιππος.

Γν. Πομπήιος Γν. υἱ. Μάγνος τὸ β΄, Μ. Λικίνιος Π. υἱ. Κράσσος τὸ β΄.

Λ. Δομίτιος Γν. υἱ. Ἀηνόβαρβος, Ἄππιος Κλαύδιος Ἀππ. υἱ. Ποῦλχρος.

---

a. u. 697 (57) Οὕτω μὲν δὴ καὶ ἐκεῖνα διεπολεμήθη· μετὰ δὲ
ταῦτα τοῦ χειμῶνος, ἐν ᾧ Κορνήλιός τε Σπινθὴρ καὶ
ὁ Μέτελλος ὁ Νέπως ὑπατεύειν ἤρξαντο, διελθόντος
τρίτος τις πόλεμος αὐτοῖς ἐγένετο. οἱ γὰρ Βελγικοὶ
τῷ τε Ῥήνῳ πολλοῖς καὶ συμμίκτοις γένεσι προσοι-
2 κοῦντες καὶ ἐπὶ τὸν ὠκεανὸν τὸν κατὰ Βρεττανίαν
καθήκοντες ἐν μὲν τῷ πρὶν οἱ μὲν ἔνσπονδοι τοῖς
Ῥωμαίοις ἦσαν, οἱ δὲ ἐφρόντιζον αὐτῶν οὐδέν, τότε
δὲ τὸν Καίσαρα εὖ φερόμενον ἰδόντες καὶ δείσαντες,
μὴ καὶ ἐπὶ σφᾶς ὁρμήσῃ, συνεστράφησαν καὶ κοινῷ
πλὴν Ῥημῶν λόγῳ χρησάμενοι συνεβουλεύσαντό τε
ἐπὶ τοῖς Ῥωμαίοις καὶ συνώμοσαν Γάλβαν προστησά-
3 μενοι. ταῦτ᾽ οὖν ὁ Καῖσαρ παρὰ τῶν Ῥημῶν μαθὼν
ἐν φρουρᾷ τε αὐτοὺς ἐποιήσατο κἀνταῦθα πρὸς τῷ

6 *Μάρκιος* Xylander, *Μάρκος* Ma ‖ 7 *Λικίννιος* Ma ‖ 9 *Ἀνόβαρβος* Ma. — Praeterea nominibus *Σπινθήρ*, *Μαρκελλῖνος*, *Λικίνιος* — *τὸ β΄*, *Ποῦλχρος* in Ma additur *ὕπ.*

1, 1, 4 *Βελτικοὶ* Ma ‖ 2, 7 *συνώμοσαν* B, *συνωμόσαντο* Ma ‖ *Γάλβαν* Xylander, B, *Ἀδρὰν* Ma



Αὐξούνῳ ποταμῷ στρατοπεδευσάμενος ἤθροιζέ τε ἅμα
τοὺς στρατιώτας καὶ ἐξήσκει. οὐδὲ ἐτόλμησε πρότερον
τοῖς πολεμίοις καίτοι τὴν χώραν σφῶν κατατρέχουσιν
ἐς χεῖρας ἐλθεῖν, πρὶν ὡς καὶ δεδιότος αὐτοῦ κατα- 4
φρονήσαντες ἐπεχείρησαν τήν τε γέφυραν καταλαβεῖν
καὶ τὴν σιτοπομπίαν, ἣν δι᾽ αὐτῆς παρὰ τῶν συμμά-
χων ἐποιεῖτο, ἀφελέσθαι. τοῦτο γὰρ ἐξ αὐτομόλων
προγνοὺς ἐσόμενον ἔπεμψεν ἐπ᾽ αὐτοὺς νυκτὸς τούς
τε ψιλοὺς καὶ τοὺς ἱππέας. καὶ οἱ μὲν προσπεσόντες 2
τοῖς βαρβάροις ἀπροσδόκητοι πολλοὺς ἀπέκτειναν, ὥστε
πάντας τῆς ἐπιούσης νυκτὸς ἐς τὴν οἰκείαν, ἄλλως τε
καὶ ἐπειδὴ οἱ Αἴδουοι ἐσβεβληκότες ἐς αὐτὴν ἠγγέλ-
λοντο, ἀπαναστῆναι· Καῖσαρ δὲ ᾔσθετο μὲν τὸ γιγνό-
μενον, οὐκ ἐτόλμησε δὲ σφᾶς εὐθὺς ἀγνοίᾳ τῶν χω-
ρίων ἐπιδιῶξαι. ἀλλ᾽ ἅμα ⟨ἕῳ⟩ τήν τε ἵππον λαβὼν 2
καὶ τοὺς πεζοὺς ἐπακολουθεῖν κελεύσας κατέλαβεν
αὐτοὺς καὶ ὑποστάντας ἐς μάχην (ἐνομίζετο γὰρ σὺν
μόνῃ τῇ ἵππῳ εἶναι) διέτριψε, μέχρις οὗ καὶ ὁ πεζὸς
ἦλθε, καὶ οὕτω παντὶ τῷ στρατῷ περισχὼν τούς τε
πλείους κατέκοψε καὶ τοὺς περιλοίπους ὁμολογίᾳ παρ-
εστήσατο. κἀκ τούτου καὶ τῶν δήμων τοὺς μὲν ἀμαχὶ
προσηγάγετο, τοὺς δὲ πολέμῳ.
Νερούιοι δὲ τῆς μὲν πεδιάδος (οὐ γὰρ ἦσαν ἀξιό- 3
μαχοι) ἑκόντες αὐτῷ ἐξέστησαν, ἐς δὲ δὴ τὰ ὄρη τὰ
ὑλωδέστατα ἀνακομισθέντες, ἔπειτ᾽ ἐπειδὴ. . . .καὶ ἐκεῖ-
θεν ἐπικατέδραμον ἀνέλπιστοι καί, καθ᾽ ὃ μὲν αὐτὸς
ὁ Καῖσαρ ἦν, ἐτράποντο καὶ ἔφυγον, τῷ δὲ δὴ πλείονι

3, 3 *Αὐξούνῳ*] *Ἀξόνᾳ* Leunclavius ‖ 2, 1, 1 *ψιλοὺς*] *φίλους* Ma ‖ 2, 1 ⟨*ἕῳ*⟩ inseruit B, ⟨*φωτὶ*⟩ R Stephanus ‖ 3, 1, 1 *δὲ τῆς* vulgo, *οὖν τῆς* Ma ‖ 3 *ἐπειδὴ καὶ* corruptum esse videtur, *ἐπὶ τὴν πεδιάδα* Reiske ‖ *ἐπειδὴ* ⟨*καταστρατοπεδευόμενον ἑώρων*⟩, *ἐκεῖθεν* ? B, lacunae signum posui

τοῦ στρατοῦ καθυπέρτεροί τε ἐγένοντο καὶ τὸ στρατό-
2 πεδον αὐτοβοεὶ εἷλον. αἰσθόμενος δὲ τοῦτ' ἐκεῖνος
(προεκεχωρήκει γὰρ ἐπί τι τοὺς τετραμμένους διώκων)
ἀνέστρεψε καὶ καταλαβὼν αὐτοὺς ἐν τῷ ἐρύματι ἁρ-
παγὴν ποιουμένους περιεστοιχίσατο καὶ κατεφόνευσε.
πράξας δὲ ταῦτα οὐδὲν ἔτι μέγα ἔργον τοὺς λοιποὺς
Νερουίους χειρούμενος ἔσχε.

4 κἀν τούτῳ Ἀτουατικοί, πλησιόχωροί τε αὐτοῖς ὄντες
καὶ τὸ γένος τό τε φρόνημα τὸ τῶν Κίμβρων ἔχοντες,
ὥρμησαν μὲν ὡς καὶ βοηθήσοντές σφισιν, ἐπειδὴ δὲ
ἔφθησαν προαλόντες, ἀνεχώρησαν καὶ πάντα τἆλλα
χωρία ἐκλιπόντες ἐς ἓν τεῖχος τὸ κράτιστον ἀνεσκευά-
2 σαντο. καὶ αὐτῷ τὸν Καίσαρα προσβαλόντα ἐπὶ πολ-
λὰς ἡμέρας ἀπεκρούσαντο, μέχρις οὗ πρὸς μηχανῶν
ποίησιν ἐτράπετο. τότε γάρ, τέως μὲν τήν τε ὕλην
τέμνοντας καὶ τὰ μηχανήματα συμπηγνύντας τοὺς Ῥω-
μαίους ἑώρων, γέλωτα τῇ ἀπειρίᾳ τῶν γιγνομένων
3 ἐποιοῦντο, ἐπεὶ δὲ ἐκεῖνά τε ἐξειργάσθη καὶ ὁπλῖταί
σφισι πανταχόθεν ἅμα ἐπ' αὐτῶν προσήγοντο, κατε-
πλάγησαν ἅτε μηπώποτε τοιοῦτό τι ἑωρακότες καὶ δι-
εκηρυκεύσαντο τά τε ἐπιτήδεια τοῖς στρατιώταις πέμ-
4 ψαντες καὶ ὅπλα τινὰ ἀπὸ τοῦ τείχους ῥίψαντες. ὡς
μέντοι τά τε μηχανήματα τῶν ἀνδρῶν γυμνωθέντα
αὖθις εἶδον καὶ ἐκείνους πρὸς θυμηδίαν οἷα ἐπὶ νίκῃ
τετραμμένους ᾔσθοντο, μετέγνωσαν καὶ ἀναθαρσήσαν-
τες τῆς νυκτὸς ἐπέξοδον ὡς καὶ ἀνελπίστους σφᾶς
κατακόψοντες ἐποιήσαντο. περιπεσόντες δὲ τοῖς προ-

2, 1 αὐτοβοὶ Ma ‖ 2 προεκεχωρήκει Oddey, R, προσεχωρήκει Ma ‖ τι Reiske, τε Ma ‖ 5 ἔτι Xylander, ὅ,τι Reiske, ὅτι Ma ‖ 4, 2, 3 τέως] ἕως Cobet ‖ 5 γιγνομένων R, γενομένων Ma ‖ 4, 3 πρὸς θυμηδίαν οἷα B, προθύμῃ διανοίᾳ Ma



φύλαξιν (ὁ γὰρ Καῖσαρ ἀκριβῶς πάντα ἀεὶ διῴκει)
ἐσφάλησαν. καὶ οὐδὲ τῶν λοιπῶν οὐδεὶς ἔτι συγγνώ-
μης ἔτυχεν, ἀλλὰ πάντες ἐπράθησαν.

ἐπειδὴ δὲ οὗτοί τε κατεστράφατο, καὶ ἄλλοι οἱ 5
μὲν ὑπ' αὐτοῦ, οἱ δὲ καὶ διὰ τῶν ὑποστρατήγων συ-
χνοὶ ἐκεχείρωντο, ὅ τε χειμὼν ἐνέστη, ἀνεχώρησεν ἐς
τὰ χειμάδια. μαθόντες δὲ ταῦθ' οἱ ⟨οἴκοι⟩ Ῥωμαῖοι
ἐθαύμασαν, ὅτι ἔθνη τοσαῦτα, ὧν οὐδὲ τὰ ὀνόματα
πρότερον ἠκρίβουν, ᾑρήκει, καὶ ἐψηφίσαντο πεντεκαί-
δεκα ἐπ' αὐτοῖς ἡμέρας θῦσαι, ὅπερ οὔπω πρότερον
ἐγεγόνει.

κἀν τῷ αὐτῷ τούτῳ χρόνῳ Γάλβας ὁ Σερούιος 2
ὑποστρατηγῶν αὐτῷ, μέχρι μὲν ἥ τε ὡραία καὶ τὸ
στράτευμα συνεστὸς εἶχεν, Οὐαράγρους παρά τε τῇ
Λεμάνῳ λίμνῃ καὶ πρὸς τοῖς Ἀλλόβριξι μέχρι τῶν
Ἄλπεων οἰκοῦντας τοὺς μὲν βίᾳ, τοὺς δὲ καὶ ὁμολο-
γίᾳ παρεστήσατο, ὥστε καὶ χειμάσαι κατὰ χώραν παρα-
σκευάσασθαι. ἐπεὶ μέντοι οἱ πλείους τῶν στρατιωτῶν, 3
οἱ μὲν παρειμένοι οἷα μὴ πόρρω τῆς Ἰταλίας ὄντες,
οἱ δὲ καὶ ἐφ' ἑαυτῶν ἄλλοσε ἀπεχώρησαν, καὶ αὐτῷ
ἀπροσδόκητοι κατὰ τοῦτο οἱ ἐπιχώριοι ἐπέθεντο, πρὸς 4
ἀπόνοιαν ὑπ' ἀπογνώσεως προήχθη καὶ ἐκπηδήσας ἐκ
τοῦ χειμαδίου ἄφνω τούς τε προσκειμένους οἱ τῷ
παραδόξῳ τοῦ τολμήματος ἐξέπληξε καὶ δι' αὐτῶν πρὸς
τὰ μετέωρα διέπεσε. γενόμενος δὲ ἐν τῷ ἀσφαλεῖ

4, 9 ἐπράθησαν] ἐπράχθησαν Ma ‖ 5, 1, 1 οὗτοί τε κατεστράφατο Reiske Leunclavium secutus, qui οὗτοι κατεστράφατο, οὔτ' ἐστράφετο Ma ‖ 4 ⟨οἴκοι⟩ inseruit B ‖ 2, 1 Γαρβαροσερούιος Ma ‖ 2 ὡραία ⟨ἦν⟩ Oddey, ὡραία ⟨εἴα⟩ vel ⟨ἐπέτρεπε⟩ Reiske ‖ 3 Οὐαράγρους] Οὐεράγρους Leunclavius, Οὐαράγρους ⟨τε καὶ ἄλλους⟩ R ‖ 4 Λεμβάνῳ Ma ‖ 3, 2 παρειμένοι Reiske, παρέμενον Ma, quare R παρέμενοι ‖ 4, 5 διέπεσε] διέπαισε Boissonade

ἠμύνατο μὲν αὐτοὺς μετὰ τοῦτο καὶ ἐδουλώσατο, οὐ
μὴν καὶ ἐχείμασεν αὐτόθι, ἀλλὰ καὶ ἐς τὴν τῶν Ἀλ-
λοβρίγων μετέστη.

6 ταῦτα μὲν ἐν τῇ Γαλατίᾳ ἐγένετο, Πομπήιος δὲ ἐν
τούτῳ τὴν κάθοδον τῷ Κικέρωνι ψηφισθῆναι διεπρά-
ξατο. ὃν γὰρ διὰ τοῦ Κλωδίου ἐξεληλάκει, τοῦτον
ἐπ' αὐτὸν ἐκεῖνον ἐπανήγαγεν· οὕτω που τὸ ἀνθρώ-
πειον δι' ὀλίγου τε ἔστιν ὅτε μεταβάλλεται, καὶ ἀφ'
ὧν ὠφελήσεσθαί τινες ἢ καὶ βλαβήσεσθαι νομίζουσι,
2 τὰ ἐναντιώτατα ἀντιλαμβάνουσι. συνέπραττον δὲ ἀπὸ
τῶν στρατηγῶν καὶ τῶν δημάρχων ἄλλοι τε καὶ Τίτος
Ἄννιος Μίλων, οἵπερ που καὶ τὴν γνώμην ἐς τὸ πλῆ-
θος ἐσήνεγκαν· ὁ γὰρ Σπινθὴρ ὁ ὕπατος τὸ μέν τι
καὶ τῷ Πομπηίῳ χαριζόμενος, τὸ δὲ καὶ ἐξ ἰδίας ἔχ-
θρας τὸν Κλώδιον ἀμυνόμενος, ὑφ' ἧς καὶ τὴν μοι-
3 χείαν αὐτοῦ δικάζων κατεγνώκει, . . . . καὶ ἐκείνῳ δὲ
ἄλλοι τε τῶν ἐν ταῖς ἀρχαῖς ὄντων ὑπῆρχον καὶ ὁ
ἀδελφὸς Ἄππιος Κλαύδιος στρατηγῶν, ὅ τε Νέπως ὁ
ὕπατος ἀπ' οἰκείας τινὸς ἔχθρας τὸν Κικέρωνα μισῶν.
7 οὗτοί τε οὖν ἐπὶ πλέον ἢ πρὶν ἅτε καὶ ἡγεμόνας τοὺς
ὑπάτους ἔχοντες καὶ οἱ ἄλλοι οἱ ἐν τῇ πόλει διαστάν-
τες πρὸς ἑκατέρους ἐθορύβουν. καὶ ἄλλα τε ἐκ τού-
2 του οὐκ ἐν κόσμῳ πολλὰ ἐγίγνετο, καὶ ἐν αὐτῇ τῇ
διαψηφίσει ὁ Κλώδιος γνοὺς τὸ πλῆθος πρὸς τοῦ
Κικέρωνος ἐσόμενον τοὺς μονομάχους, οὓς ὁ ἀδελφὸς
αὐτοῦ πρὸς ἀγῶνας ἐπιταφίους ἐπὶ τῷ Μάρκῳ τῷ
συγγενεῖ προπαρεσκεύαστο, λαβὼν ἐσεπήδησεν ἐς τὸν

6, 1, 1 Γαλατίᾳ] Ἰταλίᾳ Ma ‖ 2, 4 ὁ γὰρ] ὅ τε Xylander ‖ 5 καὶ ἐξ] πλεῖστον vel καὶ ⟨πλεῖστον⟩ ἐξ Reiske; idem 2, 6 τὴν deleri iubet ‖ 3, 1 κατεγνώκει . . . . ] lacunam vidit Reiske, qui suppl. ⟨ἐσπούδαζεν ὑπὲρ τοῦ Κικέρωνος⟩; ⟨τὴν βουλὴν ἐνῆγεν⟩ B



σύλλογον καὶ πολλοὺς μὲν ἔτρωσε, πολλοὺς δὲ καὶ
ἔκτεινεν. οὔτ' οὖν ἡ γνώμη ἐκυρώθη, καὶ ἐκεῖνος 3
ὡς δορυφόροις συνὼν φοβερὸς καὶ ἐς τὰ ἄλλα πᾶσιν
ἦν, ἀγορανομίαν τε ᾔτει ὡς καὶ τὴν δίκην τῆς βίας,
ἂν ἀποδειχθῇ, διαφευξόμενος. ἐγράψατο γὰρ αὐτὸν 4
ὁ Μίλων καὶ οὐκ ἐσήγαγεν· οὔτε γὰρ οἱ ταμίαι, δι'
ὧν τὴν ἀποκλήρωσιν τῶν δικαστῶν γενέσθαι ἐχρῆν,
ᾕρηντο, καὶ ὁ Νέπως ἀπεῖπε τῷ στρατηγῷ μηδεμίαν
πρὸ τῆς κληρώσεως αὐτῶν δίκην προσέσθαι. ἔδει δὲ
ἄρα τοὺς ἀγορανόμους πρὸ τῶν ταμιῶν καταστῆναι,
καὶ διὰ τοῦτο ὅτι μάλιστα ἡ διατριβὴ ἐγένετο. μαχό- 8
μενος δὲ καὶ περὶ αὐτοῦ τούτου πολλὰ ἐτάραττε καὶ
τέλος μονομάχους τινὰς καὶ αὐτὸς καὶ ἄλλους τῶν τὰ
αὐτά οἱ βουλομένων ἀθροίσας ἐς χεῖρας τῷ Κλωδίῳ
συνεχῶς ᾔει, καὶ σφαγαὶ κατὰ πᾶσαν ὡς εἰπεῖν τὴν
πόλιν ἐγίγνοντο. ὁ οὖν Νέπως φοβηθεὶς πρός τε τοῦ 2
συνάρχοντος καὶ πρὸς τοῦ Πομπηίου τῶν τε ἄλλων
τῶν πρώτων μετεβάλετο, καὶ οὕτως ἥ τε γερουσία
κατελθεῖν τὸν Κικέρωνα τοῦ Σπινθῆρος ἐσηγησαμένου
προεβούλευσε, καὶ ὁ δῆμος ἀμφοτέρων τῶν ὑπάτων
ἐσενεγκόντων ἐψηφίσατο. ἀντέλεγε μὲν γὰρ πρὸς αὐ- 3
τοὺς Κλώδιος, ἀλλ' ἐκείνῳ τε ὁ Μίλων ἀντέκειτο,
ὥστε μηδὲν βίαιον δρᾶσαι, καὶ τῷ νόμῳ ἄλλοι τε καὶ
ὁ Πομπήιος συνεῖπον, ὥστε πολὺ κρείττους αὐτοὺς
γενέσθαι.

κατῆλθέ τε οὖν ὁ Κικέρων καὶ χάριν τῇ τε βουλῇ 9
καὶ τῷ δήμῳ παρασχόντων αὐτῷ τῶν ὑπάτων, καὶ

7, 3, 1 ἐκεῖνος sc. Κλώδιος Reiske, ἐκείνοις Ma ‖ 4, 1 δια-φευξόμενος St, διαφευξούμενος Ma ‖ 2 καὶ οὐκ ἐσήγαγε μέν· οὔτε Ma, unde Reiske οὐ μέντοι καὶ ἐσήγαγε ‖ 8, 1, 3 ⟨τέ⟩ τινας Reiske ‖ 2, 3 μετεβάλετο B, μετεβάλλετο Ma

κατὰ τὸ συνέδριον καὶ κατὰ τὴν ἐκκλησίαν ἔγνω. τῷ
τε Πομπηίῳ τὴν ἔχθραν τὴν ἐπὶ τῇ φυγῇ μεθεὶς συν-
ηλλάγη καὶ τήν γε εὐεργεσίαν παραχρῆμα ἀπέδωκε·
2 λιμοῦ γὰρ ἐν τῇ πόλει ἰσχυροῦ γενομένου καὶ τοῦ
ὁμίλου παντὸς ἔς τε τὸ θέατρον (οἵῳ γε δὴ καὶ τότε
ἔτι θεάτρῳ ἐς τὰς πανηγύρεις ἐχρῶντο) καὶ μετὰ τοῦτο
καὶ ἐς τὸ Καπιτώλιον ἐπὶ τοὺς βουλευτὰς συνεδρεύ-
οντας ἐσπηδήσαντος καὶ τοτὲ μὲν ἐν χερσὶν αὐτοὺς
ἀποσφάξειν, τοτὲ δὲ καὶ καταπρήσειν σὺν αὐτοῖς τοῖς
3 ναοῖς ἀπειλοῦντος ἔπεισε σφᾶς ἐπιμελητὴν τοῦ σίτου
τὸν Πομπήιον προχειρίσασθαι καὶ διὰ τοῦτο καὶ ἀρ-
χὴν αὐτῷ ἀνθυπάτου καὶ ἐν τῇ Ἰταλίᾳ καὶ ἔξω ἐπὶ
πέντε ἔτη δοῦναι. καὶ ὁ μέν, ὥσπερ ἐπὶ τοῖς κατα-
ποντισταῖς πρότερον, οὕτω καὶ τότε ἐπὶ τῷ ⟨σίτῳ⟩
πάσης αὖθις τῆς οἰκουμένης τῆς ὑπὸ τοῖς Ῥωμαίοις
10 τότε οὔσης ἄρξειν ἔμελλε· Καῖσαρ δὲ καὶ Κράσσος
ἄλλως μὲν ἤχθοντο τῷ Κικέρωνι, σπουδὴν δ' οὖν
τινα αὐτοῦ ἔσχον, ἐπειδὴ πάντως καθήξοντα αὐτὸν
ᾔσθοντο (καὶ γὰρ ὁ Καῖσαρ καὶ ἀπὼν εὔνοιάν τινα
αὐτῷ ἐνεδείξατο), οὐ μέντοι καὶ χάριν οὐδεμίαν ἀντ-
2 έλαβον. ἐκεῖνος γὰρ τοῦτό τε οὐκ ἀπὸ γνώμης σφᾶς
πεποιηκότας εἰδὼς καὶ τῆς φυγῆς αἰτιωτάτους γεγο-
νέναι νομίζων ἐκ μὲν τοῦ προφανοῦς οὐ πάνυ πρὸς
αὐτοὺς ἐθρασύνετο ἅτε καὶ τῶν τῆς ἀκράτου παρρη-
σίας ἐπικαρπιῶν νεωστὶ πεπειραμένος, βιβλίον μέντοι
τι ἀπόρρητον συνέθηκε καὶ [ἐπεὶ] ἐπέγραψεν αὐτῷ ὡς

9, 1, 3 alterum κατὰ om. Ma ‖ 5 καὶ τήν γε] καὶ τήν τε R Stephanus, quem secutus est R, aut γε aut καὶ delendum censet Reiske ‖ 2, 2 οἵῳ] μόνῳ B ‖ γε Pflugk, δὲ Ma ‖ 3, 5 ⟨σίτῳ⟩ inseruit Reiske ‖ 6 τῆς ὑπὸ τοῖς Ῥ. τότε οὔσης Penzel ut glossema delendum putat ‖ 10, 2, 6 [ἐπεὶ] del. Leunclavius



καὶ περὶ τῶν ἑαυτοῦ βουλευμάτων ἀπολογισμόν τινα
ἔχοντι· πολλὰ δὲ δὴ καὶ δεινὰ ἐς αὐτὸ καὶ περὶ ἐκεί- 3
νων καὶ περὶ ἄλλων τινῶν συνένησε καὶ διὰ τοῦτο
φοβηθείς, μὴ καὶ ζῶντος αὐτοῦ ἐκφοιτήσῃ, κατεση-
μήνατό τε αὐτὸ καὶ παρέδωκε τῷ παιδὶ προστάξας οἱ
μήτ' ἀναγνῶναι μήτε δημοσιεῦσαι τὰ γεγραμμένα,
πρὶν ἂν μεταλλάξῃ.

Κικέρων μὲν οὖν αὖθις ἀνεβλάστανε καὶ τήν τε 11
ἄλλην οὐσίαν καὶ τὸ ἔδαφος τῆς οἰκίας καίτοι τῇ
ἐλευθερίᾳ ἀνειμένον καὶ τοῦ Κλωδίου καὶ ἐπιθειάζον-
τος καὶ ἐς ἐνθυμίαν αὐτῷ προβάλλοντος ἐκομίσατο.
τὴν γὰρ ἐσφορὰν τοῦ φρατριατικοῦ νόμου, παρ' ἣν ἐκ 2
τῶν εὐπατριδῶν ἐς τὸ πλῆθος εἰσεπεποίητο, διαβάλ-
λων ὡς οὐκ ἐν τοῖς ὡρισμένοις ἐκ τῶν πατρίων χρό-
νοις ἐκτεθέντος αὐτοῦ, τήν τε δημαρχίαν τοῦ Κλω-
δίου πᾶσαν, ἐν ᾗ καὶ τὰ κατὰ τὴν οἰκίαν ἐδέδοκτο,
κατέλυε λέγων οὐχ οἷόν τε εἶναι τῆς μεταστάσεως
αὐτοῦ τῆς ἐς τὸν ὅμιλον παρανόμως γεγενημένης
ὑγιές τι τῶν ἐν αὐτῇ πραχθέντων νομίζεσθαι, καὶ 3
ἔπεισε διὰ τούτου τοὺς ποντίφικας τὸ ἔδαφός οἱ ὡς
καὶ ὅσιον καὶ βέβηλον ὂν ἀποδοῦναι. καὶ οὕτω καὶ
ἐκεῖνο καὶ χρήματα ἔς τε τὴν τῆς οἰκίας κατασκευὴν
καί, εἰ δή τι ἄλλο τῆς οὐσίας αὐτοῦ ἐλελύμαντο, ἔλαβε.

μετὰ δὲ δὴ ⟨τοῦτο⟩ Πτολεμαίου τοῦ βασιλέως 12
ἕνεκα αὖθις ἐκινήθησαν. ἐπειδὴ γὰρ πολλά τισι τῶν
Ῥωμαίων χρήματα, τὰ μὲν οἴκοθεν, τὰ δὲ καὶ δανει-
σάμενος, ὅπως τήν τε ἀρχὴν βεβαιώσηται καὶ φίλος

3, 2 συνένησε Leunclavius, συνήνεσε Ma ‖ 11, 1, 4 ἐνθυμίαν αὐτῷ Wesseling coll. Thucyd. 5, 16, ἐνθύμιον αὐτοῦ Ma ‖ 2, 2 εἰσεπεποίητο scripsi, ἐπεποίητο Ma ‖ 12, 1, 1 ⟨τοῦτο⟩ inseruit R ‖ 2 πολλὰ ⟨πολλοῖς⟩ Reiske

καὶ σύμμαχος ὀνομασθῇ, καταναλώκει καὶ αὐτὰ παρὰ
2 τῶν Αἰγυπτίων βιαίως ἠργυρολόγει καὶ διά τε τοῦτο
ἐχαλεπαίνετο καὶ ὅτι τὴν Κύπρον ἀπαιτῆσαι παρὰ τῶν
Ῥωμαίων ἢ καὶ τὴν φιλίαν τὴν πρὸς αὐτοὺς ἀπειπεῖν
κελευόντων αὐτῶν οὐκ ἠθέλησε καὶ οὔτε πεῖσαι σφᾶς
ἡσυχάζειν οὔτ' αὖ βιάσασθαι (ξενικὸν γὰρ οὐκ εἶχεν)
3 ἠδυνήθη, διέδρα τε ἐκ τῆς Αἰγύπτου καὶ ἐς τὴν Ῥώ-
μην ἐλθὼν κατηγόρησέ τε αὐτῶν ὡς καὶ ἐκ τῆς βασι-
λείας αὐτὸν ἐκβεβληκότων καὶ ἔτυχεν ὥστε ὑπὸ τοῦ
Σπινθῆρος, ᾧ ἡ Κιλικία ἐπετέτραπτο, καταχθῆναι.
13 ἐν ᾧ δὲ ταῦτα ⟨ἐγένετο⟩, οἱ Ἀλεξανδρεῖς τέως μὲν
ἀγνοήσαντες, ὅτι ἐς τὴν Ἰταλίαν ἀπηρκὼς ἦν, ἢ τε-
θνηκέναι αὐτὸν νομίσαντες Βερενίκην τὴν θυγατέρα
αὐτοῦ ἐς τὴν βασιλείαν ἀντικατέστησαν, ἔπειτα δὲ
τἀληθὲς μαθόντες ἄνδρας ἑκατὸν ἐς τὴν Ῥώμην ἔπεμ-
ψαν πρός τε τὰ ἐγκλήματα αὐτοῦ ἀπολογησομένους
2 καὶ ἀντικατηγορήσοντας, ὅσα ἠδίκηντο. προμαθὼν οὖν
ταῦτ' ἐκεῖνος (ἔτι δὲ ἐν τῇ Ῥώμῃ ἦν) ἐνήδρευσε τοὺς
πρέσβεις, πρὶν ἐλθεῖν, ἄλλους ἄλλῃ διαπέμψας καὶ
τοὺς μὲν πλείους αὐτῶν κατὰ τὴν ὁδὸν ἔφθειρε, τῶν
δὲ λοιπῶν τοὺς μὲν [αὐτῶν] ἐν τῷ ἄστει αὐτῷ ἀπ-
έκτεινε, τοὺς δὲ καὶ καταφοβήσας ἐκ τούτων ἢ χρή-
μασι διαφθείρας ἔπεισε μήτε ταῖς ἀρχαῖς ὑπὲρ ὧν
ἐστάλατο, ἐντυχεῖν μήθ' ὅλως μνείαν τινὰ περὶ τῶν
14 ἀπολωλότων ποιήσασθαι. καίτοι τὸ πρᾶγμα οὕτω περι-
βόητον ἐγένετο, ὥστε καὶ τὴν βουλὴν ἀγανακτῆσαι δει-

---

3, 3 ὑπὸ τοῦ Reiske, ὑπάτου Ma, δι' ὑπάτου Xylander, ὑπὸ ὑπάτου Leunclavius || 4 ἐπετέτραπτο St, ἐπετράπετο Ma || **13**, 1, 1 ⟨ἐγένετο⟩ inseruit R, ⟨ἐπράττετο⟩ ? B || 2 ἀπηρκὼς Leunclavius, ἀπηρηκὼς Ma || 2, 5 [αὐτῶν] del. St || 8 ἐστάλατο St, ἐστάλαντο Ma || **14**, 1, 2 ὥστε Ma (ὥστε Vat. A), ὡς vulg.



νῶς ἐνάγοντος σφᾶς ὅτι μάλιστα Φαουωνίου τοῦ Μάρ-
κου καθ' ἑκάτερον, ὅτι τε πολλοὶ παρὰ τῶν συμμάχων
πρέσβεις πεμφθέντες βιαίως ἀπωλώλεσαν, καὶ ὅτι συ-
χνοὶ καὶ τότε τῶν Ῥωμαίων ἐδεδωροδοκήκεσαν. καὶ 2
οἱ μὲν τὸν Δίωνα τὸν τῆς πρεσβείας αὐτοκράτορα
(περιῆν γὰρ) μετεπέμψαντο ὡς καὶ τὴν ἀλήθειαν παρ'
αὐτοῦ μαθησόμενοι· οὕτω δὲ ἄρα καὶ τότε ἔθ' ὁ Πτο-
λεμαῖος τοῖς χρήμασι κατεκράτει, ὥστε μήτε τὸν Δί-
ωνα ἐς τὸ συνέδριον ἐσελθεῖν μήτε μνήμην τινὰ τοῦ
φόνου τῶν τεθνηκότων, ἕως γε καὶ αὐτὸς περιῆν, γε-
νέσθαι. καὶ μέντοι τοῦ Δίωνος μετὰ ταῦτα δολοφο- 3
νηθέντος οὐδεμίαν οὐδ' ἐπ' ἐκείνῳ δίκην ἔδωκε· τά
τε γὰρ ἄλλα καὶ ὁ Πομπήιος τῇ τε οἰκίᾳ αὐτὸν ὑπε-
δέδεκτο καὶ ἰσχυρῶς οἱ συνῄρετο. τῶν γε μὴν ἄλλων 4
τῶν αὐτόθεν ἐνεκλήθησαν μὲν ἐν ὑστέρῳ συχνοί, ἑά-
λωσαν δὲ ὀλίγοι. τό τε γὰρ δεδωροδοκηκὸς πολὺ ἦν,
καὶ ἀλλήλοις διὰ τὸ ἴδιον ἕκαστος δέος συνεμάχουν.
οἱ μὲν οὖν ἄνθρωποι τοιαῦτα ὑπὸ τῶν χρημάτων 15
ἐποίουν, τὸ δὲ δὴ θεῖον κεραυνῷ κατ' ἀρχὰς εὐθὺς
τοῦ ἐχομένου ἔτους τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν τῷ
Ἀλβανῷ ἱδρυμένου βαλὸν τὴν κάθοδον τοῦ Πτολε-
μαίου χρόνον τινὰ ἐπέσχε. τοῖς γὰρ Σιβυλλείοις ἔπεσιν 2
ἐντυχόντες εὗρον ἐν αὐτοῖς ἐγγεγραμμένον αὐτὸ τοῦτο
"ἂν ὁ τῆς Αἰγύπτου βασιλεὺς βοηθείας τινὸς δεόμε-
νος ἔλθῃ, τὴν μὲν φιλίαν οἱ μὴ ἀπαρνήσησθε, μὴ
μέντοι καὶ πλήθει τινὶ ἐπικουρήσητε· εἰ δὲ μή, καὶ
πόνους καὶ κινδύνους ἕξετε." κἀκ τούτου τὴν συν- 3

---

1, 4 ἑκάτερον R, ἕτερον Ma || 2, 1 ἐδεδωροδοκήκεισαν Ma || 7 περιῆν Reiske, παρῆν Ma || 3, 2 ἔδωκε Pflugk, δέδωκε Ma || 4, 1 οἱ συνῄρετο B, αὐτῷ συνῄρετο Leunclavius, συνῄρετο Xylander, ᾔρετο Ma || **15**, 1, 4 βαλὸν Ma, βαλὼν vulgo || 2, 4 ἀπαρνήσησθε B, ἀπαρνήσασθαι Ma

τυχίαν τῶν ἐπῶν πρὸς τὰ τότε γενόμενα θαυμάσαντες ἀπεψηφίσαντο πάντα τὰ περὶ αὐτοῦ ἐγνωσμένα Γαΐῳ Κάτωνι πεισθέντες δημάρχῳ. ταῦτα δὲ ἐχρήσθη μὲν οὕτως, ἐδημοσιεύθη δὲ (οὐ γὰρ ἐξῆν οὐδὲν τῶν Σιβυλλείων, εἰ μὴ ἡ βουλὴ ψηφίσαιτο, ἐς τὸ πλῆθος

4 ἐξαγγέλλεσθαι) διὰ τοῦ Κάτωνος. ἐπειδὴ γὰρ τάχιστα ὁ νοῦς τῶν ἐπῶν διεθρυλήθη, ὥσπερ εἴωθε γίγνεσθαι, ἔδεισε, μὴ συγκρυφθείη, καὶ ἔς τε τὸν ὅμιλον τοὺς ἱερέας ἐσήγαγε κἀνταῦθα, πρὶν ὁτιοῦν τὴν γερουσίαν ἐπ' αὐτοῖς χρηματίσαι, ἐξεβιάσατο σφᾶς ἐκλαλῆσαι τὸ λόγιον· ὅσῳ γάρ τοι μᾶλλον οὐκ ἐδόκει σφίσιν ἐξεῖναι

16 τοῦτο, . . . τὸ πλῆθος ἔσχε. καὶ ἐκεῖνο μὲν ἔσχεν οὕτω, καὶ ἐς τὴν τῶν Λατίνων γλῶσσαν γραφὲν ἀνεκηρύχθη· γνώμας δὲ αὐτῶν μετὰ τοῦτο ποιουμένων, καὶ τῶν μὲν ἄνευ στρατοῦ τῷ Σπινθῆρι τὴν τοῦ Πτολεμαίου κάθοδον προσταττόντων, τῶν δὲ δὴ καὶ τὸν Πομπήιον μετὰ ῥαβδούχων δύο καταγαγεῖν ⟨αὐτὸν⟩ κελευόντων

2 (ὅ τε γὰρ Πτολεμαῖος μαθὼν τὸ χρησθὲν ἠξίωσε τούτου τυχεῖν, καὶ τὰ γράμματα αὐτοῦ Αὖλος Πλαύτιος ἐς τὸ κοινὸν δημαρχῶν ἀνέγνω) δείσαντες οἱ βουλευταί, μὴ μείζων ἔθ' ὁ Πομπήιος καὶ ἀπ' ἐκείνου γένηται, ἀντέπραξαν αὐτῷ τῇ τοῦ σίτου προφάσει χρησάμενοι.

3 ταῦτα μὲν ἐπί τε Λουκίου Φιλίππου καὶ ἐπὶ Γναίου Μαρκελλίνου ὑπάτων ἐγένετο· καὶ αὐτὰ ὁ Πτολεμαῖος μαθὼν τήν τε κάθοδον ἀπέγνω καὶ ἐς Ἔφεσον ἐλθὼν

4, 2 ὥσπερ εἴωθε γίγνεσθαι delevit Penzel ut glossema ‖ 16, 1, 1 τοῦτο, . . .] ⟨τόσῳ λιπαρέστερον⟩ suppl. Herwerden, ⟨τοσούτῳ ἐντονώτερον περὶ τοῦτο⟩ Wagner, ⟨τοσούτῳ πλέον⟩ τὸ π. ἤσχαλλε Leunclavius ‖ 2 γραφὲν] μεταγραφὲν Reiske ‖ 6 ⟨αὐτὸν⟩ om. Ma ‖ 2, 2 Πλαύτιος Xylander, Πλατύιος Ma



παρὰ τῇ θεῷ διῃτᾶτο. τῷ δὲ δὴ προτέρῳ ἔτει καὶ 17
τοιόνδε τι, ἴδιον μέν, φέρον δέ πως ἐς τὴν συγγραφήν, ἐπράχθη. τοῦ γὰρ νόμου διαρρήδην ἀπαγορεύοντος μηδένας δύο ἅμα ἐκ τῆς αὐτῆς συγγενείας τὴν αὐτὴν ἱερατείαν ἔχειν ὁ Σπινθὴρ ὁ ὕπατος ἐπιθυμήσας Κορνήλιον Σπινθῆρα τὸν υἱὸν ἐς τοὺς οἰωνιστὰς ἐσαγαγεῖν, ἔπειτ' ἐπειδὴ ὁ Φαῦστος ὁ τοῦ Σύλλου 2
παῖς ἐκ τοῦ τῶν Κορνηλίων φύλου ὢν προενεγέγραπτο, ἐξεποίησεν αὐτὸν ἐς τὸ Μαλλίου Τορκουάτου γένος, καὶ οὕτως ὁ νόμος ἐν τοῖς ἑαυτοῦ ῥήμασι μείνας ἔργῳ κατελύθη.

μετὰ δὲ δὴ τοῦτο ὁ Κλώδιος ἐπειδὴ τάχιστα ἐς 18
τὴν ἀγορανομίαν ἐπί τε τοῦ Φιλίππου καὶ ἐπὶ τοῦ a.u.
Μαρκελλίνου παρεληλύθει (πρὸς γὰρ τὴν ἀπόδρασιν 698
τῆς δίκης παρακελευστὸς ᾑρέθη), γραφὴν κατὰ τοῦ (56)
Μίλωνος τῆς τῶν μονομάχων παρασκευῆς ἀπήνεγκεν· ἃ γὰρ αὐτὸς ἔπραττε καὶ ἐφ' οἷς ἐκρίνετο, ταῦτ' ἐκείνῳ ἀντενεκάλει. ἐποίει δὲ τοῦτο οὐχὶ τὸν Μίλωνα προσ- 2
δοκῶν αἱρήσειν ἅτε καὶ συναγωνιστὰς ἰσχυροὺς ἄλλους τε καὶ τὸν Κικέρωνα τόν τε Πομπήιον ἔχοντα, ἀλλ' ἵνα ἐπὶ τῇ προφάσει ταύτῃ τῷ τε Μίλωνι προσπολεμοίη καὶ ἐκείνους ὑβρίζοι. πρὸς γοῦν τοῖς ἄλλοις 19
τοιόνδε τι ἐμεμηχάνητο· παρασκευάσας τοὺς ἑταίρους ἵν', ὁπότε πύθοιτό αὐτῶν ἐν τοῖς συλλόγοις "τίς ⟨ὁ⟩ ποιῶν ἢ καὶ λέγων τοιόνδε τι ἦν", συνεκβοῷεν ὅτι

17, 1, 4 μηδένας Reiske, μηδένα Ma ‖ 2, 2 Κορνηλίων Leunclavius, Κορνηλίου Ma ‖ 18, 1, 3 παρεληλύθει B, παρελήλυθε Ma ‖ 4 κατὰ Leunclavius, καὶ Ma ‖ 5 ἀπήνεγκεν] ἐπήνεγκεν R coll. 53, 23, 7 ‖ 2, 1 οὐχὶ Reiske, οὐχ ὅτι Ma, οὐχ οἷα Leunclavius, οὐχ ὡς R, οὐχ ὅτι — προσεδόκα St ‖ 19, 1, 3 τίς Leunclavius, τί Ma ‖ ⟨ὁ⟩ inseruit B ‖ 4 καὶ λέγων Leunclavius, καταλέγων Ma ‖ τοιόνδε τι St, τοιόσδε τις Ma ‖ ἦν Reiske, ὢν Ma

Πομπήιος, ἐπηρώτα πολλάκις ἐξαίφνης πάνθ' ὅσα ἐπ-
αίτια περὶ αὐτὸν ἢ κατὰ τὸ σῶμα ἢ κατ' ἄλλο τι ἦν,
ἰδίᾳ καὶ καθ' ἕκαστον, ὡς οὐ περὶ ἐκείνου δὴ λέγων·
2 κἀκ τούτου τῶν μὲν ἐξαρχόντων, τῶν δὲ συνεπηχούν-
των σφίσιν (οἷα φιλεῖ ἐν τοῖς τοιούτοις γίγνεσθαι)
καὶ λεγόντων ὅτι Πομπήιος, χλευασία πολλὴ συνέβαι-
νεν, ὥστε ἐκεῖνον μήτε τὴν ἡσυχίαν ἄγειν καρτεροῦντα
μήθ' ὅμοιόν τι ποιεῖν αὐτῷ ὑπομένοντα περιοργῆ τε
γίγνεσθαι καὶ ἐν ἀμηχανίᾳ καθίστασθαι, καὶ λόγῳ
μὲν τὸν Μίλωνα κατακρίνεσθαι, ἔργῳ δὲ αὐτὸν μηδ'
3 ἀπολογούμενον ἁλίσκεσθαι. ὁ γὰρ Κλώδιος, ὅπως ἔτι
πλεῖον ποιοίη, οὐκ εἴα τὸν φρατριατικὸν νόμον ἐσε-
νεχθῆναι· πρὶν γὰρ ἐκεῖνον τεθῆναι, οὔτ' ἄλλο τι τῶν
σπουδαίων ἐν τῷ κοινῷ πραχθῆναι οὔτε δίκην οὐδε-
μίαν ἐσαχθῆναι ἐξῆν.

20 τέως μὲν οὖν ὁ Μίλων τῶν λοιδοριῶν καὶ τῶν
σφαγῶν πρόσχημα αὐτοῖς ἦν· τεράτων τέ τινων ἐν
τούτῳ γενομένων (ἔν τε γὰρ τῷ Ἀλβανῷ νεὼς Ἥρας
βραχὺς ἐπὶ τραπέζης τινὸς πρὸς ἀνατολῶν ἱδρυμένος
πρὸς τὴν ἄρκτον μετεστράφη, καὶ λαμπὰς ἀπὸ τῆς
2 μεσημβρίας ὁρμηθεῖσα πρὸς βορέαν διῇξε, λύκος τε ἐς
τὴν πόλιν ἐσῆλθε, καὶ σεισμὸς ἐγένετο, τῶν τε πολι-
τῶν τινες κεραυνοῖς ἐφθάρησαν, καὶ θόρυβος ἐν τῷ
Λατίνῳ ὑπὸ γῆς ἐξηκούσθη· καὶ αὐτὰ οἱ μάντεις ἀκέ-
σασθαι ἐθελήσαντες ὀργίζεσθαί σφισι δαιμόνιόν τι ὡς
καὶ ἱερῶν τινων ἢ χωρίων οὐχ ὁσίων ἐποικουμένων
3 ἔφασαν) ἐνταῦθα ὁ Κλώδιος τὸν Κικέρωνα μεταλαβὼν
τῷ τε λόγῳ πολὺς ἐνέκειτο, ὅτι τὸ ἔδαφος τῆς οἰκίας

3, 1 ἔτι πλεῖον ποιοίη Gros, ἐπὶ πλ. π. Ma, ἐπὶ πλεῖον ἀπο-
ροίη B, ἐπὶ πλεῖον ⟨χρόνον⟩ ἐμποιοίη Reiske ‖ **20**, 2, 4 ἀκέσα-
σθαι Xylander, Turnebus, ἀκούσασθαι Ma ‖ 3, 2 πολὺς Reiske,



ἱερωμένον τῇ ἐλευθερίᾳ κατῳκοδόμησε, καὶ ἐπῆλθέ
ποτε ἐπ' αὐτὸ ὡς καὶ ἐκ θεμελίων αὖθις αὐτὴν ἀναι-
ρήσων. καὶ οὐκ ἐποίησε μὲν τοῦτο, ὁ γὰρ Μίλων
ἐκώλυσεν· ὁ δ' οὖν Κικέρων ὡς καὶ παθὼν αὐτὸ ὀρ- 21
γήν τε εἶχε καὶ κατηγορίας ἐποιεῖτο καὶ τέλος τόν τε
Μίλωνα καὶ δημάρχους τινὰς παραλαβὼν ἀνῆλθέ τε
ἐς τὸ Καπιτώλιον καὶ τὰς στήλας ⟨τὰς⟩ ἐπὶ τῇ ἑαυτοῦ
φυγῇ ὑπὸ τοῦ Κλωδίου σταθείσας καθεῖλε. καὶ τότε 2
μὲν αὐτὰς ἐκείνου σὺν Γαΐῳ ⟨τῷ⟩ ἀδελφῷ στρατη-
γοῦντι ἐπελθόντος ἀφῃρέθη, μετὰ δὲ τοῦτο φυλάξας
ἐκδημοῦντα τὸν Κλώδιον ἀνέβη τε αὖθις ἐς τὸ Καπι-
τώλιον καὶ λαβὼν αὐτὰς οἴκαδε ἀπεκόμισε. γενομένου 3
δὲ τούτου οὐδὲν ἔτ' ἀπώμοτον οὐδετέρῳ αὐτῶν ἦν,
ἀλλ' ἐλοιδόρουν ἀλλήλους καὶ διέβαλλον ἄλλα τε ὅσα
ἠδύναντο μηδενὸς τῶν αἰσχίστων ἀπεχόμενοι καὶ ὁ 4
μὲν τήν τε δημαρχίαν τὴν τοῦ Κλωδίου ὡς καὶ παρὰ
τοὺς νόμους γενομένην καὶ τὰ πραχθέντα ἐν αὐτῇ
ὑπ' αὐτοῦ ὡς καὶ ἄκυρα ὄντα, ὁ δὲ τήν τε φυγὴν
τὴν τοῦ Κικέρωνος ὡς καὶ δικαίως ἐγνωσμένην καὶ
τὴν κάθοδον αὐτοῦ ὡς καὶ παρανόμως ἐψηφισμένην.

μαχομένων δὲ αὐτῶν καὶ τοῦ Κλωδίου πολὺ τῇ 22
στάσει ἐλαττουμένου ὁ Κάτων ὁ Μᾶρκος ἐπελθὼν
ἀνίσωσεν αὐτούς· τῷ τε γὰρ Κικέρωνι ἀχθόμενος καὶ
φοβηθεὶς ἅμα, μὴ καὶ ὅσα αὐτὸς ἐν τῇ Κύπρῳ ἐπε-
ποιήκει καταλυθείη, ὅτι πρὸς τοῦ Κλωδίου δημαρ-
χοῦντος ἐπέπεμπτο, προθύμως αὐτῷ συνήρατο. μέγα 2
γὰρ ἐπ' αὐτοῖς ἐφρόνει καὶ περὶ παντὸς τὸ βεβαιωθῆ-
ναι αὐτὰ ἐποιεῖτο. ὁ μὲν γὰρ Πτολεμαῖος ὁ τὴν νῆ-

πολὺ Ma ‖ 3, 4 αὐτὸ] αὐτὸν Reiske ‖ **21**, 1, 1 αὐτὸ] αὐτὸς Reiske ‖
4 ⟨τὰς⟩ inser. Pflugk ‖ 2, 1 ὑπὸ Leunclavius, ἐπὶ Ma ‖ 2 ⟨τῷ⟩
inseruit Reiske ‖ **22**, 1, 3 ἀνίσωσεν Oddey, ἀνέσωσεν Ma

σον τότε κατέχων, ἐπειδὴ τά τε ἐψηφισμένα ᾔσθετο
καὶ μήτ' ἀνταρ̃αι τοῖς Ῥωμαίοις ἐτόλμησε μήτ' αὖ στε-
3 ρηθεὶς τῆς ἀρχῆς ζῆν ὑπέμεινε, φάρμακον πιὼν ἀπέ-
θανε, καὶ οἱ Κύπριοι τὸν Κάτωνα οὐκ ἀκουσίως ἅτε
καὶ φίλοι καὶ σύμμαχοι τῶν Ῥωμαίων ἀντὶ δούλων
ἔσεσθαι προσδοκήσαντες ἐσεδέξαντο· ὁ δὲ Κάτων ἐπὶ
4 μὲν τούτοις οὐδὲν εἶχε σεμνύνεσθαι, ὅτι δὲ δὴ τά τε
ἄλλα ἄριστα διῴκησε καὶ δούλους καὶ χρήματα πολλὰ
ἐκ τῶν βασιλικῶν ἀθροίσας οὐδὲν ᾐτιάθη, ἀλλὰ ἀν-
επικλήτως πάντα ἀπέδειξεν, ἀνδραγαθίας οὐδὲν ἧττον
ἢ ⟨εἰ⟩ πολέμῳ τινὶ ἐνενικήκει μετεποιεῖτο· ὑπὸ γὰρ
τοῦ πολλοὺς δωροδοκεῖν σπανιώτερον τὸ τῶν χρημά-
των καταφρονεῖν τινα τοῦ τῶν πολεμίων κρατεῖν
ἐνόμιζε.

23 τότε οὖν ὁ Κάτων ἐν δόξῃ τινὶ ἐπινικίων διὰ ταῦτ'
αἰσίων ἐγένετο, καὶ οἱ ὕπατοι γνώμην ἐν τῷ συνεδρίῳ
ἐποιήσαντο στρατηγίαν αὐτῷ δοθῆναι καίπερ μηδέπω
ἐκ τῶν νόμων προσήκουσαν. καὶ οὐκ ἀπεδείχθη μὲν
(αὐτὸς γὰρ ἀντεῖπε), τὴν δὲ δὴ εὔκλειαν καὶ ἐκ τού-
2 του μείζονα ἔσχε. Κλώδιος δὲ ἐπεχείρησε μὲν τοὺς
οἰκέτας τοὺς ἐκ τῆς Κύπρου ἀχθέντας Κλωδίους, ὅτι
αὐτὸς τὸν Κάτωνα ἐκεῖσε ἐπεπόμφει, ὀνομάσαι, οὐκ
ἠδυνήθη δὲ ἐναντιωθέντος αὐτοῦ. καὶ οἱ μὲν Κύπριοι
ἐπεκλήθησαν καίτοι τινῶν Πορκίους σφᾶς προσειπεῖν
ἐθελησάντων (ὁ γὰρ Κάτων καὶ τοῦτο ἐκώλυσεν)·
3 ὀργῇ δ' οὖν ὁ Κλώδιος τὴν ἐπαντίωσιν αὐτοῦ φέρων
τά τε διοικηθέντα ὑπ' αὐτοῦ διέβαλλε καὶ τοὺς λο-
γισμοὺς τῶν πεπραγμένων ἀπῄτει, οὐχ ὅτι καὶ διε-

3, 4 ἐσεδέξαντο] ἐδέξαντο Reiske ‖ 4, 5 ⟨εἰ⟩ addidit Leunclavius ‖ 8 ἐνόμιζε] fortasse ἐνομίζετο R



λέγξαι τι αὐτὸν ἀδικοῦντα ἠδύνατο, ἀλλ' ὅτι ὑπὸ
ναυαγίας τὰ γράμματα σχεδόν τι πάντα διέφθαρτο,
καὶ ἐδόκει κατὰ τοῦτό τι ἰσχύσειν. ἐβοήθει δὲ καὶ 4
τότε τῷ Κλωδίῳ ὁ Καῖσαρ καίτοι μὴ παρὼν καὶ τάς
γε κατηγορίας αὐτῷ τὰς κατὰ τοῦ Κάτωνος ἐπιστολι-
μαίους, ὥς γέ τινές φασιν, ἔπεμπεν. ἐπέφερον δὲ τῷ
Κάτωνι ἄλλα τε καὶ ὅτι τὴν στρατηγίαν οἱ αὐτὸς τοὺς
ὑπάτους πείσας, ὥς γε ἔλεγον, ἐσηγήσασθαι προσεποι-
ήσατο ἐθελοντής, ἵνα καὶ μὴ ἄκων ἀποτετυχηκέναι
αὐτῆς δόξῃ, παρεῖσθαι.

οὗτοί τε οὖν ἐμάχοντο, καὶ ὁ Πομπήιος ἔσχε μὲν 24
καὶ ἐν τῇ τοῦ σίτου διαδόσει τριβήν τινα· πολλῶν
γὰρ πρὸς τὰς ἀπ' αὐτοῦ ἐλπίδας ἐλευθερωθέντων
ἀπογραφὴν σφῶν, ὅπως ἔν τε κόσμῳ καὶ ἐν τάξει τινὶ
σιτοδοτηθῶσιν, ἠθέλησε ποιήσασθαι· οὐ μὴν ἀλλὰ 2
τοῦτο μὲν τῇ τε ἑαυτοῦ σοφίᾳ καὶ ἐκ τοῦ πλήθους
τοῦ σίτου ῥᾳδίον πως διῴκησε, τὴν δὲ δὴ ὑπατείαν
αἰτῶν πράγματα ἔσχε καὶ αἰτίαν ἀπ' αὐτῶν ἔλαβεν.
ἐλύπει μὲν γὰρ αὐτὸν καὶ τὰ ὑπὸ τοῦ Κλωδίου γιγνό- 3
μενα καὶ μάλισθ' ὅτι καὶ ὑπὸ τῶν ἄλλων ὑπερεωρᾶτο,
ὧν διέφερε, διά τε τὸ ἀξίωμα καὶ διὰ τὰς ἐλπίδας,
ἀφ' ὧν καὶ ἰδιωτεύων ὑπὲρ πάντας αὐτοὺς τιμηθήσε-
σθαι προσεδόκησεν ὑβριζόμενος. ἀλλὰ τούτων μὲν 4
ἔσθ' ὅτε καὶ κατεφρόνει· παραχρῆμα μὲν γὰρ κακῶς
ἀκούων ἐδυσχέραινε, διαλιπὼν δὲ καὶ ἐς ἀναλογισμὸν
τῆς τε ἑαυτοῦ ἀρετῆς καὶ τῆς τῶν ἐναντίων κακίας

23, 3, 5 ναυαγίας B, ναυαγίου Ma ‖ 4, 4 ἐπέφερον B, ἐπεφέροντο Ma, ἐπεφέρετο St ‖ 24, 2, 1 ἠθέλησε Leunclavius, ἐθελῆσαι Ma ‖ 3 ὑπατείαν αἰτῶν πράγματα Xylander, Turnebus, ὑπατείαν τῶν πραγμάτων Ma, τινὰ δὲ δὴ ὑποψίαν τῶν πραγμάτων Leunclavius, τὴν δὲ δὴ ἐπάχθειαν τ. πρ. Wesseling, ⟨διὰ⟩ τὴν δὲ δὴ ὑπατείαν ⟨πολὺ πλεῖον⟩ τ. πρ. N, ⟨πολλὴν⟩ δὲ δὴ ἀνίαν ⟨ἀπὸ τούτων⟩ τ. πρ. Reiske

25 ἀφικνούμενος οὐκέτ' αὐτῶν προετίμα· ὁ δὲ δὴ Καῖσαρ
αὐξανόμενος καὶ ὁ δῆμος τά τε κατειργασμένα αὐτῷ
θαυμάζων, ὥστε καὶ ⟨δέκα⟩ ἐκ τῆς βουλῆς ἄνδρας ὡς
καὶ ἐπὶ δεδουλωμένοις παντελῶς τοῖς Γαλάταις ἀπο-
στεῖλαι καὶ πρὸς τὰς ἀπ' αὐτοῦ ἐλπίδας ἐπαιρόμενος,
ὥστε καὶ χρήματά οἱ πολλὰ ψηφίσασθαι, δεινῶς αὐτὸν
2 ἠνία. ἐπεχείρησε μὲν γὰρ τοὺς ὑπάτους ἀναπεῖσαι
μήτε τὰς ἐπιστολὰς αὐτοῦ εὐθὺς ἀναγιγνώσκειν, ἀλλὰ
καὶ ἐπὶ πλεῖστον, μέχρις ἂν αὐτόματος ἡ δόξα τῶν
πραττομένων ἐκνικήσῃ, συγκρύπτειν καὶ διάδοχόν
τινα αὐτῷ καὶ πρὸ τοῦ καθήκοντος καιροῦ πέμψαι.
3 τοσαύτῃ γὰρ φιλοτιμίᾳ ἐχρῆτο, ὥσθ' ὅσα αὐτὸς τῷ
Καίσαρι συνέπραξε καὶ βασκαίνειν καὶ καταλύειν, καὶ
ἐκείνῳ τε ἄλλως τε μεγάλως ἐπαινουμένῳ καὶ τὰ ἑαυ-
τοῦ συσκιάζοντι ἄχθεσθαι καὶ τῷ δήμῳ ἐγκαλεῖν, ὅτι
αὐτόν τε ἐν ὀλιγωρίᾳ ἐποιεῖτο καὶ τὸν Καίσαρα ὑπερ-
4 εσπούδαζε. τά τε γὰρ ἄλλα καὶ ἠγανάκτει ὁρῶν αὐ-
τοὺς τῶν τε προποιηθέντων τινὶ ἐπὶ τοσοῦτον μνημο-
νεύοντας, ἐφ' ὅσον μηδὲν ἄλλο ἐπιγένοιτο, καὶ πρὸς
τὸ ἀεὶ καθιστάμενον, κἂν ἔλαττον τοῦ προτέρου ᾖ,
προχειρότατα τῷ τε τοῦ συνήθους κόρῳ καὶ τῇ τοῦ
ξένου ἡδονῇ φερομένους καὶ τὸ μὲν προευδοκιμοῦν
πᾶν καταλύοντας ὑπὸ τοῦ φθόνου, τὸ δ' ἄρτι προ-
26 φαινόμενον συνεπαύξοντας ὑπὸ τῶν ἐλπίδων. δι' οὖν
ταῦτα δυσχεραίνων καὶ μήτε τι διὰ τῶν ὑπάτων δια-
πράξασθαι δυνηθεὶς καὶ τὸν Καίσαρα μείζω τῆς πρὸς

25, 1, 3 καὶ ⟨δέκα⟩ Cobet, Mnemos. VI, p. 447: scriptum erat καὶ ῑ ‖ 3, 2 ⟨καὶ⟩ αὐτὸς Reiske, qui καὶ ante βασκαίνειν delet ‖ 3 ἐκείνῳ τε Pflugk, ἐκείνῳ γε Ma ‖ ἐπαινουμένῳ Reiske, Herwerden, ταινιουμένῳ Ma, τιμωμένῳ Leunclavius ‖ 5 ὑπερεσπούδαζε R, ὑπεσπούδαζε Ma ‖ 4, 2 προποιηθέντων Reiske, προσποιηθέντων Ma ‖ τινὶ B, τινα Ma



ἑαυτὸν πίστεως γιγνόμενον ὁρῶν οὐκ ἐν ἐλαφρῷ τὸ
πρᾶγμα ἐποιήσατο. καὶ γὰρ ἐνόμιζε δύο τε εἶναι τὰ
τὰς φιλίας τινῶν συγχέοντα, τό τε δέος καὶ τὸν φθό-
νον, καὶ ταῦτ' ἀπ' ἀντιπάλου καὶ τῆς δόξης καὶ τῆς
ἰσχύος μόνως συμβαίνειν· ἕως μὲν γὰρ ἂν ἰσομοιρῶσί 2
τινες αὐτῶν, καὶ ἐκείνας ἐρρῶσθαι, ἐπειδὰν δ' ὑπερ-
άρωσί τι οἱ ἕτεροι, ἐνταῦθα τό τε ἐλαττούμενον φθο-
νῆσαν μισεῖν τὸν κρείττονα καὶ τὸ κρατοῦν καταφρο-
νῆσαν ἐξυβρίζειν ἐς τὸν χείρονα καὶ οὕτως ἀπ' ἀμφο-
τέρων τὸν μὲν τῇ ἐλαττώσει ἀγανακτοῦντα, τὸν δὲ τῇ
πλεονεξίᾳ ἐπαιρόμενον πρός τε διαφορὰς καὶ πρὸς
πολέμους ἐκ τῆς πρὶν φιλίας ἀφικνεῖσθαι. τοιούτοις 3
οὖν δή τισι λογισμοῖς ὁ Πομπήιος ἐπὶ τὸν Καίσαρα
ὡπλίζετο. καὶ (ἐδόκει γὰρ οὐκ ἂν ῥᾳδίως μόνος αὐτὸν
καταλῦσαι) τὸν Κράσσον ὡς καὶ μετ' αὐτοῦ ποιήσων
ἔτι καὶ μᾶλλον ἀνηρτήσατο.

συμφρονήσαντες οὖν ἄλλως μὲν οὐδὲν ἰδιωτεύοντες 27
πράξειν ἤλπισαν, ἂν δ' ὑπατεύσωσι κἀκ τούτου καὶ
αὐτοὶ τὰ πράγματα τῇ ἐκείνου ζηλώσει διαλάβωσι, καὶ
ἀντίρροποί οἱ ἔσεσθαι καὶ ταχὺ αὐτοῦ ἅτε καὶ δύο
ἑνὸς περιγενήσεσθαι προσεδόκησαν. καὶ οὕτω πᾶσαν 2
τὴν προσποίησιν, ἀφ' ἧς, εἴ καί τις τῶν ἑταίρων σφῶν
ἐπὶ τὴν ἀρχὴν αὐτοὺς προῆγεν, ἀπηρνοῦντο μηκέτι
βούλεσθαι ὑπατεῦσαι, ἀποθέμενοι ἄντικρυς αὐτῆς καί-
περ ἑτέροις τισὶ πρότερον συναγωνιζόμενοι μετεποιή-
σαντο. ἐπειδή τε ἔξω τῶν χρόνων τῶν ἐν τοῖς νόμοις 3

26, 1, 6 συγχέοντα vulgo, συνέχοντα Ma ‖ 7 ἀπ'] ἐπ' Reiske ‖ 2, 1 μόνως ⟨μὴ⟩ ? B ‖ 2 ἐκείνας R, ἐκεῖνα Ma ‖ 4 et 5 μισεῖν, ἐξυβρίζειν R, μισεῖ, ἐξυβρίζει Ma ‖ 3, 4 ποιήσων] εὐπορήσων ? B ‖ 27, 2, 2 ἀφ' ἧς εἰ Reiske, σφισι Ma ‖ 4 αὐτῆς] αὐτὴν N ‖ 5 συναγωνιζόμενοι] συναγωνισάμενοι N, συνηγωνισμένοι Reiske ‖ 3, 1 ἔξω τε Reiske

*διειρημένων ἐπήγγειλαν αὐτήν, καὶ δῆλοι ἦσαν ἄλλοι
τε καὶ αὐτοὶ οἱ ὕπατοι (καὶ γάρ τι καὶ ῥώμης ὁ Μαρ-
κελλῖνος εἶχεν) οὐκ ἐπιτρέψοντές σφισιν ἀποδειχθῆναι,
διεπράσσοντο τὰς ἀρχαιρεσίας ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ
μὴ γενέσθαι ἄλλους τε καὶ τὸν Κάτωνα τὸν Γάιον
ἐνιέντες, ἵνα μεσοβασιλέως αἱρεθέντος καὶ αἰτήσωσι
28 κατὰ τοὺς νόμους τὴν ἀρχὴν καὶ λάβωσι. καὶ (ἐγί-
γνετο γὰρ τοῦτο λόγῳ μὲν ὑπὸ τῶν παρεσκευασμένων
ἄλλοτε κατ' ἄλλην πρόφασιν, ἔργῳ δὲ ὑπ' αὐτῶν ἐκεί-
νων· τοῖς γοῦν ἐναντιουμένοις σφίσι φανερῶς ἤχθοντο)
δεινῶς ἡ γερουσία ἠγανάκτησεν, ὥστε ποτὲ μεταξὺ
2 μαχομένων αὐτῶν ἐξαναστῆναι. καὶ τότε μὲν οὕτω
διελύθησαν, αὖθις δ' ἐπειδὴ τὰ αὐτὰ ἐγίγνετο, τὰς
στολὰς καθάπερ ἐν συμφορᾷ τινι μετεκδῦναι ἐψηφί-
σαντο, καίτοι τοῦ Κάτωνος ἔκ τε τοῦ συνεδρίου, ἐπει-
δήπερ ἀντιλέγων οὐδὲν ἤνυσεν, ἐκπηδήσαντος . . . .,
3 ὅπως μηδὲν τελεσθείη· εἰ γάρ τις τῶν μὴ βουλευόν-
των ἔνδον ἦν, οὐδεμία ψῆφος αὐτοῖς ἐδίδοτο. ἐκεί-
νους τε γὰρ προαπαντήσαντες ἕτεροι δήμαρχοι ἐκώλυ-
σαν ἐσελθεῖν, καὶ οὕτω τοῦτό τε τὸ δόγμα ἐκυρώθη,
καὶ ἐχρηματίζετο, ὅπως καὶ ἐς τὴν πανήγυριν τὴν
4 τότε οὖσαν οἱ βουλευταὶ ⟨μὴ⟩ θεωρήσωσιν. ἐπεὶ δὲ
καὶ πρὸς ἐκεῖνο ὁ Κάτων ἀνθίστατο, ἐξεπήδησαν
ἀθρόοι καὶ τὰ ἐσθήματα ἀλλαξάμενοι ἐπανῆλθον ὡς*

3, 2 *διειρημένων* Reiske, *διηρημένων* Ma ‖ 7 *ἐνιέντες* R. Stephanus, *ἐνιόντες* Ma ‖ 28, 1, 2 *τοῦτο λόγῳ μὲν* Reiske, *λόγῳ τοῦτο μὲν* Ma ‖ *ὑπὸ τῶν* N, *ὑπάτων* Ma, *ὑπό τινων* Tafel ‖ 3 *ἐκείνων* R, *ἐκείνοις* Ma ‖ 2, 5 *ἐκπηδήσαντος . . . .*] lacunam statuit B, qui suppl. ⟨*καὶ τοὺς τυχόντας ἀπὸ τῆς ἀγορᾶς ἐσκαλέσαντος*⟩?; *ἐκπηδήσοντος* et infra *ἐκεῖνον μὲν — ἐξελθεῖν* N ‖ 3, 1 *τῶν μὴ βουλευόντων*] *τῶν βουλευόντων μὴ* Leunclavius ‖ 3 *γὰρ* delendum censet Reiske ‖ *ἕτεροι*] *ἕτεροί* ⟨*τε καὶ οἱ*⟩ proponit Gros ‖ 4, 1 *μὴ* inseruit Reiske



*καὶ διὰ τούτου αὐτὸν καταπλήξοντες. καὶ ἐπειδὴ μηδ'
ὣς ἐμετρίαζε, προῆλθον ἐς τὴν ἀγορὰν ἅμα πάντες
καὶ συνδραμόντος ἐπὶ τούτῳ τοῦ πλήθους ἐς πᾶν
κατηφείας αὐτοὺς κατέστησαν, δημηγορῶν μὲν ὁ Μαρ-
κελλῖνος καὶ τὰ παρόντα σφίσιν ὀδυρόμενος, ἐπιδα-
κρύοντες δὲ οἱ ἄλλοι καὶ ἐπιστένοντες, ὥστε μηδένα
μηδὲν ἀντιφθέγξασθαι. καὶ οἱ μὲν τοῦτο πράξαντες
ἐς τὸ βουλευτήριον εὐθὺς ἐσῆλθον γνώμην ἔχοντες ἐς
τοὺς ὑπαιτίους τὴν ὀργὴν ἀφεῖναι· Κλώδιος δὲ ἐν 29
τούτῳ μεταπηδήσας αὖθις πρὸς τὸν Πομπήιον καὶ τὰ
ἐκείνου πάλιν ἀνθελόμενος ἐλπίδι τοῦ, εἴ τί οἱ τῶν
τότε πραττομένων συγκατεργάσαιτο, πάνυ αὐτὸν ἰδιώ-
σεσθαι, παρῆλθέ τε ἐς τὸν ὅμιλον ἐν τῇ καθηκούσῃ
στολῇ μηδὲν αὐτῆς πρὸς τὸ δόγμα μεταλλάξας καὶ
κατά τε τοῦ Μαρκελλίνου καὶ κατὰ τῶν ἄλλων ἐδημη-
γόρει. πολλῆς οὖν καὶ ἐπὶ τούτῳ ἀγανακτήσεως ὑπὸ 2
τῶν βουλευτῶν γενομένης τὸ μὲν πλῆθος μεταξὺ λέ-
γων ἐγκατέλιπε, πρὸς δὲ δὴ τὸ συνέδριον ᾄξας ὀλίγου
διεφθάρη· τῆς γὰρ γερουσίας ἀπαντησάσης αὐτῷ ἔσω
τε ἐσελθεῖν ἐκωλύθη κἂν τούτῳ ὑπὸ ⟨τῶν⟩ ἱππέων 3
περιστοιχισθεὶς διεσπάσθη ἄν, εἰ μὴ ἀνακραγόντος
αὐτοῦ καὶ τὸν ὅμιλον ἐπιβοησαμένου προσέδραμον
πολλοὶ πῦρ φέροντες ὡς καὶ μετὰ τοῦ βουλευτηρίου
σφᾶς καταπρήσοντες, εἴ τι αὐτὸν ἐξεργάσαιντο.*

*καὶ ὁ μὲν παρὰ τοσοῦτον ἐλθὼν ἀπολέσθαι οὕτως
ἐσώθη· Πομπήιος δὲ οὐδὲν τούτοις ἐκπλαγεὶς ἔς τε τὸ 30
συνέδριόν ποτε ἐσεπήδησεν ὑπεναντιούμενος αὐτῷ
ψηφιεῖσθαι μέλλοντι καὶ ἐκεῖνό τε κυρωθῆναι ἐκώλυσε*

4, 4 *διὰ τούτου* (vel *τούτων*) Reiske, *διὰ τοῦτ'* Ma ‖ 29, 2, 3 *ᾄξας* Wesseling, *ἄρξας* Ma ‖ 3, 1 ⟨*τῶν*⟩ inseruit Reiske ‖ 30, 1, 2 ⟨*μόγις*⟩ *ποτὲ* Reiske ‖ 3 ⟨*ἤδη*⟩ *ψηφιεῖσθαι* Reiske ‖ *μέλλοντι*

καὶ τοῦ Μαρκελλίνου μετὰ τοῦτο πυθομένου δημοσίᾳ
αὐτοῦ, εἰ ὄντως ἐπιθυμεῖ ὑπατεῦσαι, ἐλπίδι τοῦ κατο-
κνήσειν αὐτὸν σπουδαρχεῖν ὁμολογῆσαι, τῶν μὲν δι-
καίων ἀνδρῶν ἕνεκα οὐδὲν τῆς ἀρχῆς δεῖσθαι ἔφη,
διὰ δὲ δὴ τοὺς ταραχώδεις καὶ σφόδρα αὐτῆς ἀντι-
2 ποιεῖσθαι. ὡς οὖν τούτῳ φανερῶς ἐνέκειτο, καὶ ὁ
Κράσσος ἐρωτηθεὶς καὶ αὐτὸς τὰ αὐτὰ οὐχ ὡμολόγησε
μέν, οὐ μὴν οὐδ' ἀπηρνήσατο, ἀλλ' ὥσπερ εἰώθει διὰ
μέσου ἐχώρησεν εἰπών, ὅτι πάνθ' ὅσα τῷ κοινῷ συμ-
φέροι πράξοι, κατέδεισαν ὅ τε Μαρκελλῖνος καὶ ἄλλοι
πολλοὶ τήν τε παρασκευὴν αὐτῶν καὶ τὴν ἀντίταξιν
3 καὶ οὐδὲ ἀπήντων ἔτι ἐς τὸ βουλευτήριον. μὴ συλ-
λεγομένου δὲ τοῦ καθήκοντος ἐκ τῶν νομίμων ἀριθ-
μοῦ πρὸς τὸ ψηφισθῆναί τι περὶ τῶν ἀρχαιρεσιῶν,
οὐδὲ χρηματισθῆναί τι ἀρχὴν περὶ αὐτῶν ἠδυνήθη,
4 ἀλλ' ὁ ἐνιαυτὸς αὕτω διέβη. οὐ μέντοι οὔτε τὴν
ἐσθῆτα μετημπίσχοντο οὔτε ἐς τὰς πανηγύρεις ἐφοί-
των, οὐκ ἐν τῷ Καπιτωλίῳ τῇ τοῦ Διὸς ἑορτῇ εἱστιά-
θησαν, οὐκ ἐπὶ τὰς ἀνοχὰς τὰς Λατίνας, δεύτερον
τότε ὑπό τινος οὐκ ὀρθῶς πραχθέντος ποιουμένας, ἐς
τὸ Ἀλβανὸν ἀφίκοντο, ἀλλ' ὥσπερ δεδουλωμένοι καὶ
μήτ' ἀρχὰς ἑλέσθαι μήτ' ἄλλο τι πολιτικὸν πρᾶξαι ἐξ-
31 ουσίαν ἔχοντες τὸ λοιπὸν τοῦ ἔτους διήγαγον. καὶ
a. u. 699 (55) μετὰ τοῦτο ὅ τε Πομπήιος καὶ ὁ Κράσσος ὕπατοι ἐκ
μεσοβασιλείας ἀπεδείχθησαν οὔτ' ἄλλου τινὸς τῶν
προεπηγγελκότων ἀπαντήσαντος καὶ Λουκίου Δομιτίου,
ὃς μέχρι τῆς τελευταίας ἡμέρας ἐσπουδάρχησεν, ὁρμή-
σαντος μὲν πρὸς τὴν ἐκκλησίαν οἴκοθεν ὑπὸ νύκτα,

vulgo, μέλλοντος Ma ‖ 2, 1 φανερὸς ἐξέκειτο Reiske ‖ 4, 1 ἀλλ' ὁ ἐνιαυτὸς N, nisi quod ὁ inseruit Reiske, ἀλλὰ θέσει αὐτὸς Ma ‖ 5 ποιουμένας] ποιούμενα Ma ‖ 7 πρᾶξαι B, πράξασθαι Ma



ἐπεὶ δ' ὁ παῖς ὁ τὸν λύχνον οἱ προφέρων ἐσφάγη,
δείσαντος καὶ μηκέτι περαιτέρω προχωρήσαντος. οὔτ' 2
οὖν ἀντιστάντος τινὸς τὴν ἀρχὴν καὶ προσέτι τοῦ
Πουπλίου ⟨τοῦ⟩ Κράσσου, ὃς υἱός τε τοῦ Μάρκου ἦν
καὶ τότε τῷ Καίσαρι ὑπεστρατήγει, στρατιώτας ἐπ'
αὐτὸ τοῦτο ἐς τὴν Ῥώμην ἀγαγόντος οὐ χαλεπῶς
ᾑρέθησαν.

παραλαβόντες ⟨δ'⟩ οὕτω τὴν ἡγεμονίαν τὰς λοιπὰς 32
ἀρχὰς τοῖς ἐπιτηδείως σφίσιν ἔχουσι δοθῆναι ἐποίησαν
τὸν Κάτωνα τὸν Μᾶρκον κωλύσαντες στρατηγὸν ἀπο-
δειχθῆναι· ὑπώπτευόν τε γὰρ αὐτὸν οὐκ ἀνέξεσθαι τὰ
γιγνόμενα καὶ οὐκ ἠθέλησαν ἰσχὺν αὐτῷ ἔννομον
πρὸς τὰς ἀντιλογίας προσθεῖναι. καὶ ἡ μὲν τῶν στρα- 2
τηγῶν κατάστασις (ὁ γὰρ Κάτων οὐδὲν βίαιον πρᾶξαι
ἠξίωσεν) εἰρηναία ἐγένετο, περὶ δὲ τοὺς ἀγορανόμους
τοὺς κουρουλίους σφαγαὶ συνέβησαν, ὥστε καὶ τὸν
Πομπήιον πολλοῦ αἵματος ἀναπλησθῆναι. οὐ μὴν ἀλλ' 3
ἐκείνους μὲν τούς τε ἄλλους τοὺς ὑπὸ τοῦ δήμου
αἱρουμένους πρὸς τρόπου σφίσιν (αὐτοὶ γὰρ τὰς ἀρ-
χαιρεσίας ἐποίουν) ἀπέδειξαν, τούς τε ἀγορανόμους
τοὺς ἑτέρους καὶ τῶν δημάρχων τοὺς πλείους προσ-
ηταιρίσαντο· δύο δὲ δήμαρχοι, Γάιός τε Ἀτήιος Κα-
πίτων καὶ Πούπλιος Ἀκύλιος Γάλλος, οὐχ ὡμολόγη-
σαν αὐτοῖς.

ὡς οὖν αἱ ἀρχαὶ κατέστησαν, εἴχοντο ὧν ἐφίεντο. 33
καὶ αὐτοὶ μὲν οὐδένα οὔτε ἐν τῇ βουλῇ οὔτε ἐν τῷ
δήμῳ λόγον ὑπὲρ αὐτῶν ἐποιήσαντο, ἀλλὰ καὶ πάνυ

32, 1, 1 ⟨δ'⟩ inseruit Reiske ‖ 2 ἐπιτηδείοις Ma ‖ 2, 3 ⟨τοῦ⟩ inseruit B ‖ 3, 2 ἐκείνους μὲν] ἐκεῖνοι μὲν Leunclavius ‖ 3 πρὸς τρόπου Wesseling, προστρόπους Ma ‖ 5 δήμαρχοι Xylander, Turnebus, δημοσίᾳ Ma ‖ 6 Ἀτήιος Leunclavius, Ἄτιος Ma

2 ἐπλάττοντο μηδενὸς σφεῖς προσδεῖσθαι· Γάιος δὲ δὴ
Τρεβώνιος δημαρχῶν ἔγραψε τῷ μὲν τήν τε Συρίαν
καὶ τὰ πλησιόχωρα αὐτῆς, τῷ δὲ τὰς Ἰβηρίας (καὶ
γάρ τι καὶ ἔναγχος ἐκεκίνηντο) ἄρχειν ἐπὶ πέντε ἔτη
δοθῆναι, στρατιώταις τε ὅσοις ἂν ἐθελήσωσι καὶ τῶν
πολιτῶν καὶ τῶν συμμάχων χρωμένοις καὶ πόλεμον
3 καὶ εἰρήνην πρὸς οὓς ἂν βουληθῶσι ποιουμένοις. χα-
λεπῶς οὖν ἐπὶ τούτῳ πολλῶν καὶ μάλιστα τῶν τοῦ
Καίσαρος φίλων ἐχόντων, ὅτι ἔμελλον ἐκεῖνοι τυχόντες
ὧν διωκοῦντο τὸν Καίσαρα μηκέτ' ἐπὶ πολὺ τὴν
ἀρχὴν ἕξοντα κατείρξειν, καὶ παρασκευαζομένων διὰ
τοῦτο ἀντειπεῖν τινων τοῖς γεγραμμένοις, φοβηθέντες
οἱ ὕπατοι, μὴ διαμάρτωσιν ὧν ἔπραττον, προσεποιή-
σαντο αὐτοὺς ὥστε τὴν ἡγεμονίαν καὶ ἐκείνῳ τρία ἔτη
4 πλείω, ὥς γε τἀληθὲς εὑρίσκεται, μηκῦναι. οὐ μέντοι
καὶ ἐς τὸν δῆμόν τι ὑπὲρ αὐτοῦ πρότερον ἐσήνεγκαν
πρὶν τὰ σφέτερα βεβαιώσασθαι. οἵ τε γὰρ τοῦ Καί-
σαρος ἐπιτήδειοι προκαταληφθέντες οὕτως ἡσύχασαν,
καὶ τῶν ἄλλων τὸ μὲν πολὺ δουλωθὲν ὑπὸ τοῦ φόβου
34 ἡσυχίαν ἦγαγον ἀγαπῶντες, εἰ καὶ ὣς περισωθεῖεν, ὁ
δὲ δὴ Κάτων καὶ ὁ Φαουώνιος ἠναντιοῦντο μὲν πᾶσι
τοῖς πρασσομένοις ὑπ' αὐτῶν συνεργοὺς ἄλλους τέ
τινας καὶ τοὺς δύο δημάρχους ἔχοντες, ἅτε δὲ ὀλίγοι
2 πρὸς πολλοὺς ἀγωνιζόμενοι μάτην ἐπαρρησιάζοντο. καὶ
ὁ μὲν Φαουώνιος μίαν ὥραν μόνην παρὰ τοῦ Τρεβω-
νίου πρὸς τὴν ἀντιλογίαν λαβὼν κατέτριψεν αὐτὴν
ὑπὲρ αὐτῆς τῆς τοῦ καιροῦ στενοχωρίας εἰκῇ βοῶν·

**33**, 2, 1 σφεῖς Herwerden, σφῶν Ma ‖ 3 Ἰβηρίας] Ἴβηρας Ma ‖ 4 ⟨ἐκεῖ⟩ ἔναγχος Reiske ‖ ἐκεκίνηντο B, ἐκεκίνητο Ma ‖ 3, 8 τρία ἔτη] *quinquennium* Suet. Caes. 24, ἄλλην πενταετίαν Plut. Caes. 21 et Pomp. 51. 52; Appian. b. civ. 2, 17



ὁ δὲ δὴ Κάτων ἔτυχε μὲν ἐν δύο ὥραις δημηγορῆσαι, 3
τραπόμενος δὲ πρὸς κατηγορίαν τῶν τε ἐν χερσὶ καὶ
τῆς ὅλης καταστάσεως, ὥσπερ εἰώθει, κατανάλωσε τὸν
καιρόν, πρὶν καὶ ὁτιοῦν τῶν νεοχμουμένων ⟨εἰπεῖν⟩,
οὐχ ὅτι οὐκ ἐνεδέχετό τι καὶ περὶ ἐκείνων λεχθῆναι,
ἀλλ' ἵν' ἔτι τι δημηγορῆσαι δοκῶν ἔχειν ὑπό τε τοῦ
Τρεβωνίου σιγασθῇ καὶ αὐτῷ καὶ τοῦτ' αὐτὸ ἐγκαλῇ,
ἐπεὶ εὖ γε ἠπίστατο, ὅτι οὐδ' εἰ πάσῃ τῇ ἡμέρᾳ ἐκέ-
χρητο, πεῖσαί τι ὧν ἐβούλετο ψηφίσασθαι σφᾶς ἠδύ-
νατο. οὐκοῦν οὔτε παραχρῆμα σιωπῆσαι κελευσθεὶς 4
ἐπαύσατο, ἀλλὰ καὶ ἐξωσθεὶς καὶ ἑλκυσθεὶς ἐκ τοῦ
συλλόγου ἐπανῆλθε καὶ τὸ τελευταῖον καὶ ἐς τὸ οἴκημα
ἐσαχθῆναι προσταχθεὶς οὐκ ἐμετρίασε.

καὶ ἐκείνη μὲν ἡ ἡμέρα οὕτω κατετρίβη, ὥστε μηδ' 35
εἰπεῖν ἀρχὴν μηδὲν τοὺς δημάρχους δυνηθῆναι· ἐν γάρ
τοι ταῖς συνόδοις [καὶ] ταῖς τοῦ δήμου, ἐν αἷς γε καὶ
ἐβουλεύοντο, πάσαις τοῖς ἰδιώταις πρὸ τῶν τὰς ἀρχὰς
ἐχόντων ὁ λόγος ἐδίδοτο τοῦ μηδένα αὐτῶν, ὡς ἔοικε, 2
τῇ τοῦ κρείττονος γνώμῃ προκαταλαμβανόμενον ὑπο-
στέλλεσθαί τι ὧν φρονοίη, ἀλλ' ἐπὶ πάσης παρρησίας
τὰ δοκοῦντα αὐτῷ λέγειν. φοβηθεὶς οὖν ὁ Γάλλος, 3
μή τις αὐτὸν ἐκ τῆς ἀγορᾶς τῇ ὑστεραίᾳ ἐξείρξῃ ἢ καὶ
δεινότερόν τι ἐργάσηται, ἔς τε τὸ συνέδριον ἀφ' ἑσπέ-
ρας ἐσῆλθε καὶ ἐν αὐτῷ ἐνυκτέρευσε τῆς τε ἀσφαλείας

**34**, 3, 4 τῶν νεοχμουμένων (sive νεοχμῶν sive νομοθετουμένων) ⟨λέγειν⟩ Wagner, τῶν ἐωνουμένων Ma, τῶν εἰκότων ⟨λέγειν⟩ Leunclavius, τῶν νενοημένων ⟨εἰπεῖν⟩ R, τῶν προκειμένων (sive ζητουμένων sive σπουδαζομένων) ⟨εἰπεῖν⟩ Reiske, τῶν Τρεβωνίου νόμων (vel τῶν καινοτομουμένων) ⟨μεμνῆσθαι⟩ Pflugk, τῶν προσκειμένων ⟨εἰπεῖν⟩ H. I. Heller, τῶν ἐπειγόντων ⟨εἰπεῖν⟩ B, quem secuti sunt Gros, D ‖ 4, 1 οὔτε B, οὐδὲ Ma ‖ σιωπῆσαι R, σιωπήσειν Ma ‖ **35**, 1, 3 [καὶ] del. Xylander ‖ 4 [πρὸς] del. Xylander ‖ 3, 4 ἐσῆλθε B, ἐπῆλθε Ma

ἕνεκα τῆς παρὰ τοῦ χωρίου καὶ ὅπως ἐκεῖθεν ἅμα ἕῳ
4 πρὸς τὸ πλῆθος ἐξέλθῃ. καὶ τοῦτον μὲν ὁ Τρεβώνιος
μάτην ἐνταῦθα καὶ τὴν νύκτα καὶ τῆς ἡμέρας τὸ
πλεῖον ἐνδιατρῖψαι ἐποίησε πάσας τὰς θύρας τοῦ βου-
λευτηρίου κλείσας· τὸν τε Ἀτήιον τόν τε Κάτωνα καὶ
τὸν Φαουώνιον καὶ τοὺς ἄλλους τοὺς μετ᾽ αὐτῶν ὄν-
τας ἕτεροι προκαταλαβόντες τῆς νυκτὸς τὸ τοῦ συλ-
5 λόγου χωρίον ἐξεῖργον. καὶ ἐπειδὴ ὁ μὲν Φαουώνιος
καὶ ὁ Νίννιος διαλαθόντες πως ἔνδον ἐγένοντο, ὁ δὲ
δὴ Κάτων καὶ ὁ Ἀτήιος ἐπαναβάντες τισὶ τῶν περι-
εστηκότων καὶ μετεωρισθέντες ὑπ᾽ αὐτῶν διοσημίαν
ὡς καὶ διαλύσοντες σφᾶς ἐπεφήμιζον, τούτους μὲν ἑκα-
τέρους οἱ ὑπηρέται τῶν δημάρχων ἐξήλασαν, τοὺς δ᾽
ἄλλους τοὺς σὺν αὐτοῖς ὄντας κατετραυμάτισαν καί
36 τινας καὶ ἀπέκτειναν. κυρωθέντος δὲ οὕτω τοῦ νό-
μου καὶ τοῦ πλήθους ἀπαλλαττομένου ἤδη ἐκ τοῦ
συλλόγου παραλαβὼν ὁ Ἀτήιος τὸν Γάλλον αἵματος
ἀνάπλεων (ἐκβιαζόμενος γὰρ ἐκ τοῦ συνεδρίου ἐπλήγη)
παρήγαγέ τε ἐς τοὺς ἔτι παρόντας καὶ ἐπιδείξας αὐτὸν
καὶ ἐπειπών, ὅσα εἰκὸς ἦν, δεινῶς σφᾶς ἐξετάραξεν.
2 αἰσθόμενοι οὖν τοῦθ᾽ οἱ ὕπατοι ἦλθόν τε διὰ ταχέων
(ἐγγύθεν γάρ ποθεν τοῖς πραττομένοις ἐφήδρευον)
καὶ καταφοβήσαντες αὐτοὺς ἅτε καὶ χεῖρα οὐκ ὀλίγην
ἔχοντες εὐθύς τε ἐκκλησίαν συνήγαγον καὶ τὰ κατὰ
τὸν Καίσαρα ἐπεψήφισαν ἀντειπεῖν μὲν καὶ πρὸς ἐκεῖνα
τῶν αὐτῶν πειραθέντων, οὐ μέντοι καὶ δυνηθέντων
τι πρᾶξαι.
37 ταῦτά τε οὖν κυρωθῆναι ἐποίησαν καὶ μετὰ τοῦτο
πικρότερα ἐπιτίμια τοῖς δεκάζουσί τινας ἐπέταξαν ὥσ-

3, 5 ἅμα ⟨τῇ⟩ ἕῳ St ‖ 5, 5 ἐπεφήμιζον Reiske (cf. Dio 39, 39, 5), ἐψηφίζοντο Ma



περ τι αὐτοὶ ἔλαττον, ὅτι οὐ χρήμασιν, ἀλλὰ βίᾳ τὴν
ἀρχὴν εἰλήφεσαν, ἁμαρτόντες. ἐπεχείρησαν μὲν γὰρ 2
καὶ τὰ ἀναλώματα ⟨τὰ κατὰ⟩ τὴν δίαιταν ἐπὶ μακρό-
τατον προηγμένα συστεῖλαι καίπερ ἐς πᾶν αὐτοὶ καὶ
τρυφῆς καὶ ἁβρότητος προκεχωρηκότες, ἐκωλύθησαν
δὲ ὑπ᾽ αὐτοῦ τούτου [τοῦ] διανομοθετῆσαι. ὁ γὰρ 3
Ὁρτήσιος φιλαναλωτὴς ἐν τοῖς μάλιστα ὢν ἔπεισεν
αὐτοὺς τό τε μέγεθος τῆς πόλεως ἐπεξιὼν καὶ ἐπί τε
τῇ οἴκοι πολυτελείᾳ καὶ ἐπὶ τῇ ἐς τοὺς ἄλλους μεγα-
λοφροσύνῃ ἐπαινῶν καταβαλεῖν τὴν γνώμην ἅτε καὶ
συναγωνιστῇ τῶν λόγων τῷ βίῳ σφῶν χρώμενος. τήν 4
τε γὰρ ἐναντίωσιν αἰδεσθέντες καὶ προσέτι καὶ κατο-
κνήσαντες φθόνῳ τινὶ τοὺς ἄλλους, ὧν αὐτοὶ ἐποίουν,
δοκεῖν ἀπείργειν, ἑκόντες ἀφῆκαν τὴν ἐσήγησιν.
κἀν ταῖς αὐταῖς ἡμέραις ὁ Πομπήιος τὸ θέατρον, 38
ᾧ καὶ νῦν λαμπρυνόμεθα, καθιέρωσε καὶ ἔν τε ἐκείνῳ
θέαν καὶ μουσικῆς καὶ ἀγῶνος γυμνικοῦ κἀν τῷ ἱπ-
ποδρόμῳ καὶ ἵππων ἅμιλλαν καὶ θηρίων πολλῶν καὶ
παντοδαπῶν σφαγὰς ἐποίησε. λέοντές τε γὰρ πεντα- 2
κόσιοι ἐν πέντε ἡμέραις ἀναλώθησαν, καὶ ἐλέφαντες
ὀκτωκαίδεκα πρὸς ὁπλίτας ἐμαχέσαντο. καὶ αὐτῶν οἱ
μὲν παραχρῆμα ἀπέθανον, οἱ δὲ οὐ πολλῷ ὕστερον·
ἠλεήθησαν γάρ τινες ὑπὸ τοῦ δήμου παρὰ τὴν τοῦ
Πομπηίου γνώμην, ἐπειδὴ τραυματισθέντες τῆς μάχης
ἐπαύσαντο καὶ περιιόντες τάς τε προβοσκίδας ἐς τὸν 3
οὐρανὸν ἀνέτεινον καὶ ὠλοφύροντο οὕτως, ὥστε καὶ
λόγον παρασχεῖν, ὅτι οὐκ ἄλλως ἐκ συντυχίας αὐτὸ

37, 2, 2 ⟨τὰ κατὰ⟩ inseruit Reiske, ⟨κατὰ⟩ Leunclavius ‖ 2, 3 προηγμένα Leunclavius, προσηγμένα Ma ‖ 3, 1 [τοῦ] del. Reiske ‖ 2 φιλαναλωτὴς Pflugk, φιλανάλωτος Ma ‖ 3 καὶ ⟨αὐτοὺς⟩ Leunclavius ‖ 3, 5 καταλαβεῖν Ma ‖ 4, 3 ἐποίουν B, ἐποιοῦντο Ma

ἐποίησαν, ἀλλὰ τούς τε ὅρκους, οἷς πιστεύσαντες ἐκ
τῆς Λιβύης ἐπεπεραίωντο, ἐπιβοώμενοι καὶ τὸ δαιμό-
4 νιον πρὸς τιμωρίαν σφῶν ἐπικαλούμενοι. λέγεται γάρ,
ὅτι οὐ πρότερον τῶν νεῶν ἐπέβησαν, πρὶν πίστιν παρὰ
τῶν ἀγόντων σφᾶς ἔνορκον λαβεῖν, ἦ μὴν μηδὲν κα-
κὸν πείσεσθαι, καὶ τοῦτο μὲν εἴτ' ὄντως οὕτως εἴτε
5 καὶ ἄλλως πως ἔχει, οὐκ οἶδα· ἤδη γάρ τινες καὶ
ἐκεῖνο εἶπον, ὅτι πρὸς τῷ τῆς φωνῆς τῆς πατριώτιδος
αὐτοὺς ἐπαΐειν καὶ τῶν ἐν τῷ οὐρανῷ γιγνομένων
συνιᾶσιν, ὥστε καὶ ἐν ταῖς νουμηνίαις, πρὶν ἐς ὄψιν
τοῖς ἀνθρώποις τὴν σελήνην ἐλθεῖν, πρός τε ὕδωρ
ἀείνων ἀφικνεῖσθαι κἀνταῦθα καθαρμόν τινα σφῶν
6 ποιεῖσθαι. ἤκουσα μὲν δὴ ταῦτα, ἤκουσα δὲ καὶ
ἐκεῖνο, ὅτι τὸ θέατρον τοῦτο οὐχ ὁ Πομπήιος ἐποίη-
σεν, ἀλλὰ [καὶ] Δημήτριός τις ἀπελεύθερος αὐτοῦ ἐκ
τῶν χρημάτων, ὧν συστρατευόμενός οἱ ἐπεπόριστο.
ὅθενπερ καὶ τὴν ἐπωνυμίαν τοῦ ἔργου δικαιότατα αὐτῷ
ἀνέθηκεν, ἵνα μὴ κακῶς ἀκούῃ, ὅτι ἐξελεύθερος αὐ-
τοῦ ἠργυρολόγησεν, ὥστε καὶ ἐς τηλικοῦτον ἀνάλωμα
ἐξικέσθαι.

39 οὐ μὴν ἀλλ' ἐν μὲν τούτοις οὐ σμικρὰ τῷ δήμῳ
ὁ Πομπήιος ἐχαρίσατο, τοὺς δὲ δὴ καταλόγους μετὰ
τοῦ Κράσσου πρὸς τὰ ἐψηφισμένα σφίσι ποιούμενος
πλεῖστον αὐτοὺς ἐλύπησε. καὶ τότε δὴ οἱ πολλοὶ μετ-
εμέλοντο καὶ τόν τε Κάτωνα καὶ τοὺς ἄλλους ἐπῄ-
2 νουν, ὥστε καὶ ἐκείνους διά τε τοῦτο καὶ ὅτι δίκη
τις λόγῳ μὲν τοῖς ὑποστρατήγοις σφῶν, ἔργῳ δὲ αὐ-

38,5,3 *γιγνομένων* vulgo, *γενομένων* Ma, Xiphilinus ‖ 6 *ἀείνων* Leunclavius (qui *ἀείναον*), *ἀεινὸν* Ma, *φαεινὸν* Xiphilinus ‖ 6, 3 [*καὶ*] aut delendum aut cum *γὰρ* vel *Κναῖος* mutandum censet Reiske ‖ 6 *μὴ* Leunclavius, quod probatur Reiskio, *μήτε* Ma ‖ *αὐτοῦ* ⟨*τοσαῦτα*⟩ Leunclavius



τοῖς πρὸς τὰ γιγνόμενα παρὰ δημάρχων τινῶν ἐπήχθη,
βίαιον μὲν μηδὲν τολμῆσαι, τὴν δὲ ἐσθῆτα ὡς ἐπὶ
συμφορᾷ μετὰ τῶν ἐκ τῆς βουλῆς στασιωτῶν ἀλλάξα-
σθαι. καὶ ταύτην μὲν εὐθὺς μεταγνόντες καὶ μηδὲ 3
προφάσεώς τινος ἐπιλαβόμενοι μετεσκευάσαντο· τῶν
δὲ δημάρχων τούς τε καταλόγους διαλῦσαι καὶ τὰς
στρατείας αὐτῶν ἀναψηφίσαι ἐπιχειρούντων ὁ μὲν
Πομπήιος οὐκ ἠγανάκτει (τούς τε γὰρ ὑπάρχους παρα- 4
χρῆμα ἐξεπεπόμφει καὶ αὐτὸς κατὰ χώραν ὡς καὶ κω-
λυόμενος ἐξελθεῖν, ἄλλως διὰ τὴν ἐπιμέλειαν τοῦ σίτου
παρεῖναι ὀφείλων, ἡδέως ἔμενεν, ἵνα τάς τ' Ἰβηρίας
ἅμα δι' ἐκείνων κατάσχῃ καὶ τὰ ἐν τῇ Ῥώμῃ τῇ τε
ἄλλῃ Ἰταλίᾳ δι' ἑαυτοῦ ποιήσηται), ὁ δὲ δὴ Κράσσος, 5
ἐπειδὴ μηδέτερον αὐτῷ τούτων ὑπῆρχεν, ἐπὶ τὴν ἐκ
τῶν ὅπλων ἰσχὺν ἐτράπετο. οἱ οὖν δήμαρχοι ἰδόντες,
ὅτι ἡ παρρησία αὐτῶν ἄοπλος οὖσα ἀσθενὴς πρὸς τὸ
κωλῦσαί τι πραχθῆναι ⟨ἦν⟩, ἄλλως μὲν ἐσιώπων, ἐπ-
εφήμιζον δὲ αὐτῷ πολλὰ καὶ ἄτοπα, ὥσπερ οὐ καὶ τῷ
δημοσίῳ δι' ἐκείνου καταρώμενοι, καὶ τοῦτο μὲν ἐν 6
τῷ Καπιτωλίῳ τὰς εὐχὰς αὐτοῦ τὰς νομιζομένας ἐπὶ
τῇ στρατείᾳ ποιουμένου καὶ διοσημίας τινὰς καὶ τέ-
ρατα διεθρόουν, τοῦτο δὲ ἐξορμωμένῳ οἱ πολλὰ καὶ
δεινὰ ἐπηράσαντο. ἐπεχείρησε μὲν γὰρ ὁ Ἀτήιος καὶ
ἐς τὸ δεσμωτήριον αὐτὸν ἐμβαλεῖν· ἀντιστάντων δὲ 7
ἑτέρων δημάρχων μάχη τε αὐτῶν καὶ διατριβὴ ἐγένετο,
κἀν τούτῳ ὁ Κράσσος ἔξω τοῦ πωμηρίου ἐξῆλθε.

2, 3 *τινῶν*] *δυῶν* N ‖ 3, 4 *στρατείας*] *στρατιὰς* Ma ‖ 4, 2 *ὡς*] *οὐχ' ὡς* B ‖ 3 *ἄλλως διὰ τ.*] *ἀλλ' ὡς δ. τ.* R, *ἄλλως* ⟨*καὶ*⟩ *διὰ τ.* Reiske ‖ 4 *τάς τ' Ἰβηρίας* B, *τάτιβέρια* Ma, *τά τ' Ἰβηρικὰ* Leunclavius, *τά τ' ἐν Ἰβηρίᾳ* Xylander, Turnebus ‖ 5, 5 ⟨*ἦν*⟩ ins. B ‖ 6 *οὐ καὶ* Xylander, *οὐκ ἓν* Ma ‖ 6, 3 *ποιουμένου* Leunclavius, *ποιούμενοι* Ma ‖ *καὶ* ante *διοσημίας* delendum censet Reiske

καὶ ὁ μὲν εἴτε ἐκ συντυχίας εἴτε καὶ ἐκ τῶν ἀρῶν
40 αὐτῶν οὐκ ἐς μακρὰν ἐσφάλη, ὁ δὲ δὴ Καῖσαρ ἐν τῇ
a. u. τοῦ Μαρκελλίνου τοῦ τε Φιλίππου ὑπατείᾳ ἐπὶ Οὐε-
698 (56) νετοὺς ἐστράτευσεν. οἰκοῦσι δὲ πρὸς τῷ ὠκεανῷ καὶ
στρατιώτας τινὰς Ῥωμαίους πεμφθέντας ἐπὶ σῖτον συν-
έλαβον καὶ μετὰ τοῦτο τοὺς πρέσβεις τοὺς ὑπὲρ ἐκεί-
νων ἐλθόντας κατέσχον, ὅπως ἀντ᾽ αὐτῶν τοὺς ὁμή-
2 ρους σφῶν ἀπολάβωσιν. ὁ οὖν Καῖσαρ τούτους μὲν
οὐκ ἀπέδωκε, διαπέμψας δὲ ἄλλους ἄλλῃ, τοὺς μὲν
τὰ τῶν συναφεστηκότων αὐτοῖς πορθεῖν, ἵνα μὴ συμ-
βοηθήσωσιν ἀλλήλοις, τοὺς δὲ καὶ τὰ τῶν ἐνσπόνδων,
3 μὴ καὶ αὐτοί τι παρακινήσωσι, φρουρεῖν, αὐτὸς ἐπὶ
τοὺς Οὐενετοὺς ἤλασε καὶ πλοῖα ἐν τῇ μεσογείᾳ, ἃ
ἤκουεν ἐπιτήδεια πρὸς τὴν τοῦ ὠκεανοῦ παλίρροιαν
εἶναι, κατασκευάσας διά τε τοῦ Λίγρου ποταμοῦ κατε-
κόμισε καὶ πᾶσαν ὀλίγου τὴν ὡραίαν μάτην ἀνάλωσεν.
4 αἵ τε γὰρ πόλεις ἐπ᾽ ἐρυμνῶν χωρίων ἱδρυμέναι ἀπρό-
σιτοι ἦσαν, καὶ ὁ ὠκεανὸς πάσας ὡς εἰπεῖν αὐτὰς
περικλύζων ἄπορον μὲν τῷ πεζῷ, ἄπορον δὲ καὶ τῷ
5 ναυτικῷ τὴν προσβολὴν [καὶ πλημμυρῶν καὶ ἀναρρέων]
ἔν τε τῇ ἀμπώτιδι καὶ ἐν τῇ ῥαχίᾳ ἐποίει, ὥστε ἐν
παντὶ τὸν Καίσαρα γενέσθαι, μέχρις οὗ Δέκιμος Βροῦ-
τος ταχείαις οἱ ναυσὶν ἐκ τῆς ἔνδοθεν θαλάσσης ἦλθεν.
αὐτὸς μὲν γὰρ ὡς οὐδὲ ἐκείναις τι πράξων γνώμην
εἶχεν, οἱ δὲ δὴ βάρβαροι καταφρονήσαντες τῆς τε σμι-
κρότητος καὶ τῆς ἀσθενείας τῶν σκαφῶν ἡττήθησαν.
41 ταῦτα μὲν γὰρ πρὸς τὸ κουφότερον ὑπὲρ τοῦ ταχυ-

40, 1, 2 τοῦ scripsi, τῇ Ma ‖ 4 συνέλαβον B, ἔλαβον Ma ‖ 3, 4 Λίγρου Leunclavius, Λἴγρου Ma ‖ 5, 1 [καὶ πλημμυρῶν καὶ ἀναρρέων] ut glossema inclusi ‖ 3 Δεκίμιος ὁ Βροῦτος Ma ‖ 41, 1, 1 ὑπὲρ Reiske, ὑπὸ Ma



ναυτεῖν ἐς τὸν τῆς παρ᾽ ἡμῖν ναυτιλίας τρόπον ἐσκεύ-
αστο, τὰ δὲ δὴ τῶν βαρβάρων ἅτε ἐν τῇ συνεχείᾳ
τῆς τοῦ ὠκεανοῦ παλιρροίας ἐπί τε τοῦ ξηροῦ πολλά-
κις ἵστασθαι καὶ πρὸς τὴν ἄνω τε καὶ κάτω αὐτοῦ
διαρροὴν ἀντικαρτερεῖν ὀφείλοντα πλεῖστον σφῶν καὶ
τῷ μεγέθει καὶ τῇ παχύτητι προεῖχε. δι᾽ οὖν ταῦθ᾽ 2
οἱ βάρβαροι οἷα μήπω πρότερον τοιούτου ναυτικοῦ
πεπειραμένοι πρός τε τὴν ὄψιν τῶν νεῶν καὶ τὸ ἔργον
αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσαντο καὶ εὐθὺς ναυλο-
χούσαις σφίσιν ἐπανήχθησαν ὡς καὶ δι᾽ ἐλαχίστου τοῖς
κοντοῖς αὐτὰς καταποντώσοντες. ἐφέροντο δὲ ἀνέμῳ
καὶ πολλῷ καὶ σφοδρῷ· καὶ γὰρ ἱστία δερμάτινα εἶχον,
ὥστε πᾶσαν τὴν τοῦ πνεύματος ἰσχὺν ἀπλήστως ἐσ-
δέχεσθαι. ὁ οὖν Βροῦτος, τέως μὲν ἐκεῖνο ἐπέσπερ- 42
χεν, οὐδ᾽ ἀνταναχθῆναι αὐτοῖς διά τε τὸ πλῆθος καὶ
διὰ τὸ μέγεθος τῶν νεῶν τήν τε ἐκ τοῦ πνεύματος
φορὰν καὶ τὴν ἐπιβολὴν σφῶν ἐτόλμησεν, ἀλλὰ παρ-
εσκευάζετο ὡς καὶ πρὸς τῇ γῇ τὰς προσβολὰς αὐτῶν
ἀμυνούμενος καὶ τὰ σκάφη παντελῶς ἐκλείψων. ἐπεὶ 2
δ᾽ ὅ τε ἄνεμος ἐξαπιναίως ἔπεσε καὶ τὸ κῦμα ἐστο-
ρέσθη, τά τε πλοῖα οὐκέθ᾽ ὁμοίως ὑπὸ τῶν κωπῶν
ἐκινεῖτο, ἀλλ᾽ ἅτε καὶ καταβαρῆ ὄντα κατὰ χώραν
τρόπον τινὰ εἱστήκει, τότε δὴ θαρσήσας ἀντανήχθη
καὶ προσπεσὼν αὐτοῖς πολλὰ σφᾶς καὶ δεινὰ ἀδεῶς
καὶ περιπλέων καὶ διεκπλέων καὶ τοτὲ μὲν ἐμβάλλων 3
τινί, τοτὲ δὲ ἀνακρουόμενος, ὅπῃ τε καὶ ἐφ᾽ ὅσον

1, 2 ναυτιλίας] ναυπηγίας malit Reiske ‖ 2, 1 προεῖχε B, προεῖχον Ma ‖ 4 ναυλοχούσαις Reiske, Boissonade, ναυλοχοῦσαι Ma ‖ 7 καὶ ante πολλῷ del. Reiske ‖ 42, 1, 1 ⟨μὲν⟩ οὖν vulgo ‖ ἐκεῖνο Leunclavius, ἐκεῖνος Ma ‖ 4 ἐπιβολὴν] ἐπιβουλὴν vulgo, quod probavit B ‖ 2, 3 κωπῶν R Stephanus, σποπῶν Ma ‖ 3, 1 διεκπλέων Herwerden, quod probo coll. Thucyd. 7, 36, 4

ἤθελεν, εἰργάσατο, πολλαῖς τε πρὸς μίαν καὶ ἑτέρωθι
ἴσαις ⟨πρὸς ἴσας⟩, ἔστι δ' ᾗ καὶ ἐλάσσοσι πρὸς πλεί-
4 ονας ἀσφαλῶς προσφερόμενος. ὅπου μὲν γὰρ κρείτ-
των αὐτῶν ἦν, ταύτῃ προσηρτᾶτό σφισι καὶ τὰς μὲν
κατέδυεν ἀναρρηγνύς, ἐς δὲ τὰς πολλαχόθεν μετεκβαί-
νων ἔς τε χεῖρας τοῖς ἐπιβάταις ᾔει καὶ πολλοὺς ἐφό-
νευεν· εἰ δὲ καὶ καθ' ὁτιοῦν ἐλαττοῖτο, ῥᾷστα ἀνεχώ-
43 ρει, ὥστε ἐπ' αὐτῷ τὴν πλεονεξίαν ἀεὶ εἶναι. οἱ γὰρ
βάρβαροι μήτε τοξείᾳ χρώμενοι μήτε λίθους ὡς οὐδὲν
αὐτῶν δεησόμενοι προπαρασκευάσαντες, εἰ μέν τις
σφισιν ὁμόσε ἐχώρησε, τρόπον τινὰ ἀπεμάχοντο, τοὺς
δ' ὀλίγον σφῶν ἀφεστηκότας οὐκ εἶχον ὅ,τι ποιήσωσιν.
2 αὐτοί τε οὖν ἐτιτρώσκοντο καὶ ἀπέθνησκον καὶ οἱ
μηδὲ ἀμύνασθαί τινα δυνάμενοι, καὶ τὰ σκάφη τὰ μὲν
ἀνερρήγνυτο ἐμβαλλόμενα, τὰ δὲ κατεπίμπρατο ὑφα-
πτόμενα· ἄλλα ἀναδούμενα ὥσπερ κενὰ ἀνδρῶν εἵλ-
3 κετο. ὁρῶντες δὲ ταῦθ' οἱ λοιποὶ ἐπιβάται οἱ μὲν
ἀπεκτίννυσαν σφᾶς, μὴ καὶ ζῶντες ἁλῶσιν, οἱ δὲ ἐς
τὴν θάλασσαν ἐξεπήδων, ὡς καὶ δι' ἐκείνης ἤτοι τῶν
πολεμίων νεῶν ἐπιβησόμενοι ἢ πάντως γε ⟨οὐχ⟩ ὑπὸ
4 τῶν Ῥωμαίων ἀπολούμενοι. προθυμίᾳ μὲν γὰρ καὶ
τόλμῃ οὐδὲν αὐτῶν διέφερον, τῷ δὲ δὴ σταδίῳ τῶν
σκαφῶν προδιδόμενοι δεινῶς ἤσχαλλον. ὅπως γὰρ δὴ
μηδ' αὖθίς ποτε πνεῦμά τι ταῖς ναυσὶν ἐπιγενόμενον

3, 4 ⟨πρὸς ἴσας⟩ suppl. Reiske ‖ 4, 2 αὐτῶν ἐν τῇ προσήρατο Ma, ἦν, ἐκεῖ π. Leunclavius, ἦν, τῇ π. R, ἦν, ταύτῃ Gros, προσηρτᾶτο debetur Reiskio, qui αὐτῶν ἐν τῇ ⟨συμπλοκῇ ἤλπιζεν ἔσεσθαι, ἐνταῦθα⟩ προσηρτᾶτο, αὐτῶν ἐν τῇ ⟨προσμίξει ἐφέρετο?⟩ προσηρτᾶτο B ‖ **43**, 1, 4 ἐχώρησε] χωρήσαι ? B ‖ 5 ὅτι ⟨καὶ⟩ Reiske ‖ 2,1 καὶ οἱ] καίτοι Leunclavius, πολλοὶ an παμπληθεῖς? B ‖ 3 ἀνερρήγνυτο et κατεπίμπρατο et εἵλκετο St, ἀνερρήγνυντο κ. τ. λ. Ma ‖ 4 ἀναδούμενα (vel ἀναδεόμενα) Reiske (cf. Thucyd. 4, 14, 1; 2, 90, 6), ἀναδυόμενα Ma ‖ 3, 4 ⟨οὐχ⟩ ins. B



κινήσειεν αὐτάς, δορυδρέπανα πόρρωθέν σφισιν οἱ
Ῥωμαῖοι ἐπέφερον· καὶ τά τε σχοινία αὐτῶν διέτεμνον
καὶ τὰ ἱστία διέσχιζον. πεζομαχεῖν δὲ τρόπον τινὰ 5
ἐν πλοίοις πρὸς ναυμαχοῦντας ἀναγκαζόμενοι πάμ-
πολλοι μὲν αὐτοῦ ταύτῃ ἐφθάρησαν, πάντες δὲ οἱ
περιλιπεῖς ἑάλωσαν· καὶ αὐτῶν τοὺς λογιμωτάτους ὁ
Καῖσαρ ἀποσφάξας τοὺς ἄλλους ἐπώλησε.

καὶ μετὰ τοῦτο ἐπί τε Μορίνους καὶ ἐπὶ Μεναπίους 44
ὁμόρους σφίσιν ὄντας ἐστράτευσε προσκαταπλήξειν τε
αὐτοὺς ἐκ τῶν προκατειργασμένων καὶ ῥᾳδίως αἱρή-
σειν ἐλπίσας. οὐ μέντοι καὶ ἐχειρώσατό τινας· οὔτε 2
γὰρ πόλεις ἔχοντες, ἀλλ' ἐν καλύβαις διαιτώμενοι καὶ
τὰ τιμιώτατα ἐς τὰ λασιώτατα τῶν ὀρῶν ἀνασκευασά-
μενοι πολὺ πλείω τοὺς προσμίξαντάς σφισι τῶν Ῥω-
μαίων ἐκάκωσαν ἢ αὐτοὶ ἔπαθον. ἐπεχείρησε μὲν γὰρ
ὁ Καῖσαρ καὶ ἐς αὐτὰ τὰ ὄρη τὴν ὕλην τέμνων προ-
χωρῆσαι, ἀπειπὼν δὲ διά τε τὸ μέγεθος αὐτῶν καὶ
διὰ τὸ πρὸς χειμῶνα εἶναι ἀπανέστη.

ἔτι δ' αὐτοῦ ἐν τῇ Οὐενετίᾳ ὄντος Κύιντος Τιτού- 45
ριος Σαβῖνος ὑποστράτηγός τε ἐστάλη ἐπὶ Οὐνέλλους,
ὧν ἡγεῖτο Οὐιριδοῦιξ, καὶ τὰ μὲν πρῶτα καὶ πάνυ
τὸ πλῆθος αὐτῶν κατεπλάγη, ὥστ' ἀγαπᾶν, ἂν τό γε
ἔρυμα διασώσηται, ἔπειτα δὲ αἰσθόμενος σφᾶς θρα- 2
σύτερον μὲν ἀπὸ τούτου διακειμένους, οὐ μὴν καὶ τῷ
ἔργῳ δεινοὺς ὄντας (οἷά που οἱ πολλοὶ τῶν βαρβάρων

**44**, 1, 1 Μορίνους Leunclavius, Μωρίνους Ma ‖ 2 προσκαταπλήξειν] προκαταπλήξειν Reiske ‖ 2, 3 ὀρῶν] ἑλῶν et infra 6 ἕλη Cluver ‖ 7 αὐτῶν] αὐτῆς ? B ‖ **45**, 1, 2 Οὐενέλλους R ex Caesare, Οὐενεσίους Ma ‖ 3 Οὐιριδοῦιξ R ex Caesare, Ἰδουΐξ Ma ‖ 4 ὥστ' ἀγαπᾶν, ἂν τό γε ἔρυμα διασώσηται Leunclavius (qui tamen εἰ τὸ, ἐὰν τό γε Reiske), ὡς τὰ πάντοτε ἔρυμα δ. Ma, ὥστε πᾶν τότε ἐς τὸ ἔρυμα διασώζεσθαι Maisel, obs. in Cass. Dion. p. 10

ἐν ταῖς ἀπειλαῖς πᾶν τὸ φοβερὸν διὰ κενῆς ἐπικομ-
ποῦσιν) ἀνεθάρσησε. καὶ ἐκ μὲν τοῦ προφανοῦς οὐδ'
ὣς ἐτόλμησέ σφισι συνενεχθῆναι (τῷ γὰρ πλήθει πολὺ
3 κατείργετο), πρὸς δὲ δὴ τὸ τάφρευμα τὸ ἑαυτοῦ [ἢ]
μετεώρου τοῦ χωρίου ὄντος ὑπηγάγετο αὐτοὺς ἀπερι-
σκέπτως προσβαλεῖν· τῶν γὰρ συμμάχων τινὰ ὁμοφω-
νοῦντά σφισιν ὑπὸ τὴν ἑσπέραν ὡς αὐτόμολον πέμ-
ψας ἔπεισεν αὐτούς, ὅτι ὅ τε Καῖσαρ ἐπταικὼς εἴη . . .
4 καὶ οὕτω πιστεύσαντες ἀπερισκέπτως ἐκεῖνοι (πάνυ
γάρ τι διακορεῖς καὶ τῆς τροφῆς καὶ τοῦ ποτοῦ ἦσαν)
εὐθὺς ἐπὶ τοὺς Ῥωμαίους, μὴ καὶ φθάσωσι σφᾶς φυ-
γόντες, ὥρμησαν, καὶ (ἔδει γὰρ μηδὲ πυρφόρον τῷ
λόγῳ αὐτῶν σωθῆναι) φρύγανα καὶ ξύλα τὰ μὲν ἀρά-
μενοι, τὰ δὲ ἐφελκόμενοι ὡς καὶ καταπρήσοντες αὐτοὺς
5 πρός τε τὸ ὄρθιον προσέβαλον καὶ σπουδῇ προσανέ-
βαινον μηδενός σφισιν ἐναντιουμένου· ὁ γὰρ Σαβῖνος
οὐκ ἐκινήθη, πρὶν ἐντὸς τῆς ἐπικρατείας αὐτοῦ τοὺς
πλείους αὐτῶν γενέσθαι. τότε δὲ ἐπικατέδραμέ σφισιν
ἁπανταχόθεν ἅμα ἀπροσδόκητος καὶ τοὺς πρώτους ἐκ-
6 πλήξας κατήραξε κατὰ τοῦ πρανοῦς ἅπαντας κἀνταῦθα
αὐτοὺς ἐν τῇ ἀναστροφῇ περί τε ἀλλήλοις καὶ περὶ
τοῖς ξύλοις σφαλλομένους κατέκοψεν οὕτως, ὥστε μη-
7 δένα αὐτῶν μηδὲ τῶν ἄλλων ἔτ' ἀντᾶραι. ἄπληστοι
γὰρ ἀλογίστως οἱ Γαλάται ἐς πάνθ' ὁμοίως ὄντες οὔτε
τὸ θαρσοῦν σφῶν οὔτε τὸ δεδιὸς μετριάζουσιν, ἀλλ'

2, 5 *οὐδ' ὣς* Herwerden, *οὐδ' οὕτως* Ma ‖ 3, 1 [*ἢ*] del. R; *ἢ μ. τ. χ. ὄντος* ⟨*ἀφύλακτον ἦν*⟩ vel ⟨*ἀνάλωτον ἦν*⟩ Reiske ‖ 5 aut *τε* delendum aut post *εἴη* lacunae signum ponendum esse censuit St ‖ 4, 2 *τι* B, *τοι* Ma ‖ 4 *τῷ λόγῳ*] ⟨*τὸ*⟩ *τοῦ λόγου* i. e. *τὸ λεγόμενον* Herwerden, quod probat Schenkl, at Dio hic imitatus est Herod. 8, 6: *ἔδει δὲ μηδὲ πυρφόρον τῷ ἐκείνων λόγῳ περιγενέσθαι* ‖ 5, 1 *προσανέβαινον*] *ἀνέβαινον* ? B ‖ 6, 3 *ξύλοις* Reiske, *ξυλίνοις* Ma



ἔκ τε τούτου πρὸς δειλίαν ἀνέλπιστον καὶ ἐξ ἐκείνου
πρὸς θάρσος προπετὲς ἐκπίπτουσιν.

ὑπὸ δὲ δὴ τὰς αὐτὰς ἡμέρας καὶ ὁ Κράσσος ὁ 46
Πούπλιος, τοῦ Κράσσου τοῦ Μάρκου παῖς, τὴν Ἀκυϊ-
τανίαν ὀλίγου πᾶσαν κατεστρέψατο· Γαλάται γὰρ καὶ
αὐτοὶ ὄντες τῇ τε Κελτικῇ προσοικοῦσι καὶ παρ' αὐτὸ
τὸ Πυρηναῖον ἐς τὸν ὠκεανὸν καθήκουσιν. ἐπ' οὖν 2
τούτους ὁ Κράσσος στρατεύσας Σοντιάτας τε μάχῃ
ἐκράτησε καὶ πολιορκίᾳ εἷλεν ὀλίγους μὲν ἐν ὁμολογίᾳ
τινὶ ἐξ ἀπάτης ἀποβαλών, ἰσχυρῶς δὲ σφᾶς καὶ περὶ
αὐτοῦ τούτου ἀμυνάμενος· καὶ ἑτέρους τινὰς ἰδὼν 3
ἠθροισμένους τε καὶ στρατιώτας ἐκ τῆς Ἰβηρίας Σερ-
τωριείους ἔχοντας καὶ μετ' αὐτῶν στρατηγικώτερον ἢ
προπετέστερον τῷ πολέμῳ χρωμένους, ὡς καὶ τῇ ἀπο-
ρίᾳ τῶν τροφῶν δι' ὀλίγου σφῶν ἐκ τῆς γῆς ἐκχωρη-
σόντων, προσεποιήσατό τε αὐτοὺς δεδιέναι καὶ κατα-
φρονηθεὶς οὐχ ὑπηγάγετο μὲν οὐδ' ὣς ἐς χεῖράς οἱ
ἐλθεῖν, ἀδεῶς δ' ἐς ὕστερον ἔχουσί σφισι προσέβαλεν
ἐξαίφνης ἀνέλπιστος. καὶ ταύτῃ μέν, ᾗ προσέμιξεν, 4
οὐδὲν εἰργάσατο (ἐπεκδραμόντες γὰρ οἱ βάρβαροι ἰσχυ-
ρῶς ἠμύνοντο), ἐνταῦθα δὲ δὴ τῆς δυνάμεως αὐτοῖς
οὔσης περιέπεμψέ τινας ἐς τὰ ἐπὶ θάτερα τοῦ στρατο-
πέδου σφῶν καὶ τοῦτό τε ἔρημον ἀνδρῶν κατέσχε καὶ
τοῖς μαχομένοις δι' αὐτοῦ κατὰ νώτου ἐπεγένετο. καὶ
οὕτως ἐκεῖνοί τε πάντες ἐφθάρησαν καὶ οἱ λοιποὶ πλὴν
ὀλίγων ἀκονιτὶ ὡμολόγησαν.

7, 4 *τούτου* Reiske, *τοῦ* Ma ‖ **46**, 1, 2 *τοῦ Κράσσου* omisit B ‖ *Μάρκου*] *Μαρκίου* Ma ‖ 2, 2 *Σοντιάτας* Xylander, *Σωτιάτας* Fabricius, *Ἀπιάτας* Ma ‖ 4 *ἀπάτης* Xylander, *ἀπάσης* Ma ‖ 3, 1 *ἀμυνάμενος* B, *ἀμυνόμενος* Ma ‖ 2 *Σερτωριείους* Xylander, *Σερτωρίους* Ma ‖ 4, 5 *καὶ*] *οἱ* Reiske ‖ *κατέσχε* B, *κατέσχον* Ma ‖ 6 *ἐπεγένετο*] *ἐπεγένοντο* St

47 ταῦτα μὲν ἐν τῷ θέρει ἐπράχθη, χειμαζόντων δὲ
a. u. τῶν Ῥωμαίων ἐν τῇ φιλίᾳ Τέγκτηροί τε καὶ Οὐσιπέ-
699 (55) ται, Κελτικὰ γένη, τὸ μέν τι καὶ πρὸς Σουήβων ἐκ-
βιασθέντες, ⟨τὸ⟩ δὲ καὶ πρὸς τῶν Γαλατῶν ἐπικλη-
θέντες τόν τε Ῥῆνον διέβησαν καὶ ἐς τὴν τῶν Τρη-
2 ουίρων ἐνέβαλον. κἀνταῦθα τὸν Καίσαρα εὑρόντες
καὶ φοβηθέντες ἔπεμψαν πρὸς αὐτὸν σπονδάς τε ποι-
ούμενοι καὶ χώραν αἰτοῦντες ἢ σφίσι γε ἐπιτραπῆναί
τινα ἀξιοῦντες λαβεῖν. ὡς δ' οὐδενὸς ἔτυχον, τὸ μὲν
πρῶτον ἐθελονταὶ οἴκαδε ἐπανήξειν ὑπέσχοντο καὶ
3 διοκωχὴν ᾐτήσαντο· ἔπειτα δὲ ἱππέας αὐτοῦ ὀλίγους
προσιόντας ἰδόντες οἱ ἐν τῇ ἡλικίᾳ σφῶν ὄντες κατε-
φρόνησάν τε αὐτῶν καὶ μετέγνωσαν κἀκ τούτου ἐπι-
σχόντες τῆς πορείας ἐκείνους τε μὴ προσδεχομένους
ἐκάκωσαν καὶ ἐπαρθέντες ἐπὶ τούτῳ εἴχοντο τοῦ πο-
48 λέμου. καὶ αὐτῶν οἱ πρεσβύτεροι καταγνόντες πρός
τε τὸν Καίσαρα καὶ παρὰ τὴν γνώμην σφῶν ἦλθον
καὶ ἐδέοντο αὐτοῦ συγγνῶναί σφισι τὴν αἰτίαν ἐς
ὀλίγους τρέποντες. ὁ δὲ τούτους μὲν ὡς καὶ ἀπόκρι-
2 σίν τινα αὐτοῖς οὐκ ἐς μακρὰν δώσων κατέσχεν, ὁρ-
μήσας δὲ ἐπὶ τοὺς ἄλλους ἐν ταῖς σκηναῖς ὄντας ἐπ-
έστη τέ σφισι μεσημβριάζουσι καὶ μηδὲν πολέμιον,
ἅτε ἐκείνων παρ' αὐτῷ ὄντων, ὑποτοπουμένοις καὶ
ἐσπηδήσας ἐς αὐτοὺς παμπληθεῖς τῶν πεζῶν οὐδὲ τὰ
ὅπλα ἀνελέσθαι φθάσαντας, ἀλλὰ καὶ περὶ ταῖς ἁμά-
ξαις ὑπό τε τῶν γυναικῶν καὶ ὑπὸ τῶν παίδων ἀνα-
3 μὶξ ὄντων ταραττομένους κατεφόνευσε. τούς τε ἱππέας

47, 1, 3 Σουήβων] Οὐήβων Ma ‖ 4 ⟨τὸ⟩ inseruit Xylander ‖ 5 Τρηουίρων] Τριήρων Ma ‖ 3, 3 κἀκ τούτου Reiske, καὶ τούτου Ma ‖ 4 πορείας Xylander, ἀπορίας Ma ‖ 48, 1, 4 τούτους] τούτοις Ma ‖ 2, 4 αὐτοὺς] αὐτὰς Ma ‖ 6 καὶ περὶ ταῖς Reiske, καίπερ ταῖς Ma ‖ 3, 1 ταραττομένους] παρατατομένους Ma



ἀπόντας τότε ⟨ἅτε⟩ καὶ παραχρῆμα, ὡς ἐπύθοντο τὸ
γεγονός, πρός τε τὰ οἰκεῖα ἤθη ὁρμήσαντας καὶ πρὸς
Συγάμβρους ἀποχωρήσαντας πέμψας ἐξῄτησεν, οὐχ ὅτι
καὶ ἐκδοθήσεσθαι σφᾶς προσεδόκησεν (οὐ γάρ που
οὕτως οἱ πέραν τοῦ Ῥήνου τοὺς Ῥωμαίους ἐφοβοῦντο,
ὥστε καὶ τὰ τοιαῦτα αὐτῶν ἀκούειν), ἀλλ' ὅπως ἐπὶ
τῇ προφάσει ταύτῃ καὶ ἐκεῖνον διαβαίη. αὐτός τε γάρ, 4
ὃ μηδείς πω πρότερον τῶν ὁμοίων ⟨οἱ⟩ ἐπεποιήκει,
δεινῶς πρᾶξαι ἐγλίχετο καὶ τοὺς Κελτοὺς πόρρωθεν
ἐκ τῆς Γαλατίας ἀνείρξειν ἅτε καὶ ἐς τὴν οἰκείαν
αὐτῶν ἐσβαλὼν προσεδόκησεν. ὡς οὖν οὔτε οἱ ἱππῆς
ἐξεδίδοντο, καὶ οἱ Οὔβιοι ὅμοροί τε τοῖς Συγάμβροις
οἰκοῦντες καὶ διάφοροι αὐτοῖς ὄντες ἐπεκαλέσαντο
αὐτόν, διέβη μὲν τὸν ποταμὸν γεφυρώσας, εὑρὼν δὲ 5
τούς τε Συγάμβρους ἐς τὰ ἐρυμνὰ ἀνακεκομισμένους
καὶ τοὺς Σουήβους συστρεφομένους ὡς καὶ βοηθήσον-
τάς σφισιν ἀνεχώρησεν ἐντὸς ἡμερῶν εἴκοσιν.
ὁ δὲ δὴ Ῥῆνος ἀναδίδωσι μὲν ἐκ τῶν Ἄλπεων τῶν 49
Κελτικῶν, ὀλίγον ἔξω τῆς Ῥαιτίας, προχωρῶν δὲ ἐπὶ
δυσμῶν ἐν ἀριστερᾷ μὲν τήν τε Γαλατίαν καὶ τοὺς
ἐποικοῦντας αὐτήν, ἐν δεξιᾷ δὲ τοὺς Κελτοὺς ἀπο-
τέμνεται καὶ τελευτῶν ἐς τὸν ὠκεανὸν ἐμβάλλει. οὗ- 2
τος γὰρ ὁ ὅρος, ἀφ' οὗ γε καὶ ἐς τὸ διάφορον τῶν
ἐπικλήσεων ἀφίκοντο, δεῦρο ἀεὶ νομίζεται, ἐπεὶ τό γε
πάνυ ἀρχαῖον Κελτοὶ ἑκάτεροι οἱ ἐπ' ἀμφότερα τοῦ
ποταμοῦ οἰκοῦντες ὠνομάζοντο.
ὁ οὖν Καῖσαρ τόν τε Ῥῆνον πρῶτος τότε Ῥωμαίων 50

3, 2 ⟨ἅτε⟩ inseruit B ‖ 3 ἤθη B, ἤδη Ma ‖ 4 Συγγάμβρους hic et infra Ma ‖ 4, 2 ⟨οἱ⟩ inseruit R ‖ 5 ἐσβαλὼν Leunclavius, ἐσβαλεῖν Ma ‖ 6 οἱ Οὔβιοι R. Stephanus, ἐούβιοι Ma ‖ 49, 1, 2 Κελτικῶν Xylander, κελτιβήρων Ma ‖ 2, 2 γε] τε Ma

διέβη καὶ ἐς Βρεττανίαν μετὰ ταῦτα τοῦ τε Πομπηίου
2 καὶ τοῦ Κράσσου ὑπατευόντων ἐπεραιώθη. ἡ δὲ δὴ
χώρα αὕτη ἀπέχει μὲν τῆς ἠπείρου τῆς Βελγικῆς κατὰ
Μορίνους σταδίους πεντήκοντα καὶ τετρακοσίους τὸ
συντομώτατον, παρήκει δὲ παρά τε τὴν λοιπὴν Γαλα-
τίαν καὶ παρὰ τὴν Ἰβηρίαν ὀλίγου πᾶσαν ἐς [τε] τὸ
3 πέλαγος ἀνατείνουσα. καὶ τοῖς μὲν πάνυ πρώτοις καὶ
Ἑλλήνων καὶ Ῥωμαίων οὐδ' ὅτι ἔστιν ἐγιγνώσκετο,
τοῖς δὲ ἔπειτα ἐς ἀμφισβήτησιν, εἴτε ἤπειρος εἴτε καὶ
νῆσος εἴη, ἀφίκετο· καὶ πολλοῖς ἐφ' ἑκάτερον εἰδόσι
μὲν οὐδὲν ἅτε μήτ' αὐτόπταις μήτ' αὐτηκόοις τῶν ἐπι-
χωρίων γενομένοις, τεκμαιρομένοις δέ, ὡς ἕκαστοι
4 σχολῆς ἢ καὶ φιλολογίας εἶχον, συγγέγραπται. προ-
ϊόντος δὲ τοῦ χρόνου πρότερόν τε ἐπ' Ἀγρικόλου ἀντι-
στρατήγου καὶ νῦν ἐπὶ Σεουήρου αὐτοκράτορος νῆσος
οὖσα σαφῶς ἐλήλεγκται.

51 ἐς ταύτην οὖν τότε ὁ Καῖσαρ, ἐπειδὴ τά τε ἄλλα
τὰ τῶν Γαλατῶν ἡσύχαζε καὶ τοὺς Μορίνους προσ-
εποιήσατο, ἐπεθύμησε διαβῆναι. καὶ τὸν μὲν διάπλουν,
καθ' ὃ μάλιστα ἐχρῆν, μετὰ τῶν πεζῶν ἐποιήσατο, οὐ
μέντοι καὶ ᾗ ἔδει προσέσχεν· οἱ γὰρ Βρεττανοὶ τὸν
ἐπίπλουν αὐτοῦ προπυθόμενοι τὰς κατάρσεις ἁπάσας
2 τὰς πρὸς τῆς ἠπείρου οὔσας προκατέλαβον. ἄκραν οὖν
τινα προέχουσαν περιπλεύσας ἑτέρωσε παρεκομίσθη·
κἀνταῦθα τοὺς προσμίξαντάς οἱ ἐς τὰ τενάγη ἀποβαί-
νοντι νικήσας ἔφθη τῆς γῆς κρατήσας, πρὶν τὴν πλείω
συμβοήθειαν ἐλθεῖν, καὶ μετὰ ταῦτα καὶ ἐκείνους
3 προσβαλόντας ἀπεώσατο. καὶ ἔπιπτον μὲν οὐ πολλοὶ

50, 2, 2 ἀπέχει Xiphil., ἔχει Ma ‖ Βελτικῆς Ma ‖ 5 [τε] deest apud Xiphil., del. Xylander ‖ 3, 1 πρώτοις] παλαιοῖς Xiphil. ‖ 51, 2, 1 πρὸ B, πρὸς Ma ‖ 3, 1 προσβαλόντας] προσβάλλοντας Reiske



τῶν βαρβάρων (ἁρματηλάται τε γὰρ ὄντες καὶ ἱππῆς
ῥᾳδίως τοὺς Ῥωμαίους μηδέπω τοῦ ἱππικοῦ αὐτοῖς
παρόντος διέφυγον), ἐκπλαγέντες δὲ πρός τε τὰ ἐκ
τῆς ἠπείρου περὶ αὐτῶν ἀγγελλόμενα, καὶ ὅτι περαι-
ωθῆναί τε ὅλως ἐτόλμησαν καὶ ἐπιβῆναι τῆς χώρας
ἠδυνήθησαν, πέμπουσι πρὸς τὸν Καίσαρα τῶν Μορί-
νων τινάς, φίλων σφίσιν ὄντων, ἐπικηρυκευόμενοι.
καὶ τότε μὲν ὁμήρους αἰτήσαντι αὐτῷ δοῦναι ἠθέλη-
σαν, πονησάντων δὲ ἐν τούτῳ τῶν Ῥωμαίων ὑπὸ χει- 52
μῶνος καὶ τῷ παρόντι ναυτικῷ καὶ τῷ ἀφικνουμένῳ
καὶ μετέγνωσαν καὶ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐπέ-
θεντο αὐτοῖς (τὸ γὰρ στρατόπεδον ἰσχυρῶς ἐφυλάσ-
σετο), δεξάμενοι δέ τινας ὡς καὶ ἐς φιλίαν τὴν χώραν 2
σφῶν πρὸς κομιδὴν τῶν ἐπιτηδείων πεμφθέντας
αὐτούς τε πλὴν ὀλίγων ἔφθειραν (ὁ γὰρ Καῖσαρ διὰ
ταχέων τοῖς λοιποῖς ἐπήμυνε) καὶ μετὰ τοῦτο καὶ πρὸς
αὐτὸ τὸ ἔρυμα αὐτῶν προσέβαλον. καὶ ἔπραξαν μὲν
οὐδέν, ἀλλὰ καὶ κακῶς ἀπήλλαξαν· οὐ μέντοι καὶ ἐς
ὁμολογίαν ἦλθον, πρὶν πολλάκις σφαλῆναι. καὶ γὰρ ὁ 3
Καῖσαρ ἄλλως μὲν οὐκ εἶχε γνώμην σπείσασθαι σφί-
σιν, ἐπεὶ δὲ ὅ τε χειμὼν προσῄει καὶ οὐχ ἱκανὴν τὴν
παροῦσαν δύναμιν περιεβέβλητο, ὥστε καὶ ἐν αὐτῷ
πολεμῆσαι, ἥ τε κομιζομένη ἔσφαλτο, καὶ οἱ Γαλάται
πρὸς τὴν ἀπουσίαν αὐτοῦ ἐνεωτέρισαν, καὶ ἄκων αὐ-
τοῖς συνηλλάγη ὁμήρους καὶ τότε πλείους αἰτήσας μέν,
λαβὼν δὲ ὀλίγους.

καὶ ὁ μὲν ἐς τὴν ἤπειρον ἀναπλεύσας τὰ ταρα- 53
χθέντα καθίστατο μηδὲν ἐκ τῆς Βρεττανίας μήτε ἑαυτῷ
μήτε τῇ πόλει προσκτησάμενος πλὴν τοῦ ἐστρατευκέ-

52, 2, 3 αὐτοὺς Leunclavius, τοὺς Ma

ναι ἐπ' αὐτοὺς δόξαι. τούτῳ γὰρ καὶ αὐτὸς ἰσχυρῶς
ἐσεμνύνετο καὶ οἱ οἴκοι Ῥωμαῖοι θαυμαστῶς ἐμεγαλύ-
2 νοντο· ἐμφανῆ τε γὰρ τὰ πρὶν ἄγνωστα καὶ ἐπιβατὰ
τὰ πρόσθεν ἀνήκουστα ὁρῶντές σφισι γεγονότα τήν
τε μέλλουσαν ἐξ αὐτῶν ἐλπίδα ὡς καὶ παροῦσαν ἔργῳ
ἐλάμβανον καὶ πάνθ' ὅσα καταπράξειν προσεδέχοντο,
ὡς καὶ ἔχοντες ἤδη ἠγάλλοντο.

καὶ οἱ μὲν διὰ ταῦτα ἱερομηνίας ἐπὶ εἴκοσιν ἡμέ-
54 ρας ἀγαγεῖν ἐψηφίσαντο, ἐν ᾧ δὲ ἐκεῖνα ἐγίγνετο, καὶ
ἡ Ἰβηρία ἐκινήθη, διὸ καὶ τῷ Πομπηίῳ προσετάχθη.
ἐπαναστάντες γάρ τινες καὶ Οὐακκαίους προστησάμε-
νοι μάχῃ μὲν ὑπὸ τοῦ Νέπωτος τοῦ Μετέλλου ἀπα-
2 ράσκευοι ἔτ' ὄντες ἡττήθησαν, πολιορκοῦντι δ' αὐτῷ
Κλουνίαν ἐπελθόντες ἀμείνους ἐγένοντο καὶ ἐκείνην
μὲν περιεποιήσαντο, ἑτέρωθι δὲ ἐσφάλησαν, οὐ μὴν
ὥστε καὶ δι' ὀλίγου δουλωθῆναι. τῷ γὰρ πλήθει πολὺ
τῶν ἐναντίων περιῆσαν, ὥστε καὶ τὸν Νέπωτα ἀγα-
πᾶν, ἂν τὴν ἡσυχίαν ἀκινδύνως ἄγῃ.

55 κατὰ δὲ δὴ τὸν αὐτὸν τοῦτον χρόνον καὶ ὁ Πτο-
λεμαῖος καίτοι τῶν Ῥωμαίων τήν τε ἐπικουρίαν ἀπ-
εψηφισμένων καὶ πρὸς τὰς δωροδοκίας τὰς ὑπ' αὐτοῦ
γενομένας δεινῶς ἔτι καὶ τότε διακειμένων κατήχθη
2 καὶ τὴν βασιλείαν ἐκομίσατο. ἔπραξαν δὲ τοῦτο ὅ τε
Πομπήιος καὶ ὁ Γαβίνιος· τοσοῦτον γὰρ αἵ τε δυνα-
στεῖαι καὶ αἱ τῶν χρημάτων περιουσίαι καὶ παρὰ τὰ
ψηφίσματα τά τε τοῦ δήμου καὶ τὰ τῆς βουλῆς ἴσχυ-
3 σαν, ὥστε ἐπιστείλας μὲν ὁ Πομπήιος τῷ Γαβινίῳ τῆς
Συρίας τότε ἄρχοντι, στρατεύσας δὲ ἐκεῖνος, ὁ μὲν

54, 1, 3 ἐπαναστάντες B, προσαναστάντες Ma ‖ 55, 1, 3 ὑπ' St, ἀπ' Ma



τῇ χάριτι, ὁ δὲ τῇ δωροληψίᾳ καὶ ἄκοντος αὐτὸν τοῦ
κοινοῦ κατήγαγον μηδὲν μήτε ἐκείνου μήτε τῶν τῆς
Σιβύλλης χρησμῶν φροντίσαντες. καὶ ἐκρίθη μὲν ὕστε- 4
ρον ἐπὶ τούτῳ ὁ Γαβίνιος, οὐχ ἑάλω δὲ διά τε τὸν
Πομπήιον καὶ διὰ τὰ χρήματα· οὕτω γάρ που τὰ
πράγματα τοῖς τότε Ῥωμαίοις συνεκέχυτο, ὥστε ἀπὸ
πολλῶν, ὧν ἐδωροδόκησε, σμικρὰ ἄττα τῶν τε ἀρχόν-
των τινὲς καὶ τῶν δικαστῶν παρ' αὐτοῦ λαβόντες οὔτε
τοῦ προσήκοντός τι προετίμησαν καὶ προσέτι καὶ τοὺς
ἄλλους κακουργεῖν ὑπὲρ χρημάτων ἐξεδίδαξαν ὡς καὶ
τὴν τιμωρίαν ῥᾳδίως ἐξωνεῖσθαι δυναμένους. τότε 5
μὲν οὖν διὰ ταῦτα ἀφείθη, αὖθις δὲ ἐπί τε ἑτέροις
τισί, καὶ ὅτι πλέον ἢ μυρίας ἐκ τῆς ἀρχῆς μυριάδας
ἥρπασε, κριθεὶς ἑάλω. καὶ ἐκείνῳ τε τοῦτο παραδο-
ξότατον συνέβη (τῆς τε γὰρ προτέρας δίκης διὰ τὰ
χρήματα ἀπελύθη καὶ ἐπὶ τούτοις δι' ἐκείνην ὅτι
μάλιστα κατεδικάσθη) καὶ τῷ Πομπηίῳ, ὅτι τὸ μὲν 6
πρότερον καίτοι πόρρω που ὢν ἐρρύσατο τὸν Γαβί-
νιον διὰ τῶν ἑταίρων, τότε δὲ ἔν τε τῷ προαστείῳ ὢν
καὶ τρόπον τινὰ καὶ ἐν τῷ δικαστηρίῳ αὐτῷ παρὼν
οὐδὲν ἤνυσεν.

ἔσχε δὲ ὧδε. ὁ Γαβίνιος πολλὰ μὲν καὶ τὴν Συ- 56
ρίαν ἐκάκωσεν, ὥστε καὶ τῶν ληστικῶν, ἃ καὶ τότε
ἤκμαζε, πολὺ πλείω σφίσι λυμήνασθαι, πάντα δὲ δὴ
τὰ αὐτόθεν λήμματα ἐλάχιστα εἶναι νομίσας τὸ μὲν
πρῶτον ἐνόει καὶ παρεσκευάζετο ὡς καὶ ἐπὶ τοὺς Πάρ-
θους τόν τε πλοῦτον αὐτῶν στρατεύσων. τοῦ γὰρ 2

4, 4 τότε St, τε Ma ‖ συνεκέχυτο Oddey, συνέχυτο Ma ‖ 8 ὑπὲρ Reiske, ὑπὸ Ma ‖ 5, 6 ἐπὶ ταύτης δι' ἐκεῖνα Reiske ‖ 6, 1 κατεδικάσθη Reiske, ἐδικάσθη Ma ‖ 56, 1, 1 καὶ delet Reiske ‖ 5 ἐνόει Xylander, ἐνόσει Ma, ἐνενόει Reiske

Φραάτου ὑπὸ τῶν παίδων δολοφονηθέντος Ὀρώδης
τήν τε βασιλείαν αὐτοῦ διεδέξατο καὶ Μιθριδάτην τὸν
ἀδελφὸν ἐκ τῆς Μηδίας, ἧς ἦρχεν, ἐξέβαλε· καὶ ὃς
καταφυγὼν πρὸς τὸν Γαβίνιον ἀνέπεισεν αὐτὸν συμ-
πρᾶξαί οἱ τὴν κάθοδον. ἐπεὶ μέντοι ὁ Πτολεμαῖος
3 μετὰ τῶν τοῦ Πομπηίου γραμμάτων ἦλθε καὶ πολλὰ
μὲν αὐτῷ, πολλὰ δὲ καὶ τῷ στρατῷ χρήματα τὰ μὲν
ἤδη παρέξειν, τὰ δ', ἂν καταχθῇ, δώσειν ὑπέσχετο, τά
τε τῶν Πάρθων εἴασε καὶ ἐπὶ τὴν Αἴγυπτον ἠπείχθη
4 καίπερ ἀπαγορεύοντος μὲν τοῦ νόμου μήτε ἐς τὴν
ὑπερορίαν τοὺς ἄρχοντάς τινων ἀποδημεῖν μήτε πολέ-
μους ἀφ' ἑαυτῶν ἀναιρεῖσθαι, ἀπειρηκότος δὲ καὶ τοῦ
δήμου τῆς τε Σιβύλλης μὴ καταχθῆναι τὸν ἄνδρα.
ἀλλ' ὅσῳ γὰρ ἐκωλύετο ταῦτα, τόσῳ πλείονος αὐτὰ
5 ἀπημπόλησε. καταλιπὼν οὖν ἐν τῇ Συρίᾳ Σισένναν
τε τὸν υἱὸν κομιδῇ νέον ὄντα καὶ στρατιώτας μετ'
αὐτοῦ πάνυ ὀλίγους τὴν μὲν ἀρχήν, ἐφ' ἧς ἐτέτακτο,
6 τοῖς λησταῖς ἔτι καὶ μᾶλλον ἐξέδωκεν, αὐτὸς δὲ ἐς τὴν
Παλαιστίνην ἐλθὼν τόν τε Ἀριστόβουλον (διαδρὰς
γὰρ ἐκ τῆς Ῥώμης ὑπετάραττέ τι) συνέλαβε καὶ τῷ
Πομπηίῳ ἔπεμψε καὶ φόρον τοῖς Ἰουδαίοις ἐπέταξε
57 καὶ μετὰ τοῦτο καὶ ἐς τὴν Αἴγυπτον ἐνέβαλεν. ἦρχε
δὲ τότε τῶν Αἰγυπτίων ἡ Βερενίκη καὶ ἐπιεικὲς μὲν
οὐδὲν πρὸς αὐτὸν καίτοι φοβουμένη τοὺς Ῥωμαίους
ἔπραξε, Σέλευκον δέ τινα ὡς καὶ ἐκ τοῦ βασιλείου
γένους τοῦ ποτε ἐν τῇ Συρίᾳ ἀνθήσαντος ὄντα μετα-

2, 2 Φραάντου Ma ‖ 4 Μηδείας Ma ‖ 4, 5 ἐκωλύετο vulgo, ἐκεκώλυτο Ma ‖ 57, 1, 2 Βερονίκη Ma ‖ 3 πρὸς αὐτὸν i. e. Γαβίνιον Leunclavius, πρὸς τὸν Ma, πρὸς τὸν ⟨πατέρα⟩ vel ⟨Πτολεμαῖον⟩ Xylander, πρὸς τὸν ⟨καιρὸν⟩ Wagner, πρὸς τὸν ⟨δῆμον⟩ vel τὸ ⟨ὑπήκοον⟩ Reiske; lacunam post τὸν statuit R, quem secutus est B



πέμψασα ἄνδρα τε ἐπεγράψατο καὶ κοινωνὸν τῆς τε
βασιλείας καὶ τοῦ πολέμου ἐποιήσατο. ὡς δὲ ἐκεῖνος 2
ἐν οὐδενὸς μοίρᾳ ὢν ἑωρᾶτο, τοῦτον μὲν ἀπέκτεινεν,
Ἀρχέλαον δὲ τὸν τοῦ Ἀρχελάου τοῦ πρὸς τὸν Σύλλαν
αὐτομολήσαντος δραστήριόν τε ὄντα καὶ ἐν τῇ Συρίᾳ
τὴν δίαιταν ἔχοντα ἐπὶ τοῖς αὐτοῖς ἐπηγάγετο. ὁ γὰρ
Γαβίνιος ἠδύνατο μὲν ἀρχόμενον τὸ δεινὸν παῦσαι
(τὸν γὰρ Ἀρχέλαον προϋποτοπήσας συνέλαβε καὶ ἔμελ-
λεν ἐκ τούτου μηδὲν ἔτ' ἔργον ἕξειν), φοβηθεὶς δέ, μὴ 3
καὶ ἐλάττω διὰ τοῦτο παρὰ τοῦ Πτολεμαίου τῶν ὡμο-
λογημένων οἱ χρημάτων ὡς οὐδὲν ἀξιόλογον πεποιη-
κὼς λάβοι, καὶ ἐλπίσας ἔτι καὶ πλείω πρός τε τὴν
δεινότητα καὶ πρὸς τὴν δόξαν τὴν τοῦ Ἀρχελάου
χρηματιεῖσθαι καὶ προσέτι καὶ ἄλλα παρ' αὐτοῦ ἐκεί-
νου συχνὰ λαβὼν ἐθελοντὴς αὐτὸν ὡς καὶ διαδράντα
ἀφῆκε. καὶ οὕτως ἐς μὲν τὸ Πηλούσιον ἀφίκετο μη- 58
δενὸς ἐναντιουμένου, προϊὼν δὲ ἐντεῦθεν δίχα διῃρη-
μένῳ τῷ στρατῷ τοὺς Αἰγυπτίους ἀπαντήσαντάς οἱ τῇ
αὐτῇ ἡμέρᾳ ἐνίκησε καὶ μετὰ τοῦτ' αὖθις ἔν τε τῷ
ποταμῷ ναυσὶ κἂν τῇ γῇ ἐκράτησεν· οἱ γὰρ Ἀλεξαν-
δρεῖς θρασύνασθαι μὲν πρὸς πάντα ἱκανώτατοι καὶ
ἐκλαλῆσαι πᾶν, ὅ,τι ποτ' ἂν ἐπέλθῃ σφίσι, προπετέστα-
τοι πεφύκασι, πρὸς δὲ δὴ πόλεμον τά τε δεινὰ αὐτοῦ 2
φλαυρότατοί εἰσι καίπερ ἐν ταῖς στάσεσι πλείσταις
δὴ καὶ μεγίσταις παρ' αὐτοῖς γιγνομέναις διὰ φόνων
τε ἀεὶ χωροῦντες καὶ τὸ ζῆν παρ' οὐδὲν πρὸς τὴν
αὐτίκα φιλονεικίαν τιθέμενοι, ἀλλὰ καὶ ὥσπερ τι τῶν

2, 5 ἐπηγάγετο Reiske, ὑπηγάγετο Ma ‖ γὰρ] γοῦν Leunclavius ‖ 7 προϋποτοπήσας] προϋπαντήσας Leunclavius ‖ 58, 1, 1 οὕτως Fabricius, οὗτος Ma ‖ ἐς R, ὡς Ma ‖ 2, 5 τῶν ἀρίστων ἀναγκαιότατον] τῶν πρὸς ἀριστείαν ἀναγκαιοτάτων vel τῶν ἀρίστων τε καὶ ἀναγκαιοτάτων Reiske

ἀρίστων ἀναγκαιότατον τὸν ἐν αὐταῖς ὄλεθρον διώ-
3 κοντες. νικήσας οὖν αὐτοὺς ὁ Γαβίνιος καὶ ἄλλους
τε πολλοὺς καὶ τὸν Ἀρχέλαον φονεύσας ἐγκρατής τε
τῆς Αἰγύπτου πάσης παραχρῆμα ἐγένετο καὶ τῷ Πτο-
λεμαίῳ αὐτὴν παρέδωκε.

καὶ ὁ μὲν τήν τε θυγατέρα καὶ τῶν ἄλλων τοὺς
πρώτους καὶ πλουσιωτάτους ἅτε καὶ χρημάτων πολλῶν
59 δεόμενος ἀπέκτεινε· Γαβίνιος δὲ ἐκεῖνον μὲν οὕτω
κατήγαγεν, οὐ μέντοι καὶ οἴκαδε περὶ τῶν πραχθέν-
των ἐπέστειλεν, ἵνα μὴ καὶ αὐτάγγελός σφισιν ὧν
παρηνομήκει γένηται. ἀλλ' (οὐ γὰρ οἷόν τε ἦν τηλι-
κοῦτο πρᾶγμα κρυφθῆναι) εὐθύς τε αὐτὸ ὁ δῆμος
2 ἐπύθετο, καὶ ἐπειδὴ καὶ οἱ Σύροι πολλὰ τοῦ Γαβινίου
ἄλλως τε καὶ ἐν τῇ ἀπουσίᾳ αὐτοῦ δεινῶς ὑπὸ τῶν
ληστῶν κακωθέντες κατεβόησαν, οἵ τε τελῶναι μὴ δυ-
νηθέντες τὰ τέλη δι' αὐτοὺς ἐσπρᾶξαι συχνὰ ἐπωφεί-
λησαν, ὠργίζοντο καὶ γνώμας τε ἐποιοῦντο καὶ ἑτοί-
3 μως εἶχον καταψηφίσασθαι αὐτοῦ. καὶ γὰρ ὁ Κικέρων
τά τε ἄλλα ἰσχυρῶς ἐνῆγε καὶ συνεβούλευέ σφισι τὰ
Σιβύλλεια ἔπη αὖθις ἀναγνῶναι προσδοκῶν ἐγγεγρά-
60 φθαι τινὰ ἐν αὐτοῖς τιμωρίαν, ὅταν παραβαθῇ. ὁ οὖν
Πομπήιος ὅ τε Κράσσος ὑπάτευόν τε ἔτι, καὶ ὁ μὲν
ἑαυτῷ βοηθῶν, ὁ δὲ τήν τε ἐκείνου χάριν καὶ ἅμα καὶ
χρήματα παρὰ τοῦ Γαβινίου πεμφθέντα οἱ λαβὼν ἔκ
τε τοῦ προφανοῦς ὑπὲρ αὐτοῦ διεδικαίουν καὶ ἄλλα
τε καὶ φυγάδα τὸν Κικέρωνα ἀποκαλοῦντες οὐδὲν
2 ἐπεψήφισαν. ὡς μέντοι ἐκεῖνοί τε ἐκ τῆς ἀρχῆς ἀπηλ-
a. u. 700 (54) λάγησαν καὶ αὐτοὺς ὅ τε Δομίτιος ὁ Λούκιος καὶ

59, 1, 3 αὐτάγγελος Xylander, αὐταὶ γέλος Ma ‖ 5 αὐτὸ Reiske, αὐτὸς Ma ‖ 60, 1, 1 ὅταν παραβαθῇ B, ὅτι παρεβάθη Ma, ὅτε παρεβάθη Leunclavius



Ἄππιος Κλαύδιος διεδέξαντο, γνῶμαι αὖθις πολλαὶ
ἐλέχθησαν καὶ κατὰ τοῦ Γαβινίου αἱ πλείους ἐγένοντο·
ὅ τε γὰρ Δομίτιος ἐχθρὸς τῷ Πομπηίῳ διά τε τὸ 3
σπουδαρχῆσαι καὶ διὰ τὸ παρὰ γνώμην αὐτοῦ ἀπο-
δειχθῆναι ὢν καὶ ὁ Κλαύδιος καίπερ προσήκων οἱ
ὅμως τοῖς τε πολλοῖς χαρίσασθαί τι ὑπὸ δημαγωγίας
ἐθελήσας καὶ παρὰ τοῦ Γαβινίου δωροδοκήσειν, ἄν
γέ τι συνταράξῃ, προσδοκήσας πᾶν ⟨ἐπ'⟩ αὐτῷ ἔπρα-
ξαν. καὶ αὐτὸν καὶ ἐκεῖνο δεινῶς ἐπίεσεν, ὅτι προ- 4
πεμφθέντα τινὰ ὑπὸ τοῦ Κράσσου ὑποστράτηγον ἐπὶ
τῇ τῆς ἀρχῆς αὐτοῦ διαδοχῇ οὐκ ἐδέξατο, ἀλλ' ὥσπερ
ἀθάνατον τὴν ἡγεμονίαν εἰληφὼς κατεῖχεν αὐτήν. ἔδο-
ξεν οὖν σφισι τὰ τῆς Σιβύλλης ἔπη ἀναγνωσθῆναι
καίπερ ἀντειπόντος τοῦ Πομπηίου. κἀν τούτῳ ὁ Τί- 61
βερις εἴτ' οὖν ὄμβρων ἄνω που ὑπὲρ τὴν πόλιν ἐξ-
αισίων γενομένων, εἴτε καὶ σφοδροῦ πνεύματος ἐκ τῆς
θαλάσσης τὴν ἐκροὴν αὐτοῦ ἀνακόψαντος, εἴτε καὶ
μᾶλλον, ὡς ὑπωπτεύετο, ἐκ παρασκευῆς δαιμονίου
τινὸς τοσοῦτος ἐξαπιναίως ἐρρύη, ὥστ' ἐν πᾶσι μὲν
τοῖς πεδίοις τοῖς ἐν τῷ ἄστει οὖσι πελαγίσαι, πολλὰ
δὲ καὶ τῶν μετεωροτέρων καταλαβεῖν. αἵ τε οὖν ⟨οἰ- 2
κίαι⟩ (ἐκ πλίνθων γὰρ συνῳκοδομημέναι ἦσαν) διά-
βροχοί τε ἐγένοντο καὶ κατερράγησαν, καὶ τὰ ὑποζύγια
πάντα ὑποβρύχια ἐφθάρη. τῶν τε ἀνθρώπων ὅσοι μὴ
ἔφθησαν πρὸς τὰ πάνυ ὑψηλὰ ἀναφυγόντες, οἱ μὲν
⟨ἐν⟩ ταῖς τέγαις, οἱ δὲ καὶ ἐν ὁδοῖς ἐγκαταληφθέντες

3, 4 ὅμως] ὅπως Ma ‖ 6 ⟨ἐπ'⟩ inseruit B ‖ 4, 1 ἐπίεσεν Leunclavius, ἔπεισεν Ma ‖ 61, 1, 1 διὸ καίπερ Ma, unde R suspicatur latere hic δημοσίᾳ vel διὰ ⟨τῶν ἱερέων⟩ vel tale quid ‖ ἀνειπόντος Ma ‖ 6 τοσοῦτος Pflugk, τοσοῦτον Ma ‖ 2, 1 ⟨οἰκίαι⟩ inseruit Leunclavius e Xiphil. ‖ 6 ⟨ἐν⟩ addidit Leunclavius

ἐξώλοντο. καὶ γὰρ αἱ λοιπαὶ οἰκίαι ἅτε ἐπὶ πολλὰς
ἡμέρας τοῦ δεινοῦ συμβάντος σαθραί τε ἐγένοντο καὶ
πολλοῖς τοῖς μὲν εὐθύς, τοῖς δὲ καὶ μετὰ τοῦτ' ἐλυ-
3 μήναντο. οἱ οὖν Ῥωμαῖοι ἐπί τ' ἐκείνοις τοῖς παθή-
μασι λυπούμενοι καὶ ἕτερα χαλεπώτερα ὡς καὶ διὰ τὴν
τοῦ Πτολεμαίου κάθοδον ὀργήν σφισι τοῦ δαιμονίου
πεποιημένου προσδεχόμενοι ἠπείγοντο καὶ ἀπόντα τὸν
Γαβίνιον ὡς καὶ ἧττόν τι, ἂν φθάσωσιν αὐτὸν ἀπο-
4 λέσαντες, κακωθησόμενοι θανατῶσαι. καὶ οὕτω γε
ἐντόνως ἔσχον, ὥστε καίτοι μηδενὸς τοιούτου ἐν τοῖς
Σιβυλλείοις χρησμοῖς εὑρεθέντος ὅμως τὴν γερουσίαν
πικρότατα καὶ τραχύτατα τούς τε ἄρχοντας καὶ τὸν
δῆμον αὐτῷ χρήσασθαι προβουλεῦσαι.

62 ἐν ᾧ δὲ ταῦτ' ἐγίγνετο, χρήματα ὑπὸ τοῦ Γαβι-
νίου προπεμφθέντα οὐχ ὅπως ἀπόντα, ⟨ἀλλ'⟩ οὐδὲ
ἐπανελθόντα δεινόν τι παθεῖν αὐτὸν ἐπί γε ἐκείνοις
ἐποίησε. καίτοι οὕτω καὶ αὐτὸς αἰσχρῶς καὶ κακῶς
ὑπὸ τοῦ συνειδότος διετέθη, ὥστε καὶ χρόνιος ἐς τὴν
Ἰταλίαν ἀφικέσθαι καὶ νυκτὸς ἐς τὴν πόλιν ἐσκομι-
σθῆναι ἔξω τε τῆς οἰκίας συχναῖς πάνυ ἡμέραις μὴ
2 τολμῆσαι φανῆναι. τὰ μὲν οὖν ἐγκλήματα πολλὰ ἦν
καὶ κατηγόρους οὐκ ὀλίγους εἶχε. πρῶτον δ' οὖν περὶ
τῆς τοῦ Πτολεμαίου καθόδου ἅτε καὶ μεγίστου ἐδι-
κάσθη. καὶ ὅ γε δῆμος σύμπας ὡς εἰπεῖν πρός τε
τὸ δικαστήριον συνερρύη καὶ διασπάσασθαι πολλάκις

2, 7 καὶ γὰρ] δὴ καὶ? an μέντοι καὶ? B ‖ 9 πολλοῖς R, πολλοὶ Ma, πολλὰ πολλοῖς Reiske, πολλαὶ sc. οἰκίαι Leunclavius ‖ 4, 5 χρήσασθαι] χρῆσθαι Reiske ‖ 62, 1, 2 ⟨ἀλλ'⟩ inseruit Xylander ‖ 3 ἐπανελθόντα Reiske, ἐπελθόντα Ma ‖ 4 ἐποίησε St, ἐποίησαν Xylander, ποιῆσαι Ma ‖ καίτοι Reiske, καὶ Ma ‖ 7 οἰκίας Leunclavius, Ἰταλίας Ma, αὐλίας Toupius, ἐπαυλίας Reiske ‖ 2, 3 ⟨τοῦ⟩ μεγίστου malit St



αὐτὸν ἠθέλησεν, ἄλλως τε καὶ ὅτι οὐθ' ὁ Πομπήιος
παρῆν, καὶ ὁ Κικέρων δεινότατα αὐτοῦ κατηγόρησεν.
οὕτω δὲ αὐτῶν διακειμένων ἀφείθη· αὐτός τε γὰρ ἅτε 3
ἐπὶ τηλικούτοις κρινόμενος παμπληθῆ χρήματα ἀνά-
λωσε, καὶ οἱ τοῦ Πομπηίου τοῦ τε Καίσαρος ἑταῖροι
προθυμότατα αὐτῷ συνήραντο λέγοντες ἄλλον τέ τινα
καιρὸν καὶ ἄλλον βασιλέα πρὸς τῆς Σιβύλλης εἰρῆσθαι
καὶ τὸ μέγιστον, ὅτι μηδεμία τῶν πραχθέντων τιμωρία
ἐν τοῖς ἔπεσιν αὐτῆς ἐνεγέγραπτο.

ὁ δ' οὖν δῆμος ὀλίγου μὲν καὶ τοὺς δικαστὰς 63
ἀπέκτεινε, διαφυγόντων δὲ αὐτῶν ἐπετήρει τὰ λοιπὰ
αὐτοῦ ἐγκλήματα καὶ ἐποίησεν ἐπ' ἐκείνοις γοῦν αὐτὸν
ἁλῶναι. οἱ γὰρ λαχόντες περὶ αὐτῶν κρῖναι τό τε 2
πλῆθος ἅμα φοβηθέντες καὶ μηδὲν μέγα παρὰ τοῦ
Γαβινίου εὑρόμενοι (ὡς γὰρ ἐπί τε βραχυτέροις εὐθυ-
νόμενος καὶ προσδοκῶν καὶ τότε κρατήσειν οὐ πολλὰ
ἐδαπάνησε) κατεψηφίσαντο αὐτοῦ καίτοι τοῦ τε Πομ-
πηίου πλησίον ὄντος καὶ τοῦ Κικέρωνος συναγορεύ-
οντος αὐτῷ. ὁ γὰρ Πομπήιος κατὰ τὴν τοῦ σίτου 3
πρόνοιαν, ἐπειδὴ πολὺς ὑπὸ τοῦ ποταμοῦ διέφθαρτο,
ἐκδημήσας ὥρμησε μὲν ὡς καὶ ἐς τὸ πρότερον δικα-
στήριον ἀπαντήσων (ἐν γὰρ τῇ Ἰταλίᾳ ἦν), ὑστερήσας
δὲ αὐτοῦ οὐκ ἀπεχώρησεν ἐκ τοῦ προαστείου, πρὶν καὶ
ἐκεῖνο τελεσθῆναι. καὶ μέντοι καὶ τοῦ δήμου ἔξω τοῦ 4
πωμηρίου (τὴν γὰρ ἀρχὴν ἤδη τὴν τοῦ ἀνθυπάτου
ἔχων οὐκ ἠδυνήθη ἐς τὴν πόλιν ἐσελθεῖν) ἀθροισθέν-
τος πολλὰ ὑπὲρ τοῦ Γαβινίου ἐδημηγόρησε καὶ γράμ-
ματά τέ τινα παρὰ τοῦ Καίσαρος πρὸς ἑαυτὸν ὑπὲρ

3, 1 ⟨ὅμως⟩ ἀφείθη Reiske ‖ 63, 2, 1 οἱ γὰρ] οἱ γοῦν Leunclavius ‖ 2, 3 εὑράμενοι Ma ‖ ὡς B, ὁ Ma, ἅτε Pflugk ‖ 6 συναγορεύοντος Xylander, ἀγορεύοντος Ma

5 αὐτοῦ πεμφθέντα ἀνέγνω καὶ τοὺς δικαστὰς ἱκέτευσε, τόν τε Κικέρωνα οὐχ ὅπως κατηγορῆσαι ἔτ' αὐτοῦ ἐκώλυσεν, ἀλλὰ καὶ ὑπερδικῆσαι [καὶ] ἔπεισεν, ὥστε καὶ ἐκ τούτου τὸ τοῦ αὐτομόλου ἔγκλημα καὶ ὄνομα ἐπὶ πλεῖόν οἱ αὐξηθῆναι. οὐ μέντοι καὶ ὠφέλησέ τι τὸν Γαβίνιον, ἀλλὰ τότε μὲν ἔφυγεν ἁλούς, ὥσπερ εἶπον, ὕστερον δ' ὑπὸ τοῦ Καίσαρος κατήχθη.

64 ἐν δὲ τῷ αὐτῷ τούτῳ χρόνῳ καὶ ἡ τοῦ Πομπηίου γυνὴ θυγάτριόν τι τεκοῦσα ἀπέθανε· καὶ αὐτὴν εἴτε διαπραξαμένων τῶν τε ἐκείνου καὶ τῶν τοῦ Καίσαρος φίλων ἢ καὶ ἄλλως πως χαρίσασθαί τινες αὐτοῖς ἐθελήσαντες συνήρπασαν, ἐπειδὴ τάχιστα τῶν ἐν τῇ ἀγορᾷ ἐπαίνων ἔτυχε, καὶ ἐν τῷ Ἀρείῳ πεδίῳ ἔθαψαν καίτοι τοῦ Δομιτίου ἀνθισταμένου καὶ λέγοντος ἄλλα τε καὶ ὅτι οὐχ ὁσίως ἐν τῷ ἱερῷ τόπῳ ἄνευ τινὸς ψηφίσματος θάπτοιτο.

65 κἂν τούτῳ καὶ ὁ Πομπτῖνος ὁ Γάιος τὰ ἐπινίκια τὰ τῶν Γαλατῶν ἔπεμψεν· ἐς γὰρ ἐκεῖνο τοῦ χρόνου μηδενός οἱ διδόντος αὐτὰ ἔξω τοῦ πωμηρίου διέμεινε.
2 καὶ τότε δ' ἂν αὐτῶν ἥμαρτεν, εἰ μὴ ὁ Γάλβας ὁ Σερούιος συστρατευσάμενος αὐτῷ κρύφα καὶ ὑπὸ τὴν ἕω στρατηγῶν τὴν ψῆφόν τισι καίπερ οὐκ ἐξὸν ἐκ τῶν νόμων, πρὶν πρώτην ὥραν γενέσθαι, ἐν τῷ δήμῳ τι χρηματισθῆναι ἔδωκε. καὶ διὰ τοῦτο τῶν δημάρχων τινὲς ἀπολειφθέντες τῆς ἐκκλησίας ἐν γοῦν τῇ πομπῇ πράγματα αὐτῷ παρέσχον, ὥστε καὶ σφαγὰς συμβῆναι.

5, 3 [καὶ] delevit R ‖ 64, 8 τῷ delendum censet Reiske, sed cf. 48, 53, 6.

# ΔΙΩΝΟΣ

## ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ Μ.

*Τάδε ἔνεστιν ἐν τῷ τεσσαρακοστῷ τῶν Δίωνος Ῥωμαικῶν.*

Ὡς Καῖσαρ τὸ δεύτερον ἐς Βρεττανίαν διέπλευσεν. (c. 1—3.)
Ὡς Καῖσαρ ὑποστρέψας ἀπὸ Βρεττανίας τοῖς Γαλάταις αὖθις ἐπολέμησεν. (c. 4—11.)
Ὡς Κράσσος Πάρθοις πολεμεῖν ἤρξατο. (c. 12—13.)
Περὶ Πάρθων. (c. 14. 15.)
Ὡς Κράσσος ἡττηθεὶς ὑπ' αὐτῶν ἀπώλετο. (c. 16—30.)
Ὡς Καῖσαρ τὴν Γαλατίαν τὴν ὑπὲρ τὰς Ἄλπεις πᾶσαν κατεστρέψατο. (c. 31—43.)
Ὡς Μίλων Κλώδιον ἀποκτείνας κατεδικάσθη. (c. 44—57.)
Ὡς Καῖσαρ καὶ Πομπήιος στασιάζειν ἤρξαντο. (c. 58—66.)

Χρόνου πλῆθος τὰ λοιπὰ τῆς Δομιτίου καὶ Ἀππίου Κλαυδίου ὑπατείας καὶ ἄλλα ἔτη δ', ἐν οἷς ἄρχοντες οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο.

Γν. Δομίτιος Μ. υἱὸς Καλουῖνος, Μ. Οὐαλέριος Μεσσάλας.

21 Καλουίνιος Ma

*Γν. Πομπήιος Γν. υἱ. Μάγνος τὸ γ', Καικίλιος Μέτελλος Σκιπίων Νασικοῦ υἱ.*
*Σερούιος Σουλπίκιος Κ. υἱ. Ῥοῦφος, Μ. Κλαύδιος Μ. υἱ. Μάρκελλος.*
*Λ. Αἰμίλιος Μ. υἱ. Παῦλος, Γ. Κλαύδιος Μάρκελλος.*

---

a. u. 700 Ἐν μὲν δὴ τῇ Ῥώμῃ ταῦτα τότε ἑπτακόσια ἔτη
(54) ἀγούσῃ ἐγένετο· ἐν δὲ δὴ τῇ Γαλατίᾳ ὁ Καῖσαρ ἐπὶ
τῶν αὐτῶν ἐκείνων τοῦ Δομιτίου τοῦ Λουκίου καὶ
τοῦ Κλαυδίου τοῦ Ἀππίου ὑπάτων τά τε ἄλλα καὶ
ναῦς ἐν μέσῳ τῶν τε σφετέρων τῶν ταχειῶν καὶ τῶν
αὐτόθεν τῶν φορτίδων, ὅπως ὡς μάλιστα καὶ κουφί-
ζωσι καὶ πρὸς τὸ κῦμα ἀντέχωσιν, ἐπί τε τοῦ ξηροῦ
2 ἱστάμεναι μὴ λυμαίνωνται, παρεσκευάσατο. καὶ ἐπειδὴ
πλώιμα ἐγένετο, ἐς τὴν Βρεττανίαν αὖθις ἐπεραιώθη
πρόφασιν μέν, ὅτι μὴ πάντας τοὺς ὁμήρους, οὓς ὑπέ-
σχοντό οἱ, ἐπεπόμφεσαν νομίζοντες αὐτόν, ὅτι διὰ
κενῆς τότε ἀνεχώρησε, μηκέτ' αὖθις σφῶν πειράσειν,
ποιησάμενος, ἔργῳ δὲ δεινῶς τῆς νήσου ἐφιέμενος,
ὥστε, εἰ μὴ καὶ τοῦτο ἦν, πάντως ἂν ἄλλην τινὰ σκῆ-
3 ψιν εὑρεῖν. κατῆρέ τε οὖν ἔνθα καὶ πρότερον μηδε-
νὸς ὑπό τε τοῦ πλήθους τῶν νεῶν καὶ ὑπὸ τοῦ πολ-
λαχόσε ἅμα αὐτὰς κατασχεῖν τολμήσαντος ἀντιστῆναι
2 καὶ τὸ ναύσταθμον εὐθὺς ἐκρατύνατο. οἱ οὖν βάρ-
βαροι τὸν μὲν πρόσπλουν αὐτοῦ οὐκ ἠδυνήθησαν διὰ
ταῦτα κωλῦσαι, δείσαντες δὲ μᾶλλον ἢ πρότερον ἅτε

1 τὸ γ' ὕπ. Ma ‖ 3 *Σέρπος* Ma ‖ *Ῥοῦφος* ὕπ. Ma ‖ 5 *Δαιμιλίου* Ma ‖ *Παῦλος* σπ. i. e. ὕπ. Ma

**1**, 1, 3 *τοῦ Λουκίου* B, *αὐτοῦ Λουκίου* Ma, *αὖ τοῦ Λ.* R. Stephanus ‖ **2**, 1, 1 *τὸ* Reiske, *τὸν* Ma



καὶ στρατῷ πλείονι αὐτοῦ ἐλθόντος ἐς τὸ λασιώτατον
καὶ ἐς τὸ λοχμωδέστατον τῶν ἐγγὺς χωρίων πάντα
τὰ τιμιώτατα συνεφόρησαν καὶ αὐτὰ ἐν ἀσφαλεῖ ποιη- 2
σάμενοι (τά τε γὰρ πέριξ ξύλα ἔκοψαν καὶ ἕτερα ἐπ'
αὐτοῖς στοιχηδὸν ἐπισυνένησαν, ὥστε ἐν χαρακώματι
τρόπον τινὰ εἶναι) ἔπειτα τοὺς προνομεύοντας τῶν
Ῥωμαίων ἐλύπουν. καὶ δὴ καὶ μάχῃ τινὶ ἐν τῷ ψιλῷ
ἡττηθέντες ὑπήγαγον σφᾶς ἐκεῖσε κατὰ τὴν δίωξιν
καὶ συχνοὺς ἀνταπέκτειναν. καὶ μετὰ τοῦτο χειμῶνος 3
αὖθις τὰς ναῦς αὐτῶν λυμηναμένου συμμάχους τε
προσμετεπέμψαντο καὶ ἐπ' αὐτὸ τὸ νεώριον σφῶν ὥρ-
μησαν Κασουελλανὸν τὸν τὰ πρῶτα τῶν ἐν τῇ νήσῳ
δυναστῶν φερόμενον προστησάμενοι. καὶ αὐτοῖς ἀπ- 4
αντήσαντες οἱ Ῥωμαῖοι τὸ μὲν πρῶτον ἐταράχθησαν
τῇ τῶν ἁρμάτων σφῶν προσμίξει, ἔπειτα δὲ διστά-
μενοι καὶ ἐκεῖνά τε παρεξιέντες καὶ τοὺς παραθέον-
τας ἐς τὰ πλάγια βάλλοντες ἀνίσωσαν τὴν μάχην.
καὶ τότε μὲν κατὰ χώραν ἀμφότεροι ἔμειναν· αὖθις 3
δὲ οἱ βάρβαροι τοῦ μὲν πεζοῦ κρείττους γενόμενοι,
ὑπὸ δὲ τῆς ἵππου κακωθέντες πρός τε τὸν Ταμέσαν
ἀνεχώρησαν καὶ τὸν πόρον αὐτοῦ σταυροῖς, τοῖς μὲν
ἐμφανέσι, τοῖς δὲ καὶ ὑφύδροις, διαλαβόντες ηὐλί-
σαντο. ἐπειδὴ δὲ ἐκείνους τε ὁ Καῖσαρ τό τε σταύ- 2
ρωμα προσβολῇ βιαίᾳ ἐκλιπεῖν ἠνάγκασε καὶ μετὰ τοῦτο
καὶ ἐκ τοῦ ἐρύματος προσεδρείᾳ ἐξήλασε, καὶ τοὺς
προσβάλλοντας σφῶν τῷ ναυστάθμῳ ἕτεροι ἀπεώσαντο,
καὶ κατέδεισαν καὶ κατελύσαντο ὁμήρους τε δόντες καὶ
φόρον ἐτήσιον ταξάμενοι.

3, 4 *Κασουελλανὸν*] *Καὶ σουελλανὸν* Ma ‖ 4, 5 *πλάγια* Reiske, *πλαίσια* Ma ‖ *ἀνίσωσαν* Reiske, *ἀνέσωσαν* Ma ‖ **3**, 2, 1 *δὲ* Reiske, *τε* Ma ‖ 2, 5 *καὶ κατέδεισαν*] *τότε δὲ κατ.* Reiske, *καὶ* om. Ma

4 καὶ οὕτως ὁ Καῖσαρ ἀπῆρε παντάπασιν ἐκ τῆς νή-
σου καὶ οὐδὲν ἐγκατέλιπε στράτευμα ἐν αὐτῇ· ἐκεῖνό
τε γὰρ κινδυνεύσειν ἐν ἀλλοτρίᾳ πῃ χειμάζον καὶ
αὐτὸς οὐκ ἂν ἐν καλῷ ἐπὶ πλεῖον ἀπὸ τῆς Γαλατίας
ἀποδημῆσαι νομίζων ἠγάπησε τοῖς παροῦσι, μὴ καὶ
2 μειζόνων ὀριγνώμενος καὶ περὶ ἐκείνοις σφαλῇ. καὶ
ἔδοξε καὶ τοῦτο ὀρθῶς πεποιηκέναι, ὥσπερ που καὶ
τῷ ἔργῳ διεδείχθη· ἐπεὶ γὰρ ἐς τὴν Ἰταλίαν ὥρμησεν
ὡς καὶ ἐκεῖ παραχειμάσων, οἱ Γαλάται καίτοι φρου-
ροὺς ὡς ἕκαστοι πολλοὺς ἔχοντες ὅμως ἐνεόχμωσαν,
καί τινες αὐτῶν καὶ φανερῶς ἐπανέστησαν. ὅπερ εἰ
ἐν τῇ Βρεττανίᾳ καταμείναντος αὐτοῦ παρὰ τὸν χει-
μῶνα ἐγεγόνει, πάντα ἂν τὰ τῇδε ἐτετάρακτο.

5 ἦρξαν δὲ τοῦ πολέμου τούτου Ἐβουρωνοὶ ἡγουμέ-
νου σφίσιν Ἀμβιόριγος. καὶ ἔλεγον μὲν τῇ παρουσίᾳ
τῶν Ῥωμαίων, ⟨ὧν⟩ ὅ τε Σαβῖνος καὶ Λούκιος Κότ-
τας ὑποστράτηγοι ἦρχον, ἀχθόμενοι κεκινῆσθαι· τὸ δ'
ἀληθὲς ἐκείνων τε κατεφρόνησαν ὡς οὐχ ἱκανῶν ἀμῦ-
ναι σφᾶς ἐσομένων καὶ τὸν Καίσαρα οὐκ ἤλπισαν διὰ
2 ταχέων σφίσιν ἐπιστρατεύσειν. ἐπῆλθόν τε οὖν αὐτοῖς
μὴ προσδεχομένοις ὡς καὶ αὐτοβοεὶ τὸ στρατόπεδον
αἱρήσοντες καί, ἐπειδὴ διήμαρτον αὐτοῦ, πρὸς ἀπάτην
ἐτράποντο. τῶν γὰρ χωρίων τὰ ἐπιτηδειότατα ὁ Ἀμ-
βιόριξ προλοχίσας ἦλθεν ἐξ ἐπικηρυκείας πρὸς τοὺς
3 Ῥωμαίους ὡς οὐχ ἑκὼν δὴ πολεμήσας καὶ αὐτὸς μὲν
μεταγιγνώσκειν ἔφη, τοὺς δ' ἄλλους φυλάττεσθαί σφισι
παρῄνεσεν· οὔτε γὰρ αὐτῷ πειθαρχεῖν αὐτοὺς καὶ
ἐκείνοις μέλλειν τῆς νυκτὸς ἐπιθήσεσθαι. κἀκ τούτου

4, 1, 3 πῃ] γῇ Reiske ‖ 5 μὴ om. Ma ‖ 5, 1, 1 Ἐβουρωνοὶ ἡγουμένου Leunclavius, Ἐβούρων οἱ ἡγούμενοι Ma ‖ 3 ⟨ὧν⟩ inseruit Leunclavius ‖ 3, 4 ἐκείνοις Xylander, ἐκείνους Ma



καὶ γνώμην αὐτοῖς ἔδωκε τὴν μὲν Ἐβουρωνίαν ὡς καὶ
κινδυνεύσουσιν, ἂν καταμείνωσι, καταλιπεῖν, πρὸς δὲ
συστρατιώτας τινὰς πέλας που χειμάζοντας ὡς τάχιστα
μεταστῆναι. ἀκούσαντες δὲ ταῦτα οἱ Ῥωμαῖοι ἐπεί- 6
σθησαν, ἄλλως τε καὶ ὅτι εὐηργέτητο πολλὰ ὑπὸ τοῦ
Καίσαρος καὶ χάριν αὐτῷ ταύτην ἀντιδιδόναι ἐδόκει.
συσκευασάμενοί τε σπουδῇ εὐθὺς ἀφ' ἑσπέρας ἀφώρμη-
σαν καὶ ἐμπεσόντες ἐς τὰ λελοχισμένα δεινῶς ἐσφά-
λησαν· ὅ τε γὰρ Κόττας παραχρῆμα μετὰ πολλῶν 2
ἀπώλετο, καὶ τὸν Σαβῖνον ὁ Ἀμβιόριξ μετεπέμψατο
μὲν ὡς καὶ σώσων (οὔτε γὰρ τοῖς γιγνομένοις παρῆν
καὶ πιστὸς αὐτῷ καὶ τότε ἔτ' ἐδόκει εἶναι), συλλαβὼν
δὲ δὴ καὶ ἀποδύσας καὶ τὰ ὅπλα καὶ τὴν ἐσθῆτα
κατηκόντισεν ἐπιλέγων ἄλλα τε καὶ ὅτι τοιοίδε μέντοι
ὄντες πῶς τηλικούτων ἡμῶν ὄντων ἄρχειν ἐθέλετε;
οὗτοι μὲν δὴ ταῦτα ἔπαθον· οἱ δὲ λοιποὶ διέπεσον 3
μὲν ἐς τὸ τάφρευμα, ὅθεν ἀπανειστήκεσαν, ἐπεὶ δὲ οἵ
τε βάρβαροι καὶ ἐκεῖ προσέμιξαν καὶ οὔτ' ἀμύνασθαι
αὐτοὺς οὔτε διαφυγεῖν ἠδυνήθησαν, ἀλλήλους ἀπ-
έκτειναν.

γενομένου δὲ τούτου ἄλλοι τέ τινες τῶν πλησιο- 7
χώρων ἀπέστησαν καὶ Νερούιοι καίτοι Κυίντου Κικέ-
ρωνος παρ' αὐτοῖς χειμάζοντος (ἀδελφὸς δὲ τοῦ Κικέ-
ρωνος τοῦ Μάρκου ἦν, ὑποστρατηγῶν τῷ Καίσαρι)
καὶ αὐτοὺς ὁ Ἀμβιόριξ προσλαβὼν συνέβαλε τῷ Κικέ-
ρωνι· καὶ ἀγχώμαλα ἀγωνισάμενος καί τινας καὶ ζων- 2

3, 6 κινδυνεύσωσιν Ma ‖ 6, 1, 3 ταύτην ἀντιδιδόναι Herwerden (ταύτην ἀνταποδιδόναι iam Naber Mnem. IV, p. 344), τὰ ὑπεναντία διδόναι Ma, τῶν ⟨ὑπουργημένων⟩ τὰ ὑπεναντία ⟨δηλῶν⟩ vel τῶν ὑπεναντίων ⟨διαβούλια δηλῶν⟩ Reiske ‖ 4 ἀφ' ἑσπέρας] *prima luce* Caes. b. G. 5, 31, sed coniungendum videtur cum voce συσκευασάμενοι

τας ἑλὼν ἀπατῆσαι μέν πῃ καὶ ἐκεῖνον ἐπεχείρησε,
μὴ δυνηθεὶς δὲ ἔς τε πολιορκίαν κατέστησε καὶ διὰ
ταχέων ὑπό τε τῆς πολυχειρίας καὶ ὑπὸ τῆς ἐμπειρίας,
ἣν ἐκ τῆς συστρατείας, ἣν μετὰ τῶν Ῥωμαίων ἐπεποί-
ητο, ἐκέκτητο, καί τινα καὶ παρὰ τῶν αἰχμαλώτων
ἀν' ἕκαστον μαθὼν καὶ ἀπεσταύρωσε καὶ ἀπετάφρευ-
3 σεν. ἐγίγνοντο μὲν γὰρ καὶ μάχαι, οἷα ἐν τῷ τοι-
ούτῳ εἰκὸς ἦν, συχναί, καὶ ἀπώλλυντο πολὺ πλείους
τῶν βαρβάρων ἅτε καὶ πλείους ὄντες· οὐ μὴν ἀλλὰ
αὐτοὶ μὲν ὑπὸ τῆς περιουσίας τοῦ στρατοῦ οὐδὲ ἐν
αἰσθήσει τοῦ φθειρομένου σφῶν ἦσαν, οἱ δὲ δὴ Ῥω-
μαῖοι μήτε ἄλλως πολλοὶ ὄντες καὶ ἐλάττους ἀεὶ γι-
8 γνόμενοι ῥᾳδίως περιεστοιχίσθησαν. κινδυνευόντων
οὖν αὐτῶν ἁλῶναι — οὔτε γὰρ τὰ τραύματα θερα-
πεύειν ἀπορίᾳ τῶν ἐπιτηδείων ἠδύναντο οὔτε τὴν τρο-
φὴν ἀφθόνως ἅτε ἐν ἀδοκήτῳ πολιορκίᾳ εἶχον· οὐδ'
ἐπήμυνέ τις αὐτοῖς καίτοι πολλῶν οὐκ ἄπωθεν χειμα-
ζόντων· οἱ γὰρ βάρβαροι τὰς ὁδοὺς ἀκριβῶς φυλάσ-
σοντες πάντας τοὺς ἐκπεμπομένους σφῶν συνελάμβα-
2 νον κἀν τοῖς ὀφθαλμοῖς αὐτῶν ἐφόνευον — Νερούιός
τις εὐνοϊκῶς σφισιν ἐξ εὐεργεσίας ἔχων καὶ τότε σὺν
τῷ Κικέρωνι πολιορκούμενος δοῦλόν τινα ἑαυτοῦ δι-
άγγελον αὐτῷ παρέσχεν· ἔκ τε γὰρ τῆς σκευῆς καὶ ἐκ
τῆς φωνῆς τῆς ἐπιχωρίας ἠδυνήθη λαθεῖν συγγενόμε-
νος τοῖς πολεμίοις ὡς καὶ ἐξ αὐτῶν ὢν καὶ μετὰ τοῦτο
9 ἀποχωρήσας. μαθὼν οὖν ὁ Καῖσαρ τὸ γιγνόμενον
(οὐδέπω δὲ ἐς τὴν Ἰταλίαν ἀπεληλύθει, ἀλλ' ἔτ' ἐν

7, 2, 7 ἀν' ἕκαστον Reiske, ἂν ἑκάστων Ma, ἂν ὡς ἑκάστων ? B, ἂν aut delendum aut in αὖ vel ἅμα mutandum censet St ‖ 3, 3 aut πλειόνων ὄντων scribendum aut ἅτε καὶ πλείους ὄντες post αὐτοὶ μὲν ponendum censet B ‖ 4 ὑπὸ R Stephanus, περὶ Ma ‖ 8, 2, 3 διάγγελον R Stephanus, δ' ἄγγελον Ma



ὁδῷ ἦν) ἀνέστρεψε καὶ τοὺς ἐν τοῖς χειμαδίοις, δι'
ὧν διῄει, στρατιώτας παραλαμβάνων ἠπείγετο. κἀν
τούτῳ φοβηθείς, μὴ καὶ φθάσῃ ὁ Κικέρων ἀπογνώσει
τῆς βοηθείας δεινόν τι παθὼν ἢ καὶ συνθέμενος,
προέπεμψεν ἱππέα. τῷ μὲν γὰρ οἰκέτῃ τῷ τοῦ Νερ- 2
ουίου καίτοι πεῖραν ἔργῳ τῆς εὐνοίας αὐτοῦ λαβὼν
οὐκ ἐπίστευσε, μὴ καὶ τοὺς πατριώτας ἐλεήσας μέγα
τι κακὸν σφᾶς ἐξεργάσηται. ἐκ δὲ δὴ τῶν συμμάχων
ἱππέα τήν τε διάλεκτον αὐτῶν εἰδότα καὶ τῇ στολῇ
τῇ ἐκείνων σκευασθέντα ἔπεμψε. καὶ ὅπως γε μηδ' 3
αὐτός τι μήτ' οὖν ἐθελοντὴς μήτ' ἄκων ἐξείπῃ, οὔτε
τι αὐτῷ ἐξελάλησε καὶ τῷ Κικέρωνι πάνθ' ὅσα ἠβου-
λήθη ἑλληνιστὶ ἐπέστειλεν, ἵνα, ἂν καὶ τὰ γράμματα
ἁλῷ, ἀλλ' ἀσύνετά γε καὶ τότε τοῖς βαρβάροις ὄντα
μηδὲν σφᾶς ἐκδιδάξῃ. εἰώθει δὲ καὶ ἄλλως, ὁπότε τι
δι' ἀπορρήτων τινὶ ἐπέστελλε, τὸ τέταρτον ἀεὶ στοι-
χεῖον ἀντὶ τοῦ καθήκοντος ἀντεγγράφειν, ὅπως ἂν
ἄγνωστα τοῖς πολλοῖς ᾖ τὰ γραφόμενα. ὁ δ' οὖν ἱπ-
πεὺς ἦλθε μὲν πρὸς τὸ τῶν Ῥωμαίων στρατόπεδον,
μὴ δυνηθεὶς δ' ἐγγύθεν αὐτῷ προσμῖξαι συνέδησε τὰ 4
γράμματα ἀκοντίῳ καὶ ὤσας αὐτὸ ἐς τοὺς πολεμίους
πρὸς πύργον ἐξεπίτηδες προσέπηξε. καὶ ὁ μὲν Κικέ-
ρων οὕτω τὴν πρόσοδον τοῦ Καίσαρος μαθὼν ἀνε-
θάρσησε καὶ προθυμότερον διεκαρτέρησεν· οἱ δὲ δὴ 10
βάρβαροι ἐπὶ πολὺ μὲν τὴν ἐπικουρίαν αὐτοῦ ἠγνόησαν
(νυκτοπορῶν γὰρ ἔπειτα τὰς ἡμέρας ἐν ἀφανεστάτοις
χωρίοις ηὐλίζετο, ὅπως ἀπροσδοκήτοις ὅτι μάλιστα
αὐτοῖς προσμίξῃ), ὀψὲ δέ ποτε ἐκ τῆς τῶν πολιορκου-
μένων περιχαρείας ὑποτοπήσαντες αὐτὴν προσκόπους

9, 2, 1 τοῦ om. Ma ‖ 3, 8 ἂν ἄγνωστα] ἀναγνωστα Reiske ‖ 10, 1, 6 περιχαρίας Ma

ἔπεμψαν καὶ μαθόντες παρ' αὐτῶν πλησιάζοντα ἤδη
τὸν Καίσαρα ὥρμησαν ἐπ' αὐτὸν ὡς καὶ ἀνελπίστῳ
2 οἱ προσπεσούμενοι. προμαθὼν οὖν τοῦτ' ἐκεῖνος τήν
τε νύκτα κατὰ χώραν ἔμεινε καὶ ὑπὸ τὴν ἕω χωρίον
τι ἐρυμνὸν προκαταλαβὼν ἐνταῦθα ὡς ἐν βραχυτάτῳ
ἐστρατοπεδεύσατο τοῦ καὶ μετ' ὀλίγων εἶναι δοκεῖν
καὶ ἐκ τῆς πορείας πεπονῆσθαι τήν τε ἔφοδον σφῶν
δεδιέναι κἀκ τούτου καὶ ἐς αὐτὸ τὸ μετέωρον αὐτοὺς
3 ὑπαγαγέσθαι. καὶ ἔσχεν οὕτω· καταφρονήσαντες γὰρ
αὐτοῦ διὰ ταῦτα πρός τε τὸ ὄρθιον προσέβαλον καὶ
μεγάλως ἔπταισαν, ὥστε μηκέτ' ἀντιπολεμῆσαι.

11 οὕτω μὲν οὖν τότε καὶ ἐκεῖνοι καὶ οἱ ἄλλοι πάντες
ἐχειρώθησαν, οὐ μέντοι καὶ δι' εὐνοίας τοῖς Ῥωμαίοις
ἦσαν. οἱ γοῦν Τρηούιροι φοβηθέντες, ἐπειδήπερ τοὺς
παρ' ἑκάστοις ⟨πρώτους⟩ ὁ Καῖσαρ μεταπέμπων ἐκόλαζε,
μὴ καὶ αὐτοὶ δίκην δῶσιν, ἐξεπολεμώθησαν αὖθις
2 [αὐτοῖς] Ἰνδουτιομάρου σφᾶς ἀναπείσαντος καὶ συν-
αποστήσαντες καὶ ἄλλους τινὰς τῶν τὰ αὐτὰ δεδιότων
ἐπεστράτευσαν ἐπὶ τὸν Λαβιῆνον τὸν Τίτον ἐν Ῥημοῖς
ὄντα καὶ ἐπεξελθόντων σφίσι παρὰ δόξαν τῶν Ῥω-
μαίων ἐφθάρησαν.

ταῦτα μὲν ἐν τῇ Γαλατίᾳ ἐγένετο, καὶ ἐν αὐτῇ
καὶ ὁ Καῖσαρ ἐχείμασεν ὡς καὶ ἀκριβῶς σφᾶς κατα-
12 στήσασθαι δυνησόμενος. ὁ δὲ δὴ Κράσσος ἐπιθυμή-
σας τι καὶ αὐτὸς δόξης τε ἅμα καὶ κέρδους ἐχόμενον

3, 1 *ὑπαγαγέσθαι* R, *ἀπαγαγέσθαι* Ma ‖ **11**, 1, 1 *ἐκεῖνοι* Xylander, Reiske, *ἐκεῖνος* Ma ‖ 3 *γοῦν* B, *οὖν* Ma ‖ *Τρηουήριοι* Ma ‖ *ἐπειδήπερ* R, *ἐπειδὴ πρὸς* Ma ‖ 4 ⟨*πρώτους*⟩ inseruerunt R, Herwerden coll. Caes. b. G. 5, 54, 1 *principibus cuiusque civitatis ad se evocatis*, ⟨*αἰτίους*⟩ St, ⟨*ἐπαιτίους*⟩ B ‖ 2, 1 [*αὐτοῖς*] delevit B, in *αὖ τοῦ* mutavit Reiske ‖ *Ἰνδυοτιμάρου* Ma ‖ 2, 7 *ὡς καὶ* ⟨*οὕτω μόνον*⟩ vel ⟨*μόγις*⟩ Reiske



πρᾶξαι, ἔπειτ' ἐπειδὴ μηδὲν ἐν τῇ Συρίᾳ τοιοῦτό τι
εἶδεν ὄν (αὐτοί τε γὰρ ἡσύχαζον, καὶ οἱ πρόσθεν
προσπολεμήσαντές σφισιν οὐδὲν ὑπ' ἀδυνασίας παρε-
κίνουν), ἐπὶ τοὺς Πάρθους ἐπεστράτευσε μήτε ἔγκλημά
τι αὐτοῖς ἐπιφέρων μήτε τοῦ πολέμου οἱ ἐψηφισμένου·
αὐτούς τε γὰρ παμπλουσίους ἤκουεν ὄντας καὶ τὸν
Ὀρώδην εὐάλωτον ἅτε καὶ νεοκατάστατον εἶναι προσ-
εδόκησε. τόν τε οὖν Εὐφράτην ἐπεραιώθη καὶ προ- 2
ῆλθεν ἐπὶ πολὺ τῆς Μεσοποταμίας φέρων τε αὐτὴν
καὶ πορθῶν· τῆς γὰρ διαβάσεως αὐτοῦ ἀδοκήτου τοῖς
βαρβάροις γενομένης οὐδεμία ἀκριβὴς φυλακὴ αὐτῆς
καθειστήκει, ὥστε ταχὺ μὲν ὁ Σιλλάκης ὁ τότε τῆς
χώρας ἐκείνης σατραπεύων ἡττήθη τε περὶ Ἰχνίας,
τεῖχός τι οὕτω καλούμενον, ἱππεῦσιν ὀλίγοις μαχεσά-
μενος καὶ τρωθεὶς ἀπεχώρησεν αὐτάγγελος τῷ βασιλεῖ
τῆς ἐπιστρατείας αὐτοῦ γενησόμενος, ταχὺ δὲ καὶ ὁ 13
Κράσσος τά τε φρούρια καὶ τὰς πόλεις τὰς Ἑλληνί-
δας μάλιστα τάς τε ἄλλας καὶ τὸ Νικηφόριον ὠνο-
μασμένον προσεποιήσατο· τῶν γὰρ Μακεδόνων καὶ
τῶν ἄλλων τῶν συστρατευσάντων σφίσιν Ἑλλήνων
ἄποικοι πολλοὶ βίᾳ ἀχθόμενοι καὶ ἐς τοὺς Ῥωμαίους
ὡς καὶ φιλέλληνας πολλὰ ἐλπίζοντες οὐκ ἀκουσίως
μεθίσταντο. πλήν τε ὅτι οἱ Ζηνοδοτίου οἰκήτορες 2

**12**, 1, 5 *ὑπ' ἀδυνασίας* B, *ὑπ' ἀδυναμίας* vel *ἀσθενείας* Reiske, *ὑπὸ δυναστείας* Ma ‖ 2, 5 *ταχὺ μὲν ὁ* D, *Ταλύμενος* Ma, pro quo *Καλύμενος* legendum esse censet Gutschmid, Geschichte Irans, p. 123, et not. 4 (titulus satrapae Sillacis) ‖ *Σιλλάκης* dicitur Appiano et Plutarcho, *Ἐλλακῆς* Ma ‖ 6 *Ἰχνίας*] *Ἴχναι* apud Plut. Crass. 25 ‖ 8 *αὐτάγγελος* Leunclavius, *αὐτοῦ ἄγγελος* Ma ‖ **13**, 1, 6 *ἀχθόμενοι*] *ἀρχόμενοι* Cobet, Mnem. VII, p. 447, ⟨*τῇ τε τῶν βαρβάρων*⟩ *βίᾳ ἀχθόμενοι* ? B ‖ 2, 1 *πλήν τε ὅτι οἱ* Z. B, *πλήν τε οἵ τε* Z. Ma, *πλὴν οἱ τοῦ* Z. Leunclavius, *πλὴν ὅτι οἵ τε τοῦ* Z. R, *πλήν γε ὅτι οἱ μὲν τοῦ* Z. Reiske ‖ *Ζηνοδοτίου*] *Ζηνοδοτείου* Herwerden

μετέπεμψάν τινας αὐτῶν ὡς καὶ μεταστησόμενοι, ἐπειδὴ
δὲ ἔνδον ἐγένοντο, ἀπέλαβόν τε αὐτοὺς καὶ διέφθει-
ραν καὶ διὰ τοῦτο καὶ ἀνέστησαν, οὐδὲν ἄλλο δεινὸν
3 οὔτε ἔπραξε τότε Κράσσος οὔτε ἔπαθε. πάντως δὲ
κἂν τὰ λοιπὰ χωρία τὰ ἐντὸς τοῦ Τίγριδος ὄντα ἐκε-
χείρωτο, εἰ τῇ τε ἑαυτοῦ ὁρμῇ καὶ τῇ τῶν βαρβάρων
ἐκπλήξει πρὸς πάντα ὁμοίως ἐκέχρητο καὶ προσέτι καὶ
κατὰ χώραν χειμάσας ἐν φρουρᾷ αὐτὰ ἀκριβεῖ ἐπε-
4 ποίητο. νῦν δὲ ἑλὼν ὅσα ἐξ ἐπιδρομῆς ἠδυνήθη λα-
βεῖν, οὔτε τι τῶν λοιπῶν οὔτ᾽ αὐτῶν ἐκείνων ἐφρόν-
τισεν, ἀλλὰ τῇ τε ἐν τῇ Μεσοποταμίᾳ διατριβῇ ἀχθε-
σθεὶς καὶ τῆς ἐν τῇ Συρίᾳ ῥαστώνης ἐπιθυμήσας
παρέσχετο τοῖς Πάρθοις καιρὸν παρασκευάσασθαι καὶ
τοὺς ἐγκαταλειφθέντας ἐν τῇ χώρᾳ στρατιώτας κα-
κῶσαι.

14 αὕτη μὲν ἡ ἀρχὴ τοῖς Ῥωμαίοις τοῦ πρὸς αὐτοὺς
πολέμου ἐγένετο. οἰκοῦσι δὲ ὑπὲρ τοῦ Τίγριδος, τὸ
μὲν πολὺ τείχη καὶ φρούρια, ἤδη δὲ καὶ πόλεις ἄλλας
τε καὶ Κτησιφῶντα, ἐν ᾗ καὶ βασίλεια, ἔχουσι. τὸ
γὰρ γένος σφῶν ἦν μέν που καὶ παρὰ τοῖς πάλαι
2 βαρβάροις, καὶ τό γε ὄνομα τοῦτο καὶ ὑπὸ τὴν Περ-
σικὴν βασιλείαν εἶχον· ἀλλὰ τότε μὲν αὐτοί τε ἐν
μέρει χώρας βραχεῖ ᾤκουν καὶ δυναστείαν ὑπερόριον
οὐκ ἐκέκτηντο, ἐπεὶ δὲ ἥ τε τῶν Περσῶν ἀρχὴ κατε-
λύθη καὶ τὰ τῶν Μακεδόνων ἤκμασεν, οἵ τε τοῦ
Ἀλεξάνδρου διάδοχοι στασιάσαντες ἄλλοι ἄλλα ἀπετέ-
3 μοντο καὶ βασιλείας ἰδίας κατεσκευάσαντο, ἔς τε τὸ

3, 2 κἂν St, καὶ Ma ‖ 4, 5 παρέσχετο B, παρέσχε τε Ma ‖ **14, 1, 4** βασίλεια Leunclavius, βασιλέα Ma ‖ 2, 6 ἄλλοι ἄλλα B, ἄλλοι ἄλλη Ma, ἄλλοις ἄλλα R, Reiske, στασιάσαντες πρὸς ἀλλήλους Xiphilinus



μέσον τότε πρῶτον ὑπ᾽ Ἀρσάκου τινὸς ἀφίκοντο, ὅθεν-
περ καὶ οἱ ἔπειτα βασιλεύσαντες αὐτῶν Ἀρσακίδαι
ἐπωνομάσθησαν, καὶ εὐτυχήσαντες τήν τε πλησιόχωρον
ἐκτήσαντο πᾶσαν καὶ τὴν Μεσοποταμίαν σατραπείαις
κατέσχον, τελευτῶντες δὲ ἐπὶ τοσοῦτο καὶ τῆς δόξης
καὶ τῆς δυνάμεως ἐχώρησαν, ὥστε καὶ τοῖς Ῥωμαίοις
τότε τε ἀντιπολεμῆσαι καὶ δεῦρο ἀεὶ ἀντίπαλοι νομί-
ζεσθαι. εἰσὶ μὲν γὰρ καὶ ἄλλως ἰσχυροὶ τὰ πολέ- 4
μια, μεῖζον δ᾽ ὅμως ὄνομα καίτοι μήτε τῶν Ῥωμαίων
τι παρῃρημένοι καὶ προσέτι καὶ τῆς ἑαυτῶν ἔστιν ἃ
προειμένοι ἔχουσιν, ὅτι μηδέπω δεδούλωνται, ἀλλὰ
καὶ νῦν ἔτι τοὺς πολέμους τοὺς πρὸς ἡμᾶς, ὁσάκις ἂν
συνενεχθῶσι, διαφέρουσι. περὶ μὲν οὖν τοῦ τε γέ- 15
νους καὶ τῆς χώρας τῆς τε ἰδιότητος τῶν ἐπιτηδευμά-
των αὐτῶν πολλοῖς τε εἴρηται καὶ ἐγὼ οὐκ ἐν γνώμῃ
ποιοῦμαι συγγράψαι· τῇ δὲ δὴ ὁπλίσει καὶ τῇ τῶν
πολέμων διαχειρίσει (τούτων γὰρ ὁ ἐξετασμὸς τῷδε
τῷ λόγῳ, ὅτι καὶ ἐς χρείαν αὐτῶν ἀφικνεῖται, προσ-
ήκει) τοιᾷδε χρῶνται. ἀσπίδι μὲν οὐδὲν νομίζουσιν, 2
ἱπποτοξόται δὲ καὶ κοντοφόροι, τὰ πολλὰ κατάφρακτοι,
στρατεύονται· πεζοί τε ὀλίγοι μὲν καὶ οἱ ἀσθενέστε-
ροι, τοξόται δ᾽ οὖν καὶ ἐκεῖνοι πάντες εἰσίν. ἔκ τε
γὰρ παίδων ἀσκοῦνται, καὶ ὁ οὐρανὸς ἥ τε χώρα
αὐτοῖς συναίρεται πρὸς ἀμφότερα. αὕτη τε γὰρ πε- 3
διὰς ὡς πλήθει οὖσα ἀρίστη τε ἵππους τρέφειν ἐστὶ
καὶ ἐπιτηδειοτάτη καθιππεύεσθαι· ἀγέλας γοῦν ὅλας
καὶ ἐν τοῖς πολέμοις, ὥστ᾽ ἄλλοτε ἄλλοις ἵπποις χρῆ-
σθαι καὶ πόρρωθέν τε ἐξαπιναίως ἐπελαύνειν καὶ μα-

3, 5 σατραπίαις Ma ‖ 4, 4 προειμένοι B, προέμενοι Ma ‖ 5 ἔτι Reiske, ἐπὶ Ma ‖ **15, 2, 2** κοντοφόροι V coll. Ammian. Marc. 25, 1 (cf. infra cap. 22, 2), ἀκοντοφόροι Ma ‖ 3, 2 ἀρίστη B, ῥάστη Ma

4 κρᾶν ποι ἐξ αἰφνιδίου ἀποχωρεῖν, ἐπάγονται· καὶ ὁ
οὐρανὸς ὁ ὑπὲρ αὐτῶν, ξηρότατός τε ὢν καὶ ἰκμάδα
οὐδ' ἐλαχίστην ἔχων, ἐντονωτάτας σφίσι τὰς τοξείας
πλὴν τοῦ πάνυ χειμῶνος παρέχεται. καὶ διὰ τοῦτο
τὴν ὥραν ἐκείνην οὐδαμῇ στρατεύονται. τῷ δὲ δὴ
λοιπῷ ἔτει δυσμαχώτατοι ἔν τε τῇ σφετέρᾳ καὶ ἐν τῇ
5 ὁμοιοτρόπῳ εἰσί· τόν τε γὰρ ἥλιον φλογωδέστατον
ὄντα ἀνέχονται τῇ συνηθείᾳ καὶ τῆς ὀλιγότητος τῆς
τε δυσχερείας τοῦ ποτοῦ πολλὰ ἀλεξιφάρμακα ἀνευρή-
κασιν, ὥστε καὶ ἐκ τούτου μὴ χαλεπῶς τοὺς ἐς τὴν
χώραν αὐτῶν ἐσβάλλοντας ἀμύνεσθαι. ἔξω γὰρ ἐκεί-
νης ὑπὲρ τὸν Εὐφράτην μάχαις μέν τισι καὶ καταδρο-
6 μαῖς αἰφνιδίοις ἤδη ποτὲ ἴσχυσάν τι, πολεμῆσαι δέ
τισιν ἀπαυστὶ καὶ διαρκῶς οὐ δύνανται καὶ ἐς ἀλλο-
τριωτάτην σφίσι καὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ κατά-
στασιν ἀπαρτῶντες καὶ μήτε σίτου μήτε μισθοῦ παρα-
σκευὴν ποιούμενοι.

16 τοιαῦτα μὲν τὰ τῶν Πάρθων ἐστίν. ἐσβαλόντος
δὲ ἐς τὴν Μεσοποταμίαν τοῦ Κράσσου, ὥσπερ εἴρηται,
ὁ Ὀρώδης ἔπεμψε μὲν καὶ πρὸς ἐκεῖνον ἐς τὴν Συρίαν
πρέσβεις τῆς τε ἐσβολῆς αἰτιώμενος καὶ τὰς αἰτίας τοῦ
πολέμου πυνθανόμενος, ἔπεμψε δὲ πρὸς ⟨τὰ⟩ ἑαλω-
2 κότα τά τε μεθεστηκότα Σουρήναν σὺν στρατῷ· αὐτὸς
γὰρ τῇ Ἀρμενίᾳ τῇ τοῦ Τιγράνου ποτὲ γενομένῃ δι-
ενοεῖτο ἐπιστρατεῦσαι, ὅπως ὁ Ἀρταβάζης ὁ τοῦ Τι-
γράνου παῖς ὁ τότε αὐτῆς βασιλεύων μηδεμίαν τοῖς

4, 3 ἐντονωτάτας Xiphilinus, ἐντονώτατα Ma ‖ 6, 2 ἀπαυστὶ καὶ Reiske, ἀπαυτίκα Ma ‖ 4 ἀπαρτῶντες B coll. Thuc. 6, 21, ἀπαρτῶνται Ma, ⟨ἄλλως τε⟩ κἂν ἐς ἀ. — ἀπαρτῶνται Maisel obs. in Cass. Dion. p. 23 ‖ μισθοῦ παρασκευὴν R coll. 78, 27, μισθοφόρα σκεύη Ma ‖ **16**, 1, 1 ἐσβάλλοντος Ma ‖ 5 ⟨τὰ⟩ inseruit Reiske



Ῥωμαίοις ἅτε καὶ περὶ τῇ οἰκείᾳ δεδιὼς βοήθειαν
πέμψῃ. ὁ οὖν Κράσσος ἐκείνῳ τε ἐν Σελευκείᾳ (ἔστι 3
δὲ πόλις ἐν τῇ Μεσοποταμίᾳ πλεῖστον τὸ Ἑλληνικὸν
καὶ νῦν ἔχουσα) τὰς αἰτίας τοῦ πολέμου ἐρεῖν ἔφη·
καὶ αὐτῷ τῶν Πάρθων τις ἐς τὴν χεῖρα τὴν ἀριστε-
ρὰν τοῖς τῆς ἑτέρας δακτύλοις κρούσας εἶπεν, ὅτι
θᾶσσον ἐντεῦθεν τρίχες ἀναφύσουσιν ἢ σὺ ἐν Σελευ-
κείᾳ γενήσῃ. καὶ ἐπειδὴ ὁ χειμὼν . . ., ἐν ᾧ Γναῖός 17
τε Καλουῖνος καὶ Οὐαλέριος Μεσσάλας ὑπάτευσαν, a. u.
πολλὰ μὲν καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ τέρατα τότε ἐγένετο. 701 (53)
καὶ γὰρ βύαι καὶ λύκοι ὤφθησαν, οἵ τε κύνες περι-
φοιτῶντες ἠκίζοντο, καὶ ἀγάλματα τὰ μὲν ἵδρωσε, τὰ
δὲ ἐκεραυνώθη· τάς τε ἀρχὰς τὸ μέν τι φιλονεικίᾳ, 2
τὸ δὲ δὴ πλεῖστον ὑπό τε τῶν ὀρνίθων καὶ ὑπὸ διο-
σημιῶν μόλις ποτὲ τῷ ἑβδόμῳ μηνὶ ἀπέδειξαν. ἀλλ'
ἐκεῖνα μὲν οὐδὲν σαφὲς διεδήλου, ἐς ὅ,τι τελευτήσει·
τά τε γὰρ ἐν τῷ ἄστει ἐταράττετο, καὶ οἱ Γαλάται
ἐκινήθησαν αὖθις, πρός τε τοὺς Πάρθους οὐδ' εἰδότες
πω συνερρώγεσαν· τῷ δὲ δὴ Κράσσῳ τὸν Εὐφράτην 3
κατὰ τὸ Ζεῦγμα (οὕτω γὰρ ἀπὸ τῆς τοῦ Ἀλεξάνδρου
στρατείας τὸ χωρίον ἐκεῖνο, ὅτι ταύτῃ ἐπεραιώθη, κέ-
κληται) διαβαίνοντι καὶ προφανῆ καὶ εὐσύμβολα συν-
ηνέχθη. ὁ γὰρ ἀετὸς ὠνομασμένος (ἔστι δὲ νεὼς μι- 18
κρός, καὶ ἐν αὐτῷ ἀετὸς χρυσοῦς ἐνίδρυται· καθίστα-
ταί τε ἐν πᾶσι τοῖς ἐκ τοῦ καταλόγου στρατοπέδοις
καὶ οὐδαμόσε ἐκ τῶν χειμαδίων, πλὴν εἴ ποι σύμπας

3, 6 ἀναφύσουσιν] ἀναφύσονται ? B, φύσονται Plut. Crass. 18 ‖ **17**, 1, 1 χειμὼν . . .] ⟨ἦν⟩ Leunclavius, ⟨ἐνέστη⟩ Reiske ‖ 2 Καλουίνιος Ma ‖ 4 περιφοιτῶντας H. I. Heller ‖ 5 ἠκίζοντο] ἐσκύζοντο Reiske, ὠρύοντο? vel ἔρρυζον ? B ‖ 2, 1 φιλονεικίᾳ Reiske, φιλονεικίαι Ma ‖ 3, 1 πω Reiske, πως Ma ‖ **18**, 1, 1 νεὼς] ναΐσκος Xiphilinus

ὁ στρατὸς ἐξίοι, κινεῖται· καὶ αὐτὸν εἷς ἀνὴρ ἐπὶ δό-
2 ρατος μακροῦ ἐς ὀξὺ τὸν στύρακα ἀπηγμένου, ὥστε
καὶ ἐς τὸ δάπεδον καταπήγνυσθαι, φέρει) τούτων οὖν
τῶν ἀετῶν εἷς οὐκ ἠθέλησε τὸν Εὐφράτην αὐτῷ τότε
συνδιαβῆναι, ἀλλὰ ἐν τῇ γῇ ἐνέσχετο ὥσπερ ἐμπεφυ-
κώς, πρὶν δὴ πολλοὶ περιστάντες βίᾳ αὐτὸν ἀνέσπα-
3 σαν. καὶ ὁ μὲν καὶ ἄκων ἐπηκολούθησε, σημεῖον δέ
τι τῶν μεγάλων τῶν τοῖς ἱστίοις ἐοικότων καὶ φοι-
νικᾶ γράμματα ἐπ' αὐτῶν πρὸς δήλωσιν τοῦ τε στρα-
τοῦ καὶ τοῦ στρατηγοῦ σφῶν τοῦ αὐτοκράτορος ἐχόν-
των ἐς τὸν ποταμὸν ἀπὸ τῆς γεφύρας περιτραπὲν ἐν-
4 έπεσε. καὶ τοῦτο μὲν ὑπὸ πνεύματος ὄντος σφοδροῦ
ἐγένετο· ὁ δὲ δὴ Κράσσος καὶ τἆλλα τὰ ἰσομήκη οἱ
συντεμών, ὅπως βραχύτερα καὶ ἐκ τούτου καὶ βεβαιό-
τερα φέρειν εἴη, προσεπηύξησε τὰ τέρατα. καὶ γὰρ
ὁμίχλη ἐν αὐτῇ τῇ τοῦ ποταμου διαβάσει τοσαύτη τοῖς
στρατιώταις περιεχύθη, ὥστε περί τε ἀλλήλοις αὐτοὺς
σφαλῆναι καὶ μηδὲν τῆς πολεμίας, πρὶν ἐπιβῆναι αὐ-
5 τῆς, ἰδεῖν· καὶ τὰ διαβατήρια τά τε ἀπόβαθρά σφισι
δυσχερέστατα ἐγένετο. κἀν τούτῳ ἄνεμός τε πολὺς
ἐπέπεσε καὶ κεραυνοὶ κατέσκηψαν, ἥ τε γέφυρα, πρὶν
πάντας αὐτοὺς διελθεῖν, διελύθη. καὶ (ἦν γὰρ τὰ γι-
γνόμενα οἷα πάντα τινὰ καὶ τῶν πάνυ ἀγνωμόνων τε
καὶ ἀσυνέτων ἐκδιδάξαι, ὅτι κακῶς ἀπαλλάξουσι καὶ
οὐκ ἀνακομισθήσονται) φόβος καὶ κατήφεια ἐν τῷ
19 στρατοπέδῳ ἐγένετο δεινή. ὁ οὖν Κράσσος παραμυ-

2, 1 μακροῦ Xiphilinus, μικροῦ Ma ‖ 4 ἐνέσχετο] ἐνίσχετο Reiske ‖ 3, 3 αὐτῶν St, αὐτῆς Ma, αὐτοῖς Reiske ‖ 5, 1 ἀπόβαθρα] ἀποβατήρια R, sed confert Naber Bekker, lex. rhet. p. 426, 18: ἀπόβαθρα· ἀποβατήρια, οὕτω Σοφοκλῆς ‖ 5 οἷα Oddey (qui οἷά τε), οἱ Ma



θούμενος αὐτοὺς εἶπεν, ὅτι μὴ καταπλήττεσθε, ἄνδρες
στρατιῶται, εἰ ἡ γέφυρα διέφθαρται, μηδὲ οἴεσθε ἐκ
τούτου χαλεπόν τι ἐπισημαίνεσθαι· ἐγὼ γὰρ ὑμῖν 2
αὐτὸς ἐπομνὺς λέγω, ὅτι δι' Ἀρμενίας τὴν ἐπάνοδον
ποιήσασθαι ἔγνωκα. ἐκ μὲν δὴ οὖν τούτου ἐθάρσυνε
...νῦν δὲ προσεπειπών τινα ἔφη μέγα ἀναβοήσας
"θαρσεῖτε· οὐδεὶς γὰρ ἡμῶν ἐντεῦθεν ἐπανήξει."
ἀκούσαντες γὰρ τοῦθ' οἱ στρατιῶται οἰωνόν τέ σφισιν 3
οὐδενὸς τῶν ἄλλων ἧττω γεγονέναι ἐνόμισαν καὶ ἐς
ἀθυμίαν πλείω κατέπεσον, ὥστε μηδὲν ἔτι μηδὲ τῶν
λοιπῶν αὐτοῦ παραινέσεων φροντίσαι, δι' ὧν τόν τε
βάρβαρον ἐφαύλιζε καὶ τὰ τῶν Ῥωμαίων ἐνεκωμίαζε,
χρήματά τε αὐτοῖς ἐδίδου καὶ γέρα ἐπηγγέλλετο. ἀλλὰ 4
καὶ ὣς εἵποντο, καὶ οὔτε ἀντεῖπέν οἱ οὐδεὶς οὔτ'
ἀντέπραξε, τάχα μὲν καὶ ὑπὸ τοῦ νόμου, ἤδη δὲ καὶ
ἐκπεπληγμένοι καὶ μήτε τι βουλεῦσαι μήτε πρᾶξαι
σωτήριον δυνάμενοι. πάντα γοῦν καὶ τὰ ἄλλα καθάπερ
ὑπὸ δαιμονίου τινὸς κατακεκριμένοι καὶ ταῖς γνώμαις
καὶ τοῖς σώμασιν ἐσφάλλοντο.

μέγιστον δὲ ὅμως αὐτοὺς ὁ Αὔγαρος ὁ Ὀρροηνὸς 20
ἐλυμήνατο· ἔνσπονδος γὰρ τοῖς Ῥωμαίοις ἐπὶ τοῦ
Πομπηίου γενόμενος ἀνθείλετο τὰ τοῦ βαρβάρου. καὶ
τοῦτο μὲν καὶ ὁ Ἀλχαυδόνιος ὁ Ἀράβιος ἐποίησε.
πρὸς γὰρ τὸ ἰσχυρὸν ἀεὶ μεθίστατο. ἀλλ' ἐκεῖνος μὲν 2
ἐκ τοῦ προφανοῦς ἀπέστη καὶ κατὰ τοῦτο οὐ δυσφύ-
λακτος ἦν. ὁ δ' Αὔγαρος ἐφρόνει μὲν τὰ τοῦ Πάρ-
θου, ἐπλάττετο δὲ τῷ Κράσσῳ φιλικῶς ἔχειν καὶ χρή-
ματά τε ἀφειδῶς αὐτῷ ἀνήλισκε καὶ τά τε βουλεύματα

19, 2, 3 ἐθάρσυνε ...] lacunam statuit Reiske, qui supplevit ⟨ἂν αὐτούς⟩, νῦν δὲ προσεπειπὼν ⟨ὡς⟩ ἔφη ‖ 5 ἡμῶν] ὑμῶν Xiphilinus ‖ ἐπανήξει, ⟨παντελῶς κατέπληξεν⟩ Reiske

αὐτοῦ πάντα καὶ ἐμάνθανε καὶ ἐκείνῳ διήγγελλε καὶ
προσέτι, εἰ μέν τι χρηστὸν σφῶν ἦν, ἀπέτρεπεν αὐ-
3 τόν, εἰ δ' ἀσύμφορον, ἐπέσπερχε. καὶ δὴ καὶ τοιόνδε
τι τελευτῶν ἔπραξε. τοῦ γὰρ Κράσσου πρὸς Σελεύ-
κειαν ὁρμῆσαι διανοουμένου, ὥστε ἐκεῖσέ τε ἀσφαλῶς
παρά τε τὸν Εὐφράτην καὶ δι' αὐτοῦ τῷ τε στρατῷ
καὶ τοῖς ἐπιτηδείοις κομισθῆναι καὶ μετ' αὐτῶν (προσ-
ποιήσεσθαι γὰρ σφᾶς ἅτε καὶ Ἕλληνας ῥᾳδίως ἤλπι-
4 ζεν) ἐπὶ Κτησιφῶντα μὴ χαλεπῶς περαιωθῆναι, τού-
του μὲν ὡς καὶ χρονίου ἐσομένου ἀμελῆσαι αὐτὸν
ἐποίησε, τῷ δὲ δὴ Σουρήνᾳ ὡς καὶ ἐγγὺς καὶ μετ'
21 ὀλίγων ὄντι συμμίξαι ἔπεισε. καὶ μετὰ τοῦτο παρα-
σκευάσας τὸν μέν, ὅπως ἀπόληται, τὸν δ', ὅπως κρα-
τήσει (συνεχῶς γὰρ προφάσει κατασκοπῆς τῷ Σουρήνᾳ
συνεγίγνετο), ἐξήγαγε τοὺς Ῥωμαίους ἀφροντιστοῦντας
ὡς ἐπὶ νίκην ἕτοιμον καὶ αὐτοῖς ἐν αὐτῷ τῷ ἔργῳ
συνεπέθετο.

2 ἐπράχθη δὲ ὧδε. οἱ Πάρθοι τὸ πλεῖον τοῦ στρα-
τοῦ σφῶν ἀποκρύψαντες (ἡ γὰρ χώρα ἀνώμαλός τέ
πῃ ἦν καὶ δένδρα εἶχεν) ἀπήντησαν τοῖς Ῥωμαίοις.
ἰδὼν οὖν αὐτοὺς ὁ Κράσσος, οὐκ ἐκεῖνος, ἀλλ' ὁ νε-
ώτερος (πρὸς γὰρ τὸν πατέρα ἐκ τῆς Γαλατίας πα-
3 ρῆν), καὶ καταφρονήσας σφῶν ὡς καὶ μόνων ἀντεξή-
γαγε τῷ ἱππικῷ καὶ τραπομένους ἐξεπίτηδες αὐτοὺς
ἐπιδιώκων ὡς καὶ κρατῶν ἀπήχθη πολὺ ἀπὸ τῆς φά-
22 λαγγος κἀνταῦθα περιστοιχισθεὶς κατεκόπη. γενομένου
δὲ τούτου οἱ πεζοὶ τῶν Ῥωμαίων οὐκ ἀπετράποντο
μέν, ἀλλὰ καὶ προθύμως τοῖς Πάρθοις ὡς καὶ τιμω-

20, 3, 3 ὥστε] ὡς οἷόν τε sc. ὄντος Reiske ‖ 21, 2, 2 γὰρ Reiske, τε Ma ‖ 3, 3 ἀπήχθη ἀπὸ Xylander, Turnebus, ὑπήχθη ὑπὸ Ma



ρήσοντες αὐτῷ συνέμιξαν· οὐ μέντοι καὶ ἄξιον σφῶν
οὐδὲν ἔκ τε τοῦ πλήθους καὶ ἐκ τοῦ τρόπου τῆς μά-
χης αὐτῶν ἄλλως τε καὶ ὑπὸ τοῦ Αὐγάρου ἐπιβουλευ-
θέντες ἐποίησαν. εἴτε γὰρ συνασπίσαι ἔγνωσαν ὡς 2
καὶ τῇ πυκνότητι τῆς τάξεως σφῶν τὰ τοξεύματα αὐ-
τῶν ἐκφευξόμενοι, προσπίπτοντές σφισιν οἱ κοντοφό-
ροι ῥύμῃ τοὺς μὲν κατέβαλλον, τοὺς δὲ πάντως γοῦν
ἐσκεδάννυσαν· εἴτε καὶ διασταῖεν, ὅπως τοῦτό γε ἐκ-
κλίνοιεν, ἐτοξεύοντο. κἀν τούτῳ πολλοὶ μὲν καὶ ἐξ 3
αὐτῆς τῆς προσελάσεως τῶν κοντοφόρων ἐκπληττόμε-
νοι ἔθνησκον, πολλοὶ δὲ καὶ ὑπὸ τῶν ἱππέων ἐγκατα-
λαμβανόμενοι ἐφθείροντο. ἄλλοι τοῖς κοντοῖς ἀνετρέ-
ποντο ἢ καὶ ἀναπειρόμενοι ἐφέροντο. τά τε βέλη καὶ 4
πυκνὰ καὶ πανταχόθεν ἅμα αὐτοῖς ἐμπίπτοντα συχνοὺς
μὲν καιρίᾳ πληγῇ κατέβαλλε, συχνοὺς δὲ ἀπομάχους
εἰργάζετο, πᾶσι δ' ἀσχολίαν ἐνεποίει· ἔς τε γὰρ τοὺς
ὀφθαλμοὺς σφῶν ἐσπετόμενα καὶ πρὸς τὰς χεῖρας τό
τε ἄλλο σῶμα πᾶν καὶ διὰ τῶν ὅπλων χωροῦντα τήν
τε προφυλακὴν αὐτῶν ἀφῃρεῖτο καὶ γυμνοῦσθαι σφᾶς
πρὸς τὸ ἀεὶ τιτρῶσκον ἠνάγκαζεν, ὥστε ἐν ᾧ τις τό- 5
ξευμα ἐφυλάττετο ἢ καὶ ἐμπαγὲν ἐξῃρεῖτο, πλείω τραύ-
ματα ἄλλα ἐπ' ἄλλοις ἐλάμβανε. κἀκ τούτου ἄπορον
μέν σφισι κινηθῆναι, ἄπορον δὲ καὶ ἀτρεμίζειν ἦν·
οὔτε γὰρ ἀσφάλειαν οὐδέτερον αὐτοῖς εἶχε, καὶ τὸν
ὄλεθρον ἀμφότερα ἐπέφερε, τὸ μέν, ὅτι οὐκ ἠδύναντο,
τὸ δέ, ὅτι ῥᾷον ἐτιτρώσκοντο. καὶ ταῦτα μέν, ἕως ἔτι 23

22, 2, 1 ἔγνωσαν] γνοίησαν ? B ‖ 5 ἐκκλίνειεν Ma ‖ 3, 4 ἀνετράποντο Ma ‖ 4, 3 καιρίᾳ Xylander, κεραίᾳ Ma ‖ κατέβαλλε Xylander, ἀπέβαλλε Ma ‖ 7 γυμνοῦσθαι Leunclavius, γυμνούς τε Ma ‖ 5, 1 τιτρῶσκον Toup (cf. cap. 23, 2), τιτρωσκόμενον Ma ‖ 2 ἐξῃρεῖτο Reiske, ᾑρεῖτο Ma ‖ 3 ἄλλα ἐπ' ἄλλοις Oddey, ἄλλα ἐν πολλοῖς Ma ‖ 23, 1, 1 ἕως St, ὡς Ma ‖ ἐπὶ Xylander,

πρὸς μόνους τοὺς ἐμφανεῖς πολεμίους ἐμάχοντο, ἔπα-
σχον· ὁ γὰρ Αὔγαρος οὐκ εὐθὺς αὐτοῖς ἐπεχείρησεν·
ἐπεὶ δὲ καὶ ἐκεῖνος ἐπέθετο, ἐνταῦθα οἱ Ὀρροηνοὶ
αὐτοί τε ὄπισθεν ἐς τὰ γυμνὰ ἀπεστραμμένους σφᾶς
ἔπαιον καὶ τοῖς ἄλλοις ῥᾷον φονεύειν παρεῖχον. τὴν
γὰρ τάξιν, ὅπως ἀντιπρόσωποι αὐτοῖς γένωνται, ἐξελί-
2 ξαντες ὄπισθεν σφῶν τοὺς Πάρθους ἐποιήσαντο. αὖθίς
τε οὖν πρὸς αὐτοὺς μετεστράφησαν καὶ πάλιν αὖθις
πρὸς ἐκείνους, εἶτα πρὸς τούτους. κἀκ τοῦ τοιούτου
μᾶλλον ἐπιταραχθέντες ἅτε καὶ συνεχῶς δεῦρο κἀκεῖσε
μεθιστάμενοι καὶ πρὸς τὸ ἀεὶ τιτρῶσκον ἀποβλέπειν
ἀναγκαζόμενοι τοῖς τε ξίφεσι τοῖς σφετέροις περιέπι-
3 πτον καὶ πολλοὶ καὶ ὑπ᾽ ἀλλήλων ἀπώλοντο. τέλος
δὲ ἐς στενὸν οὕτω κατεκλείσθησαν ἀναγκαζόμενοι, τῶν
πολεμίων ἀεί σφισι πανταχόθεν ἅμα προσπιπτόντων,
ταῖς τῶν παραστατῶν ἀσπίσι τὰς γυμνώσεις σφῶν
προστέλλειν, ὥστε μηδὲ κινηθῆναι ἔτι δυνηθῆναι. οὐ
μὴν οὐδὲ τὴν στάσιν βεβαίαν ὑπὸ τοῦ πλήθους τῶν
4 νεκρῶν εἶχον, ἀλλὰ καὶ περὶ ἐκείνοις ἀνετρέποντο. τό
τε καῦμα καὶ τὸ δίψος (μεσοῦντός τε γὰρ τοῦ θέρους
καὶ ἐν μεσημβρίᾳ ταῦτ᾽ ἐγίγνετο) καὶ ὁ κονιορτὸς
(ὅπως γὰρ ὅτι πλεῖστος αἴροιτο, πάντες σφᾶς οἱ βάρ-
βαροι περιίππευον) δεινῶς τοὺς λοιποὺς συνῄρει, καὶ
24 συχνοὶ καὶ ὑπὸ τούτων ἄτρωτοι ἔπεσον. κἂν πασσυδὶ
ἀπώλοντο, εἰ μὴ οἵ τε κοντοὶ τῶν βαρβάρων οἱ μὲν
ἀπεστράφησαν, οἱ δὲ ἐκλάσθησαν, καὶ αἱ νευραὶ τῇ
συνεχείᾳ τῆς βολῆς ἐρράγησαν, τά τε βέλη ἐξετοξεύθη,

Xylander, ἔτι Ma ‖ 1, 2 πολεμίους Leunclavius, πολέμους Ma ‖ 5 ἀπεστραμμένους Reiske, ἐπεστραμμένους Ma ‖ 3, 5 προστέλλειν] περιστέλλειν coniecerat R. Stephanus, sed cf. Thucyd. 5, 71 ‖ 4, 4 πάντες] πάντῃ Xylander, πάντας R



καὶ τὰ ξίφη πάντα ἀπημβλύνθη, τό τε μέγιστον οἱ
ἄνδρες αὐτοὶ φονεύοντες ἐξέκαμον. οὕτω γάρ, ἐπειδὴ 2
καὶ νὺξ ἐγίγνετο, καὶ πόρρω ποι ἀφιππεῦσαι αὐτοὺς
ἐχρῆν, ἀπεχώρησαν· οὐδέποτε γὰρ πλησίοι οὐδὲ τοῖς
ἀσθενεστάτοις στρατοπεδεύονται διὰ τὸ μηδεμιᾷ τα-
φρείᾳ χρῆσθαι καὶ διὰ τό, ἄν τις ἐπέλθῃ σφίσιν ἐν
τῷ σκότῳ, ἀδύνατοι μὲν τῇ ἵππῳ, ἀδύνατοι δὲ καὶ
τῇ τοξείᾳ ἰσχυρίσασθαι εἶναι. οὐ μέντοι καὶ ζῶντά 3
τινα τῶν Ῥωμαίων τόθ᾽ εἷλον· ἑστῶτάς τε γὰρ αὐτοὺς
ἐν τοῖς ὅπλοις ὁρῶντες καὶ μήτε τινὰ ἐκεῖνα ἀπορρι-
πτοῦντα μήτ᾽ αὐτὸν φεύγοντα αἰσθανόμενοι ἰσχύειν
τε ἔτι σφᾶς ἐνόμισαν καὶ ἐφοβήθησαν αὐτῶν ἐπι-
λαβέσθαι.

οὕτως ὅ τε Κράσσος καὶ ἄλλοι, ὅσοι γε ἠδυνήθη- 25
σαν, ἐς τὰς Κάρρας ὥρμησαν βεβαίους σφίσιν ὑπὸ τῶν
καταμεινάντων ἔνδον Ῥωμαίων τηρηθείσας· πολλοὶ
γὰρ δὴ τῶν τετρωμένων μήτε βαδίσαι οἷοί τε ὄντες
μήτ᾽ ὀχημάτων εὐποροῦντες ἢ καὶ ποδηγέτας ἔχοντες
(ἀγαπητῶς γὰρ οἱ λοιποὶ ἑαυτοὺς ἀνέφερον) κατὰ χώ-
ραν ἔμειναν. καὶ ἐκείνων τε οἱ μὲν ἀπέθανον ἐκ τῶν 2
τραυμάτων ἢ καὶ ἑαυτοὺς καταχρησάμενοι, οἱ δὲ ἑά-
λωσαν τῇ ὑστεραίᾳ· καὶ τῶν ἑαλωκότων συχνοὶ μὲν
ἐν τῇ ὁδῷ προλιπόντων σφᾶς τῶν σωμάτων, συχνοὶ
δὲ καὶ μετὰ τοῦτ᾽ ἐφθάρησαν θεραπείας παραχρῆμα
ἀκριβοῦς μὴ δυνηθέντες τυχεῖν. ὁ γὰρ Κράσσος ἀθυ- 3
μήσας οὐδὲ ἐν τῇ πόλει ἀσφαλῶς ἔθ᾽ ὑπομεῖναι δυ-

24, 2, 1 ἐπειδὴ B, δὴ Ma, quo particulo servato ⟨ὡς⟩ καὶ νὺξ vel καὶ ⟨γὰρ⟩ νὺξ R, ⟨ὅτι⟩ καὶ νὺξ St ‖ 6 σκότῳ Xylander, σκόπῳ Ma ‖ 3, 4 αὐτὸν] αὖ [τὸν] Reiske ‖ 25, 1, 2 βεβαίους] βεβαίως Herwerden ‖ 2, 2 ἑάλωσαν τῇ ὑστεραίᾳ Turnebus, ἑάλων τῇ ἑτέρᾳ Ma ‖ 4 προλιπόντων Turnebus, coll. Thucyd. 7, 75 προέλιπον Ma

νήσεσθαι ἐνόμισεν, ἀλλὰ δρασμὸν εὐθὺς ἐβουλεύσατο.
καὶ ἐπειδὴ οὐχ οἷόν τε ἦν αὐτῷ μεθ' ἡμέραν ἐξιόντι
μὴ οὐ καταφώρῳ γενέσθαι, ἐπεχείρησε μὲν νυκτὸς
ἀποδρᾶναι, προδοθεὶς δὲ ὑπὸ τῆς σελήνης πανσελήνου
4 οὔσης οὐκ ἔλαθε. προσέμεινάν τε οὖν μέχρι τῶν
ἀσελήνων νυκτῶν καὶ οὕτως ἄραντες δὴ οἷα ἐν σκότῳ
καὶ ἐν ἀλλοτρίᾳ καὶ προσέτι καὶ πολεμίᾳ γῇ φόβῳ τε
ἰσχυρῷ ἐσκεδάσθησαν, καὶ αὐτῶν οἱ μὲν ἁλόντες ἡμέ-
ρας γενομένης ἀπώλοντο, οἱ δὲ ἐς τὴν Συρίαν μετὰ
5 Κασσίου Λογγίνου τοῦ ταμίου διεσώθησαν. ἄλλοι
τῶν ὀρῶν μετ' αὐτοῦ τοῦ Κράσσου λαβόμενοι παρε-
σκευάζοντο ὡς καὶ δι' ἐκείνων ἐς τὴν Ἀρμενίαν φευ-
26 ξόμενοι. γνοὺς δὲ τοῦτο ὁ Σουρήνας καὶ φοβηθείς,
μὴ μεταστάντες ποι αὖθίς σφισι προσπολεμῶσι, προσ-
βαλεῖν μὲν πρὸς τὰ μετέωρα ἄφιππα ὄντα οὐκ ἠθέ-
λησεν (ὁπλῖταί τε γὰρ ὄντες καὶ ἐξ ὑπερδεξίων μαχό-
μενοι καί τι καὶ [δι'] ἀπονοίας ὑπ' ἀπογνώσεως ἔχον-
τες οὐ ῥάδιοι προσμίξαι οἱ ἐγένοντο), πέμπει δὲ πρὸς
αὐτοὺς ἐς σπονδὰς δῆθεν σφᾶς προκαλούμενος, ἐφ' ᾧ
2 τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ἐκλίπωσι. καὶ αὐτῷ
ὁ Κράσσος οὐδὲν ἐνδοιάσας ἐπίστευσεν· ἔν τε γὰρ
ἀκμῇ τοῦ δέους ὢν καὶ ὑπ' ἐκπλήξεως τῆς τε ἰδίας
ἅμα καὶ τῆς δημοσίας συμφορᾶς τεθολωμένος καὶ
πρόσετι καὶ τοὺς στρατιώτας τήν τε ὁδὸν ὡς πολλὴν
καὶ τραχεῖαν ὀκνοῦντας καὶ τὸν Ὀρώδην φοβουμένους
3 ὁρῶν οὐδὲν τῶν δεόντων προϊδέσθαι ἠδυνήθη. ἑτοί-
μου οὖν αὐτοῦ πρὸς τὰς σπονδὰς γενομένου ὁ Σου-
ρήνας οὐκ ἠθέλησε δι' ἑτέρων σπείσασθαι, ἀλλ' ὅπως

3, 5 καταφόρῳ Ma ‖ 4, 2 δὴ R, δὲ Ma ‖ 4 ἰσχυρῶς Ma ‖ 26, 1, 5 [δι'] expunxit R, δὴ Xylander, κἄτι καὶ δι' ἀπονοίας — ἐλθόντες Reiske ‖ 2, 1 ἐκλίπωσι B, ἐκλείπωσι Ma



αὐτὸν μετ' ὀλίγων ἀπολαβὼν συλλάβῃ, αὐτῷ ἐκείνῳ
ἔφη βούλεσθαι ἐς λόγους ἐλθεῖν. κἀκ τούτου δόξαν 4
σφίσιν ἐν τῷ μεταιχμίῳ μετ' ἴσων ἀνδρῶν ἑκατέρωθεν
συμβαλεῖν ἀλλήλοις ὅ τε Κράσσος ἐς τὸ ὁμαλὸν ὑπο-
κατέβη, καὶ ὁ Σουρήνας ἵππον αὐτῷ δῶρον, ἵνα δὴ
θᾶσσον πρὸς αὐτὸν ἀφίκηται, ἔπεμψε. καὶ οὕτω δια- 27
μέλλοντα τὸν Κράσσον καὶ βουλευόμενον, ὅ,τι ποιήσῃ,
συναρπάσαντες οἱ βάρβαροι βίᾳ ἐπὶ τὸν ἵππον ἀνέβα-
λον. κἀν τούτῳ ἀντιλαμβανομένων αὐτοῦ τῶν Ῥω-
μαίων ἔς τε χεῖράς σφισιν ἦλθον καὶ τέως μὲν ἰσο-
παλεῖς ἐγίγνοντο, ἔπειτα δὲ προσβοηθησάντων τινῶν
αὐτοῖς ἐπεκράτησαν· οἱ γὰρ βάρβαροι ἐν τε τῷ πεδίῳ 2
ὄντες καὶ προπαρεσκευασμένοι ἔφθησαν τοὺς ἄνω Ῥω-
μαίους ἀμύναντες σφίσι. καὶ οἵ τε ἄλλοι ἔπεσον καὶ
ὁ Κράσσος, εἴτ' οὖν ὑπὸ τῶν σφετέρων τινός, ὅπως
μὴ ζωγρηθῇ, εἴτε καὶ ὑπὸ τῶν πολεμίων, ἐπειδὴ καὶ
ὡς ἐτέτρωτο, ἐσφάγη. καὶ ἐκείνῳ μὲν τοῦτο τὸ τέλος 3
ἐγένετο, καὶ αὐτοῦ χρυσὸν ἐς τὸ στόμα οἱ Πάρθοι,
ὥς γέ τινες λέγουσιν, ἐνέτηξαν ἐπισκώπτοντες· οὕτω
γὰρ δὴ περὶ τὰ χρήματα καίτοι πολυχρήματος ὢν
ἐσπουδάκει, ὥστε καὶ ὡς πένητας οἰκτείρειν τοὺς μὴ
δυναμένους στρατόπεδον ἐκ καταλόγου οἴκοθεν θρέ-
ψειν· τῶν δὲ δὴ στρατιωτῶν τὸ μὲν πλεῖον διὰ τῶν 4
ὀρῶν ἐς τὴν φιλίαν ἀπέφυγε, τὸ δέ τι καὶ ἐς τοὺς
πολεμίους ἑάλω.

οἱ δὲ δὴ Πάρθοι τότε μὲν οὐ περαιτέρω τοῦ Εὐ- 28
φράτου προεχώρησαν, ἀλλὰ τὴν ἐντὸς αὐτοῦ πᾶσαν a. u. 702 (52)

4, 2 μεταιχμίῳ Turnebus (et cod. Vat. A), μεταίχμῳ Ma ‖ 27, 1, 3 ἀνέβαλον Xylander, ἀνέλαβον Ma ‖ 2, 5 καὶ ὡς B, κακῶς Ma ‖ 3, 5 ὥστε Leunclavius, ὡς καὶ ὡς πένητας οἰκτείρειν Xiphilinus, ὡς πένητας οἰκτ. Ma ‖ 6 ἐκ additum e Xiphilino ‖ θρέψειν] τρέφειν Xiphilinus, Reiske

*ἀνεκτήσαντο· μετὰ δὲ τοῦτο καὶ ἐς τὴν Συρίαν, οὐ
μέντοι καὶ ἐν πλήθει τινὶ ὡς μήτε στρατηγὸν μήτε
στρατιώτας ἔχουσαν ἐνέβαλον· ἀφ' οὗπερ Κάσσιος ῥᾳ-
2 δίως αὐτοὺς ἅτε μὴ πολλοὺς ὄντας ἀπεώσατο. οὗτος
γὰρ ἐν μὲν ταῖς Κάρραις τῶν τε στρατιωτῶν τὴν
αὐτοκράτορα αὐτῶν ἡγεμονίαν μίσει τοῦ Κράσσου δι-
δόντων καὶ προσέτι καὶ [παρ'] αὐτοῦ ἐκείνου ἐθελοντὶ
διὰ τὸ τῆς συμφορᾶς μέγεθος ἐπιτρέποντος οὐκ ἐδέ-
ξατο, τότε δὲ καὶ ἀνάγκῃ τῆς Συρίας ἔν τε τῷ παρ-
3 όντι καὶ μετὰ ταῦτα προέστη. οἱ γὰρ βάρβαροι οὐκ
ἀπέσχοντο αὐτῆς, ἀλλὰ χειρὶ αὖθις μείζονι Πακόρου
μὲν ὀνόματι, τοῦ υἱέος τοῦ Ὀρώδου, ἔργῳ δὲ (παῖς
γὰρ ἔτι ἐκεῖνος ἦν) Ὠσάκου ἡγουμένου σφίσιν ἐστρά-
τευσαν καὶ μέχρι τῆς Ἀντιοχείας ἦλθον πᾶσαν τὴν ἐν
4 ποσὶ χειρούμενοι. καὶ ἐλπίδα εἶχον καὶ τὰ λοιπὰ
καταστρέψεσθαι μήτε τῶν Ῥωμαίων ἀξιομάχῳ τινὶ δυ-
νάμει παρόντων καὶ τῶν δήμων τῇ τ' ἐκείνων δεσπο-
τείᾳ ἀχθομένων καὶ πρὸς αὐτοὺς ἅτε καὶ γείτονας καὶ
29 συνήθεις σφίσιν ὄντας ἀποκλινόντων. ἁμαρτόντες δὲ
τῆς Ἀντιοχείας (ὅ τε γὰρ Κάσσιος ἰσχυρῶς αὐτοὺς
ἀπεκρούσατο, καὶ ἐκεῖνοι ἀδύνατοι πολιορκῆσαί τι
ἦσαν) ἐπ' Ἀντιγόνειαν ἐτράποντο. καὶ ἐπειδὴ τό τε
προάστειον αὐτῆς σύμφυτον ἦν, καὶ οὐκ ἐθάρρησαν,
2 ἀλλ' οὐδ' ἠδυνήθησαν ἐς αὐτὸ ἐσελάσαι, ἐνενόησαν
μὲν τά τε δένδρα κόψαι καὶ τὸ χωρίον πᾶν ψιλῶσαι,
ὅπως καὶ θαρσούντως καὶ ἀσφαλῶς τῇ πόλει προσμι-
ξωσι, μὴ δυνηθέντες δὲ (ὅ τε γὰρ πόνος πολὺς ἐγί-
γνετο καὶ ὁ χρόνος ἄλλως ἀναλοῦτο, ὅ τε Κάσσιος*

**28**, 1, 5 *Κάσσιος* Xiphilinus, *Κράσσος* Ma ‖ 2, 3 *αὐτῶν* Oddey, *αὐτῷ* Ma ‖ 4 [*παρ'*] delevit St ‖ 4, 2 *καταστρέψεσθαι* Turnebus, *καταστρέψασθαι* Ma ‖ **29**, 1, 2 *Κάσσιος*] *Κράσσος* Ma



*τοὺς ἀποσκεδαννυμένους σφῶν ἐλύπει) ἀπανέστησαν
ὡς καὶ ἐπ' ἄλλο τι ἐπιστρατεύσοντες. κἀν τούτῳ ὁ 3
Κάσσιος ἔς τε τὴν ὁδόν, δι' ἧς ἀποπορεύεσθαι ἔμελλον,
ἐλόχισε κἀνταῦθα ἐπιφανείς σφισι μετ' ὀλίγων ἔς τε
δίωξιν αὐτοὺς ὑπηγάγετο καὶ περιστοιχισάμενος ἄλ-
λους τε καὶ τὸν Ὠσάκην ἀπέκτεινε. τελευτήσαντος δ'
ἐκείνου πᾶσαν τὴν Συρίαν ὁ Πάκορος ἐξέλιπε καὶ
οὐδ' αὖθίς ποτε ἐς αὐτὴν ἐσέβαλεν.*

*ἅμα δὲ οὗτος ἀνεκεχωρήκει καὶ ὁ Βίβουλος ἄρξων 30
τῆς Συρίας ἀφίκετο καίπερ ἐψηφισμένου μηδένα μήτε
στρατηγὸν μήθ' ὕπατον μήτε εὐθὺς μήτε πρὸ πέμπτου
ἔτους ἐς τὰς ἔξω ἡγεμονίας ἐξιέναι, ἵνα μὴ διὰ τοῦτο
σπουδαρχοῦντες στασιάζωσι. καὶ αὐτὸς μὲν ἐν ἡσυχίᾳ 2
τὸ ὑπήκοον διήγαγε, τοὺς δὲ δὴ Πάρθους ἐπ' ἀλλή-
λους ἔτρεψεν. Ὀρονδαπάτην γάρ τινα σατράπην ἀχθό-
μενον τῷ Ὀρώδῃ προσποιησάμενος ἀνέπεισε δι' ἀγγέ-
λων τόν τε Πάκορον βασιλέα στήσασθαι καὶ ἐπ' ἐκεῖ-
νον μετ' αὐτοῦ στρατεῦσαι.*

*ὁ μὲν οὖν πόλεμος οὗτος [ὅ τε Ῥωμαίων καὶ ὁ 3
τῶν Πάρθων] τῷ τετάρτῳ ἔτει, ἀφ' οὗ ἤρξατο, ἐπί τε* a. u.
703
*Μάρκου Μαρκέλλου καὶ ἐπὶ Σουλπικίου Ῥούφου ὑπά-* (51)
*των ἐπαύσατο· ἐν δὲ τῷ αὐτῷ ἐκείνῳ χρόνῳ καὶ ὁ* 31
*Καῖσαρ τὰ ἐν τῇ Γαλατίᾳ ταραχθέντα αὖθις μάχαις
κατέλαβε πολλὰ πάνυ τὰ μὲν αὐτός, τὰ δὲ καὶ διὰ τῶν
ὑποστρατήγων πράξας, ὧν ἐγὼ τὰ ἀξιολογώτατα διη-
γήσομαι μόνα. ὁ γὰρ Ἀμβιόριξ τοὺς Τρηουίρους χα-* 2
*λεπῶς ἔτι καὶ τότε τῷ τοῦ Ἰνδουτιομάρου θανάτῳ* a. u.
700
(54)

2, 7 *ἐπιστρατεύοντες* Ma ‖ **30**, 2, 3 *Ὀρονδαπάτην* Gutschmid, Gesch. Irans p. 93, n. 1, *Ὀρνοδαπάντη* Ma, *Ὀρνοδαπάντην* B ‖ 3, 1 [*ὅ τε Ῥωμαίων καὶ ὁ τῶν Πάρθων*] ut glossema expunxit Herwerden ‖ 2 *τῷ* om. Ma ‖ *ἤρξατο* R, *ἤρξαντο* Ma ‖ 3 *Μαρκελλίνου* Ma ‖ **31**, 2, 1 *Τρηουίρους*] *Τριούρους* Ma

ἔχοντας παραλαβὼν τά τε αὐτόθεν ἐπὶ πλεῖον συν-
έστησε καὶ παρὰ τῶν Κελτῶν μισθοφορικὸν μετεπέμ-
3 ψατο. βουληθεὶς οὖν ὁ Λαβιῆνος, πρὶν ἐκείνους ἐπελ-
θεῖν, συμμῖξαι σφίσι προενέβαλεν ἐς τὴν τῶν Τρη-
ουίρων χώραν. καὶ ἐπειδὴ μὴ ἠμύνοντο τὴν ἐπικου-
ρίαν ἀναμένοντες, ἀλλὰ ποταμόν τινα διὰ μέσου
ποιησάμενοι ἡσύχαζον, συνεκάλεσε τοὺς στρατιώτας
καὶ ἐδημηγόρησε τοιάδε, ἀφ' ὧν τούς τε σφετέρους
4 καταπλήξειν καὶ ἐκείνους ⟨θαρσυνεῖν⟩ ἔμελλε, χρῆναί
τε σφᾶς ἔλεγε, πρὶν τοὺς Κελτοὺς αὐτοῖς ἐπαμῦναι,
πρός τε τὸν Καίσαρα καὶ ἐς τὸ ἀσφαλὲς ἀποχωρῆσαι,
ἐσήμηνέ τε εὐθὺς συσκευάσασθαι. καὶ ἐξανέστη οὐ
5 πολλῷ ὕστερον προσδοκήσας ἔσεσθαι τοῦτο, ὃ καὶ
ἐγένετο, οἱ γὰρ βάρβαροι ἀκούσαντες ταῦτα (ἦν γὰρ
αὐτοῖς ἐπιμελές, καὶ δι' αὐτό γε τοῦτο καὶ φανερῶς
ἐλέχθη) δεδιέναι τε αὐτὸν ὄντως καὶ φυγὴν ὡς ἀλη-
θῶς ποιεῖσθαι ἐπίστευσαν καὶ τὸν ποταμὸν σπουδῇ
διαβάντες θυμῷ ἐπ' αὐτοὺς ἐχώρουν, ὡς τάχους ἕκα-
6 στος εἶχε. καὶ οὕτως ὁ Λαβιῆνος ὑπέστη τε σφᾶς
ἐσκεδασμένους καὶ τοὺς πρώτους ἐκπλήξας ῥᾳδίως καὶ
τοὺς λοιποὺς δι' αὐτῶν ἐκείνων ἐτρέψατο. κἀκ τούτου
φευγόντων τε σφῶν τεταραγμένως καὶ ἀλλήλοις ἐμ-
πιπτόντων καὶ πρὸς τὸν ποταμὸν ὠθουμένων πολλοὺς
ἀπέκτεινε.

32 διαφυγόντων τε καὶ ὣς συχνῶν ὁ Καῖσαρ τῶν μὲν
a. u. ἄλλων οὐδένα λόγον ἐποιεῖτο, τὸν δὲ Ἀμβιόριγα δια-
701 (53) διδράσκοντα ἄλλοτε ἄλλῃ καὶ πολλὰ κακουργοῦντα καὶ
ζητῶν καὶ διώκων πράγματα ἔσχε. καὶ ἐκεῖνον μὲν

3, 2 Τρηουίρων] Τριούρων Ma ‖ 4, 1 ⟨θαρσυνεῖν⟩ suppl. R, ⟨ἐπελπιεῖν⟩ ? B ‖ 2 τε ⟨γὰρ⟩ σφᾶς ? B ‖ 4 ἐσήμηνε B, σημῆναι Ma ‖ 5, 4 δεδιέναι Reiske, διιέναι Ma



οὐδένα τρόπον λαβεῖν ἠδυνήθη, ἐπὶ δὲ δὴ τοὺς Κελ-
τοὺς ὡς καὶ τοῖς Τρηουίροις βοηθῆσαι ἐθελήσαντας
ἐστράτευσε. καὶ ἔπραξε μὲν οὐδὲ τότε οὐδέν, ἀλλὰ 2
καὶ διὰ ταχέων φόβῳ τῶν Σουήβων ἐπανεχώρησεν,
ἔδοξε ⟨δ'⟩ οὖν καὶ αὖθις τὸν Ῥῆνον διαβεβηκέναι καὶ
τῆς τε γεφύρας μόνα τὰ προσεχῆ τοῖς βαρβάροις ἔλυσε
καὶ φρούριον ἐπ' αὐτῆς ὡς καὶ ἀεὶ διαβησείων ᾠκο-
δόμησε. καὶ μετὰ τοῦτο ὀργῇ τὴν τοῦ Ἀμβιόριγος 3
διάφευξιν φέρων τὴν πατρίδα αὐτοῦ καίτοι μηδὲν
νεωτερίσασαν διαρπάζειν τοῖς βουλομένοις ἐπέτρεψε
προεπαγγείλας σφίσιν αὐτὸ τοῦθ', ὅπως ὅτι πλεῖστοι
συνέλθωσιν· ὅθενπερ πολλοὶ μὲν Γαλάται, πολλοὶ δὲ
καὶ Σύγαμβροι πρὸς τὰς ἁρπαγὰς ἦλθον. οὐ μέντοι 4
καὶ ἀπέχρησε τοῖς Συγάμβροις τὰ ἐκείνων λῄσασθαι,
ἀλλὰ καὶ αὐτοῖς τοῖς Ῥωμαίοις ἐπέθεντο· τηρήσαντες
γὰρ σφᾶς πρὸς σίτου κομιδὴν ἀπιόντας ἐπεχείρησαν
τῷ στρατοπέδῳ αὐτῶν κἀν τούτῳ προσβοηθησάντων
σφῶν, ἐπείπερ ᾔσθοντο, συχνοὺς ἐφόνευσαν. καὶ οἱ 5
μὲν φοβηθέντες διὰ τοῦτο τὸν Καίσαρα οἴκαδε σπουδῇ
ἀνεχώρησαν· ἐκεῖνος δὲ τούτων μὲν οὐδενὸς διά τε
τὸν χειμῶνα καὶ διὰ τὸ τὰ ἐν τῇ Ῥώμῃ στασιάζεσθαι
οὐδεμίαν τιμωρίαν ἐποιήσατο, τοὺς δὲ δὴ στρατιώτας
πρὸς τὰ χειμάδια διαπέμψας αὐτός τε ἐς τὴν Ἰταλίαν
πρόφασιν μὲν τῆς ἐκεῖ Γαλατίας ἕνεκα, τὸ δ' ἀληθές,
ὅπως ἐγγύθεν τοῖς ἐν τῇ πόλει δρωμένοις ἐφεδρεύῃ,
ἀπῆλθε.

κἀν τούτῳ οἱ Γαλάται αὖθις ἐνεόχμωσαν. Ἀρουερ- 33

32, 2, 3 ⟨δ'⟩ inseruit Reiske ‖ 5 διαβησείων D, διαβασείων Ma ‖ 3, 3 διαρπάζειν Reiske, διαρπάσειν Ma ‖ 4, 1 Σύγαβροι Ma ‖ 2 ἀπέχρησε R. Stephanus, ἀπεχώρησε Ma ‖ 5 προσβοηθη-σάντων R. Stephanus, προσβοησάντων Ma ‖ 5, 3 ἐκεῖνος Reiske, ἐκείνοις Ma ‖ οὐδενὸς Reiske, οὐδὲν Ma

a. u. νοὶ γὰρ ἡγουμένου σφῶν Οὐερκιγγετόριγος ἀπέστησαν
702 καὶ τούς τε Ῥωμαίους, ὅσους ἔν τε τῇ χώρᾳ σφῶν
(52) εὗρον, πάντας ἀπέκτειναν καὶ ἐπὶ τὴν συμμαχίδα αὐ-
τῶν χωρήσαντες τοὺς μὲν συναποστῆναί σφισιν ἐθε-
λήσαντας περιεῖπον, τοὺς δὲ λοιποὺς ἐκακούργουν.
2 μαθὼν οὖν ταῦθ᾽ ὁ Καῖσαρ ἀνεκομίσθη καὶ καταλα-
βὼν αὐτοὺς ἐς Βιτούριγας ἐμβεβληκότας ἐκείνοις μὲν
(οὐ γάρ πω πάντες οἱ στρατιῶται αὐτοῦ παρῆσαν) οὐκ
ἐπήμυνεν, ἐς δὲ δὴ τὴν Ἀρουερνίδα ἀντεμβαλὼν ἐπαν-
ήγαγεν οἴκαδε τοὺς πολεμίους καὶ (οὐ γὰρ ἐδόκει πω
34 ἀξιόμαχος αὐτοῖς εἶναι) προαπεχώρησεν. αὖθις οὖν
ἐκεῖνοι πρός τε τοὺς Βιτούριγας ἐπανῆλθον καὶ πόλιν
αὐτῶν Ἀουαρικὸν ἑλόντες ἐπὶ πλεῖστον ἐν αὐτῇ ἀντέ-
σχον. ὕστερον δὲ ὑπὸ τῶν Ῥωμαίων πολιορκούμενοι
(τό τε γὰρ τεῖχος δυσπρόσιτον ἦν, τῇ μὲν ἑλῶν δυσ-
διαβάτων, τῇ δὲ ποταμοῦ ῥοώδους αὐτὸ περιέχοντος)
καὶ αὐτοὶ παμπληθεῖς ὄντες τάς τε προσβολὰς σφῶν
ῥᾳδίως ἀπεκρούοντο καὶ ἐπεξιόντες πολλὰ αὐτοὺς
2 ἐλύπουν. καὶ τέλος τά τε πέριξ πάντα, οὐχ ὅπως
ἀγροὺς ἢ κώμας, ἀλλὰ καὶ πόλεις, ἀφ᾽ ὧν ὠφέλειάν
τινα ἔσεσθαί σφισι προσεδόκων, κατέφλεξαν, εἴ τέ τι
παρὰ τῶν πόρρωθεν συμμάχων ἐκομίζετο αὐτοῖς, δι-
ήρπαζον, ὥστε πολιορκεῖν τὴν πόλιν τοὺς Ῥωμαίους
3 δοκοῦντας τὰ τῶν πολιορκουμένων πάσχειν, πρὶν δὴ
ὑετός τε λάβρος καὶ πνεῦμα μέγα προσβάλλουσί πῃ
αὐτοῖς ἐπιγενόμενον (ὁ [τε] γὰρ χειμὼν ἐνειστήκει)
πρώτους μὲν ἐκείνους ἀπήλασε καὶ ἐς τὰς σκηνὰς ἐπ-

33, 1, 2 *Οὐερκιντετόριγος* Ma ‖ 3 *τε Ῥωμ.* Reiske, *γε* Ma ‖ 2, 1 *ἀνεκομίσθη* Reiske, *ἐκομίσθη* Ma ‖ 2 *Βιτούριγας*] *Ἰουρτού-ριγας* Ma ‖ 34, 1, 3 *Ἀουαρικὸν*] *Εὐακὸν* Ma ‖ 3, 3 [*τε*] seclusit B, *τε γοῦν* Leunclavius



ανήγαγεν, ἔπειτα δὲ καὶ τοὺς βαρβάρους ἐς τὰς οἰκίας
κατέκλεισεν. ἀπελθόντων γὰρ αὐτῶν ἀπὸ τῶν ἐπάλ-
ξεων οἱ Ῥωμαῖοι προσέβαλον ἐξαίφνης αὖθις αὐταῖς
ἐρήμοις ἀνδρῶν οὔσαις· καὶ πύργον τινὰ παραχρῆμα, 4
πρὶν καὶ αἰσθέσθαι τοὺς πολεμίους τῆς παρουσίας
σφῶν, ἑλόντες ἔπειτα καὶ τὰ λοιπὰ οὐ χαλεπῶς ἐχει-
ρώσαντο καὶ τήν τε πόλιν πᾶσαν διήρπασαν καὶ τοὺς
ἀνθρώπους πάντας ὀργῇ τῆς τε προσεδρείας καὶ τῆς
ταλαιπωρίας ἔσφαξαν.

πράξας δὲ ταῦτα ὁ Καῖσαρ ἐπὶ τὴν χώραν αὐτῶν 35
ἐπεστράτευσε. καὶ ἐπειδὴ πολεμούμενοι τὰς γεφύρας
οἱ λοιποὶ Ἀρουερνοὶ προεκεκρατήκεσαν, δι᾽ ὧν διαβῆ-
ναι αὐτὸν ἐχρῆν, ἀπορήσας, ὅπως περαιωθῇ, ἐπιπαρ-
ῆλθεν ἐπὶ πολὺ παρὰ τὴν ὄχθην, εἴ πως ἐπιτηδείου
τινὸς χωρίου, ὥστε πεζῇ δι᾽ αὐτοῦ τοῦ ὕδατος διελθεῖν,
λάβοιτο. κἀκ τούτου ἐν ὑλώδει τέ τινι καὶ [ἐν] συσκίῳ 2
τόπῳ γενόμενος τὰ μὲν σκευοφόρα καὶ τοῦ στρατοῦ
τὸ πλεῖον προέπεμψε μακρὰν ἐκτεταμένῃ τάξει κελεύ-
σας αὐτοὺς προϊέναι, ὥστε καὶ πάντας σφᾶς ἐνταῦθα
εἶναι δοκεῖν· αὐτὸς δὲ μετὰ τῶν ἐρρωμενεστάτων ὑπ- 3
έμεινε καὶ ξύλα τε ἔτεμε καὶ σχεδίας ἐποίησε καὶ ἐπ᾽
αὐτῶν διέβη τὸ ῥεῦμα τῶν βαρβάρων πρός τε τοὺς
ἐν τῷ πρόσθεν πορευομένους τὸν νοῦν ἐχόντων καὶ
τὸν Καίσαρα μετ᾽ αὐτῶν εἶναι λογιζομένων. καὶ μετὰ 4
τοῦτο τούς τε προεληλυθότας νυκτὸς ἀνεκαλέσατο καὶ
διαβιβάσας αὐτοὺς ὁμοίως τῆς μὲν χώρας ἐκράτησε,
τῶν δ᾽ ἀνθρώπων ἐς Γεργοουίαν συγκαταφυγόντων

35, 1, 2 *πολεμούμενοι*] *πολέμου προνοούμενοι* vel *προιδόμε-νοι* ? Reiske ‖ 6 *δι᾽ αὐτοῦ τοῦ*] *διὰ τοῦ* Reiske ‖ 2, 1 *ὑλώδει τε* Herwerden, *τε ὑλ.* Ma ‖ [*ἐν*] deleverunt Reiske, R, Herwerden ‖ 3 *μακρὰν* R, *μακρᾷ* Ma ‖ 4, 4 *Γεργοουίαν* Leunclavius, *Γοργο-θυῖαν* Ma

καὶ ἐκεῖσε πάντα τὰ τιμιώτατά σφισι συγκομισάντων
36 πλεῖστον πόνον μάτην αὐτοῖς προσεδρεύων ἔσχε. τό
τε γὰρ φρούριον ἐπί τε λόφου καρτεροῦ ἦν καὶ τεί-
χεσιν ἰσχυρῶς ἐκεκράτυντο, καὶ οἱ βάρβαροι πέριξ
αὐτὸ πάντα τὰ μετέωρα κατειληφότες περιεφρούρουν,
ὥστε καὶ μένειν αὐτοῖς κατὰ χώραν ἀσφαλῶς ὑπάρχειν
2 καὶ ἐπικαταθέουσι πλεονεκτεῖν τὰ πλείω. ἔν τε γὰρ
πεδίῳ ὁ Καῖσαρ ηὐλίζετο (οὐ γὰρ εὐπόρησεν ἐχυροῦ
χωρίου) καὶ αὐτὸς μὲν οὔτι προεγίγνωσκεν, οἱ δὲ δὴ
βάρβαροι ὡς καὶ ὑπερδεξίων ὄντες τό τε στρατόπεδον
αὐτοῦ κατεθεῶντο καὶ ταῖς καταδρομαῖς ἐπικαίροις
3 ἐχρῶντο. εἴ τέ πῃ περαιτέρω τοῦ καιροῦ προχωρή-
σαντες ἀνεκόπτοντο, δι' ὀλίγου αὖθις ἐντὸς τῆς ἐπι-
κρατείας σφῶν ἐγίγνοντο· οἱ γὰρ Ῥωμαῖοι οὐδένα
τρόπον, ἐφ' ὅσον οἵ τε λίθοι καὶ τὰ ἀκόντια ἐξικνεῖτο,
4 πελάσαι τοῖς χωρίοις ἠδύναντο. ὁ οὖν Καῖσαρ, ἐπειδὴ
ὅ τε χρόνος ἄλλως ἀναλοῦτο, καὶ πολλάκις καὶ πρὸς
αὐτὸ τὸ ὄρθιον, ἐφ' οὗ τὸ πόλισμα ἦν, προσβαλὼν
μέρους μέν τινος ἐκράτησεν αὐτοῦ, ὥστε καὶ ἐντειχί-
σασθαί τι ῥᾴω τε ἐκεῖθεν τὴν ἐπὶ τἆλλα ἔφοδον ποι-
5 εῖσθαι, τὸ δ' ὅλον ἀπεκρούετο καὶ τῶν τε στρατιωτῶν
συχνοὺς ἀπέβαλλε καὶ ἐκείνους ἀλήπτους ἑώρα ὄντας,
τά τε τῶν Αἰδούων ἐν τούτῳ ἐκινήθη, καὶ προσέτι
καὶ πρὸς τούτους ἀπελθόντος αὐτοῦ κακῶς οἱ κατα-
λειφθέντες ἀπήλλαξαν, ἀνέστη.
37 οἱ γὰρ Αἴδουοι κατ' ἀρχὰς μὲν ταῖς τε ὁμολογίαις
ἐνέμειναν καὶ ἐπικουρίας αὐτῷ ἔπεμπον, ἔπειτα δὲ καὶ

36, 1, 3 ἰσχυρῶς] ἰσχυροῖς Reiske ‖ 2, 3 οὔτι B, οὔτε Ma, οὔτε τι Leunclavius ‖ προεγίγνωσκεν Leunclavius, προσεγίγνωσκεν Ma ‖ 3, 2 ἀνεκόπτοντο Reiske, ἀνέκοπτον Ma ‖ 5, 1 τε B, γε Ma, del. Reiske ‖ 5 ἀνέστη] ἀπέστη Fabricius, ἀπανέστη B



ἄκοντες ἐπολέμησαν ἀπατησάντων σφᾶς ἄλλων τε καὶ
Λιταουίκου. ἐπειδὴ γὰρ οὐκ ἔπειθεν αὐτοὺς ἄλλως
τοῦτο ποιῆσαι, διεπράξατο προσταχθῆναί οἱ πρὸς τὸν
Καίσαρα ἀπαγαγεῖν τινας ἐπὶ συμμαχίᾳ δῆθεν αὐτοῦ
καὶ ὥρμησε μὲν ὡς καὶ τοῦτο ποιήσων, προπέμψας δὲ 2
ἱππέας καὶ κελεύσας τισὶν αὐτῶν ἐπανελθοῦσιν εἰπεῖν,
ὅτι ⟨οἵ τε⟩ συμπεμφθέντες σφίσι καὶ οἱ ἄλλοι οἱ παρὰ
τοῖς Ῥωμαίοις σφῶν ὄντες συνειλημμένοι τε ὑπ' αὐτῶν
εἰσι καὶ ἀπολώλασι, προσπαρώξυνε τοὺς στρατιώτας
δημηγορήσας ἀκόλουθα τοῖς ἀγγέλοις. καὶ οὕτως αὐ- 3
τοί τε ἐπανέστησαν καὶ τοὺς ἄλλους συμμετέστησαν.
καὶ τότε μὲν (ὁ γὰρ Καῖσαρ ὡς τάχιστα τοῦτ' ᾔσθετο
τούς τε Αἰδούους, οὓς εἶχε καὶ ἐδόκει πεφονευκέναι,
ἔπεμψεν αὐτοῖς, ὥστε φανεροὺς πᾶσι ζῶντας γενέσθαι,
καὶ τῷ ἱππικῷ ἐφέσπετο) μετενόησαν καὶ συνηλλάγη-
σαν· αὖθις δὲ τῶν Ῥωμαίων πρός τε ⟨τῇ Γεργοουίᾳ⟩ 38
τῇ τοῦ Καίσαρος ἀπουσίᾳ πταισάντων καὶ μετὰ τοῦτο
παντάπασιν ἀπ' αὐτῆς ἀποχωρησάντων ἐφοβήθησαν οἱ
τήν τε ἐπανάστασιν πράξαντες καὶ νεωτέρων ἀεὶ πραγ-
μάτων ἐφιέμενοι, μὴ σχολάζοντες . . . ποιήσωνται, καὶ
ἐνεόχμωσαν. μαθόντες δὲ τοῦθ' οἱ συστρατεύοντες 2
αὐτῶν τῷ Καίσαρι ᾐτήσαντο ἐπιτραπῆναί σφισιν οἴκαδε
ἀπελθεῖν ὑποσχόμενοι πάντα καταστήσειν. καὶ οὕτως
ἀφεθέντες πρός τε Νοουιοδουνόν, ἔνθα τά τε χρήματα
καὶ τὸν σῖτον ὁμήρους τε πολλοὺς οἱ Ῥωμαῖοι κατετέ-

37, 2, 3 ⟨οἵ τε⟩ vel ⟨καὶ οἱ⟩ add. Reiske, ⟨οἱ⟩ Leunclavius ‖ 38, 1, 1 ⟨τῇ Γεργοουίᾳ⟩ inseruit Leunclavius ‖ 5 σχολάζοντες . . . ποιήσωνται] κολασθήσωνται Leunclavius, σχ. ⟨τιμωρίαν⟩ ποιήσωνται Reiske, σχ. ⟨ἀπ' ἐκείνων οἱ Ῥωμαῖοι τιμωρίαν σφῶν⟩ ποιησῶνται ? B ‖ 2, 1 συστρατεύοντες scripsi, στρατεύοντες Ma ‖ 4 Νοουιδοουνὸν Ma ‖ 5 ὁμήρους] ὁμόρους Ma ‖ κατέθειντο Ma, κατέθεντο St, Gros

θειντο, ἦλθον καὶ τούς τε φρουροὺς αὐτῶν συναιρο-
μένων σφίσι τῶν ἐπιχωρίων μὴ προσδεχομένους ἔφθει-
3 ραν καὶ ἐν κράτει πάντων αὐτῶν ἐγένοντο. καὶ ἐκεί-
νην τε τὴν πόλιν ἐπίκαιρον οὖσαν κατέπρησαν, ὅπως
μὴ οἱ Ῥωμαῖοι ὁρμητήριον αὐτὴν τοῦ πολέμου ποιή-
σωνται, καὶ τὰ λοιπὰ τῶν Αἰδούων προσαπέστησαν.
ὁ οὖν Καῖσαρ ἐπεχείρησε μὲν παραχρῆμα ἐπ' αὐτοὺς
στρατεῦσαι, μὴ δυνηθεὶς δὲ διὰ τὸν ποταμὸν τὸν Λί-
4 γρον ἐπὶ Λίγγονας ἐτράπετο. καὶ ὁ μὲν οὐδὲ ἐκεῖνα
κατώρθωσεν, ὁ δὲ δὴ Λαβιῆνος τὴν νῆσον τὴν ἐν τῷ
Σηκουανῷ ποταμῷ οὖσαν τούς τε προκινδυνεύσαντας
⟨ἐν⟩ τῇ ἠπείρῳ κρατήσας καὶ τὴν διάβασιν πολλαχῇ
ἅμα κατά τε τὸν ῥοῦν καὶ ἀνάπαλιν, ὅπως μὴ καθ' ἓν
περαιούμενος κωλυθῇ, ποιησάμενος κατέσχε.

39 πρὶν δὲ τοῦτο γενέσθαι, καταφρονήσας ὁ Οὐερκιγ-
γετόριξ τοῦ Καίσαρος ἐξ ὧν ἐπταίκει, ἐπ' Ἀλλόβριγας
ἐστράτευσε. κἀν τούτῳ ὁρμήσαντα αὐτὸν ὡς καὶ βοη-
θήσοντά σφισιν ἀπέλαβεν ἐν Σηκουανοῖς γενόμενον
2 καὶ ἐνεκυκλώσατο, οὐ μέντοι κακόν τι εἰργάσατο, ἀλλὰ
καὶ πᾶν τοὐναντίον τούς τε Ῥωμαίους ἠνάγκασεν ἀγα-
θοὺς εἶναι ἀπογνώσει τῆς σωτηρίας, καὶ αὐτὸς ὑπό τε
τοῦ πλήθους καὶ ὑπὸ τοῦ θράσους ἔπταισε καί τι καὶ
ὑπὸ τῶν Κελτῶν τῶν τοῖς Ῥωμαίοις συμμαχούντων
3 ἐσφάλη· ταῖς τε γὰρ ὁρμαῖς ἀπλήστοις σώμασι τὴν
τόλμαν προσεπισχυρίσαντες διέρρηξαν τὴν περίσχεσιν.
εὑρὼν δὲ δὴ τὸ εὕρημα τοῦτο ὁ Καῖσαρ οὐκ ἀνῆκεν,
ἀλλ' ἐς Ἀλεσίαν τοὺς διαφυγόντας αὐτῶν κατακλείσας

2, 6 συναιραμένων Ma ‖ 3, 6 Λίγρον] Αἴγρον Ma ‖ 4, 4 ⟨ἐν⟩ inseruit B ‖ 39, 3, 1 ὁρμαῖς ἀπλήστοις σώμασι] ὁ ⟨καὶ⟩ ἀπλ. σ. Oddey, ἄπληστοι ⟨ὄντες καὶ⟩ τοῖς σώμασιν? Reiske ‖ σώμασι] πώμασι Pflugk ‖ 4 ἐσαλεσίαν Ma



ἐπολιόρκει. κἀν τούτῳ ὁ Οὐερκιγγετόριξ τὸ μὲν πρῶ- 40
τον τοὺς ἱππέας, πρὶν παντελῶς ἀποτειχισθῆναι, ἐξέ-
πεμψε τῆς τε τροφῆς τῶν ἵππων ἕνεκα (οὐ γὰρ ἦν)
καὶ ὅπως ἐς τὰς πατρίδας ἕκαστοι σφῶν κομισθέντες
τά τε ἐπιτήδεια καὶ ἐπικουρίαν αὐτῷ ἀγάγωσιν. ἐπεὶ 2
δ' οὗτοί τε ἐχρόνιζον, καὶ τὰ σιτία σφᾶς ἐπιλείπειν
ἤρξατο, τούς τε παῖδας καὶ τὰς γυναῖκας ⟨καὶ⟩ τῶν
ἄλλων τοὺς ἀχρειοτάτους ἐξέβαλεν ἐλπίσας μάτην, ὅτι
ἢ καὶ ἐκεῖνοι πρὸς τῶν Ῥωμαίων τῆς λείας ἕνεκα σω-
θήσονται, ἢ οἵ γε λοιποὶ ταῖς τροφαῖς αὐτῶν ἐπὶ
πλεῖον χρησάμενοι περιγενήσονται. ὁ γὰρ Καῖσαρ ἄλ- 3
λως μὲν οὐδ' αὐτὸς τῶν ἐπιτηδείων, ὥστε καὶ ἑτέρους
τρέφειν, εὐπόρει· τοῖς δ' οὖν πολεμίοις ἰσχυροτέραν
τὴν σιτοδείαν ἐπανελθόντων αὐτῶν ἐλπίδι τοῦ πάν-
τως σφᾶς καταδεχθήσεσθαι ποιήσειν νομίσας πάντας
αὐτοὺς ἀπεώσατο. καὶ οἱ μὲν οὕτως ἐν τῷ μέσῳ τῆς 4
πόλεως καὶ τοῦ στρατοπέδου μηδετέρων σφᾶς δεχομέ-
νων οἰκτρότατα ἀπώλοντο· ἡ δὲ ἐπικουρία τῶν τε ἱπ-
πέων καὶ τῶν ἄλλων τῶν ὑπ' αὐτῶν ἀχθέντων ἐπῆλθε
μὲν οὐκ ἐκ μακρὰν τοῖς βαρβάροις, ἱππομαχίᾳ δὲ δὴ
. . . τῶν Ῥωμαίων τῇ βοηθείᾳ. καὶ μετὰ τοῦτο πειρά- 5
σαντες νυκτὸς διὰ τῶν περιτειχισμάτων ἐς τὴν πόλιν
ἐσελθεῖν ἰσχυρῶς ἐπόνησαν, τάφρους τε γὰρ οἱ Ῥω-
μαῖοι κρυπτὰς ἐν τοῖς ἱππασίμοις ἐπεποιήκεσαν καὶ

40, 2, 3 ⟨καὶ⟩ inseruit R. Stephanus ‖ 4 ἐξέβαλον Ma ‖ 3, 3 δ' οὖν Pflugk, γοῦν Ma ‖ 4 ἐλπίδι τοῦ πάντως σφᾶς καταδεχθήσεσθαι post ποιήσειν νομίσας aut post πάντας collocanda censet Reiske ‖ 4, 5 ἱππομαχίᾳ δὲ δὴ . . .] ἱππομαχίᾳ δὲ ⟨ἡττήθη⟩ τῶν Γερμανῶν τῇ βοηθείᾳ Leunclavius, ⟨ὠθήθη⟩ N, ⟨ἀπεκρούσθη⟩ Oddey, ἱππομαχίᾳ δὲ δὴ ⟨ἐγένετο⟩ τῶν Ῥωμαίων τῇ βοηθείᾳ ⟨ἀπαντώντων καὶ οὗτοι μὲν χαλεπῶς (vel αἰσχρῶς) τε καὶ τότε ἀπήλλαττον⟩, καὶ μετὰ τοῦτο κ. τ. λ. Reiske ‖ 5, 3 ἐπόνησαν] ἐποίησαν Ma, ἔπταισαν Xylander

σκόλοπας ἐς αὐτὰς ἐνεπεπήχεσαν, πάντα ἐπιπολῆς τῷ
6 ἄλλῳ τῷ πέριξ χωρίῳ ὁμοιώσαντες, ὥστε καὶ τοὺς
ἄνδρας καὶ τοὺς ἵππους ὅτι μάλιστα ἐς αὐτὰ ἀπερι-
σκέπτως ἐμπεσόντας σφαλῆναι. οὐ μέντοι καὶ ἐνέδοσαν,
πρὶν ἐκ παρατάξεως αὖθις πρὸς αὐτοῖς τοῖς τειχίσμα-
σιν αὐτοί τε ἅμα καὶ οἱ ἐκ τῆς πόλεως ἐπεξελθόντες
πταῖσαι.

4 ὁ δ' οὖν Οὐερκιγγετόριξ ἠδυνήθη μὲν ἐκφυγεῖν
(οὔτε γὰρ ἑάλω καὶ ἄτρωτος ἦν), ἐλπίσας δέ, ὅτι ἐν
φιλίᾳ ποτὲ τῷ Καίσαρι ἐγεγόνει, συγγνώμης παρ'
αὐτοῦ τεύξεσθαι, ἦλθε πρὸς αὐτὸν μὴ ἐπικηρυκευσά-
μενος καὶ καθημένῳ οἱ ἐπὶ βήματος ἐξαίφνης ὤφθη,
ὥστε καὶ ταραχθῆναί τινας· ἄλλως τε γὰρ περιμήκης
2 ἦν καὶ ἐν τοῖς ὅπλοις δεινῶς ἐνέπρεπεν· ἡσυχίας δ'
οὖν γενομένης εἶπε μὲν οὐδέν, πεσὼν δὲ ἐς γόνυ τώ
τε χεῖρε πιέσας ἔκειτο. ταῦτα τοῖς μὲν ἄλλοις οἶκτον
τῇ τε τῆς προτέρας αὐτοῦ τύχης ἀναμνήσει καὶ τῷ
τῆς παρούσης ὄψεως περιπαθεῖ ἐνέβαλεν· ὁ δὲ δὴ
Καῖσαρ αὐτό τε αὐτῷ τοῦτο, δι' ὃ μάλιστα σωθήσε-
3 σθαι προσεδόκησεν, ἐπεκάλεσε (τῆς γὰρ φιλίας τὴν
ἀντίταξιν ἀντιθεὶς χαλεπωτέραν τὴν ἀδικίαν αὐτοῦ
ἀπέφηνε) καὶ διὰ τοῦτο οὔτε ἐν τῷ παραχρῆμα αὐτὸν
ἠλέησεν ἀλλ' εὐθὺς ἐν δεσμοῖς ἔδησε καὶ ἐς τὰ ἐπι-
νίκια μετὰ τοῦτο πέμψας ἀπέκτεινε.

42 τοῦτο μὲν οὖν ὕστερον ἐγένετο, τότε δὲ τοὺς μὲν
a. u. 703 (51) ὁμολογίᾳ τῶν λοιπῶν προσέθετο, τοὺς δὲ καὶ μάχῃ

5, 5 ἐνεπεπήχεσαν D, ἐμπεπήχεσαν Ma ‖ τῷ ἄλλῳ Reiske, τῶν ἄλλων Ma, τηνάλλως Oddey ‖ 6, 4 αὖθις B, ἀρθεὶς Ma, κριθέντες vel διακριθέντες Reiske ‖ **41**, 2, 3 πιέσας cod. Vatic. B, ποιήσας ceteri codd., προτείνας Palmerius (et Leonicenus in versione) ‖ ἔκειτο Hilberg, ἐδέετο Ma, ἐδεῖτο D, τώ [τε] χεῖρε <Καίσαρος> ποσὶν προσέθετο Maisel ‖ 3, 1 τῇ γὰρ φιλίᾳ Reiske, B, sed cf. Thucyd. 2, 85, 2; 3, 56, 5



κρατήσας ἐδουλώσατο. οἵ τε γὰρ Βελγικοὶ οἱ πλησιό-
χωροι Κόμμιόν τινα Ἀτρέβαν προστησάμενοι σφῶν
ἐπὶ πλεῖστον ἀντέσχον καὶ δύο τε ἱππομαχίαις ἀγχώ-
μαλά πη ἠγωνίσαντο καὶ τρίτῃ πεζομαχίᾳ ἰσοπάλῳ τὸ
πρῶτον συνενεχθέντες ἔπειτα ὑπὸ τοῦ ἱππικοῦ κατὰ
νώτου σφίσιν ἀνελπίστως προσπεσόντος ἐτράπησαν.
κἀκ τούτου τό τε στρατόπεδον τῆς νυκτὸς οἱ περιλι- 2
πεῖς ἐξέλιπον καὶ διελθόντες ὕλην τινὰ ἐκείνην τε
ἐνέπρησαν καὶ τὰς ἁμάξας μόνας ὑπελίποντο, ὅπως
τῶν πολεμίων διά τε ταύτας καὶ διὰ τὸ πῦρ χρονι-
σάντων φθάσωσιν ἐς τὸ ἀσφαλὲς ἀποχωρήσαντες. οὐ 3
μέντοι καὶ ἐπιτυχεῖς τῆς ἐλπίδος ἐγένοντο· οἱ γὰρ
Ῥωμαῖοι ὡς τάχιστα τῆς φυγῆς αὐτῶν ᾔσθοντο, ἐπε-
δίωξαν σφᾶς καὶ ἐντυχόντες τῷ πυρὶ τὰ μὲν κατέσβε-
σαν, τὰ δὲ καὶ διέκοψαν, καί τινες καὶ διὰ μέσης τῆς
φλογὸς δραμόντες κατέλαβον αὐτοὺς ἀπροσδόκητοι καὶ
παμπληθεῖς ἐφόνευσαν. ἐκ δὲ τούτου τῶν μὲν ἄλλων 43
τινὲς ὡμολόγησαν, ὁ δὲ Ἀτρέβας διαφυγὼν οὐδ' ὣς
ἡσύχασεν, ἀλλὰ καὶ τὸν Λαβιῆνον ἐπεχείρησεν ἐνεδρεῦ-
σαί ποτε. ἡττηθεὶς δὲ τῇ μάχῃ ἀνεπείσθη μὲν ἐς λό- 2
γους αὐτῷ ἐλθεῖν, πρὶν δὲ ἢ ὁτιοῦν συμβῆναι, τρω-
θεὶς ὑπό τινος τῶν Ῥωμαίων ἀπιστίᾳ τοῦ μὴ ἂν ἀκρι-
βῶς εἰρηνῆσαι διέφυγε καὶ χαλεπὸς αὖθις αὐτοῖς
ἐγένετο, μέχρις οὗ ἀπογνοὺς τὰ πράγματα τοῖς μὲν
ἄλλοις τοῖς συνοῦσίν οἱ ἀκέραιον τὴν ἄδειαν ἐπὶ πᾶσι
τοῖς σφετέροις ἔπραξεν, αὐτὸς δὲ ἑαυτῷ τὸ μηδέποτε,
ὥς γέ τινες, ἐς ὄψιν μηδενὸς Ῥωμαίου ἐλθεῖν. ἐκεῖνοί 3
τε οὖν οὕτω κατελύσαντο, καὶ οἱ λοιποὶ μετὰ τοῦτο,

**42**, 1, 3 Βελγικοὶ] Βελτικοὶ Ma ‖ πλησιοχώριοι Ma ‖ 4 Ἀτρέμαν et infra 43, 1, 2 Ἀτρέμας Ma ‖ 6 πη Reiske, τε Ma ‖ 8 προσπεσόντες Ma ‖ 2, 3 ὑπελίποντο B, ὑπελείποντο Ma ‖ 3, 4 τὸ μὲν κατέσβεσαν, τὴν δὲ κ. τ. λ. Reiske ‖ **43**, 3, 1 ἐλθεῖν <ἐπέταξεν> Reiske

οἱ μὲν ἑκούσιοι, οἱ δὲ καὶ καταπολεμηθέντες ἐχειρώ-
θησαν, καὶ αὐτοὺς ὁ Καῖσαρ καὶ φρουραῖς καὶ δικαι-
ώσεσι χρημάτων τε ἐσπράξεσι καὶ φόρων ἐπιτάξεσι
τοὺς μὲν ἐταπείνωσε, τοὺς δὲ ἡμέρωσε.

44 ταῦτα μὲν οὕτως ἐπί τε Λουκίου Παύλου καὶ ἐπὶ
a. u. Γαΐου Μαρκέλλου ὑπάτων ἐτελευτήθη, ὁ δὲ δὴ Καῖσαρ
704
(50) τῶν μὲν Γαλατῶν ἕνεκα καὶ τοῦ χρόνου τοῦ πρὸς τὴν
ἡγεμονίαν αὐτῷ δοθέντος ἔκ τε τῆς Γαλατίας ἀπαλ-
λαγῆναι καὶ ἐς τὴν Ῥώμην ἐπανακομισθῆναι ὤφειλεν·
ἐκεῖνός τε γὰρ ἐπ᾿ ἐξόδῳ ἦν, καὶ ὁ πόλεμος ἐπέπαυτο,
καὶ οὐδεμίαν ἔτ᾿ εὐπρεπῆ σκῆψιν πρὸς τὸ μὴ οὐ τά
2 τε στρατόπεδα ἀφεῖναι καὶ ἰδιωτεῦσαι εἶχεν· ἐπεὶ δὲ
τά τε ἐν τῷ ἄστει ἐστασιάζετο, καὶ ὁ Κράσσος ἐτε-
θνήκει, ὅ τε Πομπήιος ἔν τε δυνάμει αὖθις ἅτε τρί-
τον ὑπατευκὼς καὶ τὴν ἐν τῇ Ἰβηρίᾳ ἀρχὴν ἐπὶ πέντε
3 ἄλλα ἔτη δοθῆναί οἱ διαπεπραγμένος ἐγένετο καὶ αὐτῷ
οὐκέτ᾿ οἰκείως ἄλλως τε καὶ τοῦ παιδίου, ὅπερ που
καὶ μόνον ἐν τῇ φιλίᾳ αὐτοὺς κατεῖχε, [τε καὶ] τετε-
λευτηκότος . . ., ἐφοβήθη, μὴ τῶν στρατιωτῶν ψιλω-
θεὶς ἐπί τε ἐκείνῳ καὶ ἐπὶ τοῖς ἄλλοις ἐχθροῖς γένη-
ται, καὶ οὐ διῆκεν αὐτούς.

45 ἐν γὰρ δὴ τοῖς αὐτοῖς τούτοις ἔτεσιν ἄλλα τε ἐν
a. u.
701 τῇ πόλει στασιώδη πολλὰ κἀν ταῖς ἀρχαιρεσίαις μά-
(53) λιστα ἐγένετο, ὥστε μόλις ἑβδόμῳ μηνὶ τόν τε Κα-
2 λουῖνον καὶ τὸν Μεσσάλαν ὑπάτους ἀποδειχθῆναι· καὶ
οὐδ᾿ ἂν τότε ᾑρέθησαν, εἰ μὴ Κύιντός τε Πομπήιος
ὁ Ῥοῦφος ἐς τὸ δεσμωτήριον ὑπὸ τῆς βουλῆς καίτοι
τοῦ τε Σύλλου θυγατριδοῦς ὢν καὶ δημαρχῶν ἐνε-

**44**, 1, 6 ἐκεῖνος Leunclavius, εἰκός Ma ‖ 3, 2 οἰκείως] οἰ-
κεῖος, ut repetatur ἐγένετο Xylander ‖ 3 αὐτοὺς] αὐτοῦ Ma ‖ [τε
καὶ] expunxerunt Xylander, Oddey ‖ τετελευτηκότος ⟨διέκειτο⟩
Reiske, ⟨προσεφέρετο⟩ R



βλήθη, καὶ τοῦτο καὶ τοῖς ἄλλοις τοῖς κακουργῆσαί τι
ἐθελήσασιν ἐψηφίσθη, τῷ τε Πομπηίῳ ἡ πρὸς αὐτοὺς
βοήθεια ἐνεχειρίσθη. ἔστι μὲν γὰρ ὅτε καὶ οἱ ὄρνιθες 3
τὰς ἀρχαιρεσίας ἐπέσχον οὐ βουλόμενοι τοῖς μεσοβα-
σιλεῦσι γενέσθαι· μάλιστα δὲ οἱ δήμαρχοι τὰ πράγ-
ματα τὰ ἐν τῇ πόλει διέποντες, ὥστε καὶ τὰς πανη-
γύρεις ἀντὶ τῶν στρατηγῶν ποιεῖν, ἐκώλυον τὰς λοιπὰς
ἀρχὰς αἱρεθῆναι. καὶ διὰ τοῦτο καὶ ὁ Ῥοῦφος ἐς τὸ
οἴκημα ἐσέπεσε. καὶ οὗτος μὲν τὸν Φαουώνιον ἀγο- 4
ρανομοῦντα ἐς αὐτὸ ὕστερον ἀπό τινος οὐ μεγάλης
αἰτίας, ἵνα δὴ κοινωνὸν τῆς ἀτιμίας λάβῃ, κατέθετο·
πάντες δὲ οἱ δήμαρχοι ἄλλας τε σκήψεις ἐμποδίους
ἐσέφερον καὶ χιλιάρχους ἀντὶ τῶν ὑπάτων, ὅπως
πλείους ἄρχοντες, ὥσπερ ποτέ, ἀποδεικνύωνται, καθι-
στάναι ἐσηγοῦντο. ἐπειδή τε οὐδεὶς αὐτῶν ἐπείσθη, 5
δικτάτωρα γοῦν τὸν Πομπήιον λεχθῆναι δεῖν ἔφασκον.
καὶ ἐπὶ πλεῖστον ἐπὶ τῇ προφάσει ταύτῃ διέτριψαν·
ἐκεῖνός τε γὰρ ἀπεδήμει, καὶ ἐκ τῶν παρόντων οὔτε
ψηφίσασθαί τις αὐτὸ (πρὸς γὰρ τὴν τοῦ Σύλλου ὠμό-
τητα ἐμίσουν πάντες τὸ πολίτευμα) οὔτ᾿ αὖ μὴ ἑλέσθαι
διὰ τὸν τοῦ Πομπηίου φόβον ὑπέμεινε. τέλος δὲ ὀψέ 46
ποτε αὐτὸς ἐλθὼν τὴν μὲν δικτατωρείαν διδομένην οἱ
δῆθεν οὐκ ἐδέξατο, τοὺς δὲ ὑπάτους ἀποδειχθῆναι
παρεσκεύασεν. οὐ μέντοι οὐδ᾿ ἐκεῖνοι διαδόχους σφίσι
διὰ τὸν ἐκ τῶν σφαγέων τάραχον κατέστησαν καίπερ
καὶ τὴν βουλευτικὴν ἐσθῆτα καταθέμενοι κἀν τῇ ἱπ-
πάδι τὴν γερουσίαν ὥσπερ ἐπὶ μεγάλῳ τινὶ πένθει
συνάγοντες. δόγμα τε ἐποιήσαντο μηδένα μήτε στρα- 2

**45**, 5, 1 αὐτῶν] αὐτοῖς vel ὑπ᾿ αὐτῶν malit Reiske ‖ **46**, 1, 5
σφαγέων] σφαγίων Herwerden ‖ 2, 1 συνάγοντες] συναγαγόντες
Reiske ‖ δόγματα Ma

τηγήσαντα μήθ᾿ ὑπατεύσαντα τὰς ἔξω ἡγεμονίας, πρὶν
ἂν πέντε ἔτη διέλθῃ, λαμβάνειν, εἴ πως ὑπὸ τοῦ μὴ
παραυτίκα ἐν δυνάμει τινὶ αὐτοὺς γίγνεσθαι παύ-
3 σαιντο σπουδαρχοῦντες. οὔτε γὰρ ἐμετρίαζον οὔθ᾿
ὑγιὲς οὐδὲν ἐποίουν, ἀλλ᾿ ἐπ᾿ ἀλλήλους παρώρμηντο
πολλὰ μὲν δαπανώμενοι, πολλῷ δὲ ἔτι πλείω μαχό-
μενοι, ὥστε καὶ τὸν ὕπατόν ποτε τὸν Καλουῖνον τρω-
θῆναι. οὔκουν οὔθ᾿ ὕπατος οὔτε στρατηγὸς οὔτε πο-
a. u. 702 λίαρχός τις σφᾶς διεδέξατο, ἀλλὰ ἄναρκτοι κατὰ τοῦτο
(52) παντελῶς οἱ Ῥωμαῖοι τὰ πρῶτα τοῦ ἔτους ἐγένοντο.
47 κἀκ τούτου οὔτε τι ἄλλο χρηστὸν συνέβη, καὶ ἡ ἀγορὰ
ἡ διὰ τῶν ἐννέα ἀεὶ ἡμερῶν ἀγομένη ἐν αὐτῇ τῇ τοῦ
2 Ἰανουαρίου νουμηνίᾳ ἤχθη. καὶ τοῦτό τε αὐτοὺς ὡς
οὐκ ἀπὸ ταὐτομάτου συμβάν, ἀλλ᾿ ἐν τέρατος λόγῳ
γενόμενον ἐθορύβει, καὶ ὅτι βύας ἐν τῇ πόλει καὶ
ὤφθη καὶ συνελήφθη, ἄγαλμά τέ τι ἐπὶ τρεῖς ἡμέρας
ἵδρωσε, καὶ λαμπὰς ἐκ τῶν νοτίων πρὸς ἀνατολὰς
διέδραμε, καὶ πολλοὶ μὲν κεραυνοί, πολλοὶ δὲ καὶ βῶ-
λοι λίθοι τε καὶ ὄστρακα καὶ αἷμα διὰ τοῦ ἀέρος
3 ἠνέχθη. δοκεῖ δὲ ἔμοιγε καὶ ἐκεῖνο τὸ τῷ προτέρῳ
ἔτει, ἐπ᾿ ἐξόδῳ αὐτοῦ, περί τε τὸν Σάραπιν καὶ περὶ
τὴν Ἶσιν ψηφισθὲν τέρας οὐδενὸς ἧττον γενέσθαι·
τοὺς γὰρ ναοὺς αὐτῶν, οὓς ἰδίᾳ τινὲς ἐπεποίηντο,
4 καθελεῖν τῇ βουλῇ ἔδοξεν. οὐ γὰρ δὴ τοὺς θεοὺς
τούτους ἐπὶ πολὺ ἐνόμισαν, καὶ ὅτε γε καὶ ἐξενίκησεν,
ὥστε καὶ δημοσίᾳ αὐτοὺς σέβεσθαι, ἔξω τοῦ πωμηρίου
σφᾶς ἱδρύσαντο.

---

3, 2 παρώρμηντο Xylander, πανώρμηντο Ma ‖ 47, 2, 1 αὐτοὺς vulgo, αὐτοῖς Ma ‖ 2, 3 καὶ ὤφθη] κατώφθη Reiske ‖ 3, 4 αὐτῶν Leunclavius, αὐτοῦ Ma ‖ 4, 2 ὅτε Reiske, ὅτι Ma ‖ 3 αὐτοὺς δημοσίᾳ malit Reiske



τοιαύτης οὖν τότε τῆς ἐν τῷ ἄστει καταστάσεως 48
οὔσης καὶ μηδενὸς τοῖς πράγμασιν ἐπιτεταγμένου
σφαγαὶ καθ᾿ ἑκάστην ἡμέραν ὡς εἰπεῖν ἐγίγνοντο, τάς
τε ἀρχαιρεσίας καίτοι σπεύδοντες ἐπὶ τὰς ἀρχὰς καὶ
δεκασμοῖς καὶ φόνοις δι᾿ αὐτὰς χρώμενοι οὐκ ἐπετέ-
λουν. ὁ γοῦν Μίλων ὑπατείαν αἰτῶν τὸν Κλώδιον 2
ἐν τῇ Ἀππίᾳ ὁδῷ συντυχόντα οἱ τὸ μὲν πρῶτον
ἁπλῶς πως ἔτρωσεν, ἔπειτα δὲ φοβηθείς, μὴ ἐπεξέλθῃ
τῷ γεγονότι, κατέσφαξεν ἐλπίσας, ἐπειδὴ πάντας τοὺς
οἰκέτας τοὺς τοῦτο ποιήσαντας εὐθὺς ἠλευθέρωσε,
ῥᾷον τοῦ φόνου τελευτήσαντος αὐτοῦ ἢ τοῦ τραύμα-
τος, εἰ περιγίγνοιτο, ἀφεθήσεσθαι. ἀκούσαντες οὖν 3
τοῦθ᾿ οἱ ἐν τῇ πόλει πρὸς ἑσπέραν δεινῶς ἐταράχθη-
σαν· ταῖς τε γὰρ στάσεσιν ἀφορμὴ πολέμου καὶ κακῶν
ἐγίγνετο, καὶ οἱ διὰ μέσου, εἰ καὶ ἐμίσουν τὸν Κλώ-
διον, ὅμως διά τε τὸ ἀνθρώπινον καὶ ὅτι καὶ τοῦ
Μίλωνος στερηθῆναι ἐπὶ τῇ προφάσει ταύτῃ ἤθελον,
ἠγανάκτουν. παραλαβόντες δὲ αὐτοὺς οὕτως ἔχοντας 49
ὅ τε Ῥοῦφος καὶ Τίτος Μουνάτιος Πλάγκος προσ-
παρώξυναν· δημαρχοῦντες γὰρ ἔς τε τὴν ἀγορὰν ⟨τὸν⟩
νεκρὸν ὑπὸ τὴν ἕω ἐσεκόμισαν καὶ ἐπὶ τὸ βῆμα ἐπέ-
θεσαν πᾶσί τε ἐπεδείκνυσαν καὶ ἐπέλεγον οἷα εἰκὸς 2
ἦν ὀδυρόμενοι, ὥστε τὸν ὅμιλον καὶ ἐξ ὧν ἑώρων καὶ
ἐξ ὧν ἤκουον συνταραχθῆναι καὶ ⟨μήτε τοῦ ὁσίου⟩
μήτε τοῦ θείου ἔτι φροντίσαι, ἀλλὰ πάντα μὲν τὰ
περὶ τὰς ταφὰς νόμιμα συγχέαι, πᾶσαν δὲ ὀλίγου τὴν

---

48, 2, 3 ἐπεξέλθῃ R. Stephanus, Xylander, ἐξέλθῃ Ma ‖ 5 ἠλευθέρωσε Leunclavius, ἐλευθερῶσαι Ma, ἐλευθερώσῃ R ‖ 49, 1, 3 ⟨τὸν⟩ add. Reiske ‖ 2, 3 ⟨μήτε τοῦ ὁσίου⟩ inseruit B, ⟨μήτε τοῦ ἀνθρωπίνου⟩ inserendum aut μηδὲ scribendum censet Reiske

πόλιν καταπρῆσαι. τὸ γὰρ σῶμα τοῦ Κλωδίου ἀρά-
μενοι ἔς τε τὸ βουλευτήριον ἐσήνεγκαν καὶ εὐθέτησαν
καὶ μετὰ τοῦτο πυρὰν ἐκ τῶν βάθρων νήσαντες ἔκαυ-
3 σαν καὶ ἐκεῖνο καὶ τὸ συνέδριον. οὕτω τε οὐχ ὁρμῇ
τινι, οἵα που τοὺς ὄχλους ἐξαπιναία καταλαμβάνει,
ἀλλ᾽ ἐκ προαιρέσεως αὐτὸ ἔπραξαν, ὥστε καὶ τὴν ἐνά-
την τὸ περίδειπνον ἐν αὐτῇ τῇ ἀγορᾷ τυφομένου ἔτι
τοῦ βουλευτηρίου ποιῆσαι καὶ προσέτι καὶ τὴν οἰκίαν
4 τὴν τοῦ Μίλωνος καταφλέξαι ἐπιχειρῆσαι. ἐκείνη μὲν
οὖν πολλῶν αὐτῇ ἀμυνάντων οὐκ ἐκαύθη· ὁ δὲ δὴ
Μίλων τέως μὲν περίφοβος ἐπὶ τῷ φόνῳ ὢν ἐκρύ-
πτετο οὐχ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ἱππέων βου-
λευτῶν τέ τινων φρουρούμενος· ἐπεὶ δὲ τοῦτό τε ἐγέ-
νετο καὶ τὴν ὀργὴν τῆς γερουσίας ἐς τὸ τῶν ἀντιστα-
5 σιωτῶν μίασμα περιχωρήσειν ἤλπισεν (εὐθὺς γοῦν τῆς
δείλης ἐς τὸ παλάτιον δι᾽ αὐτὸ τοῦτο συλλεγέντες τόν
τε μεσοβασιλέα προχειρισθῆναι καὶ τῆς φυλακῆς τῆς
πόλεως καὶ ἐκεῖνον καὶ τοὺς δημάρχους καὶ προσέτι
καὶ τὸν Πομπήιον ἐπιμεληθῆναι, ὥστε μηδὲν ἀπ᾽ αὐτῆς
ἀποτριβῆναι, ἐψηφίσαντο), προήει τε ἐς μέσον καὶ τῆς
ἀρχῆς ὁμοίως ἢ καὶ μᾶλλον ἀντεποιεῖτο.

50 μάχαι τε οὖν ἐκ τούτου πολλαὶ καὶ σφαγαὶ αὖθις
ἐγίγνοντο, ὥστε τὴν βουλὴν τά τε προειρημένα ἐπι-
κυρῶσαι καὶ τὸν Πομπήιον μεταπέμψασθαι, καταλό-
γους τε αὐτῷ καινοὺς ποιήσασθαι ἐπιτρέψαι καὶ τὰ
2 ἐσθήματα ἀλλάξασθαι. ἐλθόντος τε αὐτοῦ οὐ πολλῷ
ὕστερον ἔξω τε τοῦ πωμηρίου πρὸς τῷ θεάτρῳ αὐτοῦ
σὺν φρουρᾷ ἠθροίσθησαν καὶ τὰ τοῦ Κλωδίου ὀστᾶ

2, 8 νήσαντες R. Stephanus, ἐνήσαντες Ma ‖ 5, 6 ἐς ⟨τὸ⟩ μέσον malit St ‖ 50, 2, 2 αὐτοῦ R, αὐτῷ Ma ‖ 3 ἠθροίσθησαν Reiske, ἠθροίσαν Ma



ἀνελέσθαι ἔγνωσαν, τό τε βουλευτήριον τῷ Φαύστῳ
τῷ τοῦ Σύλλου υἱεῖ ἀνοικοδομῆσαι προσέταξαν. ἦν 3
μὲν γὰρ τὸ Ὁστίλιον, μετεσκεύαστο δὲ ὑπὸ τοῦ Σύλ-
λου· διὸ τοῦτό τε περὶ αὐτοῦ ἔδοξε, καὶ ὅπως ἐξοι-
κοδομηθὲν τὸ ἐκείνου ὄνομα ἀπολάβῃ. μετεώρου δὲ
τῆς πόλεως οὔσης ἐπὶ τοῖς ἄρξουσι σφῶν καὶ δια-
θροούντων τῶν μέν, ὡς δικτάτωρα τὸν Πομπήιον,
τῶν δέ, ὡς ὕπατον τὸν Καίσαρα αἱρεθῆναι ⟨δεῖ⟩ 4
(οὕτω γάρ που ἐκ προαιρέσεως ἐπὶ τοῖς κατειργασμέ-
νοις αὐτὸν ἐτίμων, ὥστε καὶ ἑξήκονθ᾽ ἡμέρας θῦσαι
ἐπ᾽ αὐτοῖς ψηφίσασθαι) φοβηθέντες ἑκάτερον οἵ τε
ἄλλοι βουλευταὶ καὶ Βίβουλος, ὅσπερ που τὴν γνώμην
πρῶτος ἐρωτηθεὶς ποιήσεσθαι ἔμελλε, προκατέλαβον
τὴν τοῦ πλήθους ὁρμὴν τῷ Πομπηίῳ τὴν ὑπατείαν,
ὥστε μὴ δικτάτωρα αὐτὸν λεχθῆναι, καὶ μόνῳ γε,
ἵνα μὴ ὁ Καῖσαρ αὐτῷ συνάρξῃ, δόντες. ξένον τε δὴ 5
τοῦτο καὶ ἐπὶ μηδενὸς ἄλλου γενόμενον ἔπραξαν καὶ
ὀρθῶς αὐτὸ πεποιηκέναι ἔδοξαν· ἐπειδὴ γὰρ ἧττον τοῦ
Καίσαρος τῷ ὁμίλῳ προσέκειτο, ἀπορρήξειν τε αὐτὸν
ἀπ᾽ ἐκείνου παντάπασι καὶ σφετεριεῖσθαι ἤλπισαν. καὶ
ἔσχεν οὕτω· τῷ τε γὰρ καινῷ καὶ τῷ παραδόξῳ τῆς
τιμῆς ἐπαρθεὶς οὐκέτι οὐδὲν ἐς τὴν τῶν πολλῶν χάριν
ἐβούλευσεν, ἀλλ᾽ ἀκριβῶς πάντα τὰ τῇ βουλῇ ἀρέσκοντα
ἔπραξεν.

οὐ μέντοι καὶ μόνος ἄρξαι ἠθέλησε· τὴν γὰρ εὔ- 51
κλειαν ἐν τῷ δεδόχθαι τοῦτ᾽ ἔχων τὸν φθόνον τὸν
ἐπ᾽ αὐτῇ ἐξέκλινε. καὶ φοβηθείς, μήποτε κενῆς τῆς

3, 2 τὸ ⟨πρῶτον⟩ Ὁστίλιον Reiske ‖ 3 διὸ B, διὰ Ma ‖ αὐτοῦ Xylander, αὐτοὺς Ma ‖ 4, 1 ⟨δεῖ⟩ inseruit Reiske ‖ 3 ἑξήκοντα] *dierum viginti supplicatio* Caes. b. G. 7, 90: non Dionis, sed librariorum errorem esse putat R ‖ 5, 1 τε B, μὲν Ma

χώρας οὔσης ὁ Καῖσαρ ἔκ τε ⟨τῆς⟩ τῶν δυνάμεων καὶ
ἐκ τῆς τοῦ πλήθους σπουδῆς συνάρχων αὐτῷ δοθῇ,
2 ἐκείνῳ μέν, ἵνα μὴ καὶ παντελῶς παρημελῆσθαι νο-
μίσῃ κἀκ τούτου τινὰ ὀργὴν δικαίαν ποιήσηται, παρ-
εσκεύασε διὰ τῶν δημάρχων ἐπιτραπῆναι καὶ ἀπόντι
τὴν ἀρχήν, ὅταν ἐκ τῶν νόμων καθήκῃ, αἰτῆσαι, αὐτὸς
δὲ Κύιντον Σκιπίωνα πενθερόν τέ οἱ ὄντα καὶ δεκα-
3 σμοῦ αἰτίαν ἔχοντα προσείλετο. οὗτος γὰρ γόνῳ μὲν
υἱὸς τοῦ Νασικοῦ ὤν, ἐκ δὲ δὴ κλήρου διαδοχῆς
ἐς τὸ τοῦ Μετέλλου τοῦ εὐσεβοῦς γένος ποιηθεὶς καὶ
διὰ τοῦτο καὶ τὴν ἐπίκλησιν αὐτοῦ φέρων τήν τε
θυγατέρα τῷ Πομπηίῳ ἐξέδωκε καὶ παρ' αὐτοῦ τήν τε
52 ὑπατείαν καὶ τὸ μὴ κατηγορηθῆναι ἀντέλαβε. πάνυ
γὰρ πολλοὶ ἐπὶ τῷ ἐγκλήματι τούτῳ εὐθύνθησαν καὶ
μάλισθ', ὅτι τὰ δικαστήρια ἀκριβέστερον ἐκ τῶν τοῦ
Πομπηίου νόμων συνήγετο. πάντας τε γὰρ τοὺς ἄν-
δρας, ἐξ ὧν τοὺς δικάσοντας ἀποκληροῦσθαι ἔδει,
αὐτὸς ἐπελέγετο καὶ τὸν τῶν συναγορευσόντων ἑκα-
τέρῳ τῷ μέρει ἀριθμὸν ὥρισεν, ὥστε μὴ ὑπὸ τοῦ
πλήθους αὐτῶν τοὺς δικαστὰς θορυβουμένους ἐκτα-
2 ράττεσθαι. χρόνον τε τῷ μὲν διώκοντι δύο ὥρας, τῷ
δὲ φεύγοντι τρεῖς δίδοσθαι ἐκέλευσε. καὶ ὃ δὴ μά-
λιστα πλείστοις ἐλυμαίνετο, ⟨τό⟩ τινας ἐπαινέτας ὑπὸ
τῶν κρινομένων δίδοσθαι (πάμπολλοι γὰρ ὑπὸ τῶν
ἀξιοπίστων ἐπαινούμενοι ἐξηρπάζοντο) ἐπηνώρθωσε
3 νομοθετήσας μηδένα ἔτι τὸ παράπαν ἐπαινέτην τοῖς

51, 1, 4 ⟨τῆς⟩ inseruit B ‖ 2, 1 ἐκείνῳ Xylander, ἐκεῖνον Ma ‖ νομίσῃ B, νομισθῇ Ma ‖ 4 καθήκει Ma ‖ 52, 1, 5 ἔδει B, ἐδόκει Ma ‖ 6 συναγορευσόντων Reiske, συναγορευόντων Ma ‖ 2, 3 ⟨τό⟩ ins. Reiske ‖ 3, 1 ἐπαινέτην B, ἐξεῖναι ἐν Ma, ἐξεῖναι ⟨ἐπαινέτην⟩ Reiske



τοιούτοις γίγνεσθαι. καὶ ταῦτα μὲν ἄλλα τέ τινα κατὰ
πάντων ὁμοίως τῶν δικαστηρίων ἐτάχθη, τοῖς δὲ δὴ
τὰς ἀρχὰς δεκάζουσι καὶ τοὺς προεαλωκότας ἐπὶ τοι-
ούτῳ τινὶ κατηγόρους ἐπέστησεν ἆθλόν σφισιν οὐκ
ἐλάχιστον προθείς· εἰ γάρ τις ἤτοι δύο τῶν ὁμοίων
τῶν τε ἐλαττόνων ἢ καὶ ἕνα τῶν μειζόνων [ἢ] τῆς
καθ' ἑαυτὸν αἰτίας εἷλεν, ἄδειαν εὑρίσκετο.

ἄλλοι τε οὖν ἐκ τούτου πολλοὶ καὶ ἑάλωσαν καὶ 53
Πλαύτιος Ὑψαῖος ἀνταιτήσας τῷ τε Μίλωνι καὶ τῷ
Σκιπίωνι τὴν ὑπατείαν. τῶν γὰρ δὴ τριῶν δωροφο-
ρησάντων μόνος ἐκεῖνος κατεδικάσθη. ὅ τε γὰρ Σκι- 2
πίων ἐγράφη μὲν καὶ ὑπὸ δυοῖν γε, οὐκ ἐκρίθη δὲ
διὰ τὸν Πομπήιον· καὶ ὁ Μίλων ἐπὶ μὲν τούτῳ οὐκ
ἐσήχθη (τὸ γὰρ τοῦ φόνου ἔγκλημα μεῖζον εἶχεν),
ὑπαχθεὶς δὲ ἐπ' ἐκείνῳ ἑάλω μηδὲν δυνηθεὶς βίαιον
δρᾶσαι. ὁ γὰρ Πομπήιος τήν τε ἄλλην πόλιν διὰ φυ-
λακῆς ἐποιήσατο καὶ ἐς τὸ δικαστήριον σὺν ὁπλίταις
ἐσῆλθε, θορυβησάντων τε ἐπὶ τούτῳ τινῶν προσέταξε 3
τοῖς στρατιώταις ἐκδιῶξαι αὐτοὺς ἐκ τῆς ἀγορᾶς πλα-
γίοις καὶ πλατέσι τοῖς ξίφεσι παίοντας. ἐπειδή τε οὐχ
ὑπεῖκον, ἀλλὰ καὶ καθάπερ ἐν παιδιᾷ τινι πλαγιαζό-
μενοι ὕβριζον, καὶ ἐτρώθησάν τινες αὐτῶν καὶ ἀπέ-
θανον.

τά τε οὖν δικαστήρια ἡσύχως ἐκ τούτων συνή- 54
γετο, καὶ ἐδικαιώθησαν ἐπί τε ἑτέροις τισὶ πολλοὶ καὶ
ἐπὶ τῷ τοῦ Κλωδίου φόνῳ ἄλλοι τε καὶ ὁ Μίλων καί-
τοι τὸν Κικέρωνα συναγωνιστὴν ἔχων. ὁ γὰρ ῥήτωρ 2
ἐκεῖνος τόν τε Πομπήιον καὶ τοὺς στρατιώτας ἐν τῷ

3, 4 δὴ ⟨διὰ⟩ Reiske ‖ 5 τοιούτῳ Oddey, τούτῳ Ma, τούτων Reiske ‖ 8 [ἢ] delevit Reiske ‖ 53, 2, 3 τούτῳ St, τούτου Ma

δικαστηρίῳ παρὰ τὸ καθεστηκὸς ἰδὼν ἐξεπλάγη καὶ
κατέδεισεν, ὥστε τῶν μὲν παρεσκευασμένων μηδὲν
εἰπεῖν, βραχὺ δέ τι καὶ τεθνηκὸς χαλεπῶς φθεγξάμε-
νος ἀγαπητῶς μεταστῆναι. τοῦτον γὰρ τὸν λόγον τὸν
νῦν φερόμενον ὡς καὶ ὑπὲρ τοῦ Μίλωνος τότε λε-
χθέντα χρόνῳ ποθ' ὕστερον καὶ κατὰ σχολὴν ἀνα-
3 θαρσήσας ἔγραψε. καὶ δὴ καὶ τοιόνδε τι περὶ αὐτοῦ
παραδέδοται. ὁ Μίλων τῷ λόγῳ πεμφθέντι οἱ ὑπ'
αὐτοῦ ἐντυχὼν (ἐπεφυγάδευτο γὰρ) ἀντεπέστειλε λέ-
γων, ὅτι ἐν τύχῃ αὐτῷ ἐγένετο τὸ μὴ ταῦθ' οὕτω καὶ
ἐν τῷ δικαστηρίῳ λεχθῆναι· οὐ γὰρ ἂν τοιαύτας ἐν
τῇ Μασσαλίᾳ (ἐν ᾗ κατὰ τὴν φυγὴν ἦν) τρίγλας
ἐσθίειν, εἴπερ τι τοιοῦτον ἀπελελόγητο. τοῦτο δὲ
4 ἔγραψεν, οὐχ ὅτι τοῖς παροῦσιν ἠρέσκετο (πολλὰ γὰρ
ἐπὶ τῇ καθόδῳ ἐπετόλμησεν), ἀλλ' ἐς τὸν Κικέρωνα
ἀποσκώπτων, ὅτι μηδὲν χρηστὸν ἐν τῷ τῆς ἀπολογίας
καιρῷ εἰπὼν ἔπειτα ἀκάρπους λόγους καὶ ἐμελέτα καὶ
ἔπεμπεν αὐτῷ ὥσπερ τι ὠφελῆσαι τότε αὐτὸν δυνα-
μένους.

55 ὅ τε οὖν Μίλων οὕτως ἑάλω, καὶ ὁ Ῥοῦφος ὅ τε
Πλάγκος ἐπειδὴ πρῶτον ἐκ τῆς ἀρχῆς ἐξῆλθον, ἄλλοι
τε σὺν αὐτοῖς συχνοὶ διὰ τὴν τοῦ βουλευτηρίου ἐμ-
πρησιν καίτοι τῷ Πλάγκῳ καὶ τοῦ Πομπηίου συσπου-
δάσαντος, ὥστε καὶ βιβλίον ἔπαινόν τε ἅμα αὐτοῦ καὶ
2 ἱκετείαν ἔχον ἐς τὸ δικαστήριον ἔπεμψεν· ὁ γὰρ Κά-
των ὁ Μᾶρκος (δικάζειν δὲ ἔμελλεν) οὐκ ἔφη τὸν
ἐπαινέτην ἐπὶ τῇ τῶν ἑαυτοῦ νόμων καταλύσει προσ-
ίεσθαι. καὶ ὁ μὲν οὐκέτι τὴν ψῆφον ἔδωκεν· ὁ γὰρ

54, 3, 3 ἀντεπέστειλε R, ἀνταπέστειλε Ma ‖ 4, 5 ἔπεμπεν Leunclavius, εἶπεν Ma ‖ δυναμένους Leunclavius, δυνάμενος Ma



Πλάγκος ὡς καὶ τὴν καθαιρήσουσαν αὐτὸν οἴσοντα
ἐξέκρινεν (ἐξῆν γὰρ ἐκ τῶν Πομπηίου νόμων πέντε
ἑκατέρῳ τῶν διαδικούντων ἐκ τῶν δικάσειν σφίσι μελ-
λόντων ἀπολέγειν) οἱ μέντοι ἄλλοι δικασταὶ κατεψη- 3
φίσαντο αὐτοῦ. οὔτε γὰρ ἄλλως ὀρθῶς ἔχειν ἔδοξέ
σφισι τοῦ Ῥούφου κατεγνωκόσιν ἐκεῖνον ἐπὶ τοῖς αὐ-
τοῖς κρινόμενον ἀφεῖναι· καὶ ἐπειδὴ τὸν Πομπήιον
συναιρόμενόν οἱ εἶδον, ἀντεσπούδασαν αὐτῷ, μὴ καὶ
δοῦλοί τινες ἄντικρυς αὐτοῦ μᾶλλον ἢ δικασταὶ νομι-
σθῶσιν εἶναι. καίπερ καὶ τότε ὁ Κικέρων οὐδὲν βέλ- 4
τιον τοῦ Πλάγκου κατηγόρησεν ἢ ὑπὲρ τοῦ Μίλωνος
ἀπελογήσατο· ἥ τε γὰρ τοῦ δικαστηρίου ὄψις ἡ αὐτὴ
ἦν, καὶ ὁ Πομπήιος ἐν ἑκατέρῳ τἀναντία οἱ καὶ
ἐβουλεύετο καὶ ἔπραττεν, ὅθεν οὐχ ἥκιστα αὖθις αὐτῷ
προσέκρουσε.

ταῦτά τε οὖν ἅμα διῴκει καὶ τὸν περὶ τῶν ἀρχαι- 56
ρεσιῶν νόμον τὸν κελεύοντα τοὺς ἀρχήν τινα ἐπαγ-
γέλλοντας ἐς τὴν ἐκκλησίαν πάντως ἀπαντᾶν, ὥστε
μηδένα ἀπόντα αἱρεῖσθαι, παρημελημένον πως ἀνενε-
ώσατο· τό τε δόγμα τὸ μικρὸν ἔμπροσθεν γενόμενον,
ὥστε τοὺς ἄρξαντας ἐν τῇ πόλει μὴ πρότερον ἐς τὰς
ἔξω ἡγεμονίας, πρὶν πέντε ἔτη παρελθεῖν, κληροῦσθαι,
ἐπεκύρωσεν. οὐδ' ᾐσχύνθη τότε μὲν τοιαῦτα γράψας, 2
ὕστερον δὲ οὐ πολλῷ αὐτός τε τὴν Ἰβηρίαν ἐς πέντε
ἄλλα ἔτη λαβὼν καὶ τῷ Καίσαρι καὶ ἀπόντι (οἱ γὰρ
φίλοι αὐτοῦ δεινῶς ἠγανάκτουν) αἰτῆσαι τὴν ὑπατείαν,
ὥσπερ ἐψήφιστο, δούς. προσέγραψε μὲν γὰρ τῷ νόμῳ 3
τὸ μόνοις αὐτὸ ἐξεῖναι ποιεῖν, οἷς ἂν ὀνομαστί τε καὶ
ἄντικρυς ἐπιτραπῇ, διέφερε δ' οὐδὲν τοῦτο τοῦ μηδ'

56, 1, 6 ἐς delevit Xylander ‖ 2, 1 τότε μὲν Reiske, μὲν τότε Ma ‖ 3, 1 προέγραψε Ma

ἀρχὴν κεκωλῦσθαι· πάντως γὰρ οἵ τι δυνάμενοι καὶ
ἐκεῖνο ψηφισθῆναί σφισι διαπράξασθαι ἔμελλον.
57 ὁ μὲν οὖν Πομπήιος τοιαῦτα ἐπολιτεύετο, ὁ δὲ δὴ
Σκιπίων οὔτε ἐνομοθέτησέ τι καὶ τὰ πρὸς τοῦ Κλω-
δίου περὶ τῶν τιμητῶν γραφέντα κατέλυσε. καὶ ἔδοξε
μὲν τὴν ἐκείνων χάριν τοῦτο πεποιηκέναι, ἐπειδὴ τὴν
ἐξουσίαν αὐτοῖς, ἣν καὶ πρὶν εἶχον, ἀπέδωκε, περι-
2 έστη δὲ ἐς τοὐναντίον. ὑπὸ γὰρ τοῦ πολλοὺς ἔν τε
τῇ ἱππάδι καὶ ἐν τῷ βουλευτικῷ φλαύρους ἄνδρας
εἶναι, τέως μὲν μηδένα μήτε κατηγορηθέντα μήθ'
ἁλόντα διαγράψαι σφίσιν ἐξῆν, οὐδεμίαν τῶν οὐκ
3 ἀπαλειφομένων αἰτίαν εἶχον· ἀπολαβόντες δὲ τὴν ἀρ-
χαίαν ἰσχύν, ὑφ' ἧς αὐτοῖς καὶ καθ' ἑαυτοὺς τὸν ἑκά-
στου βίον ἐξετάζουσι τοῦτο ποιεῖν ἐδέδοτο, οὔτε πολ-
λοῖς προσκρούειν ὑπέμενον οὔτ' αὖ ἐν μέμψει τινὶ
ὡς μὴ διαγράφοντες τοὺς οὐκ ἐπιτηδείους γίγνεσθαι
ἤθελον, καὶ διὰ τοῦτο οὐδὲ ἐφίετο ἔτι τῆς ἀρχῆς τῶν
ἐμφρόνων οὐδὲ εἷς.
58 περὶ μὲν δὴ τοὺς τιμητὰς ταῦτ' ἐψηφίσθη, ὁ δὲ
δὴ Κάτων ἄλλως μὲν οὐδεμιᾶς ἀρχῆς ἐδεῖτο, ἰδὼν δὲ
τόν τε Καίσαρα καὶ τὸν Πομπήιον ὑπὲρ τὴν κατάστα-
σιν τῆς πολιτείας αὐξανομένους καὶ ὑποτοπήσας ἤτοι
καὶ ἀμφοτέρους σφᾶς τὰ πράγματα ἕξειν ἢ καὶ διενε-
χθέντας ἀλλήλοις στάσιν τε μεγίστην ποιήσειν καὶ τὸν
2 κρατήσαντα αὐτῶν μοναρχήσειν, ἠθέλησε μὲν σφᾶς,
πρὶν ἀνταγωνιστὰς γενέσθαι, καταλῦσαι καὶ τὴν ὑπα-
τείαν ἐπ' αὐτοὺς ᾔτησεν, ἐπειδήπερ ἰδιωτεύων οὐδὲν
ἰσχύσειν ἔμελλεν, ὑποπτευθεὶς δὲ ὑπὸ τῶν τὰ ἐκείνων
3 πραττόντων τοιοῦτόν τι δράσειν οὐκ ἀπεδείχθη, ἀλλ'

3, 4 οἵ τι Xylander, ὅτι Ma ‖ 57, 2, 1 τοῦ Xylander, τοὺς Ma ‖ 58, 2, 5 δράσειν] δρασείειν Reiske



ὅ τε Μάρκελλος ὁ Μᾶρκος καὶ ὁ Ῥοῦφος ὁ Σουλπί- a. u. 703 (51)
κιος, ὁ μὲν διὰ τὴν τῶν νόμων ἐμπειρίαν, ὁ δὲ διὰ
τὴν τῶν λόγων δύναμιν ᾑρέθησαν, ἄλλως τε καὶ ὅτι
αὐτοὶ μέν, εἰ καὶ μὴ χρήμασιν ἢ βιαίῳ τινὶ ἔργῳ,
ἀλλὰ τῇ γε θεραπείᾳ καὶ τῇ παρακλήσει πολλῇ πρὸς
πάντας ἐχρήσαντο, ὁ δὲ δὴ Κάτων οὐδένα αὐτῶν ἐθε-
ράπευσε. καὶ ὁ μὲν οὐκέτ' αὖθις τῆς ἀρχῆς ἀντεποι- 4
ήσατο λέγων ἀγαθοῦ ἀνδρὸς ἔργον εἶναι μήτ' ἀποδι-
δράσκειν τὴν προστασίαν τῶν κοινῶν, ἄν γέ τινες
χρῆσθαι αὐτῷ ἐθελήσωσι, μήθ' ὑπὲρ τὸ προσῆκον
αὐτῆς ἐφίεσθαι· Μάρκελλος δὲ πάντ' εὐθὺς ἐπὶ τῇ 59
τοῦ Καίσαρος καταλύσει (τῆς γὰρ τοῦ Πομπηίου με-
ρίδος ἦν) ἔπραττε καὶ ἄλλα τε ἐπ' αὐτῷ πολλὰ καὶ
ὥστε καὶ διάδοχόν οἱ ἤδη καὶ πρὸ τοῦ καθήκοντος
χρόνου πεμφθῆναι ἐσηγήσατο. καὶ αὐτῷ ὅ τε Σουλ-
πίκιος καὶ τῶν δημάρχων τινὲς ἀντέπραξαν, οὗτοι μὲν
τῇ πρὸς τὸν Καίσαρα χάριτι· ἐκεῖνος δ' αὐτοῖς ἐκοι-
νώσατο καὶ τοῖς πολλοῖς, ὅτι οὐκ ἤρεσκέ τό τινα με-
ταξὺ ἄρχοντα μηδὲν ἠδικηκότα παυθῆναι. μαθὼν οὖν 2
ταῦθ' ὁ Πομπήιος (ἀπῆρε μὲν γὰρ ἐκ τοῦ ἄστεως ὡς
καὶ ἐς τὴν Ἰβηρίαν στρατεύσων, οὐ μὴν οὐδὲ τότε ἐκ
τῆς Ἰταλίας ἐξεχώρησεν, ἀλλὰ τοῖς ὑποστρατήγοις
πάντα τὰ ἐκεῖ προστάξας αὐτὸς τῇ πόλει ἐφήδρευε) τὸ 3
μὲν δὴ τὸν Καίσαρα τῆς ἡγεμονίας παραλυθῆναι οὐδὲ
ἑαυτῷ ἀρέσκειν ἐπλάττετο, ἔπραττε δ' ὅπως, ὅταν τὸν
δεδομένον οἱ χρόνον διάρξῃ (τοῦτο δὲ οὐκ ἐς μακράν,
ἀλλ' εὐθὺς ἐν τῷ ὑστέρῳ ἔτει γενήσεσθαι ἔμελλε), τά

3, 4 ᾑρέθησαν Xylander, διῃρέθησαν Ma ‖ 6 γε B, τε Ma ‖ 59, 1, 8 καὶ τοῖς πολλοῖς, ὅτι Madvig, καὶ ὅτι τοῖς πολλοῖς Ma, sed debebat saltem dici ὅτι καὶ τ. π ‖ ἤρεσκε τό Reiske, ἠρέσκετο Ma ‖ 3, 4 διάρξῃ Reiske, διαπράξῃ Ma

τε ὅπλα κατάθηται καὶ ἰδιωτεύσων οἴκαδε ἐπανέλθῃ.
4 καὶ διὰ τοῦτο Γάιόν τε Μάρκελλον ⟨τοῦ Μάρκου⟩
ἀνεψιὸν ἢ καὶ ἀδελφὸν (λέγεται γὰρ ἑκάτερον) ὑπα-
τεῦσαι, ἐπειδὴ τῷ Καίσαρι καίπερ ἐξ ἐπιγαμίας προσ-
ήκων ἐχθρὸς ἦν, καὶ τὸν Κουρίωνα τὸν Γάιον δι'
ἔχθρας καὶ αὐτὸν ἐκ παλαιοῦ οἱ ὄντα δημαρχῆσαι
ἐποίησεν.

60 ὁ οὖν Καῖσαρ μήτ' ἄλλως ὑπομένων ἔκ τε τηλι-
a. u. 704 (50) καύτης καὶ ἐκ χρονίου ἡγεμονίας ἰδιωτεῦσαι καὶ φο-
βηθείς, μὴ καὶ ἐπὶ τοῖς ἐχθροῖς γένηται, παρεσκευά-
ζετο ὡς καὶ ἀκόντων αὐτῶν ἐν τῇ ἀρχῇ ἐμμενῶν καὶ
στρατιώτας προσκατελέγετο καὶ χρήματα ἤθροιζεν ὅπλα
2 τε ἐποίει καὶ καθ' ἡδονὴν πᾶσιν ἡγεῖτο. κἀν τούτῳ
καὶ τὰ οἴκοι τρόπον τινά, τοῦ μὴ πάντα βίᾳ, ἀλλὰ καὶ
πειθοῖ ⟨τι⟩ πράττειν δοκεῖν, προδιοικήσασθαι ἐθελή-
σας ἔγνω συναλλαγῆναι τῷ Κουρίωνι· τοῦ τε γὰρ τῶν
Κουριώνων γένους ἦν καὶ τὴν γνώμην ὀξύς, εἰπεῖν
τε δεινός, τῷ τε πλήθει πιθανώτατος καὶ χρημάτων
ἐς τὰ πάντα ἁπλῶς, ἐξ ὧν ἢ αὐτός τι πλεονεκτήσειν
3 ἢ καὶ ἑτέρῳ διαπράξειν ἤλπιζεν, ἀφειδέστατος. καὶ
αὐτὸν πολλὰ μὲν ἐπελπίσας, πάντων δὲ τῶν ὀφειλη-
μάτων συχνῶν διὰ τὸ πολλὰ δαπανᾶσθαι ὄντων ἀπ-
αλλάξας ἀνηρτήσατο. πρὸς γὰρ τὴν παροῦσαν ὧν
ἔπραττε σπουδὴν οὔτε [γὰρ] ἀργυρίου ἅτε καὶ ἐξ αὐ-
τῶν ἐκείνων ἀργυρολογῶν ἐφείδετο καὶ προσυπισχνεῖτό
τισι παμπληθῆ, ὧν οὐδὲ πολλοστὸν μέρος δώσειν

4, 1 ⟨τοῦ Μάρκου⟩ add. Leunclavius: cf. Suet. Caes. 28, Appian. b. civ. 2, 26 ‖ **60**, 2, 1 ἐποίει] ἐποιεῖτο Herwerden ‖ 2 πάντα βίᾳ Reiske (vel πᾶν βίᾳ), πάντῃ βίᾳ Ma ‖ 3 ⟨τι⟩ inseruit Reiske ‖ 4 συναλλαγῆναι R, συλλεγῆναι Ma ‖ 5 Κουριώνων] an Σκριβωνίων ? B, Herwerden ‖ 3, 2 πολλὰ μὲν B, μὲν πολλὰ Ma ‖ 5 [γὰρ] expunxit Xylander



ἔμελλε. καὶ οὐ μόνον γε τοὺς ἐλευθέρους, ἀλλὰ καὶ 4
τοὺς δούλους τούς τι καὶ ὁποσονοῦν παρὰ τοῖς δε-
σπόταις σφῶν δυναμένους ἐθεράπευσε· καὶ συχνοὶ
αὐτῷ καὶ ἐκ τούτου καὶ τῶν ἱππέων καὶ τῶν βουλευ-
τῶν ὑπῆρξαν.

ὁ δ' οὖν Κουρίων ἐφρόνησε μὲν τὰ τοῦ Καίσαρος, 61
οὐ μέντοι καὶ παραχρῆμα φανερῶς αὐτὰ πράττειν ἤρ-
ξατο· πρόφασίν τε γὰρ εὐπρεπῆ τοῦ μὴ καὶ ἑκών,
ἀλλ' ἀναγκασθεὶς δὴ μεθεστηκέναι δόξαι ἐζήτει καὶ
ἐνόμισεν, ὅσῳ ἂν ἐπὶ πλεῖον τοῖς ἐχθροῖς αὐτοῦ ὡς
καὶ φίλος σφῶν συγγένηται, καὶ πλείω καὶ μείζω τῶν
ἀπορρήτων αὐτῶν μαθήσεσθαι. δι' οὖν ταῦτα ἐπὶ 2
μακρότατόν τε ἐπεκρύψατο καί, ὅπως μηδένα τρόπον
ὑποπτευθῇ μεταβεβλῆσθαί τε καὶ οὐκ ἀνὰ πρώτους
καὶ πάντα τὰ ἐναντία τῷ Καίσαρι καὶ τότε ἔτι καὶ
φρονεῖν καὶ λέγειν, καὶ ἐδημηγόρει κατ' αὐτοῦ, ἀφ'
οὗ γε καὶ δημαρχεῖν ἤρξατο, καὶ ἐσηγεῖτο πολλὰ καὶ
ἄτοπα. καί τινα καὶ ἐπὶ τῇ βουλῇ τοῖς τε δυνατωτά- 3
τοις σφῶν, οἵπερ που καὶ τὰ τοῦ Πομπηίου μάλιστ'
ἔπραττον, ἔγραφεν, οὐχ ὅτι καὶ ἤθελεν ἢ καὶ ἤλπιζέ
τι αὐτῶν γνωσθήσεσθαι, ἀλλ' ἵνα μὴ προσδεχομένων
μήτε κατὰ τοῦ Καίσαρός τι ψηφισθείη (πολλὰ γὰρ ἐπ'
αὐτῷ ὑπὸ πολλῶν ἐγράφετο), καὶ αὐτὸς ἐπὶ τῇ προ-
φάσει ταύτῃ μετασταίη. συχνὸν οὖν ἐκ τούτου χρόνον 62
ἄλλοτε ἄλλαις σκήψεσιν, ὥστε μηδὲν αὐτῶν τὸ παρά-
παν κυρωθῆναι, κατατρίψας ἀγανακτεῖν τε προσεποι-
εῖτο καὶ ἠξίου μῆνα ἄλλον πρὸς τὰς ἀπ' αὐτῶν δὴ

4, 1 γε] τε Ma ‖ **61**, 1, 5 ὅσῳ Reiske, ὡς Ma ‖ 3, 2 τὰ Xylander, κατὰ Ma ‖ 4 γνωσθήσεσθαι B, γνώσεσθαι Ma ‖ 5 μήτε] μηδὲ Herwerden ‖ **62**, 1, 4 ἀπ'] ὑπ' Herwerden, ἀπ' delevit Xylander

νομοθεσίας ἐπεμβληθῆναι. τοῦτο δὲ ἐγίγνετο μέν,
ὁσάκις γε καὶ καθῆκον ἦν, οὐ μέντοι κατ' ἐκεῖνο συν-
έβαινεν, ὥσπερ που καὶ αὐτὸς ἅτε ποντίφεξ ὢν ἠπί-
2 στατο. ὅμως δ' οὖν δεῖν τε αὐτὸ γενέσθαι ἔλεγε καὶ
τοὺς συνιερέας ὅσον ἀπὸ βοῆς ἐξεβιάζετο· καὶ τέλος
μὴ δυνηθεὶς αὐτοὺς πεῖσαι συγκαταθέσθαι οἱ, ὥσπερ
οὐδὲ ἐβούλετο, οὐδ' ἄλλο τι διὰ τοῦτο ψηφισθῆναι
ἐπέτρεψεν, ἀλλὰ καὶ ἐκ τοῦ φανεροῦ ἤδη τὰ τοῦ Καί-
3 σαρος διαδικαιῶν, ἐπειδὴ μηδὲν κατ' αὐτοῦ δῆθεν
ἠδυνήθη ποιῆσαι, πᾶν ὅ,τι ποτὲ ἐνεδέχετο οὐ δεχθῆ-
ναι προΐσχετο, καὶ μάλισθ' ὅτι πάντας τοὺς τὰ ὅπλα
ἔχοντας ταῦτά τε καταθέσθαι καὶ τὰ στρατόπεδα δια-
λῦσαι χρή, ἢ μηδ' ἐκεῖνον ψιλώσαντας αὐτῶν ταῖς
4 δυνάμεσι ταῖς τῶν ἀντιστασιωτῶν ἐκδοῦναι. ἔλεγε δὲ
τοῦτο οὐχ ὅτι καὶ τὸν Καίσαρα ποιῆσαι αὐτὸ ἤθελεν,
ἀλλ' ὅτι τὸν Πομπήιον εὖ ἠπίστατο μὴ πειθαρχήσοντα
αὐτῷ, καὶ ἐκ τούτου καὶ ἐκείνῳ πρόφασις εὔλογος τοῦ
μὴ διιέναι τοὺς στρατιώτας ἐδίδοτο.

63 ὁ οὖν Πομπήιος ἐπεὶ μηδὲν ἄλλως πράττων ἤνυτε,
πρός τε τὸ τραχὺ ἀπαρακαλύπτως ὥρμησε καὶ ἐκ τοῦ
προφανοῦς πάντα καὶ ἔλεγε καὶ ἐποίει κατὰ τοῦ Καί-
2 σαρος. οὐ μέντοι καὶ κατέπραξέ τι. ἄλλοι τε γὰρ
ἐκείνῳ πολλοὶ καὶ Λούκιος Παῦλος ὁ τοῦ Μαρκέλλου
συνάρχων, ὅ τε Πίσων ὁ Λούκιος ⟨ὁ⟩ πενθερὸς αὐτοῦ
τιμητὴς ὢν συνηγωνίζοντο· καὶ γὰρ τιμηταὶ τὸν χρό-
νον τοῦτον ὅ τε Κλαύδιος ὁ Ἄππιος καὶ ὁ Πίσων

1, 6 κατ' ἐκεῖνο Xylander, καὶ ἐκεῖνο Ma, καὶ κατ' ἐκεῖνο St ‖ 2, 1 οὖν Reiske, οὐδὲν Ma ‖ 2 ἐξεβιάζετο ⟨συμφάναι⟩ vel ⟨συγχωρεῖν⟩ Reiske ‖ 3, 2 οὐ δεχθῆναι] ὑπειχθῆναι Madvig ‖ 5 αὐτῶν Leunclavius, αὐτὸν Ma, ψιλώσαντα ἑαυτὸν Reiske ‖ 63, 1, 1 ἤνυτε Reiske, ἤνυται Ma ‖ 2, 3 ⟨ὁ⟩ πενθερὸς B ‖ 4 γὰρ Reiske, τοι Ma ‖ 5 Κλαύδιος Ἄππιος Ma



καίτοι μὴ βουληθεὶς ἐγένοντο. καὶ οὗτος μὲν διὰ τὴν 3
συγγένειαν ὑπῆρχε τῷ Καίσαρι, ὁ δὲ δὴ Κλαύδιος
ἠναντιοῦτο μὲν αὐτῷ (τὰ γὰρ τοῦ Πομπηίου ᾑρεῖτο),
οὐκ ἐλάχιστα δὲ καὶ ἄκων ὠφέλησε· πλείστους γὰρ
καὶ τῶν ἱππέων καὶ τῶν βουλευτῶν διέγραψεν ἐκβια-
σάμενος τὸν συνάρχοντα κἀκ τούτου πάντας αὐτοὺς
τὰ τοῦ Καίσαρος φρονεῖν ἐποίησεν. ὁ γὰρ Πίσων 4
οὔτ' ἄλλως πράγματ' ἔχειν ἐθέλων καὶ πρὸς τὴν τοῦ
γαμβροῦ φιλίαν πολλοὺς θεραπεύων αὐτὸς μὲν οὐδὲν
τοιοῦτον ἐποίησεν, ἐκείνῳ δὲ οὐκ ἀντέπραξε πάντας
μὲν τοὺς ἐκ τῶν ἀπελευθέρων, συχνοὺς δὲ καὶ τῶν
πάνυ γενναίων, ἄλλους τε καὶ τὸν Κρίσπον τὸν Σα-
λούστιον τὸν τὴν ἱστορίαν γράψαντα ἀπελάσαντι ἐκ
τοῦ συνεδρίου. τὸν μέντοι Κουρίωνα μελλήσαντα καὶ 5
αὐτὸν ἀπαλειφθήσεσθαι ἐξῃτήσατο μετὰ τοῦ Παύλου,
οὗπερ συγγενὴς ἦν· καὶ ὃς οὐ διέγραψε μὲν αὐτὸν 64
διὰ τοῦτο, τὴν μέντοι γνώμην, ἣν περὶ αὐτοῦ εἶχεν,
ἐδημοσίευσεν ἐν τῷ βουλευτηρίῳ, ὥστε ἐκεῖνον ἀγα-
νακτήσαντα τὴν ἐσθῆτα αὐτοῦ περιρρῆξαι. παραλαβὼν
οὖν τοῦτον ὁ Μάρκελλος καὶ νομίσας ἐπί τε τῷ Κου-
ρίωνι καὶ δι' αὐτὸν καὶ ἐπὶ τῷ Καίσαρι δεινόν τι τὴν
γερουσίαν ψηφιεῖσθαι γνώμας περὶ αὐτοῦ προέθηκεν.
ὁ οὖν Κουρίων τὸ μὲν πρῶτον ἠναντιοῦτο μηδεμίαν 2
περὶ αὐτοῦ γνώμην δοθῆναι· γνοὺς δὲ τὸ πολὺ τῶν
βουλευτῶν τῶν τότε παρόντων τοὺς μὲν καὶ φρονοῦν-
τας ὄντως τὰ τοῦ Καίσαρος, τοὺς δὲ πάνυ αὐτὸν δε-
διότας, ἐπέτρεψέ σφισι διαγνῶναι τοσοῦτον ὑπειπών, 3

4, 2 πράγματ' Reiske, πρᾶγμα Ma ‖ 64, 1, 1 διέγραψε Pflugk, coll. 36, 38, 2; 40, 57, 2; 63, 3, διήλλαξε Ma, διήλειψε Casaubonus, ἀπήλειψε R, οὖν ἀπήλλαξε = *missum fecit* Reiske, ἀπήλασε St ‖ 4 αὐτοῦ] αὐτοῦ (i. e. Appii) Reiske, Penzel ‖ 2, 4 δεδιότας Ma

ὅτι σύνοιδα μὲν ἐμαυτῷ τά τε ἄριστα καὶ τὰ συμφο-
ρώτατα τῇ πατρίδι πράττοντι, ὑμῖν μέντοι καὶ τὸ
σῶμα καὶ τὴν ψυχὴν παραδίδωμι χρήσασθαι ὅ,τι βού-
λεσθε. κατηγορήσας οὖν αὐτοῦ ὁ Μάρκελλος ὡς καὶ
4 πάντως ἁλωσομένου, ἔπειτ' ἐπειδὴ πρὸς τῶν πλειόνων
ἀφείθη, δεινόν τε ἐποιήσατο καὶ ἐκπηδήσας ἐκ τοῦ
συνεδρίου πρὸς τὸν Πομπήιον ἐν τῷ προαστείῳ ὄντα
ἦλθε καὶ τήν τε φυλακὴν αὐτῷ τῆς πόλεως καὶ δύο
στρατόπεδα πολιτικὰ αὐτὸς καθ' ἑαυτὸν μηδενὸς ἐψη-
φισμένου ἔδωκεν. οἱ δὲ δὴ στρατιῶται οὗτοι ὧδέ τε
καὶ ἐπὶ τῷδε συνειλεγμένοι καὶ παρόντες τότε ἦσαν.
65 ὁ Πομπήιος πρότερον μέν, ἕως ἔτι τὸν Καίσαρα διὰ
φιλίας εἶχε, στράτευμα ἓν τῶν ἐκ τοῦ καταλόγου αὐτῷ
στρατευομένων ἐδεδώκει (οὔτε γὰρ οὗτος πόλεμόν τινα
2 διεχείριζε καὶ ἐκείνῳ χρεία στρατιωτῶν ἐγένετο), ἐπεὶ
δὲ διηνέχθησαν, ἐθελήσας τοῦτό τε ἀπολαβεῖν παρ'
αὐτοῦ καὶ ἔτι καὶ ἄλλο αὐτὸν προσαφελέσθαι ἐλογο-
ποίησεν ὡς τοῦ Βιβούλου στρατιωτῶν πρὸς τοὺς Πάρ-
θους δεομένου, καὶ ἵνα γε μὴ καινοὶ δή τινες κατά-
λογοι γένωνται (τό τε γὰρ πρᾶγμα κατεπείγειν καὶ
περιουσίαν σφίσι στρατοπέδων εἶναι ἔλεγε), ψηφισθῆ-
ναι ἐποίησεν, ὥστε ἑκάτερον σφῶν, ἑαυτόν τε καὶ τὸν
3 Καίσαρα, δεῖν ⟨ἓν⟩ αὐτῷ πέμψαι. κἀκ τούτου τῶν μὲν
συστρατευομένων οἱ οὐδένα ἀπέστειλε, τὸ δὲ δὴ στρά-
τευμα ἐκεῖνο, ὅπερ τῷ Καίσαρι ἐδεδώκει, ἐκέλευσε
τοῖς ἐπὶ τοῦτο ταχθεῖσιν αἰτῆσαι. καὶ οὕτω τῷ μὲν
λόγῳ ἀμφότεροι, τὸ δ' ἀληθὲς ὁ Καῖσαρ μόνος τὰ δύο

4, 2 δεινόν τε] δεινόν τι R ‖ 7 τῷδε Leunclavius, τούτῳ R, τῷ Ma ‖ 65, 1, 3 ἐδεδώκει B, ἔδωκεν Ma ‖ οὗτος] αὐτὸς Herwerden ‖ 3, 1 ⟨ἓν⟩ inserui



ἔπεμψεν· ᾔδει μὲν γὰρ τὸ γιγνόμενον, ἐπειθάρχησε δὲ 4
μὴ βουληθεὶς αἰτίαν ὡς καὶ ἀνηκουστηκὼς λαβεῖν ἄλ-
λως τε καὶ μέλλων ἐπὶ τῇ προφάσει ταύτῃ πολλῷ
πλείους στρατιώτας ἀντικαταλέξειν.

ταῦτα οὖν τὰ στρατόπεδα παρεσκευάσθη μὲν ὡς 66
καὶ ἐπὶ τοὺς Πάρθους πεμφθησόμενα, ἐπεὶ δ' οὐδὲν
αὐτῶν ἐδέησε (οὐδὲ γὰρ χρεία σφῶν ἦν), ὁ Μάρκελλος
πρότερον μὲν φοβηθείς, μὴ τῷ Καίσαρι ἀποδοθῇ, ἐν
τῇ Ἰταλίᾳ δεῖν εἶναι ἔλεγε, τότε δὲ τῷ Πομπηίῳ, ὥσ-
περ εἶπον, ἐνεχείρισε. καί (ἦν γὰρ ἐπ' ἐξόδῳ τοῦ ἔτους 2
τὰ γιγνόμενα, καὶ ἔμελλεν οὐκ ἐπὶ πολὺ ἅτε μήτε τῇ
βουλῇ μήτε τῷ δήμῳ δόξαντα ἰσχύσειν) ἐπήγετο πρὸς
τὸν Πομπήιον Κορνήλιόν τε Λέντουλον καὶ Γάιον
Κλαύδιον τοὺς τῷ ὑστέρῳ ἔτει ὑπατεύσειν μέλλοντας
καὶ ἐποίησε καὶ ἐκείνους τὰ αὐτὰ προστάξαι· ἐπειδὴ 3
γὰρ καὶ γράμματα τοῖς ἀποδεδειγμένοις ἐς τὰς ἀρχὰς
ἐκτιθέναι καὶ ἄλλα τινὰ τῶν τῇ ἡγεμονίᾳ σφῶν προσ-
ηκόντων, καὶ πρὶν ἐνίστασθαι αὐτήν, πράττειν ἔτι καὶ
τότε ἐξῆν, καὶ τούτου κύριοι ἐνόμιζον εἶναι. καὶ ὅ γε
Πομπήιος καίπερ ἐς πάντα τἆλλα ἀκριβὴς ὢν ὅμως
οὐδὲν διὰ τὴν στρατιωτῶν χρείαν ἐπολυπραγμόνησεν
οὔτε ἀφ' ὧν οὔθ' ὅπως αὐτοὺς λαμβάνει, ἀλλὰ καὶ
πάνυ ἄσμενος σφᾶς ἐδέξατο. οὐ μέντοι καὶ ἐπράχθη 4
τι, οἷον ἄν τις ἐπὶ τηλικούτῳ τολμήματι γεγενῆσθαι
προσεδόκησεν, ἀλλὰ τὴν ἔχθραν μόνον τὴν πρὸς τὸν
Καίσαρα ἐνδειξάμενοι αὐτοὶ μὲν οὐδὲν ἄλλο ἰσχυρὸν
παρεσκευάσαντο, ἐκείνῳ δὲ καὶ ἐκ τούτου πρόφασιν

66, 1, 5 εἶναι] μεῖναι Reiske ‖ 2, 3 ἐπήγετο Reiske, ἠπείγετο Ma, εἰσῆγέ τε Leunclavius ‖ 3, 5 γε Reiske, τε Ma ‖ 7 ⟨τῶν⟩ στρατιωτῶν Leunclavius ‖ 4, 2 γεγενῆσθαι] γενήσεσθαι Reiske

εὔλογον ἐς ⟨τὸ⟩ τὰ στρατόπεδα τὰ συνόντα οἷ κατασχεῖν παρέσχον. ὁ γὰρ Κουρίων ἐπί τε τούτοις πολλὴν ἐν τῷ πλήθει κατηγορίαν κατά τε τῶν ὑπάτων καὶ κατὰ τοῦ Πομπηίου ἐποιήσατο καί, ἐπειδὴ διῆρξε, πρὸς τὸν Καίσαρα εὐθὺς ἀφωρμήθη.

---

4, 6 ⟨τὸ⟩ inseruit R

K. K. STAATSGYMNASIUM IN RIED

K.K. STAATS-GYMNASIUM IN RIED